ПРОВЕРЕНО 1961 г.

# ИЗБРАННЫЯ МѢСТА

ИЗЪ

## ГРЕЧЕСКИХЪ ПИСАНІЙ СВЯТЫХЪ ОТЦЕВЪ ЦЕРКВИ

ДО

## IX-го ВѢКА.

1893

Проверено в 1953

Составилъ

Е. ЛОВЯГИНЪ.

ЧАСТЬ ПЕРВАЯ.

Издано по опредѣленію Святѣйшаго Синода для употребленія въ духовно-учебныхъ заведеніяхъ.

САНКТПЕТЕРБУРГЪ.
ВЪ СИНОДАЛЬНОЙ ТИПОГРАФІИ.
1884.

# ПРЕДИСЛОВІЕ.

Предлагаемый сборникъ избранныхъ мѣстъ изъ греческой святоотеческой письменности составленъ изъ твореній слѣдующихъ св. Отцевъ и Учителей Церкви, писавшихъ на греческомъ языкѣ: мужей апостольскихъ—св. Климента Римскаго и св. Игнатія (I вѣка), христіанскихъ апологетовъ—св. Іустина и св. Ѳеофила (II вѣка), потомъ св. Ипполита и св. Меѳодія (III вѣка), св. Аѳанасія великаго, св. Кирилла Іерусалимскаго, св. Василія великаго, св. Григорія Богослова, св. Григорія Нисскаго и св. Іоанна Златоустаго (IV вѣка), св. Исидора Пилусіота и св. Кирилла Александрійскаго (V вѣка), св. Іоанна Дамаскина и св. Ѳеодора Студита (VIII вѣка). Здѣсь сообщаются краткія свѣдѣнія объ этихъ знаменитѣйшихъ представителяхъ греческой христіанской письменности съ I-го до IX-го вѣка и предлагаются образцы ихъ произведеній для чтенія и изученія въ духовныхъ семинаріяхъ. Изъ многочисленныхъ твореній ихъ избраны только немногія или въ цѣльномъ видѣ или въ значительныхъ отрывкахъ, не вошедшія въ греческія учебныя книги, доселѣ употреблявшіяся и употребляющіяся въ духовно-учебныхъ заведеніяхъ, но также замѣчательныя въ богословскомъ и историко-литературномъ отношеніяхъ, съ тѣмъ, чтобы учащіеся болѣе ознакомились какъ съ важнѣйшими предметами, занимавшими умы христіанъ сказаннаго періода времени, такъ и съ богословскою терминологіею и вообще съ подлиннымъ языкомъ греческихъ

христіанскихъ писателей, процвѣтавшихъ до отдѣленія западной церкви отъ восточной и до развитія на востокѣ Византійской литературы. Для точнаго уразумѣнія текста избранныхъ произведеній введены разнообразныя примѣчанія, составленныя по комментированнымъ изданіямъ твореній отдѣльныхъ св. Отцевъ новѣйшимъ и лучшимъ, которыя имѣютъ быть указаны въ своихъ мѣстахъ, и по общимъ пособіямъ, изъ которыхъ главнѣйшія суть слѣдующія:

А) Пособія лексикографическія.

1) G. B. Winer—Biblisches Realwörterbuch. B. I—II. 3 Aufl. Leipz. 1847—8.
2) H. Zeller—Biblisches Wörterbuch für das christliche Volk. B. I—II. 2 Aufl. Gotha. 1866.
3) C. L. Wil. Grimm—Lexicon graeco—latinum in libros Novi Testamenti. Lips. 1868.
4) Herm. Cremer—Biblisch-theologisches Wörterbuch der neuntestamentlichen Gräcitat. 3 Aufl. Gotha. 1883.
5) Du cange—Glossarium ad scriptores mediae et infimae graecitatis. T. I—II. Paris. 1688.
6) Georg. Curtius—Grundzüge der griechischen Etymologie. 5 Aufl. Leipz. 1879.
7) Al. Waniček—Griechisch-lateinisches etymologisches Wörterbuch. B. I—II. Leipz. 1877.
8) I. H. Hein. Schmidt—Synonymik der griechischen Sprache. B. I—III. Leipz. 1876—9.

Б) Пособія реальныя.

1) Творенія св. Отцевъ въ русскомъ переводѣ съ жизнеописаніями ихъ въ прибавленіяхъ, изд. при Московской духовной Академіи, съ 1843 года.
2) Памятники древней христіанской письменности въ русскомъ переводѣ. Том. 2—8. Приложеніе къ журналу: «Православное Обозрѣніе», Москв. 1860—71 г. съ предисловіями и примѣчаніями.

3) Историческое ученіе объ отцахъ церкви—Филарета Архіепископа Черниговскаго и Нѣжинскаго. Т. I—III. Изд. 2. С. П. Б. 1882.

4) Свято-отеческая христоматія. Сост. прот. Н. Благоразумовъ. Москва. 1884.

5) I. P. Migne—Patrologiae cursus completus. Series graeca. T. I—CLXI. Paris. 1857—66.

6) I. Bingham—Origines sive antiquitates ecclesiasticae. T. I—XI. Edit. 2. Halae Magdeb. 1851—81.

7) I. Chr. W. Augusti—Denkwürdigkeiten aus der christlichen Archeologie. B. I—XII. Leipz. 1817—31.

8) Dr. Binterim—Die vorzüglichsten Denkwürdegkeiten der christkatholischen Kirche aus ersten, mittlern und letzten Zeiten. 7 Bande. Mainz. 1821—41.

9) M. Martigny—Dictionnaire des antiquités chrétiennes. Paris. 1878.

10) Jos. Nirschl—Lehrbuch der Patrologie und Patristik. B. I—III. Mainz. 1881—84.

# ОГЛАВЛЕНІЕ

## ПЕРВОЙ ЧАСТИ.


| | |
|---|---|
| | СТРАН. |
| I. Св. **Климентъ** Епископъ Римскій. | |
| 1. Изъ 1-го посланія къ Коринѳянамъ. Гл. 1—13. . | 3 |
| » » » » » Гл. 40—65. . | 11 |
| II. Св. **Игнатій** Епископъ Антіохійскій. | |
| 1. Посланіе къ Римлянамъ. Гл. 1—10. . . . . . | 27 |
| 2. » » Смирнянамъ. Гл. 1—13. . . . . | 31 |
| III. Св. **Іустинъ** философъ и мученикъ. | |
| 1. Апологія 2-я. Гл. 1—15. . . . . . . . . . . | 39 |
| 2. Изъ разговора съ Трифономъ Іудеемъ. Гл. 1—8. . | 51 |
| IV. Св. **Ѳеофилъ** Епископъ Антіохійскій. | |
| 1. Къ Автолику. Книга 1. Гл. 1—14. . . . . . | 64 |
| 2. » » Изъ книги 2. Гл. 12—19 . . . | 75 |
| V. Св. **Ипполитъ** Епископъ Порта Римскаго. | |
| 1. Изъ сочиненія противъ еретика Ноэта. Гл. 8—18. . | 87 |
| 2. Слово на Богоявленіе Господне. Гл. 1—10. . . | 95 |
| VI. Св. **Меѳодій** Епископъ Патарскій. | |
| 1. Изъ сочиненія о дѣвствѣ. Рѣчь I. Гл. 1—5. . . | 106 |
| » » » » Рѣчь XI. Гл. 1—2. . | 113 |
| 2. Изъ сочиненія о воскресеніи мертвыхъ. Гл. 15—34. | 120 |
| VII. Св. **Аѳанасій** великій Архіепископъ Александрійскій. | |
| 1. Противъ Аріанъ слово 4-е. Гл. 1—36 . . . . | 147 |
| 2. Письмо къ Драконтію. Гл. 1—10. . . . . . . . | 181 |
| VIII. Св. **Кириллъ** Архіепископъ Іерусалимскій. | |
| 1. Тайноводственныя поученія: 1 п. Гл. 1—11 . . | 193 |
| » » 2 п. Гл. 1—8. . . | 198 |
| » » 3 п. Гл. 1—7. . . | 201 |
| » » 4 п. Гл. 1—9. . . | 204 |
| » » 5 п. Гл. 1—23 . . | 207 |
| 2. Письмо къ Императору Констанцію. Гл. 1—8 . | 215 |

СТРАН.

IX. Св. Василій великій Архіепископъ Кесарійскій.
1. На шестодневъ Бесѣда 1. Гл. 1—11 . . . . . 225
» » Бесѣда 2. Гл. 1—8 . . . . . . 238
2. Рѣчь къ юношамъ, какъ имъ пользоваться языческими сочиненіями. Гл. 1—8 . . . . . . . . . 251
3. Письма: а) къ Аѳанасію Архіепископу Александрійскому. Гл. 1—2 . . . . . . . . 270
б) къ Антіохійской церкви. Гл. 1—2 . . 272
в) къ Амфилохію, рукоположенному въ Епископа. Гл. 1—2 . . . . . . . 275
г) къ Неокесарійцамъ. Гл. 1—7. . . . 277
д) къ Неокесарійскимъ ученымъ. Гл. 1—6. 283
Краткое изложеніе содержанія избранныхъ мѣстъ изъ греческихъ писаній св. Отцевъ Церкви въ 1-й части . . 291

# I.

## СВ. КЛИМЕНТЪ ЕПИСКОПЪ РИМСКІЙ.

Между святыми отцами Церкви первое мѣсто занимаютъ *мужи апостольскіе*, которые жили при св. Апостолахъ, отъ нихъ научились вѣрѣ Христовой, съ ними раздѣляли труды евангельской проповѣди и непосредственно послѣ нихъ были преемниками ихъ служенія въ Церкви. Такіе мужи процвѣтали до второй половины 2-го вѣка христіанства и нѣкоторые изъ нихъ оставили письменные памятники своей пастырской дѣятельности и заботливости о распространеніи и утвержденіи между людьми Христовой истины.

Имя св. Климента, епископа Римскаго, принадлежитъ къ славнымъ и достоуважаемымъ именамъ мужей апостольскихъ. Онъ происходилъ отъ родителей языческихъ, но по обращеніи въ христіанство проповѣдію св. Апостоловъ Петра и Павла былъ ревностнымъ сотрудникомъ Павла, и вѣроятно есть тотъ самый Климентъ, о которомъ самъ Апостолъ упоминаетъ съ похвалою въ посланіи къ Филип. 4. 3; впослѣдствіи времени, по преемству отъ Апостоловъ, былъ предстоятелемъ Римской церкви въ теченіи девяти лѣтъ, съ 92 до 101 года по Р. Х. (по свидѣтельству Евсевія Памфила, Церк. Ист. 3. 15, 16), страдалъ вмѣстѣ съ своею паствою во время бывшихъ тогда гоненій на христіанъ и наконецъ былъ осужденъ императоромъ Траяномъ на изгнаніе въ г. Херсонесъ Таврическій, гдѣ за свою непрестанную ревность о

распространеніи христіанской вѣры потерпѣлъ мученическую смерть. (Ученіе объ Отц. Церкв. Филар. Черниг. изд. 1882 г. Т. I, стр. 8). Память его празднуется православною Церковію 25 Нонбрн.

Письменнымъ памятникомъ пастырской дѣятельности св. Климента Римскаго сохранились два посланія его къ Коринеской церкви, изъ которыхъ первое несомнѣнно принадлежитъ этому апостольскому мужу, хотя написано отъ лица всей Римской церкви, и пользовалось такимъ уваженіемъ въ древности, что въ христіанскихъ собраніяхъ при богослуженіи читалось послѣ книгъ св. Писанія. Поводомъ къ его написанію были нѣкоторыя нестроенія въ Коринеской церкви, подобныя тѣмъ, какія исправлялъ своими посланіями св. Апостолъ Павелъ, и потому оно имѣетъ цѣлію показать заблуждающимся важность и законосообразность церковнаго устройства и склонить вѣрующихъ къ миру и взаимной любви, а вмѣстѣ съ тѣмъ содержитъ православное ученіе объ Искупителѣ Сынѣ Божіемъ, о церковной іерархіи и таинствахъ, о каноническомъ достоинствѣ св. Писанія и другихъ предметахъ христіанской вѣры; написано на греческомъ языкѣ, имѣвшемъ обширное употребленіе во всемъ извѣстномъ тогда мірѣ, и отличается «простотою изложенія, ясностію и близостію къ церковному и безъискуственному образу рѣчи» (Патр. Фотія Biblioth. cod. CXXVI).

Новѣйшія и лучшія изданія посланій св. Климента суть:

1. Clementis Romani epistulae. Ed. C. Tischendorf. Lips. 1873.

2. Ἁγ. Κλήμεντος Ἐπισκόπου Ῥώμης ἐπιστολαί, ἐκδ. ὑπὸ Φιλοθέου Βρυεννίου. Κωνσταντ. 1875.

3. Clementis Romani epistulae, ed. Ad. Hilgenfeld. Lips. 1876.

4. Clementis Romani ad Corinthios epistulae; въ изданіи O. de Gebhardt et Ad. Harnack подъ заглавіемъ: Patrum apostolic. opera. Fascic. 1. Lips. 1876.

Предлагаемый текстъ 1-го посланія св. Климента заимствованъ изъ новаго изданія его твореній (Editio minor) тѣхъ же Gebhardt и Harnack. Lips. 1877 г.

---

## ΚΛΗΜΕΝΤΟΣ ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Ά.

## Глав. 1—13.

Ἡ ἐκκλησία τοῦ θεοῦ ἡ παροικοῦσα [1]) Ῥώμην τῇ ἐκκλησίᾳ τοῦ θεοῦ τῇ παροικούσῃ Κόρινθον, κλητοῖς ἡγιασμένοις ἐν θελήματι θεοῦ διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριςοῦ. Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ παντοκράτορος θεοῦ διὰ Ἰησοῦ Χριςοῦ πληθυνθείη.

1. Διὰ τὰς αἰφνιδίους καὶ ἐπαλλήλους γενομένας ἡμῖν συμφορὰς καὶ περιπτώσεις, ἀδελφοί, βράδιον νομίζομεν ἐπιςροφὴν πεποιῆσθαι [2]) περὶ τῶν ἐπιζητουμένων παρ᾽ ὑμῖν πραγμάτων, ἀγαπητοί, τῆς τε ἀλλοτρίας καὶ ξένης τοῖς ἐκλεκτοῖς τοῦ θεοῦ, μιαρᾶς καὶ ἀνοσίου στάσεως, ἣν ὀλίγα πρόσωπα προπετῆ καὶ αὐθάδη ὑπάρχοντα εἰς τοσοῦτον ἀπονοίας ἐξέκαυσαν, ὥστε τὸ σεμνὸν καὶ περιβόητον καὶ πᾶσιν ἀνθρώποις ἀξιαγάπητον ὄνομα ὑμῶν μεγάλως βλασφημηθῆναι. Τίς γὰρ παρεπιδημήσας πρὸς ὑμᾶς τὴν πανάρετον καὶ βεβαίαν ὑμῶν πίστιν οὐκ ἐδοκίμασε; τήν τε σώφρονα καὶ ἐπιεικῆ ἐν Χριςῷ εὐσέβειαν οὐκ ἐθαύμασε; καὶ τὸ μεγαλοπρεπὲς τῆς φιλοξενίας ὑμῶν ἦθος οὐκ ἐκήρυξε; καὶ τὴν τελείαν καὶ ἀσφαλῆ γνῶσιν οὐκ ἐμακάρισεν; ἀπροσωπολήμπτως γὰρ πάντα ἐποιεῖτε, καὶ ἐν τοῖς νόμοις τοῦ θεοῦ ἐπορεύεσθε, ὑποτασσόμενοι τοῖς ἡγουμένοις ὑμῶν καὶ τιμὴν τὴν καθήκουσαν ἀπονέμοντες τοῖς παρ᾽ ὑμῖν πρεσβυτέροις· νέοις τε μέτρια καὶ σεμνὰ νοεῖν ἐπετρέπετε· γυναιξί τε ἐν ἀμώμῳ καὶ

---

[1]) Πάροικος—пришлецъ, какъ называетъ христіанъ Ап. Петръ въ 1 посл. 2. 11. Такой же смыслъ здѣсь въ глаголѣ παροικέω по отношенію къ цѣлой церкви.

[2]) Ἐπιστροφὴν ποιεῖσθαι тоже, что μεριμνᾶν, φροντίζειν.

σεμνῇ καὶ ἁγνῇ συνειδήσει πάντα ἐπιτελεῖν παρηγγέλλετε, στεργούσας καθηκόντως τοὺς ἄνδρας ἑαυτῶν· ἔν τε τῷ κανόνι τῆς ὑποταγῆς ὑπαρχούσας τὰ κατὰ τὸν οἶκον σεμνῶς οἰκουργεῖν ἐδιδάσκετε, πάνυ σωφρονούσας.

2. Πάντες τε ἐταπεινοφρονεῖτε μηδὲν ἀλαζονευόμενοι, ὑποτασσόμενοι μᾶλλον ἢ ὑποτάσσοντες, ἥδιον διδόντες ἢ λαμβάνοντες, τοῖς ἐφοδίοις [1]) τοῦ θεοῦ ἀρκούμενοι· καὶ προσέχοντες τοὺς λόγους αὐτοῦ ἐπιμελῶς ἐνεστερνισμένοι ἦτε τοῖς σπλάγχνοις, καὶ τὰ παθήματα αὐτοῦ [2]) ἦν πρὸ ὀφθαλμῶν ὑμῶν. Οὕτως εἰρήνη βαθεῖα καὶ λιπαρὰ ἐδέδοτο πᾶσι καὶ ἀκόρεστος πόθος εἰς ἀγαθοποιΐαν, καὶ πλήρης πνεύματος ἁγίου ἔκχυσις ἐπὶ πάντας ἐγίνετο· μεστοί τε ὁσίας βουλῆς ἐν ἀγαθῇ προθυμίᾳ μετ' εὐσεβοῦς πεποιθήσεως ἐξετείνετε τὰς χεῖρας ὑμῶν πρὸς τὸν παντοκράτορα θεόν, ἱκετεύοντες αὐτὸν ἵλεων γενέσθαι εἴ τι ἄκοντες ἡμάρτετε· ἀγὼν ἦν ὑμῖν ἡμέρας τε καὶ νυκτὸς ὑπὲρ πάσης τῆς ἀδελφότητος, εἰς τὸ σώζεσθαι μετὰ δέους καὶ συνειδήσεως τὸν ἀριθμὸν τῶν ἐκλεκτῶν αὐτοῦ· εἰλικρινεῖς καὶ ἀκέραιοι ἦτε καὶ ἀμνησίκακοι εἰς ἀλλήλους· πᾶσα στάσις καὶ πᾶν σχίσμα βδελυκτὸν ἦν ὑμῖν· ἐπὶ τοῖς παραπτώμασι τῶν πλησίον ἐπενθεῖτε· τὰ ὑστερήματα αὐτῶν ἴδια ἐκρίνετε· ἀμεταμέλητοι ἦτε ἐπὶ πάσῃ ἀγαθοποιΐᾳ, ἕτοιμοι εἰς πᾶν ἔργον ἀγαθόν· τῇ παναρέτῳ καὶ σεβασμίῳ πολιτείᾳ κεκοσμημένοι πάντα ἐν τῷ φόβῳ αὐτοῦ ἐπετελεῖτε· τὰ προστάγματα καὶ τὰ δικαιώματα τοῦ κυρίου ἐπὶ τὰ πλάτη τῆς καρδίας ὑμῶν ἐγέγραπτο.

3. Πᾶσα δόξα καὶ πλατυσμὸς [3]) ἐδόθη ὑμῖν, καὶ ἐπετελέσθη τὸ γεγραμμένον· «ἔφαγε καὶ ἔπιε, καὶ ἐπλατύνθη καὶ ἐπαχύνθη, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος» [4]). Ἐκ τούτου ζῆλος καὶ φθόνος, ἔρις καὶ στάσις, διωγμὸς καὶ ἀκαταστασία, πόλεμος καὶ αἰχμα-

---

[1]) Τὰ ἐφόδια—выраженіе употребляемое классическими писателями, означаетъ все, необходимое для пути. Здѣсь разумѣется все необходимое для христіанъ, какъ странниковъ и пришельцевъ на землѣ, и данное имъ отъ Бога.

[2]) Т. е. Іисуса Христа.

[3]) Πλατυσμός—широта—у отцевъ Церкви часто означаетъ радостное состояніе сердца.

[4]) Втор. 32. 15.

λωσία· οὕτως ἐπηγέρθησαν οἱ ἄτιμοι ἐπὶ τοὺς ἐντίμους, οἱ ἄδοξοι ἐπὶ τους ἐνδόξους, οἱ ἄφρονες ἐπὶ τοὺς φρονίμους, οἱ νέοι ἐπὶ τοὺς πρεσβυτέρους· διὰ τοῦτο πόρρω ἄπεστη ἡ δικαιοσύνη καὶ εἰρήνη, ἐν τῷ ἀπολιπεῖν ἕκαςον τὸν φόβον τοῦ θεοῦ καὶ ἐν τῇ πίςει αὐτοῦ ἀμβλυωπῆσαι [1]), μηδὲ ἐν τοῖς νομίμοις τῶν προσταγμάτων αὐτοῦ πορεύεσθαι μηδὲ πολιτεύεσθαι κατὰ τὸ καθῆκον τῷ Χριςῷ, ἀλλὰ ἕκαςον βαδίζειν κατὰ τὰς ἐπιθυμίας τῆς καρδίας αὐτοῦ τῆς πονηρᾶς, ζῆλον ἄδικον καὶ ἀσεβῆ ἀνειληφότας, δι' οὗ καὶ θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον.

4. Γέγραπται γὰρ οὕτως· «καὶ ἐγένετο μεθ' ἡμέρας ἤνεγκε Κάϊν ἀπὸ τῶν καρπῶν τῆς γῆς θυσίαν τῷ θεῷ, καὶ Ἄβελ ἤνεγκε καὶ αὐτὸς ἀπο τῶν πρωτοτόκων τῶν προβάτων καὶ ἀπὸ τῶν στεάτων αὐτῶν. Καὶ ἐπεῖδεν ὁ θεὸς ἐπὶ Ἄβελ καὶ ἐπὶ τοῖς δώροις αὐτοῦ, ἐπὶ δὲ Κάϊν καὶ ἐπὶ ταῖς θυσίαις αὐτοῦ οὐ προσέσχε. Καὶ ἐλυπήθη Κάϊν λίαν καὶ συνέπεσε τῷ προσώπῳ αὐτοῦ. Καὶ εἶπεν ὁ θεὸς πρὸς Κάϊν· ἱνατί περίλυπος ἐγένου, καὶ ἱνατί συνέπεσε τὸ πρόσωπόν σου; οὐκ ἐὰν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες; ἡσύχασον· πρὸς σὲ ἡ ἀποςροφὴ αὐτοῦ, καὶ σὺ ἄρξεις αὐτοῦ. Καὶ εἶπε Κάϊν πρὸς Ἄβελ τὸν ἀδελφὸν αὐτοῦ· διέλθωμεν εἰς τὸ πεδίον. Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτοὺς ἐν τῷ πεδίῳ ἀνέςη Κάϊν ἐπὶ Ἄβελ τὸν ἀδελφὸν αὐτοῦ καὶ ἀπέκτεινεν αὐτόν» [2]). Ὁρᾶτε, ἀδελφοί, ζῆλος καὶ φθόνος ἀδελφοκτονίαν κατειργάσατο. Διὰ ζῆλος ὁ πατὴρ ἡμῶν Ἰακὼβ ἀπέδρα ἀπὸ προσώπου Ἠσαῦ τοῦ ἀδελφοῦ αὐτοῦ [3])· ζῆλος ἐποίησεν Ἰωσὴφ μέχρι θανάτου διωχθῆναι καὶ μέχρι δουλείας ἐλθεῖν [4])· ζῆλος φυγεῖν ἠνάγκασε Μωϋσῆν ἀπὸ προσώπου Φαραὼ βασιλέως Αἰγύπτου ἐν τῷ ἀκοῦσαι αὐτὸν ἀπὸ τοῦ ὁμοφύλου· «τίς σε κατέςησε κριτὴν ἢ δικαςὴν ἐφ' ἡμῶν; μὴ ἀνελεῖν με σὺ θέλεις, ὃν τρόπον ἀνεῖλες ἐχθὲς τὸν Αἰγύπτιον» [5]); διὰ ζῆλος Ἀαρὼν καὶ Μαριὰμ ἔξω τῆς παρεμβολῆς ηὐλίσθησαν [6])· ζῆλος Δαθὰν καὶ Ἀβειρὼν ζῶντας κατήγαγεν εἰς ᾅδου, διὰ τὸ

---

[1]) Ἀμβλυωπέω—имѣю слабое или тупое зрѣніе—употреблено здѣсь въ отношеніи къ зрѣнію духовному.

[2]) Быт. 4. 3—8. [3]) Быт. 27. 41. [4]) Быт. 37. [5]) Исх. 2. 14. [6]) Числ. 12.

ϛασιάσαι αὐτοὺς πρὸς τὸν θεράποντα τοῦ θεοῦ Μωϋσῆν [1])· διὰ ζῆλος Δαυὶδ φθόνον ἔσχεν οὐ μόνον ἀπὸ τῶν ἀλλοφύλων, ἀλλὰ καὶ ὑπὸ Σαοὺλ βασιλέως Ἰσραὴλ ἐδιώχθη [2]).

5. Ἀλλ' ἵνα τῶν ἀρχαίων ὑποδειγμάτων παυσώμεθα, ἔλθωμεν ἐπὶ τοὺς ἔγγιϛα γενομένους ἀθλητάς· λάβωμεν τῆς γενεᾶς ἡμῶν τὰ γενναῖα ὑποδείγματα. Διὰ ζῆλον καὶ φθόνον οἱ μέγιϛοι καὶ δικαιότατοι στύλοι [3]) ἐδιώχθησαν καὶ ἕως θανάτου ἤθλησαν. Λάβωμεν πρὸ ὀφθαλμῶν ἡμῶν τοὺς ἀγαθοὺς ἀποϛόλους· Πέτρον, ὃς διὰ ζῆλον ἄδικον οὐχ ἕνα οὐδὲ δύο, ἀλλὰ πλείονας ὑπήνεγκε πόνους, καὶ οὕτω μαρτυρήσας ἐπορεύθη εἰς τὸν ὀφειλόμενον τόπον τῆς δόξης. Διὰ ζῆλον καὶ ἔριν Παῦλος ὑπομονῆς βραβεῖον ἔδειξεν, ἑπτάκις δεσμὰ φορέσας, φυγαδευθείς, λιθασθείς, κήρυξ γενόμενος ἔν τε τῇ ἀνατολῇ καὶ ἐν τῇ δύσει, τὸ γενναῖον τῆς πίϛεως αὐτοῦ κλέος ἔλαβε, δικαιοσύνην διδάξας ὅλον τὸν κόσμον, καὶ ἐπὶ τὸ τέρμα τῆς δύσεως ἐλθὼν καὶ μαρτυρήσας ἐπὶ τῶν ἡγουμένων, οὕτως ἀπηλλάγη τοῦ κόσμου καὶ εἰς τὸν ἅγιον τόπον ἐπορεύθη, ὑπομονῆς γενόμενος μέγιστος ὑπογραμμός.

6. Τούτοις τοῖς ἀνδράσιν ὁσίως πολιτευσαμένοις συνηθροίσθη πολὺ πλῆθος ἐκλεκτῶν, οἵτινες πολλαῖς αἰκίαις καὶ βασάνοις διὰ ζῆλος παθόντες ὑπόδειγμα κάλλιστον ἐγένοντο ἐν ἡμῖν. Διὰ ζῆλος διωχθεῖσαι γυναῖκες Δαναΐδες καὶ Δίρκαι [4]), αἰκίσματα δεινὰ καὶ ἀνόσια παθοῦσαι, ἐπὶ τὸν τῆς πίστεως βέβαιον δρόμον κατήντησαν καὶ ἔλαβον γέρας γενναῖον αἱ ἀσθενεῖς τῷ σώματι·

---

[1]) Числ. 16. [2]) 1 Цар. 19.

[3]) Στύλοι — объ Апостолахъ говорится и въ посланіи Апостола Павла къ Гал. 2. 9.

[4]) Δαναΐδες καὶ Δίρκαι, какъ бы Данаиды и Дирки. Если эти слова не составляютъ позднѣйшей вставки, какъ думаютъ нѣкоторые, то здѣсь христіанскія мученицы сравниваются съ извѣстными въ греческой миѳологіи Данаидами, дочерями Даная, царя Аргосскаго, которыя за умерщвленіе мужей своихъ во время сна осуждены на наказаніе въ подземномъ мірѣ—вѣчно черпать воду въ продырявленную бочку, или съ Данаею, дочерью царя Аргосскаго Акрисія, который изъ опасенія заключилъ ее вмѣстѣ съ сыномъ въ бочку и бросилъ въ море,—также съ Диркою, женою Ѳивскаго царя Лика, которая за вражду противъ дочери царя Ѳивскаго Никтея потерпѣла наказаніе отъ сыновей послѣдней, бывъ привязана къ рогамъ быка и замученная до смерти брошена въ море. См. Lübker—Reallexicon des class. Alterth.

ζῆλος ἀπηλλοτρίωσε γαμετὰς ἀνδρῶν καὶ ἠλλοίωσε τὸ ῥηθὲν ὑπὸ τοῦ πατρὸς ἡμῶν Ἀδάμ· «τοῦτο νῦν ὀςοῦν ἐκ τῶν ὀςέων μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου» [1]. Ζῆλος καὶ ἔρις πόλεις μεγάλας κατέσκαψε καὶ ἔθνη μεγάλα ἐξερίζωσεν.

7. Ταῦτα, ἀγαπητοί, οὐ μόνον ὑμᾶς νουθετοῦντες ἐπιςέλλομεν, ἀλλὰ καὶ ἑαυτοὺς ὑπομιμνήσκοντες· ἐν γὰρ τῷ αὐτῷ ἐσμὲν σκάμματι, καὶ ὁ αὐτὸς ἡμῖν ἀγὼν ἐπίκειται. Διὸ ἀπολίπωμεν τὰς κενὰς καὶ ματαίας φροντίδας, καὶ ἔλθωμεν ἐπὶ τὸν εὐκλεῆ καὶ σεμνὸν τῆς παραδόσεως ἡμῶν κανόνα, καὶ ἴδωμεν τί καλὸν καὶ τί τερπνὸν καὶ τί προσδεκτὸν ἐνώπιον τοῦ ποιήσαντος ἡμᾶς· ἀτενίσωμεν εἰς τὸ αἷμα τοῦ Χριςοῦ καὶ γνῶμεν ὡς ἔςι τίμιον τῷ θεῷ τῷ πατρὶ αὐτοῦ, ὅτι διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκχυθὲν παντὶ τῷ κόσμῳ μετανοίας χάριν ἐπήνεγκε· διέλθωμεν τὰς γενεὰς πάσας καὶ καταμάθωμεν, ὅτι ἐν γενεᾷ καὶ γενεᾷ μετανοίας τόπον ἔδωκεν ὁ δεσπότης τοῖς βουλομένοις ἐπιςραφῆναι ἐπ' αὐτόν. Νῶε ἐκήρυξε μετάνοιαν, καὶ οἱ ὑπακούσαντες ἐσώθησαν. Ἰωνᾶς Νινευΐταις καταςροφὴν ἐκήρυξεν, οἱ δὲ μετανοήσαντες ἐπὶ τοῖς ἁμαρτήμασιν αὐτῶν ἐξιλάσαντο τὸν θεὸν ἱκετεύσαντες καὶ ἔλαβον σωτηρίαν, καίπερ ἀλλότριοι τοῦ θεοῦ ὄντες.

8. Οἱ λειτουργοὶ τῆς χάριτος τοῦ θεοῦ διὰ πνεύματος ἁγίου περὶ μετανοίας ἐλάλησαν, καὶ αὐτὸς δὲ ὁ δεσπότης τῶν ἁπάντων περὶ μετανοίας ἐλάλησε μεθ' ὅρκου· «ζῶ γὰρ ἐγώ, λέγει κύριος, οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὴν μετάνοιαν» [2], προστιθεὶς καὶ γνώμην ἀγαθήν· «μετανοήσατε, οἶκος Ἰσραήλ, ἀπὸ τῆς ἀνομίας ὑμῶν· εἶπον τοῖς υἱοῖς τοῦ λαοῦ μου· ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ἀπὸ τῆς γῆς ἕως τοῦ οὐρανοῦ, καὶ ἐὰν ὦσιν πυρρότεραι κόκκου καὶ μελανώτεραι σάκκου, καὶ ἐπιςραφῆτε πρὸς μὲ ἐξ ὅλης τῆς καρδίας καὶ εἴπητε· πάτερ, ἐπακούσομαι ὑμῶν ὡς λαοῦ ἁγίου» [3]. Καὶ ἐν ἑτέρῳ τόπῳ λέγει οὕτως· «λούσασθε καὶ καθαροὶ γένεσθε, ἀφέλεσθε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν ἀπέναντι τῶν ὀφθαλμῶν μου· παύσασθε ἀπὸ τῶν πονηριῶν ὑμῶν, μάθετε καλὸν ποιεῖν, ἐκζητήσατε κρίσιν,

---

[1]) Быт. 2. 23. [2]) Iезек. 33. 11. [3]) Исх. 19. 5, 6. Iер. 31.

ῥύσασθε ἀδικούμενον, κρίνατε ὀρφανῷ καὶ δικαιώσατε χήραν, καὶ δεῦτε καὶ διελεγχθῶμεν, λέγει κύριος· καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ. ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡς ἔριον λευκανῶ, καὶ ἐὰν θέλητε καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε, ἐὰν δὲ μὴ θέλητε μηδὲ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται· τὸ γὰρ ςόμα κυρίου ἐλάλησε ταῦτα» [1]. Πάντας οὖν τοὺς ἀγαπητοὺς αὐτοῦ βουλόμενος μετανοίας μετασχεῖν ἐστήριξε τῷ παντοκρατορικῷ βουλήματι αὐτοῦ.

9. Διὸ ὑπακούσωμεν τῇ μεγαλοπρεπεῖ καὶ ἐνδόξῳ βουλήσει αὐτοῦ, καὶ ἱκέται γενόμενοι τοῦ ἐλέους καὶ τῆς χρηςότητος αὐτοῦ προσπέσωμεν καὶ ἐπιςρέψωμεν ἐπὶ τοὺς οἰκτιρμοὺς αὐτοῦ, ἀπολιπόντες τὴν ματαιοπονίαν τήν τε ἔριν καὶ τὸ εἰς θάνατον ἄγον ζῆλος [2]. Ἀτενίσωμεν εἰς τοὺς τελείως λειτουργήσαντας τῇ μεγαλοπρεπεῖ δόξῃ αὐτοῦ. Λάβωμεν Ἐνώχ, ὃς ἐν ὑπακοῇ δίκαιος εὑρεθεὶς μετετέθη, καὶ οὐχ εὑρέθη αὐτοῦ θάνατος [3]. Νῶε πιςὸς εὑρεθεὶς διὰ τῆς λειτουργίας αὐτοῦ παλιγγενεσίαν κόσμῳ ἐκήρυξε, καὶ διέσωσε δι' αὐτοῦ ὁ δεσπότης τὰ εἰσελθόντα ἐν ὁμονοίᾳ ζῶα εἰς τὴν κιβωτόν [4].

10. Ἀβραάμ, ὁ φίλος προσαγορευθεὶς, πιςὸς εὑρέθη ἐν τῷ αὐτὸν ὑπήκοον γενέσθαι τοῖς ῥήμασι τοῦ θεοῦ [5]· οὗτος δι' ὑπακοῆς ἐξῆλθεν ἐκ τῆς γῆς αὐτοῦ καὶ ἐκ τῆς συγγενείας αὐτοῦ καὶ ἐκ τοῦ οἴκου τοῦ πατρὸς αὐτοῦ, ὅπως γῆν ὀλίγην καὶ συγγένειαν ἀσθενῆ καὶ οἶκον μικρὸν καταλιπὼν κληρονομήσῃ τὰς ἐπαγγελίας τοῦ θεοῦ. Λέγει γὰρ αὐτῷ· «Ἄπελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου εἰς τὴν γῆν ἣν ἄν σοι δείξω, καὶ ποιήσω σε εἰς ἔθνος μέγα καὶ εὐλογήσω σε καὶ μεγαλυνῶ τὸ ὄνομά σου, καὶ ἔσῃ εὐλογημένος· καὶ εὐλογήσω τοὺς εὐλογοῦντάς σε καὶ καταράσομαι τοὺς καταρωμένους σε, καὶ εὐλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς» [6]. Καὶ πάλιν ἐν τῷ διαχωρισθῆναι αὐτὸν ἀπὸ Λὼτ εἶπεν αὐτῷ ὁ θεός· «ἀναβλέψας τοῖς ὀφθαλμοῖς σου ἴδε ἀπὸ τοῦ τόπου, οὗ

---

[1]) Іез. 1. 16—20.

[2]) Τὸ ζῆλος—вм. τὸν ζῆλον, какъ и въ нѣкоторыхъ другихъ мѣстахъ посланія.

[3]) Быт. 5. 24. [4]) Быт. 6. 8. [5]) Ис. 41. 8. [6]) Быт. 12. 1—3.

νῦν σὺ εἶ, πρὸς βορρᾶν καὶ λίβα [1]) καὶ ἀνατολὰς καὶ θάλασσαν· ὅτι πᾶσαν τὴν γῆν ἣν σὺ ὁρᾷς, σοὶ δώσω αὐτὴν καὶ τῷ σπέρματί σου ἕως αἰῶνος· καὶ ποιήσω τὸ σπέρμα σου ὡς τὴν ἄμμον τῆς γῆς· εἰ δύναταί τις ἐξαριθμῆσαι τὴν ἄμμον τῆς γῆς, καὶ τὸ σπέρμα σου ἐξαριθμηθήσεται» [2]). Καὶ πάλιν λέγει· «ἐξήγαγεν ὁ θεὸς τὸν Ἀβραὰμ καὶ εἶπεν αὐτῷ· ἀνάβλεψον εἰς τὸν οὐρανὸν καὶ ἀρίθμησον τοὺς ἀστέρας, εἰ δυνήσῃ ἐξαριθμῆσαι αὐτούς· οὕτως ἔσται τὸ σπέρμα σου· ἐπίστευσε δὲ Ἀβραὰμ τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην» [3]). Διὰ πίστιν καὶ φιλοξενίαν ἐδόθη αὐτῷ υἱὸς ἐν γήρᾳ, καὶ δι' ὑπακοῆς προσήνεγκεν αὐτὸν θυσίαν τῷ θεῷ πρὸς ἓν τῶν ὀρέων ὧν ἔδειξεν αὐτῷ [4]).

11. Διὰ φιλοξενίαν καὶ εὐσέβειαν Λὼτ ἐσώθη ἐκ Σοδόμων, τῆς περιχώρου πάσης κριθείσης διὰ πυρὸς καὶ θείου· πρόδηλον ποιήσας ὁ δεσπότης, ὅτι τοὺς ἐλπίζοντας ἐπ' αὐτὸν οὐκ ἐγκαταλείπει, τοὺς δὲ ἑτεροκλινεῖς ὑπάρχοντας εἰς κόλασιν καὶ αἰκισμὸν τίθησι [5])· συνεξελθούσης γὰρ αὐτῷ τῆς γυναικὸς ἑτερογνώμονος ὑπαρχούσης καὶ οὐκ ἐν ὁμονοίᾳ, εἰς τοῦτο σημεῖον ἐτέθη ὥστε γενέσθαι αὐτὴν στήλην ἁλὸς ἕως τῆς ἡμέρας ταύτης, εἰς τὸ γνωστὸν εἶναι πᾶσιν, ὅτι οἱ δίψυχοι καὶ οἱ διστάζοντες περὶ τῆς τοῦ θεοῦ δυνάμεως εἰς κρίμα καὶ εἰς σημείωσιν πάσαις ταῖς γενεαῖς γίνονται.

12. Διὰ πίστιν καὶ φιλοξενίαν ἐσώθη Ῥαὰβ ἡ πόρνη [6])· ἐκπεμφθέντων γὰρ ὑπὸ Ἰησοῦ τοῦ τοῦ Ναυὴ κατασκόπων εἰς τὴν Ἱεριχώ, ἔγνω ὁ βασιλεὺς τῆς γῆς, ὅτι ἥκασι κατασκοπεῦσαι τὴν χώραν αὐτῶν, καὶ ἐξέπεμψεν ἄνδρας τοὺς συλληψομένους αὐτούς, ὅπως συλλημφθέντες θανατωθῶσιν· ἡ οὖν φιλόξενος Ῥαὰβ εἰσδεξαμένη αὐτοὺς ἔκρυψεν εἰς τὸ ὑπερῷον ὑπὸ τὴν λινοκαλάμην [7]). Ἐπισταθέντων δὲ τῶν παρὰ τοῦ βασιλέως καὶ λεγόντων· πρὸς σὲ εἰσῆλθον οἱ κατάσκοποι τῆς γῆς ἡμῶν· ἐξάγαγε αὐτούς, ὁ γὰρ βασιλεὺς οὕτως κελεύει· ἥδε ἀπεκρίθη· εἰσῆλθον μὲν οἱ ἄνδρες οὓς ζητεῖτε πρὸς μέ, ἀλλ' εὐθέως ἀπῆλθον

---

[1]) Λίβα—отъ Λίψ—юго-западный вѣтеръ, югъ, — слово, нерѣдко употребляющееся въ Св. Писаніи. Быт. 13. 14; 20. 1. Числ. 2.10. Втор. 33. 23. Дѣян. 27. 12.

[2]) Быт. 13. 14—16. [3]) Быт. 15. 5. [4]) Быт. 21. [5]) Быт. 19. [6]) Іис. Нав. 2.

[7]) Λινοκαλάμη—по Слав. Пяздеръ лянъ—снопы льна. Іис. Нав. 2. 6.

καὶ πορεύονται τῇ ὁδῷ· ὑποδεικνύουσα αὐτοῖς ἐναλλάξ· καὶ εἶπε πρὸς τοὺς ἄνδρας· γινώσκουσα γινώσκω ἐγώ, ὅτι κύριος ὁ θεὸς ὑμῶν παραδίδωσιν ὑμῖν τὴν πόλιν ταύτην· ὁ γὰρ φόβος καὶ ὁ τρόμος ὑμῶν ἐπέπεσε τοῖς κατοικοῦσιν αὐτήν· ὡς ἐὰν οὖν γένηται λαβεῖν αὐτὴν ὑμᾶς, διασώσατέ με καὶ τὸν οἶκον τοῦ πατρός μου· καὶ εἶπαν αὐτῇ· ἔσται οὕτως ὡς ἐλάλησας ἡμῖν· ὡς ἐὰν οὖν γνῷς παραγινομένους ἡμᾶς, συνάξεις πάντας τοὺς σοὺς ὑπὸ τὸ στέγος σου, καὶ διασωθήσονται· ὅσοι γὰρ ἐὰν εὑρεθῶσιν ἔξω τῆς οἰκίας, ἀπολοῦνται. Καὶ προσέθεντο αὐτῇ δοῦναι σημεῖον, ὅπως ἐκκρεμάσῃ ἐκ τοῦ οἴκου αὐτῆς κόκκινον, πρόδηλον ποιοῦντες, ὅτι διὰ τοῦ αἵματος τοῦ κυρίου λύτρωσις ἔσται πᾶσι τοῖς πιςεύουσι καὶ ἐλπίζουσιν ἐπὶ τὸν θεόν. Ὁρᾶτε, ἀγαπητοί· οὐ μόνον πίςις, ἀλλὰ προφητεία ἐν τῇ γυναικὶ γέγονεν.

13. Ταπεινοφρονήσωμεν οὖν, ἀδελφοί, ἀποθέμενοι πᾶσαν ἀλαζονείαν καὶ τύφος καὶ ἀφροσύνην καὶ ὀργάς, καὶ ποιήσωμεν τὸ γεγραμμένον· λέγει γὰρ τὸ πνεῦμα τὸ ἅγιον· «μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ μηδὲ ὁ ἰσχυρὸς ἐν τῇ ἰσχύϊ αὐτοῦ μηδὲ ὁ πλούσιος ἐν τῷ πλούτῳ αὐτοῦ, ἀλλ' ἢ ὁ καυχώμενος ἐν κυρίῳ καυχάσθω, τοῦ ἐκζητεῖν αὐτὸν καὶ ποιεῖν κρίμα καὶ δικαιοσύνην» [1]· μάλιςα μεμνημένοι τῶν λόγων τοῦ κυρίου Ἰησοῦ, οὓς ἐλάλησε διδάσκων ἐπιείκειαν καὶ μακροθυμίαν· οὕτως γὰρ εἶπεν· ἐλεεῖτε ἵνα ἐλεηθῆτε, ἀφίετε ἵνα ἀφεθῇ ὑμῖν· ὡς ποιεῖτε, οὕτω ποιηθήσεται ὑμῖν· ὡς δίδοτε, οὕτως δοθήσεται ὑμῖν· ὡς κρίνετε, οὕτως κριθήσεσθε· ὡς χρηςεύεσθε, οὕτως χρηςευθήσεται ὑμῖν· ᾧ μέτρῳ μετρεῖτε, ἐν αὐτῷ μετρηθήσεται ὑμῖν» [2]. Ταύτῃ τῇ ἐντολῇ καὶ τοῖς παραγγέλμασι τούτοις ςηρίξωμεν ἑαυτοὺς εἰς τὸ πορεύεσθαι ὑπηκόους ὄντας τοῖς ἁγιοπρεπέσι λόγοις αὐτοῦ, ταπεινοφρονοῦντες· φησὶ γὰρ ὁ ἅγιος λόγος· «ἐπὶ τίνα ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν πραῢν καὶ ἡσύχιον καὶ τρέμοντά μου τὰ λόγια»; [3])

---

[1]) Іер. 9. 23; 1 Цар. 2. 10. [2]) Мат. 5. 7; 6. 14. [3]) Исаіи 66. 2.

## Глав. 40—65.

40. Προδήλων οὖν ἡμῖν ὄντων τούτων, καὶ ἐγκεκυφότες τὰ βάθη τῆς θείας γνώσεως, πάντα τάξει ποιεῖν ὀφείλομεν, ὅσα ὁ δεσπότης ἐπιτελεῖν ἐκέλευσε κατὰ καιροὺς τεταγμένους· τάς τε προσφορὰς καὶ λειτουργίας ἐπιτελεῖσθαι, καὶ οὐκ εἰκῆ ἢ ἀτάκτως ἐκέλευσε γίνεσθαι, ἀλλ' ὡρισμένοις καιροῖς καὶ ὥραις· ποῦ τε καὶ διὰ τίνων ἐπιτελεῖσθαι θέλει, αὐτὸς ὥρισε τῇ ὑπερτάτῳ αὐτοῦ βουλήσει, ἵν' ὁσίως πάντα γινόμενα ἐν εὐδοκήσει εὐπρόσδεκτα εἴη τῷ θελήματι αὐτοῦ. Οἱ οὖν τοῖς προστεταγμένοις καιροῖς ποιοῦντες τὰς προσφορὰς αὐτῶν εὐπρόσδεκτοί τε καὶ μακάριοι· τοῖς γὰρ νομίμοις [1]) τοῦ δεσπότου ἀκολουθοῦντες οὐ διαμαρτάνουσι. Τῷ γὰρ ἀρχιερεῖ ἴδιαι λειτουργίαι δεδομέναι εἰσί, καὶ τοῖς ἱερεῦσιν ἴδιος ὁ τόπος προστέτακται, καὶ λευίταις ἴδιαι διακονίαι ἐπίκεινται· ὁ λαϊκὸς ἄνθρωπος τοῖς λαϊκοῖς προστάγμασι δέδεται.

41. Ἕκαστος ἡμῶν, ἀδελφοί, ἐν τῷ ἰδίῳ τάγματι εὐχαριστείτω θεῷ ἐν ἀγαθῇ συνειδήσει ὑπάρχων, μὴ παρεκβαίνων τὸν ὡρισμένον τῆς λειτουργίας αὐτοῦ κανόνα, ἐν σεμνότητι. Οὐ πανταχοῦ, ἀδελφοί, προσφέρονται θυσίαι ἐνδελεχισμοῦ [2]) ἢ εὐχῶν ἢ περὶ ἁμαρτίας καὶ πλημμελείας, ἀλλ' ἢ ἐν Ἱερουσαλὴμ μόνῃ· κἀκεῖ δὲ οὐκ ἐν παντὶ τόπῳ προσφέρεται, ἀλλ' ἔμπροσθεν τοῦ ναοῦ πρὸς τὸ θυσιαστήριον, μωμοσκοπηθὲν τὸ προσφερόμενον διὰ τοῦ ἀρχιερέως καὶ τῶν προειρημένων λειτουργῶν. Οἱ οὖν παρὰ τὸ καθῆκον τῆς βουλήσεως αὐτοῦ ποιοῦντές τι, θάνατον τὸ πρόστιμον ἔχουσιν. Ὁρᾶτε, ἀδελφοί· ὅσῳ πλείονος κατηξιώθημεν γνώσεως, τοσούτῳ μᾶλλον ὑποκείμεθα κινδύνῳ.

42. Οἱ ἀπόστολοι ἡμῖν εὐηγγελίσθησαν ἀπὸ τοῦ κυρίου Ἰησοῦ Χριστοῦ, Ἰησοῦς ὁ Χριστὸς ἀπὸ τοῦ θεοῦ ἐξεπέμφθη. Ὁ Χριστὸς οὖν ἀπὸ τοῦ θεοῦ, καὶ οἱ ἀπόστολοι ἀπὸ τοῦ Χριστοῦ· ἐγένοντο οὖν ἀμφότερα εὐτάκτως ἐκ θελήματος θεοῦ. Παραγγελίας οὖν λαβόντες καὶ πληροφορηθέντες διὰ τῆς ἀναστάσεως τοῦ κυρίου Ἰησοῦ Χριστοῦ καὶ πιστωθέντες ἐν τῷ λόγῳ τοῦ θεοῦ, μετὰ

---

[1]) Τὰ νόμιμα—тоже, что νόμοι.

[2]) Ἐνδελεχισμὸς тоже, что συνέχεια, постоянство. Въ Св. Писаніи θυσία ἐνδελεχισμοῦ значитъ: жертва постоянная, всегдашняя. Числ. 28. 6.

πληροφορίας πνεύματος ἁγίου ἐξῆλθον εὐαγγελιζόμενοι τὴν βασιλείαν τοῦ θεοῦ μέλλειν ἔρχεσθαι. Κατὰ χώρας οὖν καὶ πόλεις κηρύσσοντες καθίστανον τὰς ἀπαρχὰς [1]) αὐτῶν, δοκιμάσαντες τῷ πνεύματι, εἰς ἐπισκόπους καὶ διακόνους τῶν μελλόντων πιςεύειν. Καὶ τοῦτο οὐ καινῶς· ἐκ γὰρ δὴ πολλῶν χρόνων ἐγέγραπτο περὶ ἐπισκόπων καὶ διακόνων· οὕτως γάρ που λέγει ἡ γραφή· «καταςήσω τοὺς ἐπισκόπους αὐτῶν ἐν δικαιοσύνῃ καὶ τοὺς διακόνους αὐτῶν ἐν πιςει» [2]).

43. Καὶ τί θαυμαςὸν εἰ οἱ ἐν Χριςῷ πιςευθέντες παρα θεοῦ ἔργον τοιοῦτο κατέςησαν τοὺς προειρημένους; ὅπου καὶ ὁ μακάριος «πιςὸς θεράπων ἐν ὅλῳ τῷ οἴκῳ» [3]) Μωϋσῆς τὰ διατεταγμένα αὐτῷ πάντα ἐσημειώσατο ἐν ταῖς ἱεραῖς βίβλοις, ᾧ καὶ ἐπηκολούθησαν οἱ λοιποὶ προφῆται, συνεπιμαρτυροῦντες τοῖς ὑπ' αὐτοῦ νενομοθετημένοις. Ἐκεῖνος γὰρ, ζήλου ἐμπεσόντος περὶ τῆς ἱερωσύνης καὶ ςασιαζουσῶν τῶν φυλῶν ὁποία αὐτῶν εἴη τῷ ἐνδόξῳ ὀνόματι κεκοσμημένη, ἐκέλευσε τοὺς δώδεκα φυλάρχους προσενεγκεῖν αὐτῷ ῥάβδους ἐπιγεγραμμένας ἑκάςης φυλῆς κατ' ὄνομα· καὶ λαβὼν αὐτὰς ἔδησε καὶ ἐσφράγισε τοῖς δακτυλίοις τῶν φυλάρχων, καὶ ἀπέθετο αὐτὰς εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου ἐπὶ τὴν τράπεζαν τοῦ θεοῦ· καὶ κλείσας τὴν σκηνὴν ἐσφράγισε τὰς κλεῖδας ὡσαύτως ὡς καὶ τὰς ῥάβδους, καὶ εἶπεν αὐτοῖς· ἄνδρες ἀδελφοί, ἧς ἂν φυλῆς ἡ ῥάβδος βλαςήσῃ, ταύτην ἐκλέλεκται ὁ θεὸς εἰς τὸ ἱερατεύειν καὶ λειτουργεῖν αὐτῷ. Πρωΐας δὲ γενομένης συνεκάλεσε πάντα τὸν Ἰσραὴλ, τὰς ἑξακοσίας χιλιάδας τῶν ἀνδρῶν, καὶ ἐπεδείξατο τοῖς φυλάρχοις τὰς σφραγῖδας, καὶ ἤνοιξε τὴν σκηνὴν τοῦ μαρτυρίου καὶ προεῖλε τὰς ῥάβδους· καὶ εὑρέθη ἡ ῥάβδος Ἀαρὼν οὐ μόνον βεβλαστηκυῖα, ἀλλὰ καὶ καρπὸν ἔχουσα [4]). Τί δοκεῖτε, ἀγαπητοί; οὐ προῄδει Μωϋσῆς τοῦτο μέλλειν ἔσεσθαι; μάλιστα ᾔδει· ἀλλ' ἵνα μὴ ἀκαταςασία γένηται ἐν τῷ Ἰσραὴλ, οὕτως ἐποίησεν, εἰς τὸ δοξασθῆναι τὸ ὄνομα τοῦ ἀληθινοῦ καὶ μόνου κυρίου· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

44. Καὶ οἱ ἀπόςολοι ἡμῶν ἔγνωσαν διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριςοῦ, ὅτι ἔρις ἔςαι ἐπὶ τοῦ ὀνόματος τῆς ἐπισκοπῆς·

---

[1]) Ἀπαρχάς—начатки, т. е. первенцевъ изъ вѣрующихъ.

[2]) Исаіи 60. 17. [3]) Числ. 12. 7. [4]) Числ. 17.

διὰ ταύτην οὖν τὴν αἰτίαν πρόγνωσιν εἰληφότες τελείαν κατέστησαν τοὺς προειρημένους, καὶ μεταξὺ ἐπινομὴν [1]) ἔδωκαν, ὅπως, ἐὰν κοιμηθῶσι, διαδέξωνται ἕτεροι δεδοκιμασμένοι ἄνδρες τὴν λειτουργίαν αὐτῶν. Τοὺς οὖν κατασταθέντας ὑπ᾿ ἐκείνων ἢ μεταξὺ ὑφ᾿ ἑτέρων ἐλλογίμων ἀνδρῶν συνευδοκησάσης τῆς ἐκκλησίας πάσης, καὶ λειτουργήσαντας ἀμέμπτως τῷ ποιμνίῳ τοῦ Χριστοῦ μετὰ ταπεινοφροσύνης, ἡσύχως καὶ ἀβαναύσως [2]), μεμαρτυρημένους τε πολλοῖς χρόνοις ὑπὸ πάντων, τούτους οὐ δικαίως νομίζομεν ἀποβάλλεσθαι τῆς λειτουργίας· ἁμαρτία γαρ οὐ μικρὰ ἡμῖν ἔσται, ἐὰν τοὺς ἀμέμπτως καὶ ὁσίως προσενεγκόντας τὰ δῶρα [3]) τῆς ἐπισκοπῆς ἀποβάλωμεν. Μακάριοι οἱ προοδοιπορήσαντες πρεσβύτεροι, οἵτινες ἔγκαρπον καὶ τελείαν ἔσχον τὴν ἀνάλυσιν [4])· οὐ γὰρ εὐλαβοῦνται μή τις αὐτοὺς μεταστήσῃ ἀπὸ τοῦ ἱδρυμένου αὐτοῖς τόπου· ὁρῶμεν γάρ, ὅτι ἐνίους ὑμεῖς μετηγάγετε καλῶς πολιτευσαμένους ἐκ τῆς ἀμέμπτως αὐτοῖς τετιμημένης λειτουργίας.

45. Φιλόνεικοί ἐστε, ἀδελφοί, καὶ ζηλωταὶ περὶ τῶν ἀνηκόντων εἰς σωτηρίαν. Ἐγκεκύφατε εἰς τὰς γραφὰς τὰς ἀληθεῖς, τὰς διὰ τοῦ πνεύματος τοῦ ἁγίου. Ἐπίστασθε, ὅτι οὐδὲν ἄδικον οὐδὲ παραπεποιημένον γέγραπται ἐν αὐταῖς. Οὐχ εὑρήσετε δικαίους ἀποβεβλημένους ἀπὸ ὁσίων ἀνδρῶν. Ἐδιώχθησαν δίκαιοι, ἀλλ᾿ ὑπὸ ἀνόμων· ἐφυλακίσθησαν, ἀλλ᾿ ὑπὸ ἀνοσίων· ἐλιθάσθησαν ὑπὸ παρανόμων· ἀπεκτάνθησαν ἀπὸ τῶν μιαρὸν καὶ ἄδικον ζῆλον ἀνειληφότων· ταῦτα πάσχοντες εὐκλεῶς ἤνεγκαν. Τί γὰρ εἴποιμεν, ἀδελφοί; Δανιὴλ ὑπὸ τῶν φοβουμένων τὸν θεὸν ἐβλήθη εἰς λάκκον λεόντων [5]); ἢ Ἀνανίας καὶ Ἀζαρίας καὶ Μισαὴλ ὑπὸ τῶν θρησκευόντων τὴν μεγαλοπρεπῆ καὶ ἔνδοξον θρησκείαν τοῦ ὑψίστου κατείρχθησαν εἰς κάμινον πυρός [6]); μηθαμῶς [7]) τοῦτο γένοιτο. Τίνες οὖν οἱ ταῦτα δράσαντες; οἱ στυγητοὶ καὶ πάσης κακίας πλήρεις

[1]) Ἐπινομὴν—прибавленіе къ закону, или по другому чтенію: ἔτι νόμον.

[2]) Ἀβανάυσως—отъ α и βάναυσος—неунизительно, безхитростно, безпорочно.

[3]) Δῶρα, т. е. дары св. Евхаристіи.

[4]) Ἀνάλυσις—разрѣшеніе, отшествіе, кончина жизни, какъ въ Посл. Апост. Павла 2 Тимоѳ. 4. 6.

[5]) Дан. 6. 16. [6]) Дан. 3. 19.

[7]) Μηθαμῶς вм. μηδαμῶς, какъ μηθεὶς употребляется вм. μηδείς.

εἰς τοσοῦτο ἐξήρισαν [1]) θυμοῦ, ὥςε τοὺς ἐν ὁσίᾳ καὶ ἀμώμῳ προθέσει δουλεύοντας τῷ θεῷ εἰς αἰκίαν περιβαλεῖν, μὴ εἰδότες ὅτι ὁ ὕψιςος ὑπέρμαχος καὶ ὑπερασπιςής ἐστι τῶν ἐν καθαρᾷ συνειδήσει λατρευόντων τῷ παναρέτῳ ὀνόματι αὐτοῦ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. Οἱ δὲ ὑπομένοντες ἐν πεποιθήσει δόξαν καὶ τιμὴν ἐκληρονόμησαν, ἐπήρθησάν τε καὶ ἔγγραφοι ἐγένοντο ἀπὸ τοῦ θεοῦ ἐν τῷ μνημοσύνῳ αὐτοῦ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

46. Τοιούτοις οὖν ὑποδείγμασι κολληθῆναι καὶ ἡμᾶς δεῖ, ἀδελφοί· γέγραπται γάρ· «κολλᾶσθε τοῖς ἁγίοις, ὅτι οἱ κολλώμενοι αὐτοῖς ἁγιασθήσονται»[2]). Καὶ πάλιν ἐν ἑτέρῳ τόπῳ λέγει· «μετὰ ἀνδρὸς ἀθῴου ἀθῷος ἔσῃ, καὶ μετ' ἐκλεκτοῦ ἐκλεκτὸς ἔσῃ, καὶ μετὰ στρεβλοῦ διαςρέψεις» [3]). Κολληθῶμεν οὖν τοῖς ἀθῴοις καὶ δικαίοις· εἰσὶ δὲ οὗτοι ἐκλεκτοὶ τοῦ θεοῦ. Ἱνατί ἔρεις καὶ θυμοὶ καὶ διχοςασίαι καὶ σχίσματα πόλεμός τε ἐν ὑμῖν; ἢ οὐχὶ ἕνα θεὸν ἔχομεν καὶ ἕνα Χριςὸν καὶ ἓν πνεῦμα τῆς χάριτος τὸ ἐκχυθὲν ἐφ' ἡμᾶς; καὶ μία κλῆσις ἐν Χριςῷ; ἱνατί διέλκομεν καὶ διασπῶμεν τὰ μέλη τοῦ Χριςοῦ καὶ ςασιάζομεν πρὸς τὸ σῶμα τὸ ἴδιον, καὶ εἰς τοσαύτην ἀπόνοιαν ἐρχόμεθα, ὥςε ἐπιλαθέσθαι ἡμᾶς, ὅτι μέλη ἐσμὲν ἀλλήλων; μνήσθητε τῶν λόγων Ἰησοῦ κυρίου ἡμῶν· εἶπε γάρ· «οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ· καλὸν ἦν αὐτῷ εἰ μὴ ἐγεννήθη, ἢ ἕνα τῶν ἐκλεκτῶν μου σκανδαλίσαι· κρεῖττον ἦν αὐτῷ περιτεθῆναι μύλον καὶ καταποντισθῆναι εἰς τὴν θάλασσαν, ἢ ἕνα τῶν μικρῶν μου σκανδαλίσαι» [4]). Τὸ σχίσμα ὑμῶν πολλοὺς διέςρεψε, πολλοὺς εἰς ἀθυμίαν ἔβαλε, πολλοὺς εἰς δισταγμὸν, τοὺς πάντας ἡμᾶς εἰς λύπην· καὶ ἐπίμονος ὑμῶν ἐςιν ἡ ςάσις.

47. Ἀναλάβετε τὴν ἐπιςολὴν τοῦ μακαρίου Παύλου τοῦ ἀποςόλου· τί πρῶτον ὑμῖν ἐν ἀρχῇ τοῦ εὐαγγελίου ἔγραψεν; ἐπ' ἀληθείας πνευματικῶς ἐπέςειλεν ὑμῖν περὶ ἑαυτοῦ τε καὶ Κηφᾶ τε καὶ Ἀπολλὼ, διὰ τὸ καὶ τότε προσκλίσεις ὑμᾶς πεποιῆσθαι [5]). Ἀλλ' ἡ πρόσκλισις ἐκείνη ἥττονα ἁμαρτίαν ὑμῖν ἐπήνεγκε· προ-

[1]) Ἐςήρισαν—ἐξερίζω, отъ ἐξ и ἔρις.

[2]) Пс. 62. 9. Сир. 2. 3. [3]) Пс. 18. 26. [4]) Мат. 26. 24; 18. 6. [5]) 1 Кор. 1. 10.

σεκλίθητε γὰρ ἀποςόλοις μεμαρτυρημένοις καὶ ἀνδρὶ δεδοκιμασμένῳ παρ' αὐτοῖς· νυνὶ δὲ κατανοήσατε τίνες ὑμᾶς διέςρεψαν καὶ τὸ σεμνὸν τῆς περιβοήτου φιλαδελφίας ὑμῶν ἐμείωσαν. Αἰσχρά, ἀγαπητοί, καὶ λίαν αἰσχρὰ, καὶ ἀνάξια τῆς ἐν Χριςῷ ἀγωγῆς, ἀκούεσθαι τὴν βεβαιοτάτην καὶ ἀρχαίαν Κορινθίων ἐκκλησίαν δι' ἓν ἢ δύο πρόσωπα ςασιάζειν πρὸς τοὺς πρεσβυτέρους. Καὶ αὕτη ἡ ἀκοὴ οὐ μόνον εἰς ἡμᾶς ἐχώρησεν, ἀλλὰ καὶ εἰς τοὺς ἑτεροκλινεῖς [1]) ὑπάρχοντας ἀφ' ἡμῶν, ὥςε καὶ βλασφημίας ἐπιφέρεσθαι τῷ ὀνόματι κυρίου διὰ τὴν ὑμετέραν ἀφροσύνην, ἑαυτοῖς δὲ κίνδυνον ἐπεξεργάζεσθαι.

48. Ἐξάρωμεν οὖν τοῦτο ἐν τάχει καὶ προσπέσωμεν τῷ δεσπότῃ καὶ κλαύσωμεν ἱκετεύοντες αὐτὸν, ὅπως ἵλεως γενόμενος ἐπικαταλλαγῇ ἡμῖν καὶ ἐπὶ τὴν σεμνὴν τῆς φιλαδελφίας ἡμῶν ἁγνὴν ἀγωγὴν ἀποκαταςήσῃ ἡμᾶς. Πύλη γὰρ δικαιοσύνης ἀνεῳγυῖα εἰς ζωὴν αὕτη, καθὼς γέγραπται· «ἀνοίξατέ μοι πύλας δικαιοσύνης· εἰσελθὼν ἐν αὐταῖς ἐξομολογήσομαι τῷ κυρίῳ· αὕτη ἡ πύλη τοῦ κυρίου, δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ» [2]). Πολλῶν οὖν πυλῶν ἀνεῳγυιῶν, ἡ ἐν δικαιοσύνῃ αὕτη ἐςὶν ἡ ἐν Χριςῷ, ἐν ᾗ μακάριοι πάντες οἱ εἰσελθόντες καὶ κατευθύνοντες τὴν πορείαν αὐτῶν ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, ἀταράχως πάντα ἐπιτελοῦντες· ἤτω τις πιστὸς, ἤτω δυνατὸς γνῶσιν ἐξειπεῖν, ἤτω σοφὸς ἐν διακρίσει λόγων, ἤτω ἁγνὸς ἐν ἔργοις· τοσούτῳ γὰρ μᾶλλον ταπεινοφρονεῖν ὀφείλει, ὅσῳ δοκεῖ μᾶλλον μείζων εἶναι, καὶ ζητεῖν τὸ κοινωφελὲς πᾶσι, καὶ μὴ τὸ ἑαυτοῦ.

49. Ὁ ἔχων ἀγάπην ἐν Χριςῷ ποιησάτω τὰ τοῦ Χριςοῦ παραγγέλματα. Τὸν δεσμὸν τῆς ἀγάπης τοῦ θεοῦ τίς δύναται ἐξηγήσασθαι; τὸ μεγαλεῖον τῆς καλλονῆς αὐτοῦ τίς ἀρκετὸς ἐξειπεῖν; τὸ ὕψος εἰς ὃ ἀνάγει ἡ ἀγάπη ἀνεκδιήγητόν ἐςιν. Ἀγάπη κολλᾷ ἡμᾶς τῷ θεῷ, ἀγάπη καλύπτει πλῆθος ἁμαρτιῶν, ἀγάπη πάντα ἀνέχεται, πάντα μακροθυμεῖ· οὐδὲν βάναυσον ἐν ἀγάπῃ, οὐδὲν ὑπερήφανον· ἀγάπη σχίσμα οὐκ ἔχει, ἀγάπη οὐ ςασιάζει, ἀγάπη πάντα ποιεῖ ἐν ὁμονοίᾳ· ἐν τῇ ἀγάπῃ ἐτελειώθησαν πάν-

---

[1]) Ἑτεροκλινής, преданный другой, противной сторонѣ, т. е. врагъ вообще и въ частности врагъ христіанъ, язычникъ.

[2]) Пс. 117. 19.

τες οἱ ἐκλεκτοὶ τοῦ θεοῦ· δίχα ἀγάπης οὐδὲν εὐάρεςόν ἐςι τῷ θεῷ [1]· ἐν ἀγάπῃ προσελάβετο ἡμᾶς ὁ δεσπότης· διὰ τὴν ἀγάπην, ἣν ἔσχε πρὸς ἡμᾶς, τὸ αἷμα αὐτοῦ ἔδωκεν ὑπὲρ ἡμῶν Ἰησοῦς Χριςὸς ὁ κύριος ἡμῶν ἐν θελήματι θεοῦ, καὶ τὴν σάρκα ὑπὲρ τῆς σαρκὸς ἡμῶν καὶ τὴν ψυχὴν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

50. Ὁρᾶτε, ἀγαπητοί, πῶς μέγα καὶ θαυμαςόν ἐστιν ἡ ἀγάπη, καὶ τῆς τελειότητος αὐτῆς οὐκ ἔςιν ἐξήγησις. Τίς ἱκανὸς ἐν αὐτῇ εὑρεθῆναι, εἰ μὴ οὓς ἂν καταξιώσῃ ὁ θεός; δεώμεθα οὖν καὶ αἰτώμεθα ἀπὸ τοῦ ἐλέους αὐτοῦ, ἵνα ἐν ἀγάπῃ εὑρεθῶμεν δίχα προσκλίσεως ἀνθρωπίνης, ἄμωμοι. Αἱ γενεαὶ πᾶσαι ἀπὸ Ἀδὰμ ἕως τῆσδε τῆς ἡμέρας παρῆλθον· ἀλλ' οἱ ἐν ἀγάπῃ τελειωθέντες κατὰ τὴν τοῦ θεοῦ χάριν ἔχουσι χῶρον εὐσεβῶν· οἳ φανερωθήσονται ἐν τῇ ἐπισκοπῇ [2]) τῆς βασιλείας τοῦ Χριςοῦ· γέγραπται γάρ· «εἰσέλθετε εἰς τὰ ταμεῖα μικρὸν ὅσον ὅσον, ἕως οὗ παρέλθῃ ἡ ὀργὴ καὶ ὁ θυμός μου· καὶ μνησθήσομαι ἡμέρας ἀγαθῆς, καὶ ἀναςήσω ὑμᾶς ἐκ τῶν θηκῶν ὑμῶν» [3]). Μακάριοί ἐσμεν, ἀγαπητοί, εἰ τὰ προστάγματα τοῦ θεοῦ ἐποιοῦμεν ἐν ὁμονοίᾳ ἀγάπης, εἰς τὸ ἀφεθῆναι ἡμῖν δι' ἀγάπης τὰς ἁμαρτίας· γέγραπται γάρ· «μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι· μακάριος ἀνὴρ ᾧ οὐ μὴ λογίσηται κύριος ἁμαρτίαν, οὐδέ ἐςιν ἐν τῷ ςόματι αὐτοῦ δόλος» [4]). Οὗτος ὁ μακαρισμὸς ἐγένετο ἐπὶ τοὺς ἐκλελεγμένους ὑπὸ τοῦ θεοῦ διὰ Ἰησοῦ Χριςοῦ τοῦ κυρίου ἡμῶν· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

51. Ὅσα οὖν παρεπέσαμεν καὶ ἐποιήσαμεν διά τινος τῶν τοῦ ἀντικειμένου [5]), ἀξιώσωμεν ἀφεθῆναι ἡμῖν· καὶ ἐκεῖνοι δέ, οἵτινες ἀρχηγοὶ ςάσεως καὶ διχοςασίας ἐγενήθησαν, ὀφείλουσι τὸ κοινὸν τῆς ἐλπίδος σκοπεῖν. Οἱ γὰρ μετὰ φόβου καὶ ἀγάπης πολιτευόμενοι ἑαυτοὺς θέλουσι μᾶλλον αἰκίαις περιπίπτειν ἢ τοὺς

---

[1]) 1 Петр. 4. 8; 1 Кор. 13. 4, 7.

[2]) Ἐπισκοπὴ—посѣщеніе. Днемъ посѣщенія въ Св. Писаніи называется время втораго пришествія Христова. 1 Петр. 2. 12.

[3]) Ис. 26. 20; Iез. 37. [4]) Пс. 31. 1.

[5]) Τῶν τοῦ ἀντικειμένου—т. е. τεχνασμάτων или ἐπιβουλῶν, козней діавола. 1 Тим 5. 14. 2 Солун. 2. 4.

πλησίον· μᾶλλον δὲ ἑαυτῶν κατάγνωσιν φέρουσιν ἢ τῆς παραδεδομένης ἡμῖν καλῶς καὶ δικαίως ὁμοφωνίας. Καλὸν γὰρ ἀνθρώπῳ ἐξομολογεῖσθαι περὶ τῶν παραπτωμάτων ἢ σκληρῦναι τὴν καρδίαν αὐτοῦ, καθὼς ἐσκληρύνθη ἡ καρδία τῶν ςασιασάντων πρὸς τὸν θεράποντα τοῦ θεοῦ Μωϋσῆν, ὧν τὸ κρίμα πρόδηλον ἐγενήθη· κατέβησαν γὰρ εἰς ᾅδου ζῶντες, καὶ θάνατος ποιμανεῖ αὐτούς [1]). Φαραὼ καὶ ἡ στρατιὰ αὐτοῦ καὶ πάντες οἱ ἡγούμενοι Αἰγύπτου, τά τε ἅρματα καὶ οἱ ἀναβάται αὐτῶν, οὐ δι' ἄλλην τινὰ αἰτίαν ἐβυθίσθησαν εἰς θάλασσαν ἐρυθρὰν καὶ ἀπώλοντο, ἀλλὰ διὰ τὸ σκληρυνθῆναι αὐτῶν τὰς ἀσυνέτους καρδίας μετὰ τὸ γενέσθαι τὰ σημεῖα καὶ τὰ τέρατα ἐν γῇ Αἰγύπτου διὰ τοῦ θεράποντος τοῦ θεοῦ Μωϋσέως [2]).

52. Ἀπροσδεὴς, ἀδελφοί, ὁ δεσπότης ὑπάρχει τῶν ἁπάντων, οὐδὲν οὐδενὸς χρῄζει εἰ μὴ τὸ ἐξομολογεῖσθαι αὐτῷ· φησὶ γὰρ ὁ ἐκλεκτὸς Δαυίδ· «ἐξομολογήσομαι τῷ κυρίῳ, καὶ ἀρέσει αὐτῷ ὑπὲρ μόσχον νέον κέρατα ἐκφέροντα καὶ ὁπλάς· ἰδέτωσαν πτωχοὶ καὶ εὐφρανθήτωσαν» [3]). Καὶ πάλιν λέγει· «θῦσον τῷ θεῷ θυσίαν αἰνέσεως καὶ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς σου· καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεώς σου, καὶ ἐξελοῦμαί σε, καὶ δοξάσεις με [4])· θυσία γὰρ τῷ θεῷ πνεῦμα συντετριμμένον [5]).»

53. Ἐπίςασθε γὰρ καὶ καλῶς ἐπίςασθε τὰς ἱερὰς γραφὰς, ἀγαπητοί, καὶ ἐγκεκύφατε εἰς τὰ λόγια τοῦ θεοῦ· πρὸς ἀνάμνησιν οὖν ταῦτα γράφομεν. Μωϋσέως γὰρ ἀναβάντος εἰς τὸ ὄρος καὶ ποιήσαντος τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας ἐν νηςείᾳ καὶ ταπεινώσει, εἶπε πρὸς αὐτὸν ὁ θεός· «Μωϋσῆ Μωϋσῆ, κατάβηθι τὸ τάχος ἐντεῦθεν, ὅτι ἠνόμησεν ὁ λαός σου, οὓς ἐξήγαγες ἐκ γῆς Αἰγύπτου· παρέβησαν ταχὺ ἐκ τῆς ὁδοῦ ἧς ἐνετείλω αὐτοῖς, ἐποίησαν ἑαυτοῖς χωνεύματα [6]).» Καὶ εἶπε κύριος πρὸς αὐτόν· «λελάληκα πρός σε ἅπαξ καὶ δὶς λέγων· ἑώρακα τὸν λαὸν τοῦτον, καὶ ἰδού ἐςι σκληροτράχηλος· ἔασόν με ἐξολεθρεῦσαι αὐτούς, καὶ ἐξαλείψω τὸ ὄνομα αὐτῶν ὑποκάτωθεν τοῦ οὐρανοῦ καὶ ποιήσω σε εἰς ἔθνος μέγα καὶ θαυμαςὸν καὶ πολὺ μᾶλλον

---

[1]) Числ. 16. 31. [2]) Исх. 14. 23. [3]) Пс. 68. 31—33. [4]) Пс. 49. 14. [5]) Пс. 50. 19. [6]) Исх. 34. 28; Втор. 9. 9.

ἢ τοῦτο» [1]). Καὶ εἶπε Μωϋσῆς· «μηθαμῶς, κύριε· ἄφες τὴν ἁμαρτίαν τῷ λαῷ τούτῳ, ἢ κἀμὲ ἐξάλειψον ἐκ βίβλου ζώντων» [2]). Ὦ μεγάλης ἀγάπης, ὢ τελειότητος ἀνυπερβλήτου! Παρρησιάζεται θεράπων πρὸς κύριον, αἰτεῖται ἄφεσιν τῷ πλήθει, ἢ καὶ ἑαυτὸν ἐξαλειφθῆναι μετ' αὐτῶν ἀξιοῖ.

54. Τίς οὖν ἐν ὑμῖν γενναῖος; τίς εὔσπλαγχνος; τίς πεπληροφορημένος ἀγάπης; εἰπάτω· εἰ δι' ἐμὲ στάσις καὶ ἔρις καὶ σχίσματα, ἐκχωρῶ, ἄπειμι οὗ ἐὰν βούλησθε, καὶ ποιῶ τὰ προστασσόμενα ὑπὸ τοῦ πλήθους· μόνον τὸ ποίμνιον τοῦ Χριστοῦ εἰρηνευέτω μετὰ τῶν καθεσταμένων πρεσβυτέρων. Τοῦτο ὁ ποιήσας ἑαυτῷ μέγα κλέος ἐν Χριστῷ περιποιήσεται, καὶ πᾶς τόπος δέξεται αὐτόν· «τοῦ γὰρ κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς» [3]). Ταῦτα οἱ πολιτευόμενοι τὴν ἀμεταμέλητον πολιτείαν τοῦ θεοῦ ἐποίησαν καὶ ποιήσουσιν.

55. Ἵνα δὲ καὶ ὑποδείγματα ἐθνῶν ἐνέγκωμεν, πολλοὶ βασιλεῖς καὶ ἡγούμενοι [4]), λοιμικοῦ τινος ἐνστάντος καιροῦ, χρησμοδοτηθέντες παρέδωκαν ἑαυτοὺς εἰς θάνατον, ἵνα ῥύσωνται διὰ τοῦ ἑαυτῶν αἵματος τοὺς πολίτας· πολλοὶ ἐξεχώρησαν ἰδίων πόλεων, ἵνα μὴ στασιάζωσιν ἐπὶ πλεῖον. Ἐπιστάμεθα πολλοὺς ἐν ἡμῖν παραδεδωκότας ἑαυτοὺς εἰς δεσμά, ὅπως ἑτέρους λυτρώσονται· πολλοὶ ἑαυτοὺς ἐξέδωκαν εἰς δουλείαν, καὶ λαβόντες τὰς τιμὰς αὐτῶν ἑτέρους ἐψώμισαν· πολλαὶ γυναῖκες ἐνδυναμωθεῖσαι διὰ τῆς χάριτος τοῦ θεοῦ ἐπετελέσαντο πολλὰ ἀνδρεῖα. Ἰουδὶθ ἡ μακαρία, ἐν συγκλεισμῷ οὔσης τῆς πόλεως, ᾐτήσατο παρὰ τῶν πρεσβυτέρων ἐαθῆναι αὐτὴν ἐξελθεῖν εἰς τὴν παρεμβολὴν τῶν ἀλλοφύλων· παραδοῦσα οὖν ἑαυτὴν τῷ κινδύνῳ ἐξῆλθε δι' ἀγάπην τῆς πατρίδος καὶ τοῦ λαοῦ τοῦ ὄντος ἐν συγκλεισμῷ, καὶ παρέδωκε κύριος Ὀλοφέρνην ἐν χειρὶ θηλείας [5]). Οὐχ ἧττον καὶ ἡ τελεία κατὰ πίστιν Ἐσθὴρ κινδύνῳ ἑαυτὴν παρέβαλεν, ἵνα τὸ δωδεκάφυλον τοῦ Ἰσραὴλ μέλλον ἀπολέσθαι ῥύσηται· διὰ γὰρ τῆς

---

[1]) Исх. 32. 7; Втор. 9. 12. [2]) Исх. 32. 32. [3]) Пс. 23. 1.

[4]) Изъ царей и правителей, пожертвовавшихъ своею жизнію для спасенія своихъ согражданъ, извѣстны Менекей, сынъ царя Өивейскаго Креонта, Кодръ царь Аөинскій, Ликургъ законодатель Спартанскій, Генусій Циппусъ Римскій народный трибунъ и др.

[5]) Юдиө. 8.

νηστείας καὶ τῆς ταπεινώσεως αὐτῆς ἠξίωσε τὸν παντεπόπτην δεσπότην, θεὸν τῶν αἰώνων, ὃς ἰδὼν τὸ ταπεινὸν τῆς ψυχῆς αὐτῆς ἐρύσατο τὸν λαὸν, ὧν χάριν ἐκινδύνευσεν [1]).

56. Καὶ ἡμεῖς οὖν ἐντύχωμεν [2]) περὶ τῶν ἔν τινι παραπτώματι ὑπαρχόντων, ὅπως δοθῇ αὐτοῖς ἐπιείκεια καὶ ταπεινοφροσύνη, εἰς τὸ εἶξαι αὐτοὺς μὴ ἡμῖν, ἀλλὰ τῷ θελήματι τοῦ θεοῦ· οὕτως γὰρ ἔσται αὐτοῖς ἔγκαρπος καὶ τελεία ἡ πρὸς τὸν θεὸν καὶ τοὺς ἁγίους μετ' οἰκτιρμῶν μνεία. Ἀναλάβωμεν παιδείαν, ἐφ' ᾗ οὐδεὶς ὀφείλει ἀγανακτεῖν, ἀγαπητοί. Ἡ νουθέτησις, ἣν ποιούμεθα εἰς ἀλλήλους, καλή ἐστι καὶ ὑπεράγαν ὠφέλιμος· κολλᾷ γὰρ ἡμᾶς τῷ θελήματι τοῦ θεοῦ· οὕτως γάρ φησιν ὁ ἅγιος λόγος· «παιδεύων ἐπαίδευσέ με ὁ κύριος, καὶ τῷ θανάτῳ οὐ παρέδωκέ με [3])· ὃν γὰρ ἀγαπᾷ κύριος παιδεύει, μαστιγοῖ δὲ πάντα υἱὸν, ὃν παραδέχεται [4]). Παιδεύσει με γάρ, φησιν, δίκαιος ἐν ἐλέει καὶ ἐλέγξει με, ἔλαιον δὲ ἁμαρτωλῶν μὴ λιπανάτω τὴν κεφαλήν μου» [5])· καὶ πάλιν λέγει· «μακάριος ἄνθρωπος, ὃν ἤλεγξεν ὁ κύριος· νουθέτημα δὲ παντοκράτορος μὴ ἀπαναίνου· αὐτὸς γὰρ ἀλγεῖν ποιεῖ, καὶ πάλιν ἀποκαθίστησιν· ἔπαισε, καὶ αἱ χεῖρες αὐτοῦ ἰάσαντο· ἑξάκις ἐξ ἀναγκῶν ἐξελεῖταί σε, ἐν δὲ τῷ ἑβδόμῳ οὐ μὴ ἅψηταί σου κακόν· ἐν λιμῷ ῥύσεταί σε ἐκ θανάτου, ἐν πολέμῳ δὲ ἐκ χειρὸς σιδήρου λύσει σε· καὶ ἀπὸ μάστιγος γλώσσης σε κρύψει, καὶ οὐ μὴ φοβηθήσῃ κακῶν ἐπερχομένων· ἀδίκων καὶ ἀνόμων καταγελάσῃ, ἀπὸ δὲ θηρίων ἀγρίων οὐ μὴ φοβηθῇς· θῆρες γὰρ ἄγριοι εἰρηνεύσουσί σοι· εἶτα γνώσῃ, ὅτι εἰρηνεύσει σου ὁ οἶκος· ἡ δὲ δίαιτα τῆς σκηνῆς σου οὐ μὴ ἁμάρτῃ, γνώσῃ δὲ, ὅτι πολὺ τὸ σπέρμα σου, τὰ δὲ τέκνα σου ὥσπερ τὸ παμβότανον τοῦ ἀγροῦ· ἐλεύσῃ δὲ ἐν τάφῳ ὥσπερ σῖτος ὥριμος, κατὰ καιρὸν θεριζόμενος, ἢ ὥσπερ θημωνία ἅλωνος, καθ' ὥραν συγκομισθεῖσα» [6]). Βλέπετε, ἀγαπητοί, πόσος ὑπερασπισμός ἐστι τοῖς παιδευομένοις ὑπὸ τοῦ δεσπότου.

---

[1]) Есө. 7.

[2]) Ἐντυγχάνω — въ смыслѣ ходатайства и молитвы, какъ употребляется въ посл. къ Римл. 8. 27, 34.

[3]) Пс. 117. 18. [4]) Прит. 3. 12. [5]) Пс. 140. 5. [6]) Іов. 5. 17—26.

πατὴρ γὰρ ἀγαθὸς ὢν παιδεύει εἰς τὸ ἐλεηθῆναι ἡμᾶς διὰ τῆς ὁσίας παιδείας αὐτοῦ.

57. Ὑμεῖς οὖν οἱ τὴν καταβολὴν τῆς ςάσεως ποιήσαντες ὑποτάγητε τοῖς πρεσβυτέροις καὶ παιδεύθητε εἰς μετάνοιαν, κάμψαντες τὰ γόνατα τῆς καρδίας ὑμῶν· μάθετε ὑποτάσσεσθαι ἀποθέμενοι τὴν ἀλαζόνα καὶ ὑπερήφανον τῆς γλώσσης ὑμῶν αὐθάδειαν· ἄμεινον γάρ ἐςιν ὑμῖν ἐν τῷ ποιμνίῳ τοῦ Χριςοῦ μικροὺς καὶ ἐλλογίμους ὑμᾶς εὑρεθῆναι, ἢ καθ' ὑπεροχὴν δοκοῦντας ἐκριφῆναι ἐκ τῆς ἐλπίδος αὐτοῦ· οὕτως γὰρ λέγει ἡ πανάρετος [1]) σοφία· «ἰδοὺ προήσομαι ὑμῖν ἐμῆς πνοῆς ῥῆσιν, διδάξω δὲ ὑμᾶς τὸν ἐμὸν λόγον· ἐπειδὴ ἐκάλουν καὶ οὐχ ὑπηκούσατε, καὶ ἐξέτεινον λόγους καὶ οὐ προσείχετε, ἀλλὰ ἀκύρους ἐποιεῖτε τὰς ἐμὰς βουλάς, τοῖς δὲ ἐμοῖς ἐλέγχοις ἠπειθήσατε· τοιγαροῦν κἀγὼ τῇ ὑμετέρα ἀπωλείᾳ ἐπιγελάσομαι, καταχαροῦμαι δὲ ἡνίκα ἂν ἔρχηται ὑμῖν ὄλεθρος καὶ ὡς ἂν ἀφίκηται ὑμῖν ἄφνω θόρυβος, ἡ δὲ καταςροφὴ ὁμοία καταιγίδι παρῇ, ἢ ὅταν ἔρχηται ὑμῖν θλίψις καὶ πολιορκία· ἔςαι γὰρ ὅταν ἐπικαλέσησθέ με, ἐγὼ δὲ οὐκ εἰσακούσομαι ὑμῶν· ζητήσουσι με κακοὶ, καὶ οὐχ εὑρήσουσιν· ἐμίσησαν γὰρ σοφίαν, τὸν δὲ φόβον τοῦ κυρίου οὐ προείλαντο, οὐδὲ ἤθελον ἐμαῖς προσέχειν βουλαῖς, ἐμυκτήριζον δὲ ἐμοὺς ἐλέγχους· τοιγαροῦν ἔδονται τῆς ἑαυτῶν ὁδοῦ τοὺς καρποὺς, καὶ τῆς ἑαυτῶν ἀσεβείας πλησθήσονται· ἀνθ' ὧν γὰρ ἠδίκουν νηπίους φονευθήσονται, καὶ ἐξετασμὸς ἀσεβεῖς ὀλεῖ· ὁ δὲ ἐμοῦ ἀκούων κατασκηνώσει ἐπ' ἐλπίδι καὶ ἡσυχάσει ἀφόβως ἀπὸ παντὸς κακοῦ» [2]).

58. Ὑπακούσωμεν οὖν τῷ παναγίῳ καὶ ἐνδόξῳ ὀνόματι αὐτοῦ φυγόντες τὰς προειρημένας διὰ τῆς σοφίας τοῖς ἀπειθοῦσιν ἀπειλάς, ἵνα κατασκηνώσωμεν πεποιθότες ἐπὶ τὸ ὁσιώτατον τῆς μεγαλωσύνης αὐτοῦ ὄνομα. Δέξασθε τὴν συμβουλὴν ἡμῶν, καὶ ἔςαι ἀμεταμέλητα ὑμῖν· ζῇ γὰρ ὁ θεὸς καὶ ζῇ ὁ κύριος Ἰησοῦς Χριςὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον ἥ τε πίςις καὶ ἡ ἐλπὶς τῶν ἐκλεκτῶν, ὅτι ὁ ποιήσας ἐν ταπεινοφροσύνῃ μετ' ἐκτενοῦς ἐπιει-

---

[1]) **Премудрость Соломонова называется** πανάρετος, **потому что научаетъ всѣмъ добродѣтелямъ, есть какъ бы сокровище всѣхъ добродѣтелей.**

[2]) **Прит. 1. 23—33.**

κείας ἀμεταμελήτως τὰ ὑπὸ τοῦ θεοῦ δεδομένα δικαιώματα καὶ προστάγματα, οὗτος ἐντεταγμένος καὶ ἐλλόγιμος ἔςαι εἰς τὸν ἀριθμὸν τῶν σωζομένων διὰ Ἰησοῦ Χριςοῦ, δι' οὗ ἐςιν αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

59. Ἐὰν δέ τινες ἀπειθήσωσι τοῖς ὑπ' αὐτοῦ δι' ἡμῶν εἰρημένοις, γινωσκέτωσαν, ὅτι παραπτώσει καὶ κινδύνῳ οὐ μικρῷ ἑαυτοὺς ἐνδήσουσιν· ἡμεῖς δε ἀθῷοι ἐσόμεθα ἀπὸ ταύτης τῆς ἁμαρτίας καὶ αἰτησόμεθα, ἐκτενῆ τὴν δέησιν καὶ ἱκεσίαν ποιούμενοι, ὅπως τὸν ἀριθμὸν τὸν κατηριθμημένον τῶν ἐκλεκτῶν αὐτοῦ ἐν ὅλῳ τῷ κόσμῳ διαφυλάξῃ ἄθραυςον ὁ δημιουργὸς τῶν ἁπάντων διὰ τοῦ ἠγαπημένου παιδὸς αὐτοῦ Ἰησοῦ Χριςοῦ, δι' οὗ ἐκάλεσεν ἡμᾶς ἀπὸ σκότους εἰς φῶς, ἀπὸ ἀγνωσίας εἰς ἐπίγνωσιν δόξης ὀνόματος αὐτοῦ [1]), ἐλπίζειν ἐπὶ τὸ ἀρχέγονον πάσης κτισεως ὄνομά σου, ἀνοίξας τοὺς ὀφθαλμοὺς τῆς καρδίας ἡμῶν εἰς τὸ γινώσκειν σε τὸν μόνον ὕψιςον ἐν ὑψίςοις, ἅγιον ἐν ἁγίοις ἀναπαυόμενον· τὸν ταπεινοῦντα ὕβριν ὑπερηφάνων, τὸν διαλύοντα λογισμοὺς ἐθνῶν, τὸν ποιοῦντα ταπεινοὺς εἰς ὕψος καὶ τοὺς ὑψηλοὺς ταπεινοῦντα· τὸν πλουτίζοντα καὶ πτωχίζοντα, τὸν ἀποκτείνοντα καὶ ζῆν ποιοῦντα, μόνον εὐεργέτην πνευμάτων καὶ θεὸν πάσης σαρκός· τὸν ἐπιβλέποντα ἐν ταῖς ἀβύσσοις, τὸν ἐπόπτην ἀνθρωπίνων ἔργων, τὸν τῶν κινδυνευόντων βοηθόν, τὸν τῶν ἀπηλπισμένων σωτῆρα, τὸν παντὸς πνεύματος κτίςην καὶ ἐπίσκοπον· τὸν πληθύνοντα ἔθνη ἐπὶ γῆς καὶ ἐκ πάντων ἐκλεξάμενον τοὺς ἀγαπῶντάς σε διὰ Ἰησοῦ Χριςοῦ τοῦ ἠγαπημένου παιδός σου, δι' οὗ ἡμᾶς ἐπαίδευσας, ἡγίασας, ἐτίμησας. Ἀξιοῦμεν, δέσποτα, βοηθὸν γενέσθαι καὶ ἀντιλήπτορα ἡμῶν· τοὺς ἐν θλίψει ἡμῶν σῶσον, τοὺς ταπεινοὺς ἐλέησον, τοὺς πεπτωκότας ἔγειρον, τοῖς δεομένοις ἐπιφάνηθι, τοὺς ἀσθενεῖς ἴασαι, τοὺς πλανωμένους τοῦ λαοῦ σου ἐπίςρεψον· χόρτασον τοὺς πεινῶντας, λύτρωσαι τοὺς δεσμίους ἡμῶν, ἐξανάςησον τοὺς ἀσθενοῦντας, παρακάλεσον τοὺς ὀλιγοψυχοῦντας· γνώτωσαν ἅπαντα τὰ ἔθνη, ὅτι σὺ εἶ ὁ θεὸς μόνος καὶ Ἰησοῦς Χριςὸς ὁ παῖς σου καὶ ἡμεῖς λαός σου καὶ πρόβατα τῆς νομῆς σου.

---

[1]) Слѣдуетъ молитва къ Богу, предъ которою можно разумѣть: δὸς, Δέσποτα, или нѣчто подобное.

60. Σὺ τὴν ἀέναον τοῦ κόσμου σύςασιν διὰ τῶν ἐνεργουμένων ἐφανεροποίησας [1]· σύ, κύριε, τὴν οἰκουμένην ἔκτισας, ὁ πιςὸς ἐν πάσαις ταῖς γενεαῖς, δίκαιος ἐν τοῖς κρίμασι, θαυμαςὸς ἐν ἰσχύϊ καὶ μεγαλοπρεπείᾳ, ὁ σοφὸς ἐν τῷ κτίζειν καὶ συνετὸς ἐν τῷ τὰ γενόμενα ἑδράσαι, ὁ ἀγαθὸς ἐν τοῖς σωζομένοις καὶ πιςὸς ἐν τοῖς πεποιθόσιν ἐπὶ σε· ἐλεῆμον καὶ οἰκτίρμον, ἄφες ἡμῖν τὰς ἀνομίας ἡμῶν καὶ τὰς ἀδικίας καὶ τὰ παραπτώματα καὶ πλημμελείας· μὴ λογίσῃ πᾶσαν ἁμαρτίαν δούλων σου καὶ παιδισκῶν, ἀλλὰ καθαρεῖς ἡμᾶς τὸν καθαρισμὸν τῆς σῆς ἀληθείας, καὶ κατεύθυνον τὰ διαβήματα ἡμῶν ἐν ὁσιότητι καρδίας πορεύεσθαι καὶ ποιεῖν τὰ καλὰ καὶ εὐάρεςα ἐνώπιόν σου καὶ ἐνώπιον τῶν ἀρχόντων ἡμῶν. Ναί, δέσποτα, ἐπίφανον τὸ πρόσωπόν σου ἐφ᾽ ἡμᾶς εἰς ἀγαθὰ ἐν εἰρήνῃ, εἰς τὸ σκεπασθῆναι ἡμᾶς τῇ χειρί σου τῇ κραταιᾷ καὶ ῥυσθῆναι ἀπὸ πάσης ἁμαρτίας τῷ βραχίονί σου τῷ ὑψηλῷ, καὶ ῥῦσαι ἡμᾶς ἀπὸ τῶν μισούντων ἡμᾶς ἀδίκως· δὸς ὁμόνοιαν καὶ εἰρήνην ἡμῖν τε καὶ πᾶσι τοῖς κατοικοῦσι τὴν γῆν, καθὼς ἔδωκας τοῖς πατράσιν ἡμῶν, ἐπικαλουμένων σε αὐτῶν ἐν πίςει καὶ ἀληθείᾳ, ὑπηκόοις γινομένοις τῷ παντοκράτορι καὶ παναρέτῳ ὀνόματί σου.

61. Τοῖς τε ἄρχουσι καὶ ἡγουμένοις ἡμῶν ἐπὶ τῆς γῆς σύ, δέσποτα, ἔδωκας τὴν ἐξουσίαν τῆς βασιλείας αὐτοῖς διὰ τοῦ μεγαλοπρεποῦς καὶ ἀνεκδιηγήτου κράτους σου, εἰς τὸ γινώσκοντας ἡμᾶς τὴν ὑπὸ σοῦ αὐτοῖς δεδομένην δόξαν καὶ τιμὴν ὑποτάσσεσθαι αὐτοῖς, μηδὲν ἐναντιουμένους τῷ θελήματί σου· οἷς δός, κύριε, ὑγίειαν, εἰρήνην, ὁμόνοιαν, εὐςάθειαν, εἰς τὸ διέπειν αὐτοὺς τὴν ὑπὸ σοῦ δεδομένην αὐτοῖς ἡγεμονίαν ἀπροσκόπως· σὺ γάρ, δέσποτα ἐπουράνιε βασιλεῦ τῶν αἰώνων, δίδως τοῖς υἱοῖς τῶν ἀνθρώπων δόξαν καὶ τιμὴν καὶ ἐξουσίαν τῶν ἐπὶ τῆς γῆς ὑπαρχόντων· σύ, κύριε, διεύθυνον τὴν βουλὴν αὐτῶν κατὰ τὸ καλὸν καὶ εὐάρεςον ἐνώπιόν σου, ὅπως διέποντες ἐν εἰρήνῃ καὶ πραΰτητι εὐσεβῶς τὴν ὑπὸ σοῦ αὐτοῖς δεδομένην ἐξουσίαν ἵλεώ σου τυγχάνωσιν. Ὁ μόνος δυνατὸς ποιῆσαι ταῦτα καὶ περισσότερα ἀγαθὰ μεθ᾽ ἡμῶν, σοὶ ἐξομολογούμεθα διὰ τοῦ ἀρχιερέως καὶ προςάτου τῶν ψυχῶν ἡμῶν Ἰησοῦ Χριςοῦ, δι᾽ οὗ σοι ἡ δόξα καὶ

[1]) Премуд. 7. 17.



ἡ μεγαλωσύνη καὶ νῦν καὶ εἰς γενεὰν γενεῶν καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

62. Περὶ μὲν τῶν ἀνηκόντων τῇ θρησκείᾳ ἡμῶν, τῶν ὠφελιμωτάτων εἰς ἐνάρετον βίον τοῖς θέλουσιν εὐσεβῶς καὶ δικαίως διευθύνειν, ἱκανῶς ἐπεςείλαμεν ὑμῖν, ἄνδρες ἀδελφοί· περὶ γὰρ πίςεως καὶ μετανοίας καὶ γνησίας ἀγάπης καὶ ἐγκρατείας καὶ σωφροσύνης καὶ ὑπομονῆς πάντα τόπον [1]) ἐψηλαφήσαμεν, ὑπομιμνήσκοντες δεῖν ὑμᾶς ἐν δικαιοσύνῃ καὶ ἀληθείᾳ καὶ μακροθυμίᾳ τῷ παντοκράτορι θεῷ ὁσίως εὐαρεςεῖν, ὁμονοοῦντας ἀμνησικάκως ἐν ἀγάπῃ καὶ εἰρήνῃ μετὰ ἐκτενοῦς ἐπιεικείας, καθὼς καὶ οἱ προδεδηλωμένοι πατέρες ἡμῶν εὐηρέςησαν ταπεινοφρονοῦντες τὰ πρὸς τὸν πατέρα καὶ θεὸν καὶ κτίςην καὶ πάντας ἀνθρώπους· καὶ ταῦτα τοσούτῳ ἥδιον ὑπεμνήσαμεν, ἐπειδὴ σαφῶς ᾔδειμεν γράφειν ἡμᾶς ἀνδράσι πιςοῖς καὶ ἐλλογιμωτάτοις καὶ ἐγκεκυφόσιν εἰς τὰ λόγια τῆς παιδείας τοῦ θεοῦ.

63. Θεμιτὸν οὖν ἐςὶ τοῖς τοιούτοις καὶ τοσούτοις ὑποδείγμασι προσελθόντας ὑποθεῖναι τὸν τράχηλον καὶ τὸν τῆς ὑπακοῆς τόπον ἀναπληρῶσαι, ὅπως ἡσυχάσαντες τῆς ματαίας ςάσεως ἐπὶ τὸν προκείμενον ἡμῖν ἐν ἀληθείᾳ σκοπὸν δίχα παντὸς μώμου καταντήσωμεν· χαρὰν γὰρ καὶ ἀγαλλίασιν ἡμῖν παρέξετε, ἐὰν ὑπήκοοι γενόμενοι τοῖς ὑφ᾽ ἡμῶν γεγραμμένοις διὰ τοῦ ἁγίου πνεύματος ἐκκόψητε τὴν ἀθέμιτον τοῦ ζήλους ὑμῶν ὀργὴν κατὰ τὴν ἔντευξιν, ἣν ἐποιησάμεθα περὶ εἰρήνης καὶ ὁμονοίας ἐν τῇδε τῇ ἐπιςολῇ. Ἐπέμψαμεν δὲ ἄνδρας πιςοὺς καὶ σώφρονας, ἀπὸ νεότητος ἀναςραφέντας ἕως γήρους ἀμέμπτως ἐν ἡμῖν, οἵτινες μάρτυρες ἔσονται μεταξὺ ὑμῶν καὶ ἡμῶν· τοῦτο δὲ ἐποιήσαμεν, ἵνα εἰδῆτε, ὅτι πᾶσα ἡμῖν φροντὶς καὶ γέγονε καὶ ἔςιν εἰς τὸ ἐν τάχει ὑμᾶς εἰρηνεῦσαι.

64. Λοιπὸν ὁ παντεπόπτης θεὸς καὶ δεσπότης τῶν πνευμάτων καὶ κύριος πάσης σαρκός, ὁ ἐκλεξάμενος τὸν κύριον Ἰησοῦν Χριςὸν καὶ ἡμᾶς δι᾽ αὐτοῦ εἰς λαὸν περιούσιον [2]), δώῃ πάσῃ ψυχῇ ἐπικεκλημένῃ τὸ μεγαλοπρεπὲς καὶ ἅγιον ὄνομα αὐτοῦ πίςιν,

[1]) Τόπος — источникъ доказательствъ. Такое значеніе имѣло это слово въ древней греческой діалектикѣ.

[2]) Περιούσιος — особенный, избранный, какъ въ Пос. къ Титу 2. 14.

φόβον, εἰρήνην, ὑπομονὴν, μακροθυμίαν, ἐγκράτειαν, ἁγνείαν καὶ σωφροσύνην, εἰς εὐαρέστησιν τῷ ὀνόματι αὐτοῦ διὰ τοῦ ἀρχιερέως καὶ προστάτου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ αὐτῷ δόξα καὶ μεγαλωσύνη, κράτος, τιμὴ, καὶ νῦν καὶ εἰς πάντας τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

65. Τοὺς δὲ ἀπεσταλμένους ἀφ' ἡμῶν Κλαύδιον Ἔφηβον καὶ Οὐαλέριον Βίτωνα σὺν καὶ Φορτουνάτῳ ἐν εἰρήνῃ μετα χαρᾶς ἐν τάχει ἀναπέμψατε πρὸς ἡμᾶς, ὅπως θᾶττον τὴν εὐκταίαν καὶ ἐπιποθήτην ἡμῖν εἰρήνην καὶ ὁμόνοιαν ἀπαγγείλωσιν, εἰς τὸ τάχιον καὶ ἡμᾶς χαρῆναι περὶ τῆς εὐσταθείας ὑμῶν.—Ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν καὶ μετὰ πάντων πανταχῇ τῶν κεκλημένων ὑπὸ τοῦ θεοῦ δι' αὐτοῦ· δι' οὗ αὐτῷ δόξα, τιμὴ, κράτος καὶ μεγαλωσύνη, θρόνος αἰώνιος, ἀπὸ τῶν αἰώνων καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## II.

## СВ. ИГНАТІЙ ЕПИСКОПЪ АНТІОХІЙСКІЙ.

Въ одно время съ св. Климентомъ Римскимъ жилъ на востокѣ другой мужъ апостольскій св. Игнатій, по происхожденію Сиріецъ, называвшійся на сирскомъ языкѣ именемъ *Нуроно* (огненный), соотвѣтствующимъ латинскому Ignatius. Онъ былъ ученикомъ св. Евангелиста Іоанна и собесѣдникомъ апостоловъ Петра и Павла, которыми и былъ поставленъ въ епископа Антіохіи (Постан. апост. 7. 46. Евсев. Церк. Ист. 3. 22. Іерон. de viris illustr. c. 26). Отличаясь истинными добродѣтелями христіанина и высокими достоинствами пастыря, св. Игнатій управлялъ Антіохійскою церковію около 40 лѣтъ и во время тогдашнихъ гоненій на христіанъ окончилъ жизнь мученическою смертію. По преданію, записанному въ современныхъ актахъ объ его мученичествѣ, Римскій императоръ Траянъ, въ бытность свою въ Антіохіи во время похода противъ Парѳянъ, приказалъ привести къ себѣ епископа Игнатія и, выслушавъ отъ него смѣлое исповѣданіе Іисуса Христа, осудилъ его на растерзаніе львами въ Римѣ, куда св. исповѣдникъ и былъ отправленъ подъ воинскою стражею.

Слава пастырскихъ доблестей св. Игнатія и его геройскаго исповѣданія предшествовала ему на пути изъ Антіохіи въ Римъ. Въ Малой Азіи вездѣ встрѣчали его посланные отъ другихъ христіанскихъ обществъ

для выраженія участія въ его судьбѣ и для полученія отъ него пастырскихъ наставленій. По этому поводу онъ написалъ нѣсколько посланій, именно—изъ Смирны къ Ефесянамъ, Магнезіанамъ, Тралліанамъ и Римлянамъ, и изъ Троады къ Филадельфійцамъ, Смирнянамъ и епископу Смирнскому Поликарпу. Цѣль и содержаніе этихъ посланій, сохранившихся до нашего времени въ двухъ редакціяхъ—краткой и болѣе пространной,—главнымъ образомъ состоитъ въ томъ, чтобы выразить благодарность за христіанское участіе въ его судьбѣ и преподать увѣщанія и предостереженія отъ появившихся въ то время двухъ противоположныхъ ересей, изъ которыхъ одна признавала въ Іисусѣ Христѣ одну только человѣческую природу (Евіониты), а другая только божескую (Докеты), и вмѣстѣ съ тѣмъ указать вѣрное средство къ соблюденію правой вѣры и церковнаго единства—въ твердомъ и неуклонномъ слѣдованіи руководству богопоставленныхъ епископовъ.

Изъ двухъ предлагаемыхъ посланій первое—къ Римлянамъ—отличается тѣмъ особымъ характеромъ, что представляетъ необыкновенно высокое достоинство личности св. Игнатія, какъ христіанскаго исповѣдника, трогательно убѣждающаго римскихъ христіанъ не лишать его предстоящаго мученическаго вѣнца своими молитвами и ходатайствомъ предъ властями объ освобожденіи его отъ осужденія на смерть, которая и постигла его отъ разтерзанія львами въ 107 по Р. Х. (Память его 20 Декабря). Во второмъ посланіи—къ Смирнянамъ—съ особенною силою и точностію излагаются главные предметы ученія этого апостольскаго мужа, которыхъ онъ касается и въ другихъ своихъ посланіяхъ.

Новѣйшія и лучшія изданія посланій св. Игнатія Антіохійскаго суть:

1. S. Ignatii patris apostolici, quae feruntur epistolae una cum eiusdem martyrio. Ed. I.; Heinr. Petermann. Lips. 1849.

2. Ignatii et Polycarpi epistulae, martyria, fragmenta. Recens. et illust. Th. Zahn. Lips. 1876.—въ изд. Patrum apostolicorum opera. O. de Gebhardt et Ad. Harnack. Fascic. II.

Предлагаемый текстъ посланій къ Римлянамъ и Смирнянамъ заимствованъ изъ новаго изданія (Editio minor) тѣхъ же Gebhardt и Harnack. Lips. 1877.

---

## 1.

## ΡΩΜΑΙΟΙΣ ΙΓΝΑΤΙΟΣ.

## Глав. 1—10.

Ἰγνάτιος, ὁ καὶ Θεοφόρος [1]), τῇ ἠλεημένῃ ἐν μεγαλειότητι πατρὸς ὑψίςου καὶ Ἰησοῦ Χριςοῦ, τοῦ μόνου υἱοῦ αὐτοῦ. ἐκκλησίᾳ, ἠγαπημένῃ καὶ πεφωτισμένῃ ἐν θελήματι τοῦ θελήσαντος τὰ πάντα ἅ ἐςι κατὰ ἀγάπην Ἰησοῦ Χριςοῦ, τοῦ θεοῦ ἡμῶν· ἥτις καὶ προκάθηται ἐν τόπῳ χωρίου [2]) Ῥωμαίων, ἀξιόθεος, ἀξιοπρεπής, ἀξιομακάριςος, ἀξιέπαινος, ἀξιοεπίτευκτος, ἀξιόαγνος καὶ προκαθημένη τῆς ἀγάπης, χριςόνομος [3]), πατρώνυμος, ἣν καὶ ἀσπάζομαι ἐν ὀνόματι Ἰησοῦ Χριςοῦ, υἱοῦ πατρός· κατὰ σάρκα καὶ πνεῦμα ἡνωμένοις πάσῃ ἐντολῇ αὐτοῦ, πεπληρωμένοις χάριτος θεοῦ ἀδιακρίτως καὶ ἀποδιϋλισμένοις ἀπὸ παντὸς ἀλλοτρίου χρώματος [4]) πλεῖςα ἐν Ἰησοῦ Χριςῷ, τῷ θεῷ ἡμῶν, ἀμώμως χαίρειν.

---

[1]) Θεοφόρος—богоносецъ. или Θεόφορος—богоносимый. прозваніе св. Игнатія, сдѣлавшееся у греческихъ христіанъ какъ бы другимъ собственнымъ его именемъ.

[2]) Ἐν τόπῳ χωρίου, т. е. въ мѣстной области Римской.

[3]) Вм. Χριςόνομος въ другихъ спискахъ: Χριςώνυμος.

[4]) Χρῶμα —пятно. въ нравственномъ смыслѣ—порокъ или лжеученіе.

1. Ἐπεὶ εὐξάμενος θεῷ ἐπέτυχον ἰδεῖν ὑμῶν τὰ ἀξιόθεα πρόσωπα, ὡς καὶ πλέον ᾐτούμην λαβεῖν· δεδεμένος γὰρ ἐν Χριςῷ Ἰησοῦ ἐλπίζω ὑμᾶς ἀσπάσασθαι, ἐάνπερ θέλημα ᾖ τοῦ ἀξιωθῆναί με εἰς τέλος εἶναι. Ἡ μὲν γὰρ ἀρχὴ εὐοικονόμητός ἐςιν, ἐάνπερ χάριτος ἐπιτύχω, εἰς τὸ τὸν κλῆρόν μου ἀνεμποδίςως ἀπολαβεῖν· φοβοῦμαι γὰρ τὴν ὑμῶν ἀγάπην, μὴ αὐτή με ἀδικήσῃ· ὑμῖν γὰρ εὐχερές ἐςιν, ὃ θέλετε ποιῆσαι· ἐμοὶ δὲ δύσκολόν ἐςι τοῦ θεοῦ ἐπιτυχεῖν. ἐάνπερ ὑμεῖς μὴ [1]) φείσησθέ μου.

2. Οὐ γὰρ θέλω ὑμᾶς ἀνθρωπαρεσκῆσαι, ἀλλὰ θεῷ ἀρέσαι, ὥσπερ καὶ ἀρέσκετε· οὐ γὰρ ἐγώ ποτε ἕξω καιρὸν τοιοῦτον θεοῦ ἐπιτυχεῖν, οὔτε ὑμεῖς, ἐὰν σιωπήσητε, κρείττονι ἔργῳ ἔχετε ἐπιγραφῆναι. Ἐὰν γὰρ σιωπήσητε ἀπ' ἐμοῦ, λόγος γενήσομαι θεοῦ· ἐὰν δὲ ἐρασθῆτε τῆς σαρκός μου, πάλιν ἔσομαι ἠχώ. Πλέον μοι μὴ παράσχησθε τοῦ σπονδισθῆναι θεῷ, ὡς ἔτι θυσιαςήριον ἕτοιμόν ἐςιν, ἵνα ἐν ἀγάπῃ χορὸς γενόμενοι ᾄσητε τῷ πατρὶ ἐν Χριςῷ Ἰησοῦ, ὅτι τὸν ἐπίσκοπον Συρίας ὁ θεὸς κατηξίωσεν εὑρεθῆναι εἰς δύσιν, ἀπὸ ἀνατολῆς μεταπεμψάμενος. Καλὸν τὸ δῦναι ἀπὸ κόσμου πρὸς θεὸν, ἵνα εἰς αὐτὸν ἀνατείλω.

3. Οὐδέποτε ἐβασκάνατε οὐδένα, ἄλλους ἐδιδάξατε· ἐγὼ δὲ θέλω, ἵνα κἀκεῖνα βέβαια ᾖ, ἃ μαθητεύοντες ἐντέλλεσθε. Μόνον μοι δύναμιν αἰτεῖσθε ἔσωθέν τε καὶ ἔξωθεν, ἵνα μὴ μόνον λέγω, ἀλλὰ καὶ θέλω, ἵνα μὴ μόνον λέγωμαι χριςιανὸς, ἀλλὰ καὶ εὑρεθῶ· ἐὰν γὰρ εὑρεθῶ, καὶ λέγεσθαι δύναμαι, καὶ τότε πιςὸς εἶναι, ὅταν κόσμῳ μὴ φαίνωμαι. Οὐδὲν φαινόμενον ἀγαθόν. Ὁ γὰρ θεὸς ἡμῶν Ἰησοῦς Χριςὸς ἐν πατρὶ ὢν μᾶλλον φαίνεται. Οὐ πεισμονῆς [2]) τὸ ἔργον, ἀλλὰ μεγέθους ἐςὶν ὁ χριςιανισμὸς, ὅταν μισῆται ὑπὸ κόσμου.

4. Ἐγὼ γράφω πάσαις ταῖς ἐκκλησίαις καὶ ἐντέλλομαι πᾶσιν, ὅτι ἐγὼ ἑκὼν ὑπὲρ θεοῦ ἀποθνήσκω, ἐάνπερ ὑμεῖς μὴ κωλύσητε. Παρακαλῶ ὑμᾶς, μὴ εὔνοια ἄκαιρος γένησθέ μοι· ἄφετέ με θηρίων εἶναι βορὰν, δι' ὧν ἔςι θεοῦ ἐπιτυχεῖν· σῖτός εἰμι θεοῦ, καὶ δι' ὀδόντων θηρίων ἀλήθομαι, ἵνα καθαρὸς ἄρτος

---

[1]) Μὴ въ другихъ спискахъ нѣтъ.

[2]) Πεισμονή—ложное убѣжденіе, какъ у Апост. Павла къ Галат. 5, 8.

εὑρεθῶ τοῦ Χριστοῦ· μᾶλλον κολακεύσατε τὰ θηρία, ἵνα μοι τάφος γένωνται καὶ μηδὲν καταλίπωσι τῶν τοῦ σώματός μου, ἵνα μὴ κοιμηθεὶς βαρύς τινι γένωμαι· τότε ἔσομαι μαθητὴς ἀληθὴς τοῦ Χριστοῦ, ὅτε οὐδὲ τὸ σῶμά μου ὁ κόσμος ὄψεται· λιτανεύσατε τὸν Χριστὸν ὑπὲρ ἐμοῦ, ἵνα διὰ τῶν ὀργάνων τούτων θεῷ θυσία εὑρεθῶ. Οὐχ ὡς Πέτρος καὶ Παῦλος διατάσσομαι ὑμῖν· εκεῖνοι ἀπόστολοι, ἐγὼ κατάκριτος· ἐκεῖνοι ἐλεύθεροι, ἐγὼ δὲ μέχρι νῦν δοῦλος· ἀλλ' ἐὰν πάθω, ἀπελεύθερος Ἰησοῦ Χριστοῦ, καὶ ἀναστήσομαι ἐν αὐτῷ ἐλεύθερος [1])· νῦν μανθάνω δεδεμένος μηδὲν ἐπιθυμεῖν.

5. Ἀπὸ Συρίας μέχρι Ῥώμης θηριομαχῶ διὰ γῆς καὶ θαλάσσης, νυκτὸς καὶ ἡμέρας δεδεμένος δέκα λεοπάρδοις, ὅ ἐστι στρατιωτικὸν τάγμα· οἳ καὶ εὐεργετούμενοι χείρους γίνονται. Ἐν δὲ τοῖς ἀδικήμασιν αὐτῶν μᾶλλον μαθητεύομαι, «ἀλλ' οὐ παρὰ τοῦτο δεδικαίωμαι» [2]). Ὀναίμην τῶν θηρίων τῶν ἐμοὶ ἡτοιμασμένων, καὶ εὔχομαι σύντομα μοι εὑρεθῆναι· ἃ καὶ κολακεύσω, συντόμως με καταφαγεῖν, οὐχ ὥσπερ τινῶν δειλαινόμενα οὐχ ἥψατο· κἂν αὐτὰ δὲ ἑκόντα μὴ θελήσῃ, ἐγὼ προσβιάσομαι. Συγγνώμην μοι ἔχετε· τί μοι συμφέρει, ἐγὼ γινώσκω· νῦν ἄρχομαι μαθητὴς εἶναι, μηδέν με ζηλῶσαι τῶν ὁρατῶν καὶ ἀοράτων, ἵνα Ἰησοῦ Χριστοῦ ἐπιτύχω· πῦρ καὶ σταυρὸς θηρίων τε συστάσεις, ἀνατομαὶ, διαιρέσεις, σκορπισμοὶ ὀστέων, συγκοπὴ μελῶν, ἀλεσμοὶ [3]) ὅλου τοῦ σώματος, κακαὶ κολάσεις τοῦ διαβόλου ἐπ' ἐμὲ ἐρχέσθωσαν, μόνον ἵνα Ἰησοῦ Χριστοῦ ἐπιτύχω.

6. Οὐδέν μοι ὠφελήσει τὰ τερπνὰ τοῦ κόσμου, οὐδὲ αἱ βασιλεῖαι τοῦ αἰῶνος τούτου· καλόν μοι ἀποθανεῖν εἰς Χριστὸν Ἰησοῦν, ἢ βασιλεύειν τῶν περάτων τῆς γῆς. Ἐκεῖνον ζητῶ, τὸν ὑπὲρ ἡμῶν ἀποθανόντα· ἐκεῖνον θέλω, τὸν δι' ἡμᾶς ἀναστάντα· ὁ δὲ τοκετός [4]) μοι ἐπίκειται. Σύγγνωτέ μοι, ἀδελφοί· μὴ ἐμποδίσητέ μοι ζῆσαι, μὴ θελήσητέ με ἀποθανεῖν· τὸν τοῦ θεοῦ θέλοντα εἶναι κόσμῳ μὴ χαρίσησθε μηδὲ ὕλῃ ἐξαπατήσητε· ἄφετέ με καθαρὸν φῶς λαβεῖν· ἐκεῖ παραγενόμενος ἄνθρωπος ἔσομαι·

---

[1]) 1 Кор. 9. 1; 7. 22. [2]) 1 Кор. 4. 4.

[3]) Ἀλεσμὸς вм. ἄλετος или ἄλεσις.

[4]) Τοκετὸς, т. е. рожденіе въ новую жизнь.

ἐπιτρέψατέ μοι μιμητὴν εἶναι τοῦ πάθους τοῦ θεοῦ μου. Εἴ τις αὐτὸν ἐν ἑαυτῷ ἔχει, νοησάτω ὃ θέλω, καὶ συμπαθείτω μοι, εἰδὼς τὰ συνέχοντά με.

7. Ὁ ἄρχων τοῦ αἰῶνος τούτου διαρπάσαι με βούλεται καὶ τὴν εἰς θεόν μου γνώμην διαφθεῖραι. Μηδεὶς οὖν τῶν παρόντων ὑμῶν βοηθείτω αὐτῷ· μᾶλλον ἐμοῦ γίνεσθε, τουτέςι τοῦ θεοῦ. Μὴ λαλεῖτε Ἰησοῦν Χριςὸν, κόσμον δὲ ἐπιθυμεῖτε· βασκανία ἐν ὑμῖν μὴ κατοικείτω, μηδ᾽ ἂν ἐγὼ παρὼν παρακαλῶ ὑμᾶς, πείσθητέ μοι· τούτοις δὲ μᾶλλον πείσθητε, οἷς γράφω ὑμῖν· ζῶν γὰρ γράφω ὑμῖν, ἐρῶν τοῦ ἀποθανεῖν· ὁ ἐμὸς ἔρως [1]) ἐςαύρωται, καὶ οὐκ ἔςιν ἐν ἐμοὶ πῦρ φιλόϋλον [2])· ὕδωρ δὲ ζῶν καὶ λαλοῦν ἐν ἐμοὶ, ἔσωθέν μοι λέγον· «δεῦρο πρὸς τὸν πατέρα» [3]). Οὐχ ἥδομαι τροφῇ φθορᾶς, οὐδὲ ἡδοναῖς τοῦ βίου τούτου· ἄρτον θεοῦ θέλω, ὅ ἐςι σὰρξ Ἰησοῦ Χριςοῦ, τοῦ ἐκ σπέρματος Δαβὶδ, καὶ πόμα θέλω τὸ αἷμα αὐτοῦ, ὅ ἐςιν ἀγάπη ἄφθαρτος.

8. Οὐκέτι θέλω κατὰ ἀνθρώπους ζῆν· τοῦτο δὲ ἔςαι, ἐὰν ὑμεῖς θελήσητε· θελήσατε, ἵνα καὶ ὑμεῖς θεληθῆτε. Δι᾽ ὀλίγων γραμμάτων αἰτοῦμαι ὑμᾶς· πιςεύσατέ μοι. Ἰησοῦς δὲ Χριςὸς ὑμῖν ταῦτα φανερώσει, ὅτι ἀληθῶς λέγω, τὸ ἀψευδὲς ςόμα, ἐν ᾧ ὁ πατὴρ ἐλάλησεν ἀληθῶς. Αἰτήσασθε περὶ ἐμοῦ, ἵνα ἐπιτύχω· οὐ κατὰ σάρκα ὑμῖν ἔγραψα, ἀλλὰ κατὰ γνώμην θεοῦ· ἐὰν πάθω, ἠθελήσατε· ἐὰν ἀποδοκιμασθῶ, ἐμισήσατε.

9. Μνημονεύετε ἐν τῇ προσευχῇ ὑμῶν τῆς ἐν Συρίᾳ ἐκκλησίας, ἥτις ἀντὶ ἐμοῦ ποιμένι τῷ θεῷ χρῆται. Μόνος αὐτὴν Ἰησοῦς Χριςὸς ἐπισκοπήσει, καὶ ἡ ὑμῶν ἀγάπη· ἐγὼ δὲ αἰσχύνομαι ἐξ αὐτῶν λέγεσθαι· οὐδὲ γὰρ ἄξιός εἰμι, ὢν ἔσχατος αὐτῶν καὶ ἔκτρωμα [4])· ἀλλ᾽ ἠλέημαί τις εἶναι, ἐὰν θεοῦ ἐπιτύχω. Ἀσπάζεται ὑμᾶς τὸ ἐμὸν πνεῦμα καὶ ἡ ἀγάπη τῶν ἐκκλησιῶν τῶν δεξαμένων με εἰς ὄνομα Ἰησοῦ Χριςοῦ, οὐχ ὡς παροδεύοντα· καὶ γὰρ αἱ μὴ προσήκουσαί μοι τῇ ὁδῷ, τῇ κατὰ σάρκα, κατὰ πόλιν με προῆγον.

---

[1]) Ἔρως—любовь къ чувственнымъ удовольствіямъ. Ср. Апостола Павла къ Галат 6. 14.

[2]) Рим. 6. 6. [3]) Іоан. 4. 14, [4]) 1 Кор: 15. 8.

10. Γράφω δὲ ὑμῖν ταῦτα ἀπὸ Σμύρνης δι' Ἐφεσίων τῶν ἀξιομακαρίςων. Ἔςι δὲ καὶ ἅμα ἐμοὶ σὺν ἄλλοις πολλοῖς καὶ Κρόκος, τὸ ποθητόν μοι ὄνομα. Περὶ τῶν προελθόντων με ἀπὸ Συρίας εἰς Ῥώμην εἰς δόξαν τοῦ θεοῦ, πιςεύω ὑμᾶς ἐπεγνωκέναι, οἷς καὶ δηλώσατε ἐγγύς με ὄντα· πάντες γάρ εἰσιν ἄξιοι τοῦ θεοῦ καὶ ὑμῶν, οὓς πρέπον ὑμῖν ἐςι κατὰ πάντα ἀναπαῦσαι. Ἔγραψα δὲ ὑμῖν ταῦτα τῇ πρὸ ἐννέα καλανδῶν Σεπτεμβρίων. Ἔρρωσθε εἰς τέλος ἐν ὑπομονῇ Ἰησοῦ Χριςοῦ [1]).

---

## 2.

## ΣΜΥΡΝΑΙΟΙΣ ΙΓΝΑΤΙΟΣ.

## Глав. 1—13.

Ἰγνάτιος, ὁ καὶ Θεοφόρος, ἐκκλησίᾳ θεοῦ πατρὸς καὶ τοῦ ἠγαπημένου Ἰησοῦ Χριςοῦ, ἠλεημένῃ ἐν παντὶ χαρίσματι, πεπληρωμένῃ ἐν πίςει καὶ ἀγάπῃ, ἀνυςερήτῳ οὔσῃ παντὸς χαρίσματος, θεοπρεπεςάτῃ καὶ ἁγιοφόρῳ, τῇ οὔσῃ ἐν Σμύρνῃ τῆς Ἀσίας, ἐν ἀμώμῳ πνεύματι καὶ λόγῳ θεοῦ πλεῖςα χαίρειν·—

1. Δοξάζων Ἰησοῦν Χριςὸν τὸν θεόν, τὸν οὕτως ὑμᾶς σοφίσαντα· ἐνόησα γὰρ ὑμᾶς κατηρτισμένους ἐν ἀκινήτῳ πίςει, ὥσπερ καθηλωμένους ἐν τῷ ςαυρῷ τοῦ κυρίου Ἰησοῦ Χριςοῦ σαρκί τε καὶ πνεύματι καὶ ἡδρασμένους ἐν ἀγάπῃ ἐν τῷ αἵματι Χριςοῦ, πεπληροφορημένους εἰς τὸν κύριον ἡμῶν, ἀληθῶς ὄντα «ἐκ γένους Δαβὶδ κατὰ σάρκα» [2]), υἱὸν θεοῦ κατὰ θέλημα καὶ δύναμιν θεοῦ γεγενημένον ἀληθῶς ἐκ παρθένου, βεβαπτισμένον ὑπὸ Ἰωάννου, ἵνα «πληρωθῇ πᾶσα δικαιοσύνη ὑπ' αὐτοῦ» [3]), ἀληθῶς ἐπὶ Ποντίου Πιλάτου καὶ Ἡρώδου τετράρχου καθηλωμένον ὑπὲρ ἡμῶν ἐν σαρκί—ἀφ' οὗ καρποῦ ἡμεῖς, ἀπὸ τοῦ θεομακαρίτου αὐτοῦ πάθους—, ἵνα «ἄρῃ σύσσημον». [4]) εἰς

---

[1]) I. e. 23 Августа.

[2]) Рим. 1. 4. [3]) Мат. 3. 15.

[4]) Исаія 5. 26. Σύσσημον тоже, что σημεῖον, σύμβολον.

τους αἰῶνας διὰ τῆς ἀναστάσεως εἰς τοὺς ἁγίους καὶ πιστοὺς αὐτοῦ εἴτε ἐν Ἰουδαίοις, εἴτε ἐν ἔθνεσιν ἐν ἑνὶ σώματι τῆς ἐκκλησίας αὐτοῦ.

2. Ταῦτα γὰρ πάντα ἔπαθε δι᾽ ἡμᾶς, ἵνα σωθῶμεν· καὶ ἀληθῶς ἔπαθεν, ὡς καὶ ἀληθῶς ἀνέστησεν ἑαυτόν, οὐχ ὥσπερ ἄπιστοί τινες λέγουσι, τὸ δοκεῖν αὐτὸν πεπονθέναι, αὐτοὶ τὸ δοκεῖν ὄντες· καὶ καθὼς φρονοῦσι καὶ συμβήσεται αὐτοῖς, οὖσιν ἀσωμάτοις καὶ δαιμονικοῖς.

3. Ἐγὼ γὰρ καὶ μετὰ τὴν ἀνάστασιν ἐν σαρκὶ αὐτὸν οἶδα καὶ πιστεύω ὄντα. Καὶ ὅτε πρὸς τοὺς περὶ Πέτρον ἦλθεν, ἔφη αὐτοῖς· «λάβετε, ψηλαφήσατέ με καὶ ἴδετε, ὅτι οὐκ εἰμὶ δαιμόνιον ἀσώματον» [1]· καὶ εὐθὺς αὐτοῦ ἥψαντο καὶ ἐπίστευσαν, κραθέντες [2] τῇ σαρκὶ αὐτοῦ καὶ τῷ πνεύματι· διὰ τοῦτο καὶ θανάτου κατεφρόνησαν, ηὑρέθησαν δὲ ὑπὲρ θάνατον· μετὰ δὲ τὴν ἀνάστασιν συνέφαγεν αὐτοῖς καὶ συνέπιεν ὡς σαρκικός, καίπερ πνευματικῶς ἡνωμένος τῷ πατρί [3].

4. Ταῦτα δὲ παραινῶ ὑμῖν, ἀγαπητοί, εἰδώς, ὅτι καὶ ὑμεῖς οὕτως ἔχετε. Προφυλάσσω δὲ ὑμᾶς ἀπὸ τῶν θηρίων τῶν ἀνθρωπομόρφων, οὓς οὐ μόνον δεῖ ὑμᾶς μὴ παραδέχεσθαι, ἀλλ᾽ εἰ δυνατὸν μηδὲ συναντᾶν, μόνον δὲ προσεύχεσθαι ὑπὲρ αὐτῶν, ἐάν πως μετανοήσωσιν, ὅπερ δύσκολον· τούτου δὲ ἔχει ἐξουσίαν Ἰησοῦς Χριστός, τὸ ἀληθινὸν ἡμῶν ζῆν. Εἰ γὰρ τὸ δοκεῖν ταῦτα ἐπράχθη ὑπὸ τοῦ κυρίου ἡμῶν, κἀγὼ τὸ δοκεῖν δέδεμαι· τί δὲ καὶ ἑαυτὸν ἔκδοτον δέδωκα τῷ θανάτῳ, πρὸς πῦρ, πρὸς μάχαιραν, πρὸς θηρία; ἀλλ᾽ ἐγγὺς μαχαίρας ἐγγὺς θεοῦ, μεταξὺ θηρίων μεταξὺ θεοῦ, μόνον ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ· εἰς τὸ συμπαθεῖν αὐτῷ πάντα ὑπομένω, αὐτοῦ με ἐνδυναμοῦντος τοῦ τελείου ἀνθρώπου γενομένου.

5. Ὅν τινες ἀγνοοῦντες ἀρνοῦνται, μᾶλλον δὲ ἠρνήθησαν ὑπ᾽ αὐτοῦ, ὄντες συνήγοροι τοῦ θανάτου μᾶλλον ἢ τῆς ἀληθείας· οὓς οὐκ ἔπεισαν αἱ προφητεῖαι οὐδὲ ὁ νόμος Μωϋσέως, ἀλλ᾽ οὐδὲ

[1]) Лук. 24. 39.

[2]) Κραθέντες отъ κεράννυμι, смѣшиваю, соединяю; здѣсь означаетъ внутреннее соединеніе.

[3]) Дѣян. 10. 31.

μέχρι νῦν τὸ εὐαγγέλιον οὐδὲ τὰ ἡμέτερα τῶν κατ' ἄνδρα παθήματα. Καὶ γὰρ περὶ ἡμῶν τὸ αὐτὸ φρονοῦσι· τί γάρ με ὠφελεῖ τις, εἰ ἐμὲ ἐπαινεῖ, τὸν δὲ κύριόν μου βλασφημεῖ, μὴ ὁμολογῶν αὐτὸν σαρκοφόρον; ὁ δὲ τοῦτο μὴ λέγων τελείως αὐτὸν ἀπήρνηται, ὢν νεκροφόρος. Τὰ δὲ ὀνόματα αὐτῶν, ὄντα ἄπιστα, οὐκ ἔδοξέ μοι ἐγγράψαι· ἀλλὰ μηδὲ γένοιτό μοι αὐτῶν μνημονεύειν, μέχρις οὗ μετανοήσωσιν εἰς τὸ πάθος [1], ὅ ἐστιν ἡμῶν ἀνάςασις.

6. Μηδεὶς πλανάσθω· καὶ τὰ ἐπουράνια καὶ ἡ δόξα τῶν ἀγγέλων καὶ οἱ ἄρχοντες ὁρατοί τε καὶ ἀόρατοι, ἐὰν μὴ πιςεύσωσιν εἰς τὸ αἷμα Χριςοῦ, κἀκείνοις κρίσις ἐςιν· «ὁ χωρῶν χωρείτω» [2]. Τόπος μηδένα φυσιούτω· τὸ γὰρ ὅλον ἐςὶ πίςις καὶ ἀγάπη, ὧν οὐδὲν προκέκριται. Καταμάθετε δὲ τοὺς ἑτεροδοξοῦντας εἰς τὴν χάριν Ἰησοῦ Χριςοῦ τὴν εἰς ἡμᾶς ἐλθοῦσαν, πῶς ἐναντίοι εἰσὶ τῇ γνώμῃ τοῦ θεοῦ· περὶ ἀγάπης [3]) οὐ μέλει αὐτοῖς, οὐ περὶ χήρας, οὐ περὶ ὀρφανοῦ, οὐ περὶ θλιβομένου, οὐ περὶ δεδεμένου ἢ λελυμένου, οὐ περὶ πεινῶντος ἢ διψῶντος.

7. Εὐχαριςίας καὶ προσευχῆς ἀπέχονται διὰ τὸ μὴ ὁμολογεῖν, τὴν εὐχαριςίαν [4]) σάρκα εἶναι τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριςοῦ, τὴν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν παθοῦσαν, ἣν τῇ χρηςότητι ὁ πατὴρ ἤγειρεν. Οἱ οὖν ἀντιλέγοντες τῇ δωρεᾷ τοῦ θεοῦ συζητοῦντες ἀποθνήσκουσι· συνέφερε δὲ αὐτοῖς ἀγαπᾶν, ἵνα καὶ ἀναςῶσι. Πρέπον οὖν ἐςὶν ἀπέχεσθαι τῶν τοιούτων καὶ μήτε κατ' ἰδίαν περὶ αὐτῶν λαλεῖν μήτε κοινῇ, προσέχειν δὲ τοῖς προφήταις, ἐξαιρέτως δὲ τῷ εὐαγγελίῳ, ἐν ᾧ τὸ πάθος [5])

---

[1]) Т. е. пока не перемѣнятъ своихъ мыслей касательно страданія Христова.

[2]) Мат. 19. 12.

[3]) Подъ словомъ ἀγάπη, вѣроятно, здѣсь разумѣется *вечеря любви*, какъ и ниже въ словахъ: ἀγάπην ποιεῖν.

[4]) Εὐχαριςία—благодарственная молитва, потомъ—священнодѣйствіе Тѣла и Крови Христовой въ таинствѣ причащенія, по примѣру Спасителя (Мат. 26. 27. Лук. 22. 19), наконецъ самые св. дары сего таинства. Въ послѣднемъ смыслѣ это слово встрѣчается прежде всѣхъ у св. Игнатія.

[5]) Т. е. Христово страданіе.

ἡμῖν δεδήλωται, καὶ ἡ ἀνάστασις τετελείωται· τοὺς δὲ μερισμοὺς φεύγετε ὡς ἀρχὴν κακῶν.

8. Πάντες τῷ ἐπισκόπῳ ἀκολουθεῖτε, ὡς Ἰησοῦς Χριστὸς τῷ πατρί, καὶ τῷ πρεσβυτερίῳ ὡς τοῖς ἀποστόλοις· τοὺς δὲ διακόνους ἐντρέπεσθε, ὡς θεοῦ ἐντολήν· μηδεὶς χωρὶς τοῦ ἐπισκόπου τι πρασσέτω τῶν ἀνηκόντων εἰς τὴν ἐκκλησίαν· ἐκείνη βεβαία εὐχαριστία ἡγείσθω, ἡ ὑπὸ τὸν ἐπίσκοπον οὖσα, ἢ ᾧ ἂν αὐτὸς ἐπιτρέψῃ· ὅπου ἂν φανῇ ὁ ἐπίσκοπος, ἐκεῖ τὸ πλῆθος ἔστω, ὥσπερ ὅπου ἂν ᾖ Χριστὸς Ἰησοῦς, ἐκεῖ ἡ καθολικὴ ἐκκλησία· οὐκ ἐξὸν ἐστι χωρὶς τοῦ ἐπισκόπου οὔτε βαπτίζειν οὔτε ἀγάπην ποιεῖν· ἀλλ' ὃ ἂν ἐκεῖνος δοκιμάσῃ, τοῦτο καὶ τῷ θεῷ εὐάρεστον. ἵνα ἀσφαλὲς ᾖ καὶ βέβαιον πᾶν ὃ πράσσεται.

9. Εὔλογόν ἐστι λοιπὸν ἀνανῆψαι καί, ὡς ἔτι καιρὸν ἔχομεν, εἰς θεὸν μετανοεῖν. Καλῶς ἔχει θεὸν καὶ ἐπίσκοπον εἰδέναι· ὁ τιμῶν ἐπίσκοπον ὑπὸ θεοῦ τετίμηται· ὁ λάθρα ἐπισκόπου τι πράσσων τῷ διαβόλῳ λατρεύει. Πάντα οὖν ὑμῖν ἐν χάριτι περισσευέτω· ἄξιοι γάρ ἐστε· κατὰ πάντα με ἀνεπαύσατε, καὶ ὑμᾶς Ἰησοῦς Χριστός· ἀπόντα με καὶ παρόντα ἠγαπήσατε· ἀμείβοι ὑμῖν θεός, δι' ὃν πάντα ὑπομένοντες αὐτοῦ τεύξεσθε.

10. Φίλωνα καὶ Ῥέον Ἀγαθόπουν, οἳ ἐπηκολούθησάν μοι εἰς λόγον [1]) θεοῦ, καλῶς ἐποιήσατε ὑποδεξάμενοι ὡς διακόνους Χριστοῦ θεοῦ· οἳ καὶ εὐχαριστοῦσι τῷ κυρίῳ ὑπὲρ ὑμῶν, ὅτι αὐτοὺς ἀνεπαύσατε κατὰ πάντα τρόπον. Οὐδὲν ὑμῖν οὐ μὴ ἀπολεῖται· ἀντίψυχον ὑμῶν τὸ πνεῦμά μου καὶ τὰ δεσμά μου, ἃ οὐχ ὑπερηφανήσατε οὐδὲ ἐπησχύνθητε· οὐδὲ ὑμᾶς ἐπαισχυνθήσεται ἡ τελεία πίστις [2]), Ἰησοῦς Χριστός.

11. Ἡ προσευχὴ ὑμῶν ἀπῆλθεν ἐπὶ τὴν ἐκκλησίαν τὴν ἐν Ἀντιοχείᾳ τῆς Συρίας· ὅθεν δεδεμένος θεοπρεπεστάτοις δεσμοῖς, πάντας ἀσπάζομαι, οὐκ ὢν ἄξιος ἐκεῖθεν εἶναι, ἔσχατος αὐτῶν ὤν· κατὰ θέλημα [3]) δὲ κατηξιώθην, οὐκ ἐκ συνειδότος [4]), ἀλλ'

---

[1]) Εἰς λόγον—ради, для.

[2]) Т. е. Начальникъ и Совершитель Вѣры, Іис. Христосъ. Евр. 12. 2.

[3]) Т. е. какъ по волѣ Божіей, такъ и по собственной, согласной съ Божіею.

[4]) Συνειδὸς—сознаніе собственнаго достоинства.

ἐκ χάριτος θεοῦ, ἣν εὔχομαι τελείαν μοι δοθῆναι, ἵνα ἐν τῇ προσευχῇ ὑμῶν θεοῦ ἐπιτύχω. Ἵνα οὖν τέλειον ὑμῶν γένηται τὸ ἔργον καὶ ἐπὶ γῆς καὶ ἐν οὐρανῷ, πρέπει εἰς τιμὴν θεοῦ χειροτονῆσαι τὴν ἐκκλησίαν ὑμῶν θεοπρεσβευτὴν, εἰς τὸ γενόμενον ἕως Συρίας συγχαρῆναι αὐτοῖς, ὅτι εἰρηνεύουσι καὶ ἀπέλαβον τὸ ἴδιον μέγεθος, καὶ ἀπεκατεςάθη αὐτοῖς τὸ ἴδιον σωμάτιον. Ἐφάνη μοι οὖν ἄξιον πρᾶγμα, πέμψαι τινὰ τῶν ὑμετέρων μετ' ἐπιςολῆς, ἵνα συνδοξάσῃ τὴν κατὰ θεὸν αὐτοῖς γενομένην εὐδίαν, καὶ ὅτι λιμένος ἤδη ἐτύγχανε τῇ προσευχῇ ὑμῶν. Τέλειοι ὄντες, τέλεια καὶ φρονεῖτε· θέλουσι γὰρ ὑμῖν εὖ πράσσειν θεὸς ἕτοιμος εἰς τὸ παρασχεῖν.

12. Ἀσπάζεται ὑμᾶς ἡ ἀγάπη τῶν ἀδελφῶν τῶν ἐν Τρωάδι· ὅθεν καὶ γράφω ὑμῖν διὰ Βούρρου, ὃν ἀπεςείλατε μετ' ἐμοῦ ἅμα Ἐφεσίοις, τοῖς ἀδελφοῖς ὑμῶν, ὃς κατὰ πάντα με ἀνέπαυσε· καὶ ὄφελον πάντες αὐτὸν ἐμιμοῦντο, ὄντα ἐξεμπλάριον [1]) θεοῦ διακονίας· ἀμείψεται αὐτὸν ἡ χάρις κατὰ πάντα. Ἀσπάζομαι τὸν ἀξιόθεον ἐπίσκοπον καὶ θεοπρεπὲς πρεσβυτέριον, τοὺς συνδούλους μου διακόνους καὶ τοὺς κατ' ἄνδρα καὶ κοινῇ πάντας ἐν ὀνόματι Ἰησοῦ Χριςοῦ καὶ τῇ σαρκὶ αὐτοῦ καὶ τῷ αἵματι, πάθει τε καὶ ἀναςάσει, σαρκικῇ τε καὶ πνευματικῇ ἑνότητι θεοῦ καὶ ὑμῶν· χάρις ὑμῖν, ἔλεος, εἰρήνη, ὑπομονὴ διὰ παντός.

13. Ἀσπάζομαι τοὺς οἴκους τῶν ἀδελφῶν μου σὺν γυναιξὶ καὶ τέκνοις καὶ τὰς παρθένους, τὰς λεγομένας χήρας. Ἔρρωσθέ μοι ἐν δυνάμει πνεύματος. Ἀσπάζεται ὑμᾶς Φίλων, σὺν ἐμοὶ ὤν. Ἀσπάζομαι τὸν οἶκον Ταουΐας, ἣν εὔχομαι ἑδρᾶσθαι πίςει καὶ ἀγάπῃ σαρκικῇ τε καὶ πνευματικῇ. Ἀσπάζομαι Ἄλκην, τὸ ποθητόν μοι ὄνομα, καὶ Δάφνον, τὸν ἀσύγκριτον καὶ Εὔτεκνον, καὶ πάντας κατ' ὄνομα. Ἔρρωσθε ἐν χάριτι θεοῦ.

---

[1]) **Съ латинскаго: exemplarium, образецъ, примѣръ.**

## III.

# СВ. ІУСТИНЪ ФИЛОСОФЪ И МУЧЕНИКЪ.

За мужами апостольскими, назидавшими христіанскую Церковь своими твореніями, слѣдуютъ писатели, извѣстные подъ именемъ *апологетовъ*, т. е. защитниковъ христіанскаго ученія и самихъ христіанъ отъ несправедливыхъ нареканій и гоненій со стороны іудеевъ, язычниковъ и еретиковъ. Изъ немногочисленныхъ отцевъ Церкви-апологетовъ, упоминаемыхъ въ первоначальной исторіи Христіанства, св. Іустинъ философъ и мученикъ есть первый, котораго нѣкоторыя сочиненія дошли до насъ въ цѣлости.

Св. Іустинъ, сынъ Приска, внукъ Вакхія, родился въ Палестинскомъ городѣ Флавіѣ Неаполѣ, на мѣстѣ древняго Сихема, отъ родителей греческой національности и языческой вѣры, какъ онъ самъ говоритъ о себѣ (Апол. 1. гл. 1. Разгов. съ Трифон. Іуд. гл. 28 и 41), около 105 года по Р. Х. Съ юныхъ лѣтъ побуждаемый жаждою истиннаго знанія, онъ посѣщалъ попремѣнно тогдашнія философскія школы Стоика, Перипатетика, Пиѳагорейца и наконецъ Платоника, у которыхъ однако не нашелъ истинной мудрости; но однажды, когда онъ въ уединеніи на берегу моря размышлялъ о Богѣ, предъ нимъ предсталъ неизвѣстный старецъ (по свидѣтельству Евсевія. Цер. Ист. 2. 3. Учен. объ отц. Церк. Филарета. Т. 1, стр. 55, это былъ одинъ изъ мужей апостольскихъ) и, убѣдивъ его въ недостаточности всей языческой философіи,

указалъ ему на книги ветхозавѣтныхъ пророковъ и христіанъ, какъ на единственный свѣтлый источникъ чистаго богопознанія. Съ тѣхъ поръ чтеніе св. Писанія сдѣлалось главнымъ занятіемъ св. Іустина, которое и воспитало въ немъ рѣшимость сдѣлаться христіаниномъ, приведенную въ исполненіе около 133 года. За тѣмъ, не оставивъ философской мантіи и имени философа, онъ путешествовалъ по Азіи, Греціи и Италіи, проповѣдуя и другимъ христіанскую вѣру, въ которой нашелъ для себя источникъ божественнаго свѣта и духовнаго мира, былъ два раза въ Римѣ, гдѣ основалъ христіанскую школу и по долгу учителя (имѣя санъ пресвитера, какъ полагаютъ, I. A. Möhler, въ Patrologie. 1840. B. I. Iustinus, praef. и другіе) считалъ своею непремѣнною обязанностію защищать христіанство съ такою смѣлостію и неутомимою ревностію, что по ненависти враговъ христіанской вѣры, особенно циническаго философа Кресцентія, потерпѣлъ мученическую смерть, бывъ обезглавленъ при префектѣ Рустикѣ въ 166 или 167 году (Евсевія Церк. Ист. 4. 16. Іерон. de vir. illustr. c. 33). Память его празднуется православною Церковію 1-го Іюня.

Какъ писатель, св. Іустинъ въ своихъ сочиненіяхъ является вѣрнымъ провозвѣстникомъ истины, котораго голосъ благовременно раздавался среди тогдашняго міра, и «мужемъ, достигшимъ высоты какъ христіанской, такъ и внѣшней философіи, и отличающимся многоученостію и богатствомъ историческихъ свѣдѣній, равно и словеснымъ изложеніемъ сильнымъ, хотя и чуждымъ искуственныхъ украшеній» (Фотій, въ Biblioth. cod. CXXV); но главнымъ образомъ онъ знаменитъ, какъ защитникъ христіанства, опровергавшій причины воздвигаемыхъ на него гоненій и вмѣстѣ объяснявшій христіанскія истины іудеямъ и

язычникамъ, къ которымъ обращены несомнѣнно подлинныя сочиненія его: *Апологіи* 1 и 2 и *разговоръ съ Трифономъ Іудеемъ* (Памятники древней христ. письменности въ русскомъ переводѣ. Т. 3. Москва. 1862 г.).

Предлагаемая здѣсь 2-я апологія, поданная св. Іустиномъ римскому Сенату, составляетъ дополненіе къ его 1-й апологіи, представленной около 150 года императорамъ Антонину и сыну его Марку Аврелію, вызванное новымъ гоненіемъ на христіанъ и неблагонамѣренными сужденіями о нихъ враговъ вѣры. Разговоръ же съ Трифономъ, въ которомъ разрѣшаются предубѣжденія Іудейскаго учителя противъ христіанскихъ истинъ, въ первыхъ главахъ своихъ содержитъ весьма поучительное повѣствованіе о первоначальномъ воспитаніи и замѣчательномъ обращеніи въ Христіанство самаго апологета.

Новѣйшія и лучшія изданія твореній св. Іустина суть:

1. S. Iustini Martyris et Philosophi Apologiae. Ed. Ioan. Wil. Ios. Braunius. Edit. 2. Bonnae. 1860.

2. Patrologiae Cursus Compl. Ed. I. P. Migne. Ser. graec. T. VI. Paris. 1857.

3. Corpus apologetarum christianorum saeculi secundi. Ed. Io. Car. T. Th. Egres de Otto. Ienae. T. I. Pars. I et II. 1875—7.

Изъ послѣдняго изданія и заимствованъ текстъ предлагаемыхъ твореній св. Іустина.

## I.

# ΤΟΥ ΑΓΙΟΥ ΙΟΥΣΤΙΝΟΥ ΦΙΛΟΣΟΦΟΥ ΚΑΙ ΜΑΡΤΥΡΟΣ

## ΑΠΟΛΟΓΙΑ ΥΠΕΡ ΧΡΙΣΤΙΑΝΩΝ ΠΡΟΣ ΤΗΝ ΡΩΜΑΙΩΝ ΣΥΓΚΛΗΤΟΝ.

## Глав. 1—15.

1. Καὶ τὰ χθὲς δὲ καὶ πρώην [1]) ἐν τῇ πόλει ὑμῶν γενόμενα ἐπὶ Οὐρβίκου [2]), ὦ Ῥωμαῖοι, καὶ τὰ πανταχοῦ ὁμοίως ὑπὸ τῶν ἡγουμένων ἀλόγως πραττόμενα ἐξηνάγκασέ με ὑπὲρ ἡμῶν, ὁμοιοπαθῶν ὄντων καὶ ἀδελφῶν, κἂν ἀγνοῆτε καὶ μὴ θέλητε διὰ τὴν δόξαν τῶν νομιζομένων ἀξιωμάτων, τὴν τῶνδε τῶν λόγων σύνταξιν ποιήσασθαι. Πανταχοῦ γὰρ, ὃς ἂν σωφρονίζηται ὑπὸ πατρὸς ἢ γείτονος ἢ τέκνου ἢ φίλου ἢ ἀδελφοῦ ἢ ἀνδρὸς ἢ γυναικὸς κατ᾽ ἔλλειψιν, χωρὶς τῶν πεισθέντων τοὺς ἀδίκους καὶ ἀκολάστους ἐν αἰωνίῳ πυρὶ κολασθήσεσθαι, τοὺς δ᾽ ἐναρέτους καὶ ὁμοίως Χριςῷ βιώσαντας ἐν ἀπαθείᾳ συγγενήσεσθαι τῷ θεῷ (λέγομεν δὲ τῶν γενομένων χριστιανῶν), διὰ τὸ δυσμετάθετον καὶ φιλήδονον καὶ δυσκίνητον πρὸς τὸ καλὸν ὁρμῆσαι, καὶ [3]) οἱ φαῦλοι δαίμονες, ἐχθραίνοντες ἡμῖν καὶ τοὺς τοιούτους δικαςὰς ἔχοντες ὑποχειρίους καὶ λατρεύοντας, ὡς οὖν ἄρχοντας δαιμονιῶντας, φονεύειν ἡμᾶς παρασκευάζουσιν. Ὅπως δὲ καὶ ἡ αἰτία του παντὸς γενομένου ἐπὶ Οὐρβίκου φανερὰ ὑμῖν γένηται, τὰ πεπραγμένα ἀπαγγελῶ.

2. Γυνή τις συνεβίου ἀνδρὶ ἀκολασαίνοντι, ἀκολασαίνουσα καὶ αὐτὴ πρότερον. Ἐπεὶ δὲ τὰ τοῦ Χριςοῦ διδάγματα ἔγνω, αὐτὴ ἐσωφρονίσθη καὶ τὸν ἄνδρα ὁμοίως σωφρονεῖν πείθειν ἐπειρᾶτο, τὰ διδάγματα ἀναφέρουσα, τήν τε μέλλουσαν τοῖς οὐ σωφρόνως καὶ μετὰ λόγου ὀρθοῦ βιοῦσιν ἔσεσθαι ἐν αἰωνίῳ πυρὶ κόλασιν ἀπαγγέλλουσα. Ὁ δὲ ταῖς αὐταῖς ἀσελγείαις ἐπιμένων

---

[1]) Χθὲς καὶ πρώην—изреченіе, употребляющееся въ видѣ пословицы и въ смыслѣ: не такъ давно.

[2]) Lollius Urbicus—префектъ г. Рима при Императорѣ Антонинѣ 1.

[3]) Καὶ—связь мыслей: какъ озлобленные люди, такъ и злые демоны παρασκευάζουσιν.

ἀλλοτρίαν διὰ τῶν πράξεων ἐποιεῖτο τὴν γαμετήν. Ἀσεβὲς γὰρ ἡγουμένη τὸ λοιπὸν ἡ γυνὴ συγκατακλίνεσθαι ἀνδρὶ, τῆς συζυγίας χωρισθῆναι ἐβουλήθη. Καὶ ἐπεὶ ἐξεδυσωπεῖτο ὑπὸ τῶν αὐτῆς ἔτι προσμένειν συμβουλευόντων, ὡς εἰς ἐλπίδα μεταβολῆς ἥξοντός ποτε τοῦ ἀνδρὸς, βιαζομένη ἑαυτὴν ἐπέμενεν. Ἐπειδὴ δὲ ὁ ταύτης ἀνὴρ εἰς τὴν Ἀλεξάνδρειαν πορευθεὶς χαλεπώτερα πράττειν ἀπηγγέλθη, ὅπως μὴ κοινωνὸς τῶν ἀδικημάτων καὶ ἀσεβημάτων γένηται, μένουσα ἐν τῇ συζυγίᾳ καὶ ὁμοδίαιτος καὶ ὁμόκοιτος γινομένη, τὸ λεγόμενον παρ᾽ ὑμῖν ῥεπούδιον [1]) δοῦσα ἐχωρίσθη. Ὁ δὲ καλὸς κἀγαθὸς ταύτης ἀνὴρ, δέον αὐτὸν χαίρειν, ὅτι ἃ πάλαι μετὰ τῶν ὑπηρετῶν καὶ τῶν μισθοφόρων εὐχερῶς ἔπραττε, μέθαις χαίρουσα καὶ κακίᾳ πάσῃ, τούτων μὲν τῶν πράξεων πέπαυτο καὶ αὐτὸν τὰ αὐτὰ παύσασθαι πράττοντα ἐβούλετο, μὴ βουλομένου ἀπαλλαγείσης κατηγορίαν πεποίηται, λέγων αὐτὴν χριστιανὴν εἶναι. Καὶ ἡ μὲν βιβλίδιόν σοι τῷ αὐτοκράτορι ἀναδέδωκε, πρότερον συγχωρηθῆναι αὐτῇ διοικήσασθαι τὰ ἑαυτῆς ἀξιοῦσα, ἔπειτα ἀπολογήσασθαι περὶ τοῦ κατηγορήματος μετὰ τὴν τῶν πραγμάτων αὐτῆς διοίκησιν. Καὶ συνεχώρησας τοῦτο. Ὁ δὲ ταύτης ποτὲ ἀνὴρ, πρὸς ἐκείνην μὲν μὴ δυνάμενος τανῦν ἔτι λέγειν, πρὸς Πτολεμαῖόν τινα, ὃν Οὔρβικος ἐκολάσατο, διδάσκαλον ἐκείνης τῶν χριστιανῶν μαθημάτων γενόμενον, ἐτράπετο διὰ τοῦδε τοῦ τρόπου. Ἑκατόνταρχον [2]) εἰς δεσμὰ ἐμβαλόντα τὸν Πτολεμαῖον, φίλον αὐτῷ ὑπάρχοντα, ἔπεισε λαβέσθαι τοῦ Πτολεμαίου καὶ ἀνερωτῆσαι αὐτὸ τοῦτο μόνον, εἰ χριστιανός ἐστι. Καὶ τὸν Πτολεμαῖον, φιλαλήθη ἀλλ᾽ οὐκ ἀπατηλὸν οὐδὲ ψευδολόγον τὴν γνώμην ὄντα, ὁμολογήσαντα ἑαυτὸν εἶναι χριστιανὸν, ἐν δεσμοῖς γενέσθαι ὁ ἑκατόνταρχος πεποίηκε, καὶ ἐπὶ πολὺν χρόνον ἐν τῷ δεσμωτηρίῳ ἐκολάσατο. Τελευταῖον δὲ, ὅτε ἐπὶ Οὔρβικον ἤχθη ὁ ἄνθρωπος, ὁμοίως αὐτὸ τοῦτο μόνον ἐξητάσθη, εἰ εἴη χριστιανός. Καὶ πάλιν, τὰ καλὰ ἑαυτῷ συνεπιστάμενος διὰ

---

[1]) Съ латин. repudium, разводъ. По Римскимъ законамъ тогдашняго времени дозволялось и женѣ, не желавшей продолжать брачную жизнь съ мужемъ, выдавать ему libellum repudii.

[2]) Ἑκατόνταρχος (или—άρχης) въ Римскомъ войскѣ начальникъ надъ 100 воинами, сотникъ, Centurio, слово, употребляемое и въ св. Писаніи, Мат. 8. 13. Марк. 15. 39. Дѣян. 10. 1. и др.

τὴν ἀπὸ τοῦ Χριστοῦ διδαχὴν, τὸ διδασκάλιον τῆς θείας ἀρετῆς ὡμολόγησεν. Ὁ γὰρ ἀρνούμενος ὁτιοῦν ἢ κατεγνωκὼς τοῦ πράγματος ἔξαρνος γίνεται, ἢ ἑαυτὸν ἀνάξιον ἐπιστάμενος καὶ ἀλλότριον τοῦ πράγματος τὴν ὁμολογίαν φεύγει· ὧν οὐδὲν πρόσεστι τῷ ἀληθινῷ χριστιανῷ. Καὶ τοῦ Οὐρβίκου κελεύσαντος αὐτὸν ἀπαχθῆναι Λούκιός τις, καὶ αὐτὸς ὢν χριστιανὸς, ὁρῶν τὴν ἀλόγως οὕτω γενομένην κρίσιν, πρὸς τὸν Οὔρβικον ἔφη· τίς ἡ αἰτία; τοῦ [1]) μήτε μοιχὸν μήτε πόρνον μήτε ἀνδροφόνον μήτε λωποδύτην μήτε ἁπλῶς ἀδίκημά τι πράξαντα ἐλεγχόμενον, ὀνόματος δὲ χριστιανοῦ προσωνυμίαν ὁμολογοῦντα τὸν ἄνθρωπον τοῦτον ἐκολάσω; οὐ πρέποντα Εὐσεβεῖ Αὐτοκράτορι οὐδὲ Φιλοσόφῳ Καίσαρος παιδὶ [2]) οὐδὲ τῇ Ἱερᾷ Συγκλήτῳ κρίνεις, ὦ Οὔρβικε. Καὶ ὃς οὐδὲν ἄλλο ἀποκρινάμενος καὶ πρὸς τὸν Λούκιον ἔφη· δοκεῖς μοι καὶ σὺ εἶναι τοιοῦτος. Καὶ τοῦ Λουκίου φήσαντος· μάλιστα,—πάλιν καὶ αὐτὸν ἀπαχθῆναι ἐκέλευσεν. Ὁ δὲ καὶ χάριν εἰδέναι [3]) ὡμολόγει, πονηρῶν δεσποτῶν τῶν τοιούτων ἀπηλλάχθαι γινώσκων καὶ πρὸς τὸν πατέρα καὶ βασιλέα τῶν οὐρανῶν πορεύεσθαι. Καὶ ἄλλος δὲ τρίτος ἐπελθὼν κολασθῆναι προσετιμήθη.

3. Κἀγὼ οὖν προσδοκῶ ὑπό τινος τῶν ὠνομασμένων ἐπιβουλευθῆναι καὶ ξύλῳ [4]) ἐμπαγῆναι, ἢ κἂν ὑπὸ Κρίσκεντος τοῦ φιλοψόφου [5]) καὶ φιλοκόμπου. Οὐ γὰρ φιλόσοφον εἰπεῖν ἄξιον τὸν ἄνδρα, ὅς γε περὶ ἡμῶν ἃ μὴ ἐπίσταται δημοσίᾳ καταμαρτυρεῖ, ὡς ἀθέων καὶ ἀσεβῶν χριστιανῶν ὄντων, πρὸς χάριν καὶ ἡδονὴν τῶν πολλῶν τῶν πεπλανημένων ταῦτα πράττων. Εἴτε γὰρ μὴ ἐντυχὼν τοῖς τοῦ Χριστοῦ διδάγμασι κατατρέχει ἡμῶν, παμπόνηρος

---

[1]) Τοῦ вм. τίνος, при которомъ подразумѣвается χάριν, почему.

[2]) Подъ именемъ благочестиваго самодержца и философа сына Кесаря разумѣются тогдашніе Римскіе императоры—Антонинъ 1-й и Маркъ Аврелій.

[3]) Χάριν εἰδέναι—благодарить, быть признательнымъ.

[4]) Подъ ξύλον здѣсь разумѣется деревянная колодка, надѣваемая на ноги, руки или шею преступника, заключаемаго въ темницу. Дѣян. 16. 24.

[5]) Φιλόψοφος—хвастунъ,—выраженіе, по видимому, нарочито употребленное св. Іустиномъ въ противоположность слову: φιλόσοφος. Кресцентій (Crescens) циническій философъ, врагъ христіанъ и въ частности св. Іустина, упоминаемый у апологета Татіана въ рѣчи противъ Эллиновъ гл. 19. и у Евсевія, Церк. Ист. 4. 16.

ἐςι καὶ ἰδιωτῶν πολὺ χείρων, οἳ φυλάττονται πολλάκις περὶ ὧν οὐκ ἐπίςανται διαλέγεσθαι καὶ ψευδομαρτυρεῖν· ἢ εἰ ἐντυχών, μὴ συνῆκε τὸ ἐν αὐτοῖς μεγαλεῖον, ἢ συνείς, πρὸς τὸ μὴ ὑποπτευθῆναι τοιοῦτος ταῦτα ποιεῖ, πολὺ μᾶλλον ἀγεννὴς καὶ παμπόνηρος, ἰδιωτικῆς καὶ ἀλόγου δόξης καὶ φόβου ἐλάττων [1]) ὤν. Καὶ γὰρ προθέντα με καὶ ἐρωτήσαντα αὐτὸν ἐρωτήσεις τινὰς τοιαύτας καὶ μαθεῖν καὶ ἐλέγξαι, ὅτι ἀληθῶς μηδὲν ἐπίςαται, εἰδέναι ὑμᾶς βούλομαι. Καὶ ὅτι ἀληθῆ λέγω, εἰ μὴ ἀνηνέχθησαν ὑμῖν αἱ κοινωνίαι τῶν λόγων, ἕτοιμος καὶ ἐφ' ὑμῶν κοινωνεῖν τῶν ἐρωτήσεων πάλιν· βασιλικὸν δ' ἂν καὶ τοῦτο ἔργον εἴη. Εἰ δὲ καὶ ἐγνώσθησαν ὑμῖν αἱ ἐρωτήσεις μου καὶ αἱ ἐκείνου ἀποκρίσεις, φανερὸν ὑμῖν ἐςιν, ὅτι οὐδὲν τῶν ἡμετέρων ἐπίςαται· ἢ εἰ καὶ ἐπίςαται, διὰ τοὺς ἀκούοντας δὲ οὐ τολμᾷ λέγειν ὁμοίως Σωκράτει, ὡς προέφην, οὐ φιλόσοφος ἀλλὰ φιλόδοξος ἀνὴρ δείκνυται, ὅς γε μηδὲ τὸ Σωκρατικὸν ἀξιέραςον ὂν τιμᾷ· «ἀλλ' οὔτι γε πρὸ τῆς ἀληθείας τιμητέος ἀνήρ» [2]). Ἀδύνατον δὲ Κυνικῷ, ἀδιάφορον τὸ τέλος προθεμένῳ, τὸ ἀγαθὸν εἰδέναι πλὴν ἀδιαφορίας [3]).

4. Ὅπως δὲ μή τις εἴπῃ· πάντες οὖν εαυτοὺς φονεύσαντες πορεύεσθε ἤδη παρὰ τὸν θεὸν καὶ ἡμῖν πράγματα μὴ παρέχετε!— ἐρῶ δι' ἣν αἰτίαν τοῦτο οὐ πράττομεν καὶ δι' ἣν ἐξεταζόμενοι ἀφόβως ὁμολογοῦμεν. Οὐκ εἰκῆ τὸν κόσμον πεποιηκέναι τὸν θεὸν δεδιδάγμεθα, ἀλλ' ἢ διὰ τὸ ἀνθρώπειον γένος· χαίρειν τε τοῖς τὰ προσόντα [4]) αὐτῷ μιμουμένοις προέφημεν, ἀπαρέσκεσθαι δὲ τοῖς τὰ φαῦλα ἀσπαζομένοις ἢ λόγῳ ἢ ἔργῳ. Εἰ οὖν πάντες ἑαυτοὺς φονεύσομεν, τοῦ μὴ γεννηθῆναί τινα καὶ μαθητευθῆναι εἰς τὰ θεῖα διδάγματα, ἢ καὶ μὴ εἶναι τὸ ἀνθρώπειον γένος, ὅσον ἐφ' ἡμῖν, αἴτιοι ἐσόμεθα, ἐναντίον τῇ τοῦ θεοῦ βουλῇ καὶ αὐτοὶ

---

[1]) Ἐλάττων въ настоящемъ мѣстѣ значитъ: подчиняющійся, рабодѣйствующій; подобно какъ выраженіе ἔλασσον ἔχειν—терпѣть униженіе, вредъ, убытокъ.

[2]) Это изреченіе Сократа у Платона въ Политикѣ кн. 10. 595.

[3]) Ἀδιαφορία—безразличіе, т. е. между добромъ и зломъ, между добродѣтелію и порокомъ, допускавшееся у циническихъ философовъ.

[4]) Τὰ προσόντα, т. е. свойственныя Богу нравственныя совершенства, о которыхъ св. Іустинъ говорилъ и въ Апологіи 1. гл. 10.

ποιοῦντες, ἐὰν τοῦτο πράξωμεν. Ἐξεταζόμενοι δὲ οὐκ ἀρνούμεθα διὰ τὸ συνεπίςασθαι ἑαυτοῖς μηδὲν φαῦλον, ἀσεβὲς δὲ ἡγούμενοι μὴ κατὰ πάντα ἀληθεύειν, ὃ καὶ φίλον τῷ θεῷ γινώσκομεν, ὑμᾶς δὲ καὶ τῆς ἀδίκου προλήψεως ἀπαλλάξαι νῦν σπεύδοντες.

5. Εἰ δέ τινα ὑπέλθοι καὶ ἡ ἔννοια αὕτη ὅτι, εἰ θεὸν ὡμολογοῦμεν βοηθὸν, οὐκ ἂν, ὡς λέγομεν, ὑπὸ ἀδίκων ἐκρατούμεθα καὶ ἐτιμωρούμεθα, καὶ τοῦτο διαλύσω. Ὁ θεὸς τὸν πάντα κόσμον ποιήσας καὶ τὰ ἐπίγεια ἀνθρώποις ὑποτάξας καὶ τὰ οὐράνια ςοιχεῖα εἰς αὔξησιν καρπῶν καὶ ὡρῶν μεταβολὰς κοσμήσας καὶ θεῖον τούτοις νόμον τάξας, ἃ καὶ αὐτὰ δι' ἀνθρώπους φαίνεται πεποιηκὼς, τὴν μὲν τῶν ἀνθρώπων καὶ τῶν ὑπὸ τὸν οὐρανὸν πρόνοιαν ἀγγέλοις, οὓς ἐπὶ τούτοις ἔταξε, παρέδωκεν. Οἱ δ' ἄγγελοι, παραβάντες τήνδε τὴν τάξιν, γυναικῶν μίξεσιν ἡττήθησαν καὶ παῖδας ἐτέκνωσαν, οἵ εἰσιν οἱ λεγόμενοι δαίμονες. Καὶ προσέτι λοιπὸν τὸ ἀνθρώπειον γένος ἑαυτοῖς ἐδούλωσαν, τὰ μὲν διὰ μαγικῶν γραφῶν [1]), τὰ δὲ διὰ φόβων καὶ τιμωριῶν, ὧν ἐπέφερον, τὰ δὲ διὰ διδαχῆς θυμάτων καὶ θυμιαμάτων καὶ σπονδῶν, ὧν ἐνδεεῖς γεγόνασι μετὰ τὸ πάθεσιν ἐπιθυμιῶν δουλωθῆναι· καὶ εἰς ἀνθρώπους φόνους, πολέμους, μοιχείας, ἀκολασίας καὶ πᾶσαν κακίαν ἔσπειραν. Ὅθεν καὶ ποιηταὶ καὶ μυθολόγοι, ἀγνοοῦντες τοὺς ἀγγέλους καὶ τοὺς ἐξ αὐτῶν γεννηθέντας δαίμονας ταῦτα πρᾶξαι εἰς ἄῤῥενας καὶ θηλείας καὶ πόλεις καὶ ἔθνη, ἅπερ συνέγραψαν, εἰς αὐτὸν τὸν θεὸν καὶ τοὺς ὡς ἀπ' αὐτοῦ σπορᾷ γενομένους υἱοὺς καὶ τῶν λεχθέντων ἐκείνου ἀδελφῶν καὶ τέκνων ὁμοίως τῶν ἀπ' ἐκείνων, Ποσειδῶνος καὶ Πλούτωνος, ἀνήνεγκαν. Ὀνόματι γὰρ ἕκαςον, ὅπερ ἕκαςος ἑαυτῷ τῶν ἀγγέλων καὶ τοῖς τέκνοις ἔθετο, προσηγόρευσαν.

6. Ὄνομα δὲ τῷ πάντων πατρὶ θετὸν, ἀγεννήτῳ ὄντι, οὐκ ἔςιν· ᾧ γὰρ ἂν καὶ ὄνομά τι προσαγορεύηται, πρεσβύτερον ἔχει τὸν θέμενον τὸ ὄνομα. Τὸ δὲ πατὴρ καὶ θεὸς καὶ κτίςης καὶ κύριος καὶ δεσπότης οὐκ ὀνόματά ἐςιν, ἀλλ' ἐκ τῶν εὐποιϊῶν καὶ τῶν ἔργων προσρήσεις. Ὁ δὲ υἱὸς ἐκείνου, ὁ μόνος λεγόμενος

[1]) Вмѣсто γραφῶν, можетъ быть, слѣдуетъ читать στροφῶν, какъ сказано въ Апологіи 1. гл. 14. о томъ же предметѣ, т. е. посредствомъ магическихъ чарованій.

κυρίως υἱὸς, ὁ λόγος πρὸ τῶν ποιημάτων καὶ συνὼν καὶ γεννώμενος, ὅτε τὴν ἀρχὴν δι' αὐτοῦ πάντα ἔκτισε καὶ ἐκόσμησε. Χριςὸς μὲν κατὰ τὸ κεχρῖσθαι καὶ κοσμῆσαι τὰ πάντα δι' αὐτοῦ τὸν θεὸν λέγεται, ὄνομα καὶ αὐτὸ περιέχον ἄγνωςον σημασίαν, ὃν τρόπον καὶ τὸ θεὸς προσαγόρευμα οὐκ ὄνομά ἐςιν, ἀλλὰ πράγματος δυσεξηγήτου ἔμφυτος τῇ φύσει τῶν ἀνθρώπων δόξα. Ἰησοῦς δὲ καὶ ἀνθρώπου καὶ σωτῆρος ὄνομα καὶ σημασίαν ἔχει. Καὶ γὰρ καὶ ἄνθρωπος, ὡς προέφημεν [1]), γέγονε κατὰ τὴν τοῦ θεοῦ καὶ πατρὸς βουλὴν ἀποκυηθεὶς ὑπὲρ τῶν πιςευόντων ἀνθρώπων καὶ ἐπὶ καταλύσει τῶν δαιμόνων, ὡς καὶ νῦν ἐκ τῶν ὑπ' ὄψιν γινομένων μαθεῖν δύνασθε. Δαιμονιολήπτους γὰρ πολλοὺς κατὰ πάντα τὸν κόσμον καὶ ἐν τῇ ὑμετέρᾳ πόλει πολλοὶ τῶν ἡμετέρων ἀνθρώπων, τῶν χριςιανῶν, ἐπορκίζοντες κατὰ τοῦ ὀνόματος Ἰησοῦ Χριςοῦ, τοῦ ςαυρωθέντος ἐπὶ Ποντίου Πιλάτου, ὑπὸ τῶν ἄλλων πάντων ἐπορκιςῶν καὶ ἐπαςῶν καὶ φαρμακευτῶν μὴ ἰαθέντας, ἰάσαντο καὶ ἔτι νῦν ἰῶνται, καταργοῦντες καὶ ἐκδιώκοντες τοὺς κατέχοντας τοὺς ἀνθρώπους δαίμονας.

7. Ὅθεν καὶ ἐπιμένει ὁ θεὸς τὴν σύγχυσιν καὶ κατάλυσιν τοῦ παντὸς κόσμου μὴ ποιῆσαι, ἵνα καὶ οἱ φαῦλοι ἄγγελοι καὶ δαίμονες καὶ ἄνθρωποι μηκέτι ὦσι, διὰ τὸ σπέρμα τῶν χριςιανῶν, ὃ γινώσκει ἐν τῇ φύσει ὅτι αἴτιόν ἐςιν [2]). Ἐπεὶ εἰ μὴ τοῦτο ἦν, οὐκ ἂν οὐδὲ ὑμῖν ταῦτα ἔτι ποιεῖν καὶ ἐνεργεῖσθαι ὑπὸ τῶν φαύλων δαιμόνων δυνατὸν ἦν, ἀλλὰ τὸ πῦρ τὸ τῆς κρίσεως κατελθὸν ἀνέδην πάντα διέκρινεν, ὡς καὶ πρότερον ὁ κατακλυσμὸς μηδένα λιπὼν, ἀλλ' ἢ τὸν μόνον σὺν τοῖς ἰδίοις παρ' ἡμῖν καλούμενον Νῶε, παρ' ὑμῖν δὲ Δευκαλίωνα, ἐξ οὗ πάλιν οἱ τοσοῦτοι γεγόνασιν, ὧν οἱ μὲν φαῦλοι, οἱ δὲ σπουδαῖοι. Οὕτω γὰρ ἡμεῖς τὴν ἐκπύρωσίν φαμεν γενήσεσθαι, ἀλλ' οὐχ ὡς οἱ Στωϊκοὶ, κατὰ τὸν τῆς εἰς ἄλληλα πάντων μεταβολῆς λόγον, ὃ αἴσχιςον ἐφάνη· ἀλλ' οὐδὲ καθ' εἱμαρμένην πράττειν τοὺς ἀνθρώπους ἢ πάσχειν τὰ γινόμενα, ἀλλὰ κατὰ μὲν τὴν προαίρεσιν ἕκαςον κατορθοῦν ἢ

---

[1]) Объ этомъ въ Апологіи 1. гл. 23.

[2]) Ὃ γινώσκει... которое Онъ признаетъ причиною сохраненія всей природы.

ἁμαρτάνειν, καὶ κατὰ τὴν τῶν φαύλων δαιμόνων ἐνέργειαν τοὺς σπουδαίους, οἷον Σωκράτην καὶ τοὺς ὁμοίους, διώκεσθαι καὶ ἐν δεσμοῖς εἶναι. Σαρδανάπαλον δὲ καὶ Ἐπίκουρον καὶ τοὺς ὁμοίους ἐν ἀφθονίᾳ καὶ δόξῃ δοκεῖν εὐδαιμονεῖν. Ὃ μὴ νοήσαντες οἱ Στωϊκοὶ καθ' εἱμαρμένης ἀνάγκην πάντα γίνεσθαι ἀπεφήναντο. Ἀλλ' ὅτι αὐτεξούσιον τό τε τῶν ἀγγέλων γένος καὶ τῶν ἀνθρώπων τὴν ἀρχὴν ἐποίησεν ὁ θεός, δικαίως ὑπὲρ ὧν ἂν πλημμελήσωσι τὴν τιμωρίαν ἐν αἰωνίῳ πυρὶ κομίσονται. Γεννητοῦ δὲ παντὸς ἥδε ἡ φύσις, κακίας καὶ ἀρετῆς δεκτικὸν εἶναι· οὐ γὰρ ἂν ἦν ἐπαινετὸν οὐδὲν αὐτῶν, εἰ οὐκ ἂν ἐπ' ἀμφότερα τρέπεσθαι καὶ δύναμιν εἶχε. Δεικνύουσι δὲ τοῦτο καὶ οἱ πανταχοῦ κατὰ λόγον τὸν ὀρθὸν νομοθετήσαντες καὶ φιλοσοφήσαντες ἄνθρωποι ἐκ τοῦ ὑπαγορεύειν τάδε μὲν πράττειν, τῶνδε δὲ ἀπέχεσθαι. Καὶ οἱ Στωϊκοὶ φιλόσοφοι ἐν τῷ περὶ ἠθῶν λόγῳ τὰ αὐτὰ τιμῶσι καρτερῶς, ὡς δηλοῦσθαι ἐν τῷ περὶ ἀρχῶν καὶ ἀσωμάτων λόγῳ οὐκ εὐοδοῦν αὐτούς. Εἴτε γὰρ καθ' εἱμαρμένην φήσουσι τὰ γινόμενα πρὸς ἀνθρώπων γίνεσθαι, ἢ μηδὲν εἶναι θεὸν παρὰ [1]) τρεπόμενα καὶ ἀλλοιούμενα καὶ ἀναλυόμενα εἰς τὰ αὐτὰ ἀεί, φθαρτῶν μόνων φανήσονται κατάληψιν ἐσχηκέναι καὶ αὐτὸν τὸν θεὸν διά τε τῶν μερῶν καὶ διὰ τοῦ ὅλου ἐν πάσῃ κακίᾳ γινόμενον ἢ μηδὲν εἶναι κακίαν μηδ' ἀρετήν· ὅπερ καὶ παρὰ πᾶσαν σώφρονα ἔννοιαν καὶ λόγον καὶ νοῦν ἐστι.

8. Καὶ τοὺς ἀπὸ τῶν Στωϊκῶν δὲ δογμάτων, ἐπειδὴ κἂν τὸν ἠθικὸν λόγον κόσμιοι γεγόνασιν, ὡς καὶ ἐν τισιν οἱ ποιηταί, διὰ τὸ ἔμφυτον παντὶ γένει ἀνθρώπων σπέρμα τοῦ λόγου [2]), μεμισῆσθαι καὶ πεφονεῦσθαι οἴδαμεν. Ἡράκλειτον μέν, ὡς προέφημεν [3]), καὶ Μουσώνιον δὲ [4]) ἐν τοῖς καθ' ἡμᾶς καὶ ἄλλους οἴδαμεν. Ὡς γὰρ ἐσημάναμεν, πάντας τοὺς κἂν ὁπωσδήποτε κατὰ λόγον βιοῦν σπουδάζοντας καὶ κακίαν φεύγειν μισεῖσθαι

[1]) Μηδὲν παρὰ—не что иное, какъ.

[2]) Σπέρμα τοῦ λόγου—сѣмя божественнаго Слова въ природной способности къ богопознанію и въ естественномъ нравственномъ законѣ.

[3]) Объ этомъ въ Апологіи 1. гл. 46.

[4]) Изъ многихъ Мусоніевъ здѣсь разумѣется Мусоній Тирренскій (Musonius Tyrrhenus), стоическій философъ, который за смѣлость и независимость мыслей былъ убитъ Нерономъ, по свидѣтельству Свиды въ Lexicon.

ἀεὶ ἐνήργησαν οἱ δαίμονες. Οὐδὲν δὲ θαυμαςὸν, εἰ τοὺς οὐ κατὰ σπερματικοῦ λόγου μέρος, ἀλλὰ κατὰ τὴν τοῦ παντὸς λόγου, ὅ ἐςι Χριςοῦ, γνῶσιν καὶ θεωρίαν πολὺ μᾶλλον μισεῖσθαι οἱ δαίμονες ἐλεγχόμενοι ἐνεργοῦσιν· οἳ τὴν ἀξίαν κόλασιν καὶ τιμωρίαν κομίσονται ἐν αἰωνίῳ πυρὶ ἐγκλεισθέντες. Εἰ γὰρ ὑπὸ τῶν ἀνθρώπων ἤδη διὰ τοῦ ὀνόματος Ἰησοῦ Χριςοῦ ἡττῶνται, δίδαγμά ἐςι τῆς καὶ μελλούσης αὐτοῖς καὶ τοῖς λατρεύουσιν αὐτοῖς ἐσομένης ἐν πυρὶ αἰωνίῳ κολάσεως. Οὕτως γὰρ καὶ οἱ προφῆται πάντες προεκήρυξαν γενήσεσθαι, καὶ Ἰησοῦς ὁ ἡμέτερος διδάσκαλος ἐδίδαξε.

9. Ἵνα δὲ μή τις εἴπῃ τὸ λεγόμενον ὑπὸ τῶν νομιζομένων φιλοσόφων, ὅτι κόμποι καὶ φόβητρά ἐςι τὰ λεγόμενα ὑφ' ἡμῶν ὅτι κολάζονται ἐν αἰωνίῳ πυρὶ οἱ ἄδικοι, καὶ διὰ φόβον ἀλλ' οὐ διὰ τὸ καλὸν εἶναι καὶ ἀρεςὸν ἐναρέτως βιοῦν τοὺς ἀνθρώπους ἀξιοῦμεν, βραχυεπῶς πρὸς τοῦτο ἀποκρινοῦμαι, ὅτι, εἰ μὴ τοῦτό ἐςιν, οὔτε ἔςι θεὸς, ἤ, εἰ ἔςιν, οὐ μέλει αὐτῷ τῶν ἀνθρώπων, καὶ οὐδέν ἐςιν ἀρετὴ οὐδὲ κακία, καὶ, ὡς προέφημεν, ἀδίκως τιμωροῦσιν οἱ νομοθέται τοὺς παραβαίνοντας τὰ διατεταγμένα καλά. Ἀλλ' ἐπεὶ οὐχ ἄδικοι ἐκεῖνοι καὶ ὁ αὐτῶν πατὴρ τὰ αὐτὰ αὐτῷ πράττειν διὰ τοῦ λόγου διδάσκων, οἱ τούτοις συντιθέμενοι οὐκ ἄδικοι. Ἐὰν δέ τις τοὺς διαφόρους νόμους τῶν ἀνθρώπων προβάληται λέγων, ὅτι παρ' οἷς μὲν ἀνθρώποις τάδε καλὰ, τὰ δὲ αἰσχρὰ νενόμιςαι, παρ' ἄλλοις δὲ τὰ παρ' ἐκείνοις αἰσχρὰ καλὰ καὶ τὰ καλὰ αἰσχρὰ νομίζεται, ἀκουέτω καὶ τῶν εἰς τοῦτο λεγομένων. Καὶ νόμους διατάξασθαι τῇ ἑαυτῶν κακίᾳ ὁμοίους τοὺς πονηροὺς ἀγγέλους ἐπιςάμεθα, οἷς χαίρουσιν οἱ ὅμοιοι γενόμενοι ἄνθρωποι, καὶ ὀρθὸς λόγος παρελθὼν οὐ πάσας δόξας οὐδὲ πάντα δόγματα καλὰ ἀποδείκνυσιν, ἀλλὰ τα μὲν φαῦλα, τὰ δὲ ἀγαθά· ὥςε μοι καὶ πρὸς τοὺς τοιούτους τὰ αὐτὰ καὶ τὰ ὅμοια εἰρήσεται, καὶ λεχθήσεται διὰ πλειόνων, ἐὰν χρεία ᾖ. Τανῦν δὲ ἐπὶ τὸ προκείμενον ἀνέρχομαι.

10. Μεγαλειότερα μὲν οὖν πάσης ἀνθρωπείου διδασκαλίας φαίνεται τὰ ἡμέτερα διὰ τὸ λογικὸν τὸ ὅλον τὸν φανέντα δι' ἡμᾶς Χριςὸν γεγονέναι, καὶ σῶμα καὶ λόγον καὶ ψυχὴν [1]). Ὅσα

---

[1]) Τὸ λογικὸν τὸ ὅλον—тоже, что ὁ πᾶς λόγος, какъ сказано выше въ гл. 8. Въ этихъ словахъ выражается представленіе св. Іустина о соеди-

γὰρ καλῶς ἀεὶ ἐφθέγξαντο καὶ εὗρον οἱ φιλοσοφήσαντες ἢ νομοθετήσαντες, κατὰ λόγου μέρος δι' εὑρέσεως καὶ θεωρίας ἐςὶ πονηθέντα αὐτοῖς. Ἐπειδὴ δὲ οὐ πάντα τὰ τοῦ λόγου ἐγνώρισαν, ὅς ἐςι Χριςός, καὶ ἐναντία ἑαυτοῖς πολλάκις εἶπον. Καὶ οἱ προγεγενημένοι τοῦ Χριςοῦ, κατὰ τὸ ἀνθρώπινον λόγῳ πειραθέντες τὰ πράγματα θεωρῆσαι καὶ ἐλέγξαι, ὡς ἀσεβεῖς καὶ περίεργοι εἰς δικαστήρια ἤχθησαν. Ὁ πάντων δὲ αὐτῶν εὐτονώτερος πρὸς τοῦτο γενόμενος Σωκράτης τὰ αὐτὰ ἡμῖν ἐνεκλήθη· καὶ γὰρ ἔφασαν αὐτὸν καινὰ δαιμόνια εἰσφέρειν, καὶ οὓς ἡ πόλις νομίζει θεοὺς μὴ ἡγεῖσθαι αὐτόν. Ὁ δὲ δαίμονας μὲν τοὺς φαύλους καὶ τοὺς πράξαντας, ἃ ἔφασαν οἱ ποιηταί, ἐκβαλὼν τῆς πολιτείας καὶ Ὅμηρον καὶ τοὺς ἄλλους ποιητὰς [1]), παραιτεῖσθαι τοὺς ἀνθρώπους ἐδίδαξε, πρὸς θεοῦ δὲ τοῦ ἀγνώςου αὐτοῖς διὰ λόγου ζητήσεως ἐπίγνωσιν προὐτρέπετο, εἰπών· «τὸν δὲ πατέρα καὶ δημιουργὸν πάντων οὔθ' εὑρεῖν ῥᾴδιον, οὔθ' εὑρόντα εἰς πάντας εἰπεῖν ἀσφαλές» [2]). Ἃ ὁ ἡμέτερος Χριςὸς διὰ τῆς ἑαυτοῦ δυνάμεως ἔπραξε. Σωκράτει μὲν γὰρ οὐδεὶς ἐπείσθη ὑπὲρ τούτου τοῦ δόγματος ἀποθνήσκειν· Χριςῷ δέ, τῷ καὶ ὑπὸ Σωκράτους ἀπὸ μέρους γνωσθέντι (λόγος γὰρ ἦν καὶ ἔςιν ὁ ἐν παντὶ ὤν, καὶ διὰ τῶν προφητῶν προειπὼν τὰ μέλλοντα γίνεσθαι καὶ δι' ἑαυτοῦ ὁμοιοπαθοῦς γενομένου καὶ διδάξαντος ταῦτα), οὐ φιλόσοφοι οὐδὲ φιλόλογοι μόνον ἐπείσθησαν, ἀλλὰ καὶ χειροτέχναι καὶ παντελῶς ἰδιῶται, καὶ δόξης καὶ φόβου καὶ θανάτου καταφρονήσαντες· ἐπειδὴ δύναμίς ἐςι τοῦ ἀρρήτου πατρὸς καὶ οὐχὶ ἀνθρωπείου λόγου κατασκευή.

**11.** Οὐκ ἂν δὲ οὐδὲ ἐφονευόμεθα οὐδὲ δυνατώτεροι ἡμῶν ἦσαν οἵ τε ἄδικοι ἄνθρωποι καὶ δαίμονες, εἰ μὴ πάντως παντὶ γεννωμένῳ ἀνθρώπῳ καὶ θανεῖν ὠφείλετο. Ὅθεν καὶ τὸ ὄφλημα ἀποδιδόντες εὐχαριςοῦμεν. Καίτοι γε καὶ τὸ Ξενοφώντειον ἐκεῖνο νῦν πρός τε Κρίσκεντα καὶ τοὺς ὁμοίως αὐτῷ ἀφραίνοντας καλὸν καὶ εὔκαιρον εἰπεῖν ἡγούμεθα. Τὸν Ἡρακλέα ἐπὶ τρίοδόν τινα,

---

**невія человѣческаго и божескаго естествъ въ Іис. Христѣ въ единое лице Богочеловѣка, въ которомъ живетъ вся полнота Слова безъ уничтоженія воспріятой имъ человѣческой природы.**

**[1]) У Платона въ Политикѣ Кн. 2.**

**[2]) У Платона въ Тимеѣ—28.**

ἔφη ὁ Ξενοφῶν, βαδίζοντα εὑρεῖν τήν τε Ἀρετὴν καὶ τὴν Κακίαν, ἐν γυναικῶν μορφαῖς φαινομένας [1]· καὶ τὴν μὲν Κακίαν, ἁβρᾷ ἐσθῆτι καὶ ἐρωτοπεποιημένῳ [2]) καὶ ἀνθοῦντι ἐκ τῶν τοιούτων προσώπῳ, θελκτικήν τε εὐθὺς πρὸς τὰς ὄψεις οὖσαν, εἰπεῖν πρὸς τὸν Ἡρακλέα ὅτι, ἢν αὐτῇ ἕπηται, ἡδόμενόν τε καὶ κεκοσμημένον τῷ λαμπροτάτῳ καὶ ὁμοίῳ τῷ περὶ αὐτὴν κόσμῳ διαιτήσειν ἀεὶ ποιήσει· καὶ τὴν Ἀρετὴν ἐν αὐχμηρῷ μὲν τῷ προσώπῳ καὶ τῇ περιβολῇ οὖσαν εἰπεῖν· ἀλλ' ἢν ἐμοὶ πείθῃ, οὐ κόσμῳ οὐδὲ κάλλει τῷ ῥέοντι καὶ φθειρομένῳ ἑαυτὸν κοσμήσεις, ἀλλὰ τοῖς ἀϊδίοις καὶ καλοῖς κόσμοις. Καὶ πάνθ' ὅντινοῦν πεπείσμεθα, φεύγοντα τὰ δοκοῦντα καλά, τὰ δὲ νομιζόμενα σκληρὰ καὶ ἄλογα μετερχόμενον, εὐδαιμονίαν ἐκδέχεσθαι. Ἡ γὰρ κακία, πρόβλημα ἑαυτῆς τῶν πράξεων τὰ προσόντα τῇ ἀρετῇ καὶ ὄντως ὄντα καλὰ διὰ μιμήσεως ἀφθάρτων περιβαλλομένη (ἄφθαρτον γὰρ οὐδὲν ἔχει οὐδὲ ποιῆσαι δύναται), δουλαγωγεῖ τοὺς χαμαιπετεῖς τῶν ἀνθρώπων, τὰ προσόντα αὐτῇ φαῦλα τῇ ἀρετῇ περιθεῖσα. Οἱ δὲ νενοηκότες τὰ προσόντα τῷ ὄντι καλὰ καὶ ἄφθαρτοι τῇ ἀρετῇ· ὃ καὶ περὶ χριστιανῶν καὶ τῶν ἀπὸ τοῦ ἄθλου καὶ τῶν ἀνθρώπων τῶν τοιαῦτα πραξάντων, ὁποῖα ἔφασαν οἱ ποιηταὶ περὶ τῶν νομιζομένων θεῶν, ὑπολαβεῖν δεῖ πάντα νουνεχῆ, ἐκ τοῦ—καὶ τοῦ φευκτοῦ καταφρονεῖν ἡμᾶς θανάτου—λογισμὸν ἕλκοντα.

12. Καὶ γὰρ αὐτὸς ἐγώ, τοῖς Πλάτωνος χαίρων διδάγμασι, διαβαλλομένους ἀκούων χριστιανούς, ὁρῶν δὲ ἀφόβους πρὸς θάνατον καὶ πάντα τὰ ἄλλα νομιζόμενα φοβερά, ἐνενόουν ἀδύνατον εἶναι ἐν κακίᾳ καὶ φιληδονίᾳ ὑπάρχειν αὐτούς. Τίς γὰρ φιλήδονος ἢ ἀκρατὴς καὶ ἀνθρωπίνων σαρκῶν βορὰν ἀγαθὸν ἡγούμενος δύναιτο ἂν θάνατον ἀσπάζεσθαι, ὅπως τῶν αὐτοῦ ἀγαθῶν στερηθῇ, ἀλλ' οὐκ ἐκ παντὸς ζῆν μὲν ἀεὶ τὴν ἐνθάδε βιοτὴν καὶ λανθάνειν τοὺς ἄρχοντας ἐπειρᾶτο, οὐχ ὅτι γε ἑαυτὸν κατήγγελλε φονευθησόμενον; ἤδη καὶ τοῦτο [3]) ἐνήργησαν οἱ φαῦλοι δαίμο-

---

[1]) Ксенофонтъ въ Ἀπομνημ. Σωκρ. 2. 1

[2]) Ἐρωτοποιεῖσθαι—выраженіе, принадлежащее св. Іустину и означающее: быть похотливымъ и другихъ склонять къ нечистой любви.

[3]) Τοῦτο—относится къ послѣдующему.

νες διά τινων πονηρῶν ἀνθρώπων πραχθῆναι. Φονεύοντες γὰρ αὐτοί τινας ἐπὶ συκοφαντίᾳ τῇ εἰς ἡμᾶς καὶ εἰς βασάνους εἵλκυσαν οἰκέτας τῶν ἡμετέρων ἢ παῖδας ἢ γύναια, καὶ δι᾽ αἰκισμῶν φοβερῶν ἐξαναγκάζουσι κατειπεῖν ταῦτα τὰ μυθολογούμενα, ἃ αὐτοὶ φανερῶς πράττουσιν· ὧν ἐπειδὴ οὐδὲν πρόσεστιν ἡμῖν, οὐ φροντίζομεν, θεον τὸν ἀγέννητον καὶ ἄῤῥητον μάρτυρα ἔχοντες τῶν τε λογισμῶν καὶ τῶν πράξεων. Τίνος γάρ χάριν οὐχὶ καὶ ταῦτα δημοσίᾳ ὡμολογοῦμεν αγαθὰ καὶ φιλοσοφίαν θείαν αὐτὰ ἀπεδείκνυμεν, φάσκοντες Κρόνου μὲν μυςήρια τελεῖν ἐν τῷ ἀνδροφονεῖν, καὶ ἐν τῷ αἵματος ἐμπίπλασθαι, ὡς λέγεται, τά ἴσα τῷ παρ᾽ ὑμῖν τιμωμένῳ εἰδώλῳ [1], ᾧ οὐ μόνον ἀλόγων ζώων αἵματα προσραίνετε ἀλλὰ καὶ ἀνθρώπεια, διὰ τοῦ παρ᾽ ὑμῖν ἐπισημοτάτου καὶ εὐγενεςάτου ἀνδρὸς τὴν πρόσχυσιν τοῦ τῶν φονευθέντων αἵματος ποιούμενοι, Διὸς δὲ καὶ τῶν ἄλλων θεῶν μιμηταὶ γενόμενοι ἐν τῷ ἀνδροβατεῖν καὶ γυναιξὶν ἀδεῶς μίγνυσθαι, Ἐπικούρου μὲν καὶ τὰ τῶν ποιητῶν συγγράμματα ἀπολογίαν φέροντες; ἐπειδὴ δὲ ταῦτα τὰ μαθήματα καὶ τοὺς ταῦτα πράξαντας καὶ μιμουμένους φεύγειν πείθομεν, ὡς καὶ νῦν διὰ τῶνδε τῶν λόγων ἠγωνίσμεθα, ποικίλως πολεμούμεθα· ἀλλ᾽ οὐ φροντίζομεν, ἐπεὶ θεὸν τῶν πάντων ἐπόπτην δίκαιον οἴδαμεν. Εἴθε καὶ νῦν τις ἂν τραγικῇ φωνῇ ἀνεβόησεν ἐπί τι βῆμα ὑψηλὸν ἀναβάς· αἰδέσθητε, αἰδέσθητε ἃ φανερῶς πράττετε εἰς ἀναιτίους ἀναφέροντες, καὶ τὰ προσόντα καὶ ἑαυτοῖς καὶ τοῖς ὑμετέροις περιβάλλοντες τούτοις, ὧν οὐδὲν οὐδ᾽ ἐπὶ ποσον μετουσια ἐςί· μετάθεσθε, σωφρονίσθητε.

13. Καὶ γὰρ ἐγὼ, μαθὼν περίβλημα πονηρὸν εἰς ἀποςροφὴν τῶν ἄλλων ἀνθρώπων περιτεθειμένον ὑπὸ τῶν φαύλων δαιμόνων τοῖς χριςιανῶν θείοις διδάγμασι, καὶ ψευδολογουμένων ταῦτα καὶ τοῦ περιβλήματος κατεγέλασα καὶ τῆς παρὰ τοῖς πολλοῖς δόξης. Χριςιανὸς εὑρεθῆναι καὶ εὐχόμενος καὶ παμμάχως ἀγωνιζόμενος ὁμολογῶ, οὐχ ὅτι ἀλλότριά ἐςι τὰ Πλάτωνος διδάγματα τοῦ Χριςοῦ, ἀλλ᾽ ὅτι οὐκ ἔςι πάντῃ ὅμοια, ὥσπερ οὐδὲ

---

[1] Εἰδώλῳ, т. е. изображенію Юпитера Лаціара на Албанской горѣ въ Лаціумѣ, которому въ жертву были приносимы не только животные, но и люди, при торжественной обстановкѣ. См. у Татіана въ Рѣчи прот. Элл. гл. 29. Θеофила Ант. къ Автолику, 3. 8. Мин. Фел. гл. 21 и 30

τὰ τῶν ἄλλων, Στωϊκῶν τε καὶ ποιητῶν καὶ συγγραφέων. Ἕκαστος γάρ τις ἀπὸ μέρους τοῦ σπερματικοῦ θείου λόγου τὸ συγγενὲς ὁρῶν καλῶς ἐφθέγξατο· οἱ δὲ τἀναντία ἑαυτοῖς ἐν κυριωτέροις εἰρηκότες οὐκ ἐπιστήμην τὴν ἄποπτον [1]) καὶ γνῶσιν τὴν ἀνέλεγκτον φαίνονται ἐσχηκέναι. Ὅσα οὖν παρὰ πᾶσι καλῶς εἴρηται, ἡμῶν τῶν χριστιανῶν ἐστι· τὸν γὰρ ἀπὸ ἀγεννήτου καὶ ἀρρήτου θεοῦ λόγον μετὰ τὸν θεὸν προσκυνοῦμεν καὶ ἀγαπῶμεν, ἐπειδὴ καὶ δι' ἡμᾶς ἄνθρωπος γέγονεν, ὅπως καὶ τῶν παθῶν τῶν ἡμετέρων συμμέτοχος γενόμενος καὶ ἴασιν ποιήσηται. Οἱ γὰρ συγγραφεῖς πάντες διὰ τῆς ἐνούσης ἐμφύτου τοῦ λόγου σπορᾶς ἀμυδρῶς ἐδύναντο ὁρᾶν τὰ ὄντα. Ἕτερον γάρ ἐστι σπέρμα τινὸς καὶ μίμημα κατὰ δύναμιν [2]) δοθὲν, καὶ ἕτερον αὐτὸ, οὗ κατὰ χάριν τὴν ἀπ' ἐκείνου ἡ μετουσία καὶ μίμησις γίνεται.

14. Καὶ ὑμᾶς οὖν ἀξιοῦμεν ὑπογράψαντας τὸ ὑμῖν δοκοῦν προθεῖναι [3]) τουτὶ τὸ βιβλίδιον, ὅπως καὶ τοῖς ἄλλοις τὰ ἡμέτερα γνωσθῇ καὶ δύνωνται τῆς ψευδοδοξίας καὶ ἀγνοίας τῶν καλῶν ἀπαλλαγῆναι, οἳ παρὰ τὴν ἑαυτῶν αἰτίαν ὑπεύθυνοι ταῖς τιμωρίαις γίνονται, διὰ τὸ ἐν τῇ φύσει τῇ τῶν ἀνθρώπων εἶναι τὸ γνωριστικὸν καλοῦ καὶ αἰσχροῦ, καὶ διὰ τὸ ἡμῶν, οὓς οὐκ ἐπίστανται τοιαῦτα ὁποῖα λέγουσιν αἰσχρὰ πράττειν, καταψηφίζεσθαι, καὶ διὰ τὸ χαίρειν τοιαῦτα πράξασι θεοῖς καὶ ἔτι νῦν ἀπαιτοῦσι παρὰ ἀνθρώπων τὰ ὅμοια, ὡς ἐκ τοῦ καὶ ἡμῖν, ὡς τοιαῦτα πράττουσι, θάνατον ἢ δεσμὰ ἢ ἄλλο τι τοιοῦτον προστιμᾶν, ἑαυτοὺς κατακρίνειν, ὡς μὴ δέεσθαι ἄλλων δικαστῶν.

15. Ἐὰν δὲ ὑμεῖς τοῦτο προγράψητε [4]), ἡμεῖς τοῖς πᾶσι φανερὸν ποιήσαιμεν, ἵνα εἰ δύναιντο μεταθῶνται· τούτου γε μόνου χάριν τούσδε τοὺς λόγους συνετάξαμεν. Οὐκ ἔστι δὲ ἡμῶν τὰ διδάγματα κατὰ κρίσιν σώφρονα αἰσχρὰ, ἀλλὰ πάσης μὲν φιλοσοφίας ἀνθρωπείου ὑπέρτερα· εἰ δὲ μὴ, κἂν Σωταδείοις καὶ Φι-

---

[1]) Ἄποπτος—видимый издалека, ясный. Нѣкоторые читаютъ ἄπτωτος—непоколебимый, твердый, несомнѣнный.

[2]) Κατὰ δύναμιν—по мѣрѣ пріемлемости.

[3]) Προθεῖναι—предложить къ общему свѣдѣнію, обнародовать.

[4]) Προγράψητε—если сдѣлаете надпись для обнародованія.

λαινιδείοις καὶ Ἀρχεστρατείοις [1]) καὶ Ἐπικουρείοις καὶ τοῖς ἄλλοις τοῖς τοιούτοις ποιητικοῖς διδάγμασιν οὐχ ὅμοια, οἷς ἐντυγχάνειν πᾶσι, καὶ λεγομένοις καὶ γεγραμμένοις, συγκεχώρηται. Καὶ παυσόμεθα λοιπόν, ὅσον ἐφ᾽ ἡμῖν ἦν πράξαντες καὶ προσεπευξάμενοι, τῆς ἀληθείας καταξιωθῆναι τοὺς πάντη πάντας ἀνθρώπους. Εἴη οὖν καὶ ὑμᾶς ἀξίως εὐσεβείας καὶ φιλοσοφίας τὰ δίκαια ὑπὲρ ἑαυτῶν κρῖναι.

---

## 2.

## ΤΟΥ ΑΓΙΟΥ ΙΟΥΣΤΙΝΟΥ ΦΙΛΟΣΟΦΟΥ ΚΑΙ ΜΑΡΤΥΡΟΣ ΠΡΟΣ ΤΡΥΦΩΝΑ ΙΟΥΔΑΙΟΝ ΔΙΑΛΟΓΟΣ.

### Глав. 1—8.

1. Περιπατοῦντί μοι ἕωθεν ἐν τοῖς τοῦ ξυστοῦ [2]) περιπάτοις συναντήσας τις μετὰ καὶ ἄλλων· φιλόσοφε, χαῖρε! ἔφη. Καὶ ἅμα εἰπὼν τοῦτο ἐπιστραφεὶς συμπεριεπάτει μοι· συνεπέστρεφον δ᾽ αὐτῷ καὶ οἱ φίλοι αὐτοῦ. Κἀγὼ ἔμπαλιν προσαγορεύσας αὐτόν· τί μάλιστα; ἔφην.

Ὁ δέ· ἐδιδάχθην ἐν Ἄργει, φησίν, ὑπὸ Κορίνθου τοῦ Σωκρατικοῦ, ὅτι οὐ δεῖ καταφρονεῖν οὐδὲ ἀμελεῖν τῶν περικειμένων τόδε τὸ σχῆμα [3]), ἀλλ᾽ ἐκ παντὸς φιλοφρονεῖσθαι προσομιλεῖν

---

[1]) Сотадъ (Σωτάδης), сатирическій поэтъ, жившій во времена Птоломея Филадельфа; Филенисъ (Φιλαινίς), женщина-поэтъ родомъ изъ Левкадіи; Архестратъ (Ἀρχέστρατος) родомъ изъ Гелы Сицилійской, поэтъ жившій во времена Діонисія младшаго,—писали безнравственныя сочиненія о постыдныхъ предметахъ. См. Свиды—Lexicon и Lübkers Reallexicon.

[2]) Ξυστός. т. е. δρόμος, у Латинянъ xystus, названіе крытой галлереи съ гладкимъ (отъ ξύω) поломъ. въ которой зимою упражнялись атлеты и юноши, гдѣ могли прогуливаться и посторонніе люди. По свидѣтельству Евсевія (Церк. Ист. 4. 18) описываемый случай съ св. Іустиномъ происходилъ въ Ефесѣ, а Трифонъ, сообщающій далѣе самъ объ себѣ нѣкоторыя свѣдѣнія, былъ знаменитѣйшимъ между тогдашними Іудеями.

[3]) Философская мантія, которую носилъ св. Іустинъ.

τε αὐτοῖς, εἴ τι ὄφελος ἐκ τῆς συνουσίας γένοιτο ἢ αὐτῷ ἐκείνῳ ἢ ἐμοί. Ἀμφοτέροις δὲ ἀγαθόν ἐςι, κἂν θάτερος ᾖ ὠφελημένος. Τούτου οὖν χάριν, ὅταν ἴδω τινὰ ἐν τοιούτῳ σχήματι, ἀσμένως αὐτῷ προσέρχομαι, σέ τε κατὰ τὰ αὐτὰ ἡδέως νῦν προσεῖπον, οὗτοί τε συνεφέπονταί μοι, προσδοκῶντες καὶ αὐτοὶ ἀκούσεσθαί τι χρηςὸν ἐκ σοῦ.

Τίς δὲ σὺ ἐσσι, φέριςε βροτῶν; οὕτως προσπαίζων αὐτῷ ἔλεγον.

Ὁ δὲ καὶ τοὔνομά μοι καὶ τὸ γένος ἐξεῖπεν ἁπλῶς. Τρύφων, φησί, καλοῦμαι· εἰμὶ δὲ Ἑβραῖος ἐκ περιτομῆς, φυγὼν τὸν νῦν γενόμενον πόλεμον [1]), ἐν τῇ Ἑλλάδι καὶ τῇ Κορίνθῳ τὰ πολλὰ διάγων.

Καὶ τί ἂν, ἔφην ἐγώ, τοσοῦτον ἐκ φιλοσοφίας σὺ τ̓ ἂν ὠφεληθείης, ὅσον παρὰ τοῦ σοῦ νομοθέτου καὶ τῶν προφητῶν;

Τί γάρ; οὐχ οἱ φιλόσοφοι περὶ θεοῦ τὸν ἅπαντα ποιοῦνται λόγον, ἐκεῖνος ἔλεγε, καὶ περὶ μοναρχίας αὐτοῖς καὶ προνοίας αἱ ζητήσεις γίνονται ἑκάςοτε; ἢ οὐ τοῦτο ἔργον ἐςὶ φιλοσοφίας, ἐξετάζειν περὶ τοῦ θείου;

Ναὶ, ἔφην, οὕτω καὶ ἡμεῖς δεδοξάκαμεν. Ἀλλ' οἱ πλεῖςοι οὐδὲ τούτου πεφροντίκασιν, εἴτε εἷς εἴτε καὶ πλείους εἰσὶ θεοί, καὶ εἴτε προνοοῦσιν ἡμῶν ἑκάςου εἴτε καὶ οὔ, ὡς μηδὲν πρὸς εὐδαιμονίαν τῆς γνώσεως ταύτης συντελούσης· ἀλλὰ καὶ ἡμᾶς ἐπιχειροῦσι πείθειν ὡς τοῦ μὲν σύμπαντος καὶ αὐτῶν τῶν γενῶν καὶ εἰδῶν ἐπιμελεῖται θεὸς, ἐμοῦ δὲ καὶ σοῦ οὐκ ἔτι καὶ τοῦ καθ' ἕκαςα, ἐπεὶ οὐδ' [2]) ἂν ηὐχόμεθα αὐτῷ δι' ὅλης νυκτὸς καὶ ἡμέρας. Τοῦτο δὲ ὅπῃ αὐτοῖς τελευτᾷ, οὐ χαλεπὸν συννοῆσαι· ἄδεια γὰρ καὶ ἐλευθερία λέγειν καὶ ἕπεσθαι τοῖς δοξάζουσι ταῦτα, ποιεῖν τε ὅ τι βούλονται καὶ λέγειν, μήτε κόλασιν φοβουμένοις μήτε ἀγαθὸν ἐλπίζουσί τι ἐκ θεοῦ. Πῶς γάρ; οἵ γε ἀεὶ ταὐτὰ ἔσεσθαι λέγουσι, καὶ ἔτι ἐμὲ καὶ σὲ ἔμπαλιν βιώσεσθαι ὁμοίως, μήτε κρείττονας μήτε χείρους γεγονότας. Ἄλλοι δέ τινες, ὑποςη-

---

[1]) **Упоминаемая здѣсь война была поднята Варкохевомъ противъ Римскаго владычества (132—135 г. по Р. Х.).**

[2]) Ἐπεὶ οὐδ'—**подразумѣвается:** ἐπιμελεῖται, **хотя бы** (ἂν) **мы и пр. Иначе:** οὐδ' ἐπειδάν.

σάμενοι ἀθάνατον καὶ ἀσώματον τὴν ψυχὴν, οὔτε κακόν τι δράσαντες ἡγοῦνται δώσειν δίκην [1]) (ἀπαθὲς γὰρ τὸ ἀσώματον), οὔτε, ἀθανάτου αὐτῆς ὑπαρχούσης, δέονταί τι τοῦ θεοῦ ἔτι.

Καὶ ὃς ἀστεῖον ὑπομειδιάσας· σὺ δὲ πῶς, ἔφη, περὶ τούτων φρονεῖς καὶ τίνα γνώμην περὶ θεοῦ ἔχεις καὶ τίς ἡ σὴ φιλοσοφία, εἰπὲ ἡμῖν.

2. Ἐγώ σοι, ἔφην, ἐρῶ ὅ γέ μοι καταφαίνεται. Ἔστι γὰρ τῷ ὄντι φιλοσοφία μέγιστον κτῆμα καὶ τιμιώτατον θεῷ, ᾧ τε προσάγει καὶ συνίστησιν ἡμᾶς μόνη, καὶ ὅσιοι ὡς ἀληθῶς οὗτοί εἰσιν οἱ φιλοσοφίᾳ τὸν νοῦν προσεσχηκότες. Τί ποτε δέ ἐστι φιλοσοφια καὶ οὗ χάριν κατεπέμφθη εἰς τοὺς ἀνθρώπους, τοὺς πολλοὺς λέληθεν· οὐ γὰρ ἂν Πλατωνικοὶ ἦσαν οὐδὲ Στωϊκοὶ οὐδὲ Περιπατητικοὶ οὐδὲ Θεωρητικοὶ [2]) οὐδὲ Πυθαγορικοὶ, μιᾶς οὔσης ταύτης ἐπιστήμης. Οὗ δὲ χάριν πολύκρανος ἐγενήθη, θέλω εἰπεῖν. Συνέβη τοῖς πρώτοις ἁψαμένοις αὐτῆς καὶ διὰ τοῦτο ἐνδόξοις γενομένοις ἀκολουθῆσαι τοὺς ἔπειτα μηδὲν ἐξετάσαντας ἀληθείας πέρι, καταπλαγέντας δὲ μόνον τὴν καρτερίαν αὐτῶν καὶ τὴν ἐγκράτειαν καὶ τὸ ξένον τῶν λόγων ταῦτα ἀληθῆ νομίσαι, ἃ παρὰ τοῦ διδασκάλου ἕκαστος ἔμαθεν, εἶτα καὶ αὐτοὺς, τοῖς ἔπειτα παραδόντας τοιαῦτα ἅττα καὶ ἄλλα τούτοις προσεοικότα, τοῦτο κληθῆναι τοὔνομα, ὅπερ ἐκαλεῖτο ὁ πατὴρ τοῦ λόγου. Ἐγώ τε κατ᾽ ἀρχὰς οὕτω ποθῶν καὶ αὐτὸς συμβαλεῖν τούτων ἑνὶ, ἐπέδωκα ἐμαυτὸν Στωϊκῷ τινι· καὶ διατρίψας ἱκανὸν μετ᾽ αὐτοῦ χρόνον, ἐπεὶ οὐδὲν πλέον ἐγίνετό μοι περὶ θεοῦ (οὐδὲ γὰρ αὐτὸς ἠπίστατο, οὐδὲ ἀναγκαίαν ἔλεγε ταύτην εἶναι τὴν μάθησιν), τούτου μὲν ἀπηλλάγην, ἐπ᾽ ἄλλον δὲ ἧκα, Περιπατητικὸν καλούμενον, δριμὺν, ὡς ᾤετο. Καί μου ἀνασχόμενος οὗτος τὰς πρώτας ἡμέρας ἠξίου με ἔπειτα μισθὸν ὁρίσαι, ὡς μὴ ἀνωφελὴς ἡ συνουσία γίνοιτο ἡμῖν· καὶ αὐτὸν ἐγὼ διὰ ταύτην τὴν αἰτίαν κατέλιπον, μηδὲ φιλόσοφον οἰηθεὶς ὅλως. Τῆς δὲ ψυχῆς ἔτι μου σπαργώσης ἀκοῦσαι τὸ ἴδιον καὶ τὸ ἐξαίρετον τῆς φιλοσοφίας, προσῆλθον εὐδοκιμοῦντι μάλιστα

[1]) Δίκην διδόναι—потерпѣть наказаніе.

[2]) Θεωρητικοί—философы, занимавшіеся умозрѣніями безъ приложенія ихъ къ жизни, въ особенности Скептики или послѣдователи Пиррова, которые, все изслѣдуя, ничего не рѣшали.

Πυθαγορείῳ, ἀνδρὶ πολὺ ἐπὶ τῇ σοφίᾳ φρονοῦντι. Κἄπειτα ὡς διελέχθην αὐτῷ, βουλόμενος ἀκροατὴς αὐτοῦ καὶ συνουσιαςὴς γενέσθαι· τί δαί; ὡμίλησας, ἔφη, μουσικῇ καὶ ἀςρονομίᾳ καὶ γεωμετρίᾳ; ἢ δοκεῖς κατόψεσθαί τι τῶν εἰς εὐδαιμονίαν συντελούντων, εἰ μὴ ταῦτα πρῶτον διδαχθείης, ἃ τὴν ψυχὴν ἀπὸ τῶν αἰσθητῶν περισπάσει καὶ τοῖς νοητοῖς αὐτὴν παρασκευάσει χρησίμην, ὥςτε αὐτὸ κατιδεῖν τὸ καλὸν καὶ αὐτὸ ὅ ἐςιν ἀγαθόν; Πολλά τε ἐπαινέσας ταῦτα τὰ μαθήματα καὶ ἀναγκαῖα εἰπὼν ἀπέπεμπέ με, ἐπεὶ αὐτῷ ὡμολόγησα μὴ εἰδέναι. Ἐδυσφόρουν οὖν, ὡς τὸ εἰκός, ἀποτυχὼν τῆς ἐλπίδος, καὶ μᾶλλον ᾗ [1]) ἐπίςασθαί τι αὐτὸν ᾠόμην· πάλιν τε τὸν χρόνον σκοπῶν, ὃν ἔμελλον ἐκτρίβειν περὶ ἐκεῖνα τὰ μαθήματα, οὐκ ἠνειχόμην εἰς μακρὰν ἀποτιθέμενος. Ἐν ἀμηχανίᾳ δέ μου ὄντος ἔδοξέ μοι καὶ τοῖς Πλατωνικοῖς ἐντυχεῖν· πολὺ γὰρ καὶ τούτων ἦν κλέος. Καὶ δὴ νεωςὶ ἐπιδημήσαντι τῇ ἡμετέρᾳ πόλει συνετῷ ἀνδρὶ καὶ προὔχοντι ἐν τοῖς Πλατωνικοῖς συνδιέτριβον ὡς τὰ μάλιςα, καὶ προέκοπτον καὶ πλεῖςον ὅσον ἑκάςης ἡμέρας ἐπεδίδουν. Καί με ᾕρει σφόδρα ἡ τῶν ἀσωμάτων νόησις, καὶ ἡ θεωρία τῶν ἰδεῶν ἀνεπτέρου μοι τὴν φρόνησιν, ὀλίγου τε ἐντὸς χρόνου ᾤμην σοφὸς γεγονέναι, καὶ ὑπὸ βλακείας ἤλπιζον αὐτίκα κατόψεσθαι τὸν θεόν· τοῦτο γὰρ τέλος τῆς Πλάτωνος φιλοσοφίας.

3. Καί μου οὕτως διακειμένου, ἐπεὶ ἔδοξέ ποτε πολλῆς ἠρεμίας ἐμφορηθῆναι καὶ τὸν τῶν ἀνθρώπων ἀλεεῖναι πάτον, ἐπορευόμην εἰς τι χωρίον οὐ μακρὰν θαλάσσης. Πλησίον δέ μου γενομένου ἐκείνου τοῦ τόπου, ἔνθα ἔμελλον ἀφικόμενος πρὸς ἐμαυτῷ ἔσεσθαι, παλαιός τις πρεσβύτης, ἰδέσθαι οὐκ εὐκαταφρόνητος, πρᾶον καὶ σεμνὸν ἦθος ἐμφαίνων, ὀλίγον ἀποδέων μου παρείπετο. Ὡς δὲ ἐπεςράφην εἰς αὐτὸν, ὑποςὰς ἐνητένισα δριμύτερον αὐτῷ.

Καὶ ὅς· γνωρίζεις με; ἔφη.

Ἠρνησάμην ἐγώ.

Τί οὖν, μοι ἔφη, οὕτως με κατανοεῖς;

Θαυμάζω, ἔφην, ὅτι ἔτυχες ἐν τῷ αὐτῷ μοι γενέσθαι· οὐ γὰρ προσεδόκησα ὄψεσθαί τινα ἀνδρῶν ἐνθάδε.

---

[1]) Ἠ—по той причинѣ, что...

῾Ο δέ· οἰκείων τινῶν, φησί μοι, πεφρόντικα. Οὗτοι δέ μοί εἰσιν ἀπόδημοι· ἔρχομαι οὖν καὶ αὐτὸς σκοπήσων τὰ περὶ αὐτοὺς, εἰ ἄρα φανήσονταί ποθεν. Σὺ δὲ τί ἐνθάδε; ἐμοὶ ἐκεῖνος.

Χαίρω, ἔφην, ταῖς τοιαύταις διατριβαῖς· ἀνεμπόδιςος γάρ μοι ὁ διάλογος πρὸς ἐμαυτὸν γίνεται, φιλολογίᾳ [1]) τε ἀνυτικώτατά ἐςι τὰ τοιάδε χωρία.

Φιλόλογος οὖν τις εἶ σύ, ἔφη, φιλεργὸς δὲ οὐδαμῶς οὐδὲ φιλαλήθης, οὐδὲ πειρᾷ πρακτικὸς εἶναι μᾶλλον ἢ σοφιςής;

Τί δ᾿ ἄν, ἔφην ἐγώ, τούτου μεῖζον ἔργον ἄν τις ἐργάσαιτο, τοῦ δεῖξαι μὲν τὸν λόγον ἡγεμονεύοντα πάντων, συλλαβόντα δὲ καὶ ἐπ᾿ αὐτῷ ὀχούμενον καθορᾶν τὴν τῶν ἄλλων πλάνην καὶ τὰ ἐκείνων ἐπιτηδεύματα, ὡς οὐδὲν ὑγιὲς δρῶσιν οὐδὲ θεῷ φίλον; ἄνευ δὲ φιλοσοφίας καὶ ὀρθοῦ λόγου οὐκ ἄν τῳ [2]) παρείη φρόνησις. Διὸ χρὴ πάντα ἄνθρωπον φιλοσοφεῖν καὶ τοῦτο μέγιςον καὶ τιμιώτατον ἔργον ἡγεῖσθαι. τὰ δὲ λοιπὰ δεύτερα καὶ τρίτα, καὶ φιλοσοφίας μὲν ἀπηρτημένα μέτρια καὶ ἀποδοχῆς ἄξια, ςερηθέντα δὲ ταύτης καὶ μὴ παρεπομένης τοῖς μεταχειριζομένοις αὐτὰ φορτικὰ καὶ βάναυσα.

῾Η οὖν φιλοσοφία εὐδαιμονίαν ποιεῖ; ἔφη ὑποτυχὼν ἐκεῖνος.

Καὶ μάλιςα, ἔφην ἐγῶ, καὶ μόνη.

Τί γάρ ἐςι φιλοσοφία, φησί, καὶ τίς ἡ εὐδαιμονία αὐτῆς, εἰ μή τι κωλύει φράζειν, φράσον.

Φιλοσοφία μὲν, ἦν δ᾿ [3]) ἐγώ, ἐπιςήμη ἐςι τοῦ ὄντος καὶ τοῦ ἀληθοῦς ἐπίγνωσις, εὐδαιμονία δὲ ταύτης τῆς ἐπιςήμης καὶ τῆς σοφίας γέρας [4]).

Θεὸν δὲ σὺ τί καλεῖς; ἔφη.

Τὸ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἀεὶ ἔχον καὶ τοῦ εἶναι πᾶσι τοῖς ἄλλοις αἴτιον, τοῦτο δή ἐςιν ὁ θεός. Οὕτως ἐγὼ ἀπε-

---

[1]) **Подъ именемъ филологіи въ древности разумѣлись какъ словесныя, такъ и философскія науки.**

[2]) Τῳ вм. τινι. **Здѣсь излагаются преимущественно мысли философа Платона, развитыя имъ въ разговорѣ: Федонъ, и нѣкоторыхъ другихъ.**

[3]) ᾿Ην—**я сказалъ—отъ глагола** ἠμί, **однозначительнаго съ глаг.** φημί.

[4]) Γέρας—**почетная награда.**

κρινάμην αὐτῷ· καὶ ἐτέρπετο ἐκεῖνος ἀκούων μου, οὕτως τέ με ἤρετο πάλιν.

Ἐπιςήμη οὐκ ἔςι κοινὸν ὄνομα διαφόρων πραγμάτων; ἔν τε γὰρ ταῖς τέχναις ἁπάσαις ὁ ἐπιςάμενος τούτων τινὰ ἐπιςήμων καλεῖται, ἔν τε ςρατηγικῇ καὶ κυβερνητικῇ καὶ ἰατρικῇ ὁμοίως. Ἐν τε τοῖς θείοις καὶ ἀνθρωπείοις οὐχ οὕτως ἔχει. Ἐπιςήμη τίς ἐςιν ἡ παρέχουσα αὐτῶν τῶν ἀνθρωπίνων καὶ τῶν θείων γνῶσιν, ἔπειτα τῆς τούτων θειότητος καὶ δικαιοσύνης ἐπίγνωσιν;

Καὶ μάλα, ἔφην.

Τί οὖν; ὁμοίως ἐςὶν ἄνθρωπον εἰδέναι καὶ θεόν, ὡς μουσικὴν καὶ ἀριθμητικὴν καὶ ἀςρονομίαν ἤ τι τοιοῦτον;

Οὐδαμῶς, ἔφην.

Οὐκ ὀρθῶς ἄρα ἀπεκρίθης ἐμοί, ἔφη ἐκεῖνος· αἱ μὲν γὰρ ἐκ μαθήσεως προσγίνονται ἡμῖν ἢ διατριβῆς τινος, αἱ δὲ ἐκ τοῦ ἰδέσθαι παρέχουσι τὴν ἐπιςήμην. Εἴ γέ σοι λέγοι τις, ὅτι ἐςὶν ἐν Ἰνδίᾳ ζῶον φυὴν οὐχ ὅμοιον τοῖς ἄλλοις πᾶσιν, ἀλλὰ τοῖον ἢ τοῖον, πολυειδὲς καὶ ποικίλον, οὐκ ἂν πρότερον εἰδείης ἢ ἴδοις αὐτό, ἀλλ' οὐδὲ λόγον ἂν ἔχοις εἰπεῖν αὐτοῦ τινα, εἰ μὴ ἀκούσαις τοῦ ἑωρακότος.

Οὐ γάρ, φημί.

Πῶς οὖν ἄν, ἔφη, περὶ θεοῦ ὀρθῶς φρονοῖεν οἱ φιλόσοφοι ἢ λέγοιέν τι ἀληθές, ἐπιςήμην αὐτοῦ μὴ ἔχοντες, μηδὲ ἰδόντες ποτὲ ἢ ἀκούσαντες;

Ἀλλ' οὐκ ἔςιν ὀφθαλμοῖς, ἦν δ' ἐγώ, αὐτοῖς, πάτερ, ὁρατὸν τὸ θεῖον ὡς τὰ ἄλλα ζῶα, ἀλλὰ μόνῳ νῷ καταληπτόν, ὥς φησι Πλάτων, καὶ ἐγὼ πείθομαι αὐτῷ.

Ἔςιν οὖν, φησί, τῷ νῷ ἡμῶν τοιαύτη τις καὶ τοσαύτη δύναμις, ἢ μὴ τὸ ὂν δι' αἰσθήσεως ἔλαβεν; ἢ τὸν θεὸν ἀνθρώπου νοῦς ὄψεταί ποτε μὴ ἁγίῳ πνεύματι κεκοσμημένος;

Φησὶ γὰρ Πλάτων, ἦν δ' ἐγώ, αὐτὸ τοιοῦτον εἶναι τὸ τοῦ νοῦ ὄμμα καὶ πρὸς τοῦτο ἡμῖν δεδόσθαι, ὡς δύνασθαι καθορᾶν αὐτὸ ἐκεῖνο τὸ ὂν εἰλικρινεῖ αὐτῷ ἐκείνῳ, ὃ τῶν νοητῶν ἁπάντων ἐςὶν αἴτιον, οὐ χρῶμα ἔχον, οὐ σχῆμα, οὐ μέγεθος, οὐδὲ οὐδὲν ὧν ὀφθαλμὸς βλέπει· ἀλλά τι ὂν τοῦτ' αὐτό, φησι, ὂν

ἐπέκεινα πάσης οὐσίας, οὔτε ῥητὸν οὔτε ἀγορευτόν, ἀλλὰ μόνον καλὸν καὶ ἀγαθόν, ἐξαίφνης ταῖς εὖ πεφυκυίαις ψυχαῖς ἐγγινόμενον διὰ τὸ συγγενὲς καὶ ἔρωτα τοῦ ἰδέσθαι.

Τίς οὖν ἡμῖν, ἔλεγε, συγγένεια πρὸς τὸν θεόν ἐςιν; ἢ καὶ ἡ ψυχὴ θεία καὶ ἀθάνατός ἐςι καὶ αὐτοῦ ἐκείνου τοῦ βασιλικοῦ νοῦ μέρος; ὡς δὲ ἐκεῖνος ὁρᾷ τὸν θεόν, οὕτως καὶ ἡμῖν ἐφικτὸν τῷ ἡμετέρῳ νῷ συλλαβεῖν τὸ θεῖον καὶ τοὐντεῦθεν ἤδη εὐδαιμονεῖν;

Πάνυ μὲν οὖν, ἔφην.

Πᾶσαι δ' αὐτὸ διὰ πάντων αἱ ψυχαὶ χωροῦσι [1]) τῶν ζώων, ἠρώτα, ἢ ἄλλη μὲν ἀνθρώπου, ἄλλη δὲ ἵππου καὶ ὄνου;

Οὔκ, ἀλλ' αἱ αὐταὶ ἐν πᾶσίν εἰσιν, ἀπεκρινάμην.

Ὄψονται ἄρα, φησί, καὶ ἵπποι καὶ ὄνοι ἢ εἶδόν ποτε τὸν θεόν;

Οὔκ, ἔφην· οὐδὲ γὰρ οἱ πολλοὶ τῶν ἀνθρώπων, εἰ μή τις ἐν δίκῃ βιώσαιτο, καθηράμενος δικαιοσύνῃ καὶ τῇ ἄλλῃ ἀρετῇ πάσῃ.

Οὐκ ἄρα, ἔφη, διὰ τὸ συγγενὲς ὁρᾷ τὸν θεόν, οὐδ' ὅτι νοῦς ἐςιν, ἀλλ' ὅτι σώφρων καὶ δίκαιος;

Ναί, ἔφην, καὶ διὰ τὸ ἔχειν ᾧ νοεῖ τὸν θεόν.

Τί οὖν; ἀδικοῦσί τινα αἶγες ἢ πρόβατα;

Οὐδὲν οὐδένα, ἦν δ' ἐγώ.

Ὄψονται ἄρα, φησί, κατὰ τὸν σὸν λόγον καὶ ταῦτα τὰ ζῶα;

Οὔ· τὸ γὰρ σῶμα αὐτοῖς, τοιοῦτον ὄν, ἐμπόδιόν ἐςιν.

Εἰ λάβοιεν φωνὴν τὰ ζῶα ταῦτα, ὑποτυχὼν ἐκεῖνος, εὖ ἴσθι, ὅτι πολὺ ἂν εὐλογώτερον ἐκεῖνα τῷ ἡμετέρῳ σώματι λοιδοροῖντο· νῦν δ' ἐάσωμεν οὕτω, καί σοι ὡς λέγεις συγκεχωρήσθω. Ἐκεῖνο δέ μοι εἰπέ· ἕως ἐν τῷ σώματί ἐςιν ἡ ψυχὴ βλέπει, ἢ ἀπαλλαγεῖσα τούτου;

Καὶ ἕως μέν ἐςιν ἐν ἀνθρώπου εἴδει, δυνατὸν αὐτῇ, φημί, ἐγγενέσθαι διὰ τοῦ νοῦ, μάλιςα δὲ ἀπολυθεῖσα τοῦ σώματος καὶ αὐτὴ καθ' ἑαυτὴν γενομένη τυγχάνει, οὗ ἤρα πάντα τὸν χρόνον πάντως.

---

[1]) Χωρεῖν — въ смыслѣ: имѣть способность (къ постиженію Божества).

Ἢ καὶ μέμνηται τούτου πάλιν ἐν ἀνθρώπῳ γενομένη;

Οὔ μοι δοκεῖ, ἔφην.

Τί οὖν ὄφελος ταῖς ἰδούσαις, ἢ τί πλέον τοῦ μὴ ἰδόντος ὁ ἰδὼν ἔχει, εἰ μηδὲ αὐτὸ τοῦτο ὅτι εἶδε μέμνηται;

Οὐκ ἔχω εἰπεῖν, ἦν δ᾽ ἐγώ.

Αἱ δὲ ἀνάξιαι ταύτης τῆς θέας κριθεῖσαι τί πάσχουσιν; ἔφη.

Εἴς τινα θηρίων ἐνδεσμεύονται σώματα, καὶ αὕτη ἐςὶ κόλασις αὐτῶν.

Οἴδασιν οὖν, ὅτι διὰ ταύτην τὴν αἰτίαν ἐν τοιούτοις εἰσὶ σώμασι καὶ ὅτι ἐξήμαρτόν τι;

Οὐ νομίζω.

Οὐδὲ ταύταις ἄρα ὄφελός τι τῆς κολάσεως, ὡς ἔοικεν· ἀλλ᾽ οὐδὲ κολάζεσθαι αὐτὰς λέγοιμι, εἰ μὴ ἀντιλαμβάνονται τῆς κολάσεως.

Οὐ γάρ.

Οὔτε οὖν ὁρῶσι τὸν θεὸν αἱ ψυχαί, οὔτε μεταμείβουσιν εἰς ἕτερα σώματα· ᾔδεσαν γὰρ ἄν, ὅτι κολάζονται οὕτως, καὶ ἐφοβοῦντο ἂν καὶ τὸ τυχὸν ἐξαμαρτεῖν ὕςερον. Νοεῖν δὲ αὐτὰς δύνασθαι, ὅτι ἐςι θεὸς καὶ δικαιοσύνη καὶ εὐσέβεια καλόν, κἀγὼ συντίθεμαι, ἔφη.

Ὀρθῶς λέγεις, εἶπον.

5. Οὐδὲν οὖν ἴσασι περὶ τούτων ἐκεῖνοι οἱ φιλόσοφοι· οὐδὲ γὰρ ὅ τί ποτέ ἐςι ψυχὴ ἔχουσιν εἰπεῖν.

Οὐκ ἔοικεν [1]).

Οὐδὲ μὴν ἀθάνατον χρὴ λέγειν αὐτήν· ὅτι, εἰ ἀθάνατός ἐςι, καὶ ἀγέννητος δηλαδή.

Ἀγέννητος δὲ καὶ ἀθάνατός ἐςι κατά τινας λεγομένους Πλατωνικούς.

Ἦ καὶ τὸν κόσμον σὺ ἀγέννητον λέγεις;

Εἰσὶν οἱ λέγοντες, οὐ μέντοι γε αὐτοῖς συγκατατίθεμαι ἐγώ.

Ὀρθῶς ποιῶν. Τίνα γὰρ λόγον ἔχει σῶμα οὕτω ςερεὸν

---

[1]) Двусмысленный отвѣтъ. Если поставить запятую послѣ οὐκ, то будетъ такой смыслъ: «кажется, не знаютъ». А безъ запятой значитъ: «кажется, это не такъ».

καὶ ἀντιτυπίαν [1]) ἔχον καὶ σύνθετον καὶ ἀλλοιούμενον καὶ φθίνον καὶ γινόμενον ἑκάστης ἡμέρας μὴ ἀπ' ἀρχῆς τινος ἡγεῖσθαι γεγονέναι; εἰ δ' ὁ κόσμος γεννητός, ἀνάγκη καὶ τὰς ψυχὰς γεγονέναι καὶ οὐκ εἶναί ποι τάχα· διὰ γὰρ τοὺς ἀνθρώπους ἐγένοντο καὶ τὰ ἄλλα ζῶα, εἰ ὅλως κατ' ἰδίαν καὶ μὴ μετὰ τῶν ἰδίων σωμάτων φήσεις αὐτὰς γεγονέναι.

Οὕτως δοκεῖ ὀρθῶς ἔχειν.

Οὐκ ἄρα ἀθάνατοι.

Οὐκ, ἐπειδὴ καὶ ὁ κόσμος γεννητὸς ἡμῖν ἐφάνη.

'Αλλὰ μὴν οὐδὲ ἀποθνήσκειν φημὶ πάσας τὰς ψυχὰς ἐγω· ἕρμαιον [2]) γὰρ ἦν ὡς ἀληθῶς τοῖς κακοῖς. 'Αλλὰ τί; τὰς μὲν τῶν εὐσεβῶν ἐν κρείττονί ποι χώρῳ μένειν, τὰς δὲ ἀδίκους καὶ πονηρὰς ἐν χείρονι, τὸν τῆς κρίσεως ἐκδεχομένας χρόνον τότε. Οὕτως αἱ μὲν, ἄξιαι τοῦ θεοῦ φανεῖσαι, οὐκ ἀποθνήσκουσιν ἔτι· αἱ δὲ κολάζονται, ἔστ' ἂν αὐτὰς καὶ εἶναι καὶ κολάζεσθαι ὁ θεὸς θέλῃ.

'Αρα τοιοῦτόν ἐστιν ὃ λέγεις, οἷον καὶ Πλάτων ἐν Τιμαίῳ [3]) αἰνίσσεται περὶ τοῦ κόσμου, λέγων, ὅτι αὐτὸς μὲν καὶ φθαρτός ἐστιν ᾗ γέγονεν, οὐ λυθήσεται δὲ οὐδὲ τεύξεται θανάτου μοίρας διὰ τὴν βούλησιν τοῦ θεοῦ; τοῦτ' αὐτό σοι δοκεῖ καὶ περὶ ψυχῆς καὶ ἁπλῶς πάντων πέρι λέγεσθαι; ὅσα γάρ ἐστι μετὰ τὸν θεὸν ἢ ἔσται ποτὲ, ταῦτα φύσιν φθαρτὴν ἔχειν, καὶ οἷά τε ἐξαφανισθῆναι καὶ μὴ εἶναι ἔτι· μόνος γὰρ ἀγέννητος καὶ ἄφθαρτος ὁ θεὸς καὶ διὰ τοῦτο θεός ἐστι, τὰ δὲ λοιπὰ πάντα μετὰ τοῦτον γεννητὰ καὶ φθαρτά. Τούτου χάριν καὶ ἀποθνήσκουσιν αἱ ψυχαὶ καὶ κολάζονται· ἐπεί, εἰ ἀγέννητοι ἦσαν, οὔτ' ἂν ἐξημάρτανον οὔτε ἀφροσύνης ἀνάπλεῳ ἦσαν. οὐδὲ δειλαὶ καὶ θρασεῖαι πάλιν, ἀλλ' οὐδὲ ἑκοῦσαί ποτε εἰς σύας ἐχώρουν καὶ ὄφεις καὶ κύνας, οὐδὲ μὴν ἀναγκάζεσθαι αὐτὰς θέμις, εἴπερ εἰσὶν ἀγέννητοι. Τὸ γὰρ ἀγέννητον τῷ ἀγεννήτῳ ὅμοιόν ἐστι καὶ ἴσον καὶ ταὐτὸν, καὶ

---

[1]) 'Αντιτυπία—**упругость, твердость, грубость,** (**изъ** ἀντὶ **и** τύπτω).

[2]) 'Ερμαιον—**даръ бога Эрмія или Меркурія, находка, нечаянное пріобрѣтеніе, сокровище. Такъ какъ Эрмій почитался божествомъ дорогъ, то всякая находка на дорогѣ была принимаема какъ даръ Эрмія.**

[3] **Въ разговорѣ Платона: Тимей, 41 и 42.**

οὔτε δυνάμει οὔτε τιμῇ προκριθείη ἂν θατέρου τὸ ἕτερον. Ὅθεν οὐδὲ πολλά ἐϛι τὰ ἀγέννητα· εἰ γὰρ διαφορά τις ἦν ἐν αὐτοῖς, οὐκ ἂν εὕροις ἀναζητῶν τὸ αἴτιον τῆς διαφορᾶς, ἀλλ', ἐπ' ἄπειρον ἀεὶ τὴν διάνοιαν πέμπων, ἐπὶ ἑνός ποτε ϛήσῃ ἀγεννήτου καμὼν καὶ τοῦτο φήσεις ἁπάντων αἴτιον.— Ἢ ταῦτα ἔλαθε, φημὶ ἐγώ, Πλάτωνα καὶ Πυθαγόραν, σοφοὺς ἄνδρας, οἳ ὥσπερ τεῖχος ἡμῖν καὶ ἔρεισμα φιλοσοφίας ἐξεγένοντο;

6. Οὐδὲν ἐμοί, ἔφη, μέλει Πλάτωνος οὐδὲ Πυθαγόρου οὐδὲ ἁπλῶς οὐδενὸς ὅλως τοιαῦτα δοξάζοντος. Τὸ γὰρ ἀληθὲς οὕτως ἔχει· μάθοις δ' ἂν ἐντεῦθεν. Ἡ ψυχὴ ἤτοι ζωή ἐϛιν ἢ ζωὴν ἔχει. Εἰ μὲν οὖν ζωή ἐϛιν, ἄλλο τι ἂν ποιήσειε ζῆν, οὐχ ἑαυτήν, ὡς καὶ κίνησις ἄλλο τι κινήσειε μᾶλλον ἢ ἑαυτήν. Ὅτι δὲ ζῇ ψυχή, οὐδεὶς ἀντείποι. Εἰ δὲ ζῇ, οὐ ζωὴ οὖσα ζῇ, ἀλλὰ μεταλαμβάνουσα τῆς ζωῆς· ἕτερον δέ τι τὸ μετέχον τινὸς ἐκείνου, οὗ μετέχει. Ζωῆς δὲ ψυχὴ μετέχει, ἐπεὶ ζῆν αὐτὴν ὁ θεὸς βούλεται. Οὕτως ἄρα καὶ οὐ μεθέξει ποτέ, ὅταν αὐτὴν μὴ θέλοι ζῆν. Οὐ γὰρ ἴδιον αὐτῆς ἐϛι τὸ ζῆν ὡς τοῦ θεοῦ· ἀλλὰ ὥσπερ ἄνθρωπος οὐ διὰ παντός ἐϛιν οὐδὲ σύνεϛιν ἀεὶ τῇ ψυχῇ τὸ σῶμα, ἀλλ', ὅταν δέῃ λυθῆναι τὴν ἁρμονίαν ταύτην, καταλείπει ἡ ψυχὴ τὸ σῶμα καὶ ὁ ἄνθρωπος οὐκ ἔϛιν, οὕτως καί, ὅταν δέῃ τὴν ψυχὴν μηκέτι εἶναι, ἀπέϛη ἀπ' αὐτῆς τὸ ζωτικὸν πνεῦμα καὶ οὐκ ἔϛιν ἡ ψυχὴ ἔτι, ἀλλὰ καὶ αὐτή, ὅθεν ἐλήφθη, ἐκεῖσε χωρεῖ πάλιν.

7. Τίνι οὖν, φημί, ἔτι τις χρήσαιτο διδασκάλῳ ἢ πόθεν ὠφεληθείη τις, εἰ μηδὲ ἐν τούτοις τὸ ἀληθές ἐϛιν;

Ἐγένοντό τινες πρὸ πολλοῦ χρόνου πάντων τούτων τῶν νομιζομένων φιλοσόφων παλαιότεροι, μακάριοι καὶ δίκαιοι καὶ θεοφιλεῖς, θείῳ πνεύματι λαλήσαντες καὶ τὰ μέλλοντα θεσπίσαντες, ἃ δὴ νῦν γίνεται· προφήτας δὲ αὐτοὺς καλοῦσιν. Οὗτοι μόνοι τὸ ἀληθὲς καὶ εἶδον καὶ ἐξεῖπον ἀνθρώποις, μήτ' εὐλαβηθέντες μήτε δυσωπηθέντες τινά, μὴ ἡττημένοι δόξης, ἀλλὰ μόνα ταῦτα εἰπόντες, ἃ ἤκουσαν καὶ ἃ εἶδον ἁγίῳ πληρωθέντες πνεύματι. Συγγράμματα δὲ αὐτῶν ἔτι καὶ νῦν διαμένει, καὶ ἔϛιν ἐντυχόντα τούτοις πλεῖϛον ὠφεληθῆναι καὶ περὶ ἀρχῶν καὶ περὶ τέλους καὶ ὧν χρὴ εἰδέναι τὸν φιλόσοφον, πιϛεύσαντα ἐκείνοις.

Οὐ γὰρ μετὰ ἀποδείξεως [1]) πεποίηνται τότε τοὺς λόγους, ἅτε ἀνωτέρω πάσης ἀποδείξεως ὄντες ἀξιόπιςοι μάρτυρες τῆς ἀληθείας· τὰ δὲ ἀποβάντα καὶ ἀποβαίνοντα ἐξαναγκάζει συντίθεσθαι τοῖς λελαλημένοις δι᾽ αὐτῶν. Καίτοι γε καὶ διὰ τὰς δυνάμεις, ἃς ἐπετέλουν, πιςεύεσθαι δίκαιοι ἦσαν, ἐπειδὴ καὶ τὸν ποιητὴν τῶν ὅλων θεὸν καὶ πατέρα ἐδόξαζον καὶ τὸν παρ᾽ αὐτοῦ Χριςὸν υἱὸν αὐτοῦ κατήγγελλον· ὅπερ οἱ ἀπὸ τοῦ πλάνου καὶ ἀκαθάρτου πνεύματος ἐμπιπλάμενοι ψευδοπροφῆται οὔτε ἐποίησαν οὔτε ποιοῦσιν, ἀλλὰ δυνάμεις τινὰς ἐνεργεῖν εἰς κατάπληξιν τῶν ἀνθρώπων τολμῶσι καὶ τὰ τῆς πλάνης πνεύματα καὶ δαιμόνια δοξολογοῦσιν. Εὔχου δὲ σοι πρὸ πάντων φωτὸς ἀνοιχθῆναι πύλας· οὐ γὰρ συνοπτὰ οὐδὲ συννοητὰ πᾶσίν ἐςιν, εἰ μή τῳ θεὸς δῷ συνιέναι καὶ ὁ Χριςὸς αὐτοῦ.

8. Ταῦτα καὶ ἔτι ἄλλα πολλὰ εἰπὼν ἐκεῖνος, ἃ νῦν καιρὸς οὐκ ἔςι λέγειν, ᾤχετο, κελεύσας διώκειν αὐτά· καὶ οὐκέτι αὐτὸν εἶδον. Ἐμοὶ δὲ παραχρῆμα πῦρ ἐν τῇ ψυχῇ ἀνήφθη, καὶ ἔρως εἶχέ με τῶν προφητῶν καὶ τῶν ἀνδρῶν ἐκείνων, οἵ εἰσι Χριςοῦ φίλοι· διαλογιζόμενός τε πρὸς ἐμαυτὸν τοὺς λόγους αὐτοῦ ταύτην μόνην εὕρισκον φιλοσοφίαν ἀσφαλῆ τε καὶ σύμφορον. Οὕτως δὴ καὶ διὰ ταῦτα φιλόσοφος ἐγώ. Βουλοίμην δ᾽ ἂν καὶ πάντας ἴσον ἐμοὶ θυμὸν ποιησαμένους μὴ ἀφίςασθαι τῶν τοῦ σωτῆρος λόγων· δέος γάρ τι ἔχουσιν ἐν ἑαυτοῖς, καὶ ἱκανοὶ δυσωπῆσαι τοὺς ἐκτρεπομένους τῆς ὀρθῆς ὁδοῦ, ἀνάπαυσίς τε ἡδίςη γίνεται τοῖς ἐκμελετῶσιν αὐτούς. Εἰ οὖν τι καὶ σοι περὶ σεαυτοῦ μέλει καὶ ἀντιποιῇ σωτηρίας καὶ ἐπὶ τῷ θεῷ πέποιθας, ἅπερ οὐκ ἀλλοτρίῳ [2]) τοῦ πράγματος, πάρεςιν ἐπιγνόντι σοι τὸν Χριςὸν τοῦ θεοῦ καὶ τελείῳ γενομένῳ εὐδαιμονεῖν.

---

[1]) Ἀπόδειξις—показываніе, доказываніе, выставленіе на видъ. Ἀποδεικνύω совмѣщаетъ въ себѣ значенія латинскихъ: ostendo и ostento.

[2]) Ἀλλότριος—чуждый и чуждающійся—относится къ σοι, т. е. Трифону Іудею.

## IV.

# СВ. ѲЕОФИЛЪ ЕПИСКОПЪ АНТІОХІЙСКІЙ.

Между христіанскими апологетами 2-го вѣка занимаетъ весьма видное мѣсто св. Ѳеофилъ, о которомъ по историческимъ свидѣтельствамъ извѣстно, что онъ былъ шестымъ со временъ апостольскихъ предстоятелемъ Антіохійской церкви и по требованіямъ тогдашняго времени направлялъ свою пастырскую дѣятельность къ огражденію своихъ пасомыхъ отъ ложныхъ ученій язычниковъ и еретиковъ какъ при устныхъ собесѣдованіяхъ, такъ и посредствомъ письменныхъ сочиненій (Евсевія, Церк. Ист. 4. 19. 20. Іеронима, De viris illustr. c. 25 и 48). О событіяхъ въ жизни Святителя, предшествовавшихъ вступленію его на епископскій престолъ Антіохіи, немногія свѣдѣнія заключаются только въ собственныхъ его сочиненіяхъ. Изъ нихъ видно, что онъ родился и воспитывался въ язычествѣ; получилъ классическое и многостороннее образованіе и находился въ близкихъ отношеніяхъ къ нѣкоторымъ изъ современныхъ греческихъ ученыхъ людей; но, относясь критически къ произведеніямъ языческой мудрости, ясно понялъ всю ложь ея съ тѣхъ поръ, какъ сталъ читать христіанскія книги св. Писанія; чтеніе этихъ книгъ привело его къ полному убѣжденію въ истинѣ христіанскаго ученія и къ обращенію изъ язычества въ христіанскую вѣру (Къ Автолику кн. 1. гл. 14). На основаніи лѣтосчисленія въ 3-й книгѣ, доведеннаго св. Ѳеофиломъ отъ сотворе

нія міра до смерти Римскаго императора Марка Аврелія (†180 г. по Р. Х.). полагают, что время епископскаго служенія его въ Антіохійской церкви продолжалось около 13 лѣтъ (съ 168 до 181 года) до блаженной его кончины: память его празднуется православною Церковію 6-го Декабря (Ученіе объ отцахъ Церк. Т. 1. стр. 69. Памятники древней христ. письменности въ русск. переводѣ, Т. 5. Москва. 1865. г.).

Единственное дошедшее до насъ сочиненіе св. Ѳеофила—*три книги къ Автолику*, образованному и облеченному властію язычнику, презрительно относившемуся къ христіанамъ и ихъ вѣрованіямъ, съ которымъ устныя собесѣдованія о предметахъ вѣры и подали поводъ Святителю къ составленію этихъ книгъ, написанныхъ съ нѣкоторыми промежутками времени, но соединенныхъ однородностію содержанія, направленія и цѣли—убѣдить невѣрующаго язычника въ истинѣ христіанства. Въ древнихъ спискахъ онѣ носятъ общее заглавіе: *о вѣрѣ христіанской*, и составляютъ одно изъ лучшихъ полемико-догматическихъ сочиненій христіанской древности; мысли автора о заблужденіяхъ языческихъ философовъ и поэтовъ въ высшей степени справедливы и убѣдительны; взглядъ на христіанское ученіе ясный и глубокій: слогъ легкій и изящный (elegans, по выраженію блаж. Іеронима).

Въ первой книгѣ къ Автолику св. Ѳеофилъ раскрываетъ истину бытія Бога, Существа невидимаго для плотскихъ очей человѣка, но познаваемаго изъ его дѣйствій въ природѣ, а еще полнѣе имѣющаго быть познаннымъ тогда, когда мы совлечемся смертнаго тѣла и облечемся въ безсмертіе. Посему истина безсмертія по воскресеніи, какъ одно изъ важнѣйшихъ вѣрованій христіанъ (которыхъ самое названіе также объясняется), составляетъ дальнѣйшій предметъ, раскрываемый и доказываемый Святителемъ. Во второй

книгѣ авторъ доказываетъ ложность языческаго богопочитанія и утверждаетъ истинность божественнаго откровенія, содержащагося въ христіанскихъ книгахъ св. Писанія; здѣсь (въ главахъ 12—19) онъ излагаетъ свой возвышенный нравственно-религіозный взглядъ на сказаніе книги Бытія о шестидневномъ твореніи въ противоположность нелѣпымъ сужденіямъ язычниковъ о происхожденіи міра и человѣка. Въ третьей книгѣ Святитель опровергаетъ обвиненія, распространяемыя тогда касательно нравственности христіанъ, и выставляетъ на видъ чистоту и святость нравственнаго христіанскаго ученія, подтверждаемую жизнію вѣрующихъ въ Іисуса Христа, и наконецъ доказываетъ древность священныхъ книгъ ихъ преимущественно предъ сочиненіями языческими.

Лучшія и новѣйшія изданія твореній св. Θеофила суть:

1. Pruden. Marani—Opera S. Iustini, Tatiani, Athenagorae, Theophili Antiocheni tres ad Autolycum libri, et caet. Paris. 1742.

2. Patrologiae Cursus Compl. Edit. I. P. Migne. Ser. graec. Tom. VI. Paris. 1857.

3. Corpus apologetarum Christianorum saeculi sec. Ed. I. C. de Otto. Tom VIII. Ienae. 1861.

Текстъ твореній св. Θеофила для настоящаго сборника заимствованъ изъ послѣдняго изданія.

---

1.

## ΘΕΟΦΙΛΟΥ ΠΡΟΣ ΑΥΤΟΛΥΚΟΝ ΒΙΒΛΙΟΝ Α.

### Глав. 1—14.

1. Στωμύλον μὲν οὖν στόμα καὶ φράσις εὐεπὴς τέρψιν παρέχει καὶ ἔπαινον πρὸς κενὴν δόξαν ἀθλίοις ἀνθρώποις ἔχουσι

του νοῦν κατεφθαρμένον· ὁ δὲ τῆς ἀληθείας ἐραστὴς οὐ προσέχει λόγοις μεμιασμένοις [1]), ἀλλὰ ἐξετάζει τὸ ἔργον τοῦ λόγου, τί καὶ ὁποῖόν ἐστιν. Ἐπειδὴ οὖν, ὦ ἑταῖρε, κατέπληξάς με λόγοις κενοῖς καυχησάμενος ἐν τοῖς θεοῖς σου τοῖς λιθίνοις καὶ ξυλίνοις, ἐλατοῖς τε καὶ χωνευτοῖς καὶ πλαστοῖς καὶ γραπτοῖς, οἳ οὔτε βλέπουσιν οὔτε ἀκούουσιν (εἰσὶ γὰρ εἴδωλα καὶ ἔργα χειρῶν ἀνθρώπων)· ἔτι δὲ φῄς με καὶ χριστιανόν, ὡς κακὸν τοὔνομα φοροῦντα· ἐγὼ μὲν οὖν ὁμολογῶ εἶναι χριστιανός, καὶ φορῶ τὸ θεοφιλὲς ὄνομα τοῦτο, ἐλπίζων εὔχρηστος εἶναι τῷ Θεῷ. Οὐ γάρ, ὡς σὺ ὑπολαμβάνεις χαλεπὸν εἶναι τοὔνομα τοῦ Θεοῦ, οὕτως ἔχει· ἴσως δὲ ἔτι, αὐτὸς σὺ ἄχρηστος ὢν τῷ Θεῷ, περὶ τοῦ Θεοῦ οὕτω φρονεῖς.

2. Ἀλλὰ καὶ ἐὰν φῇς· δεῖξόν μοι τὸν Θεόν σου· κἀγώ σοι εἴποιμι ἄν· δεῖξόν μοι τὸν ἄνθρωπόν σου [2]), κἀγώ σοι δείξω τὸν Θεόν μου. Ἐπεὶ δεῖξον βλέποντας τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς σου, καὶ τὰ ὦτα τῆς καρδίας σου ἀκούοντα. Ὥσπερ γὰρ οἱ βλέποντες τοῖς ὀφθαλμοῖς τοῦ σώματος κατανοοῦσι τὴν τοῦ βίου καὶ ἐπίγειον πραγματείαν, ἅμα δοκιμάζοντες τὰ διαφέροντα [3]) ἤτοι φῶς ἢ σκότος, ἢ λευκὸν ἢ μέλαν, ἢ ἀειδὲς ἢ εὔμορφον, ἢ εὔρυθμον καὶ εὔμετρον ἢ ἄρρυθμον καὶ ἄμετρον, ἢ ὑπέρμετρον ἢ κόλουρον, ὁμοίως δὲ καὶ τὰ ὑπ' ἀκοὴν πίπτοντα, ἢ ὀξύφωνα, ἢ βαρύφωνα, ἢ ἡδύφωνα· οὕτως ἔχοι ἂν καὶ περὶ τὰ ὦτα τῆς καρδίας καὶ τοὺς ὀφθαλμοὺς τοὺς τῆς ψυχῆς, δύνασθαι Θεὸν θεάσασθαι. Βλέπεται γὰρ Θεὸς τοῖς δυναμένοις αὐτὸν ὁρᾶν, ἐπὰν ἔχωσι τοὺς ὀφθαλμοὺς ἀνεῳγμένους τῆς ψυχῆς. Πάντες μὲν γὰρ ἔχουσι τοὺς ὀφθαλμούς, ἀλλὰ ἔνιοι ὑποκεχυμένους [4]) καὶ μὴ βλέποντας τὸ φῶς τοῦ ἡλίου· καὶ οὐ παρὰ τὸ μὴ βλέπειν τοὺς τυφλοὺς ἤδη καὶ οὐκ ἔστι τὸ φῶς τοῦ ἡλίου φαῖνον· ἀλλὰ ἑαυτοὺς αἰτιάσθωσαν οἱ τυφλοὶ καὶ τοὺς ἑαυτῶν ὀφθαλμούς. Οὕτω καὶ σύ, ὦ ἄνθρωπε, ἔχεις ὑποκεχυμένους τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς

---

[1]) Μιαίνω въ смыслѣ: окрашиваю, расписываю, украшаю.

[2]) Т. е. внутренняго человѣка, душу.

[3]) Рим. 2. 18. Фил. 1. 10.

[4]) Ὑπόχυσις или ὑπόχυμα—suffusio oculorum, темная вода въ глазахъ и бѣльмо.

σου ὑπὸ τῶν ἁμαρτημάτων καὶ τῶν πράξεών σου τῶν πονηρῶν. Ὥσπερ ἔσοπτρον ἐπιλβωμένον, οὕτως δεῖ τὸν ἄνθρωπον ἔχειν καθαρὰν ψυχήν. Ἐπὰν οὖν ᾖ ἰὸς ἐν τῷ ἐσόπτρῳ, οὐ δύναται ὁρᾶσθαι τὸ πρόσωπον τοῦ ἀνθρώπου ἐν τῷ ἐσόπτρῳ· οὕτω καὶ ὅταν ᾖ ἁμαρτία ἐν τῷ ἀνθρώπῳ, οὐ δύναται ὁ τοιοῦτος ἄνθρωπος θεωρεῖν τὸν Θεόν. Δεῖξον οὖν καὶ σὺ σεαυτόν, εἰ οὐκ εἶ μοιχός, εἰ οὐκ εἶ πόρνος, εἰ οὐκ εἶ κλέπτης, εἰ οὐκ εἶ ἅρπαξ, εἰ οὐκ εἶ ἀποστερητής, εἰ οὐκ εἶ ἀρσενοκοίτης, εἰ οὐκ εἶ ὑβριστής, εἰ οὐκ εἶ λοίδορος, εἰ οὐκ ὀργίλος, εἰ οὐ φθονερός, εἰ οὐκ ἀλαζών, εἰ οὐχ ὑπερόπτης, εἰ οὐ πλήκτης, εἰ οὐ φιλάργυρος, εἰ οὐ γονεῦσιν ἀπειθής, εἰ οὐ τὰ τέκνα σου πωλεῖς [1]). Τοῖς γὰρ ταῦτα πράσσουσιν ὁ Θεὸς οὐκ ἐμφανίζεται, ἐὰν μὴ πρῶτον ἑαυτοὺς καθαρίσωσιν ἀπὸ παντὸς μολυσμοῦ. Καί σοι οὖν ἅπαντα ἐπισκοτεῖ, καθάπερ ὕλης ἐπιφορὰ ἐπὰν γένηται τοῖς ὀφθαλμοῖς πρὸς τὸ μὴ δύνασθαι ἀτενίσαι τὸ φῶς τοῦ ἡλίου· οὕτω καί σοι, ὦ ἄνθρωπε, ἐπισκοτοῦσιν αἱ ἀσέβειαι πρὸς τὸ μὴ δύνασθαί σε ὁρᾶν τὸν Θεόν.

3. Ἐρεῖς οὖν μοι· σὺ ὁ βλέπων διήγησαί μοι τὸ εἶδος τοῦ Θεοῦ. Ἄκουε, ὦ ἄνθρωπε· τὸ μὲν εἶδος τοῦ Θεοῦ ἄρρητον καὶ ἀνέκφραστον καὶ μὴ δυνάμενον ὀφθαλμοῖς σαρκίνοις ὁραθῆναι. Δόξῃ γάρ ἐστιν ἀχώρητος, μεγέθει ἀκατάληπτος, ὕψει ἀπερινόητος, ἰσχύϊ ἀσύγκριτος, σοφίᾳ ἀσυμβίβαστος [2]), ἀγαθωσύνῃ ἀμίμητος, καλοποιΐᾳ ἀνεκδιήγητος. Εἰ γὰρ φῶς αὐτὸν εἴπω, ποίημα αὐτοῦ λέγω· εἰ λόγον εἴπω, ἀρχὴν [3]) αὐτοῦ λέγω· νοῦν ἐὰν εἴπω, φρόνησιν αὐτοῦ λέγω· πνεῦμα ἐὰν εἴπω, ἀναπνοὴν ἑαυτοῦ λέγω· σοφίαν ἐὰν εἴπω, γέννημα αὐτοῦ λέγω· ἰσχὺν ἐὰν εἴπω, κράτος αὐτοῦ λέγω· δύναμιν ἐὰν εἴπω, ἐνέργειαν αὐτοῦ λέγω· πρόνοιαν ἐὰν εἴπω, ἀγαθωσύνην αὐτοῦ λέγω· βασιλείαν ἐὰν εἴπω, δόξαν αὐτοῦ λέγω· κύριον ἐὰν εἴπω, κριτὴν [4]) αὐτὸν λέγω· κρι-

---

[1]) 1 Кор. 6. 8—10. Рим. 1. 30.

[2]) Отъ συμβιβάζω—собираю доказательства для подтвержденія или объясненія чего-нибудь. Ср. Дѣян. Апост. 9. 22. Отглагольное прилагательное съ отрицаніемъ можетъ значить: неизслѣдимый, необъяснимый.

[3]) О Словѣ Божіемъ, какъ началѣ путей Божіихъ, говорится въ Прем. Сол. 8. 22. Іоан. 1. 1. Колос. 1. 18.

[4]) Κύριος (отъ κῦρος)—имѣющій власть надъ самимъ собою или

τὴν ἐὰν εἴπω, δίκαιον αὐτὸν λέγω· πατέρα ἐὰν εἴπω, τὰ πάντα αὐτὸν [1]) λέγω· πῦρ ἐὰν εἴπω, τὴν ὀργὴν αὐτοῦ λέγω. Ἐρεῖς οὖν μοι· ὀργίζεται Θεός; μάλιϛα· ὀργίζεται τοῖς τὰ φαῦλα πράσσουσιν, ἀγαθὸς δὲ καὶ χρηϛὸς καὶ οἰκτίρμων ἐϛὶν ἐπὶ τοὺς ἀγαπῶντας καὶ φοβουμένους αὐτόν· παιδευτὴς γάρ ἐϛι τῶν θεοσεβῶν καὶ πατὴρ τῶν δικαίων, κριτὴς δὲ καὶ κολαϛὴς τῶν ἀσεβῶν.

4. Ἄναρχος δέ ἐϛιν, ὅτι ἀγένητός ἐϛιν· ἀναλλοίωτος δὲ, καθότι ἀθάνατός ἐϛι. Θεὸς δὲ λέγεται διὰ τὸ τεθεικέναι τὰ πάντα ἐπὶ τῇ ἑαυτοῦ ἀσφαλείᾳ, καὶ διὰ τὸ θέειν· τὸ δὲ θέειν ἐϛὶ το τρέχειν, καὶ κινεῖν, καὶ ἐνεργεῖν, καὶ τρέφειν, καὶ προνοεῖν, καὶ κυβερνᾶν, καὶ ζωοποιεῖν τὰ πάντα [2]). Κύριος δέ ἐϛι διὰ τὸ κυριεύειν αὐτὸν τῶν ὅλων· πατὴρ δὲ διὰ τὸ εἶναι αὐτὸν πρὸ τῶν ὅλων· δημιουργὸς δὲ καὶ ποιητὴς διὰ τὸ αὐτὸν εἶναι κτίϛην καὶ ποιητὴν τῶν ὅλων· ὕψιϛος δὲ διὰ τὸ εἶναι αὐτὸν ἀνώτερον τῶν πάντων· παντοκράτωρ δὲ, ὅτι αὐτὸς τὰ πάντα κρατεῖ καὶ ἐμπεριέχει. Τὰ γὰρ ὕψη τῶν οὐρανῶν, καὶ τὰ βάθη τῶν ἀβύσσων, καὶ τὰ πέρατα τῆς οἰκουμένης, ἐν τῇ χειρὶ αὐτοῦ ἐϛι καὶ οὐκ ἔϛι τόπος τῆς καταπαύσεως αὐτοῦ. Οὐρανοὶ μὲν γὰρ ἔργον αὐτοῦ εἰσι, γῆ ποίημα αὐτοῦ ἐϛι· θάλασσα κτίσμα αὐτοῦ ἐϛιν· ἄνθρωπος πλάσμα καὶ εἰκὼν αὐτοῦ ἐϛιν. Ἥλιος καὶ σελήνη καὶ ἀϛέρες ϛοιχεῖα αὐτοῦ εἰσιν, εἰς σημεῖα καὶ εἰς καιροὺς καὶ εἰς ἡμέρας καὶ εἰς ἐνιαυτοὺς γεγονότα, πρὸς ὑπηρεσίαν καὶ δουλείαν ἀνθρώπων· καὶ τὰ πάντα ὁ Θεὸς ἐποίησεν ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι, ἵνα διὰ τῶν ἔργων γινώσκηται καὶ νοηθῇ τὸ μέγεθος αὐτοῦ.

5. Καθάπερ γὰρ ψυχὴ ἐν ἀνθρώπῳ οὐ βλέπεται, ἀόρατος οὖσα ἀνθρώποις, διὰ δὲ τῆς κινήσεως τοῦ σώματος νοεῖται ἡ ψυχή· οὕτως ἔχοι ἂν καὶ τὸν Θεὸν μὴ δύνασθαι ὁραθῆναι ὑπὸ ὀφθαλμῶν ἀνθρωπίνων, διὰ δὲ τῆς προνοίας καὶ τῶν ἔργων αὐτοῦ βλέπεται

---

надъ другими. Классическое выраженіе: κύριοι κριταί—властные, компетентные судьи.

[1]) Т. е. Онъ во всемъ, или все принадлежитъ Ему. Впрочемъ нѣкоторые вм. τὰ πάντα читаютъ: ἀγαπῶντα.

[2]) Производство слова θεός отъ τιθέναι встрѣчается у Геродота (Ист. 2. 52.), а отъ θέω—у Платона (Кратил. 16.).

καὶ νοεῖται. Ὃν τρόπον γὰρ καὶ πλοῖον θεασάμενός τις ἐν θαλάσσῃ κατηρτισμένον, καὶ τρέχον, καὶ κατερχόμενον εἰς λιμένα, δῆλον ὅτι ἡγήσεται εἶναι ἐν αὐτῷ κυβερνήτην τὸν κυβερνῶντα αὐτό· οὕτω δεῖ νοεῖν εἶναι τὸν Θεὸν κυβερνήτην τῶν ὅλων, εἰ καὶ οὐ θεωρεῖται ὀφθαλμοῖς σαρκίνοις διὰ τὸ αὐτὸν ἀχώρητον εἶναι. Εἰ γὰρ τῷ ἡλίῳ ἐλαχίςῳ ὄντι ςοιχείῳ οὐ δύναται ἄνθρωπος ἀτενίσαι διὰ τὴν ὑπερβάλλουσαν θέρμην καὶ δύναμιν, πῶς οὐχὶ μᾶλλον τῇ τοῦ Θεοῦ δόξῃ ἀνεκφράςῳ οὔσῃ ἄνθρωπος θνητὸς οὐ δύναται ἀντωπῆσαι; ὃν τρόπον γὰρ ῥοὰ ἔχουσα φλοιὸν τὸν περιέχοντα αὐτὴν ἔνδον ἔχει μονὰς καὶ θήκας πολλὰς διαχωριζομένας διὰ ὑμένων, καὶ πολλοὺς κόκκους ἔχει τοὺς ἐν αὐτῇ κατοικοῦντας, οὕτως ἡ πᾶσα κτίσις περιέχεται ὑπὸ πνεύματος Θεοῦ, καὶ τὸ πνεῦμα τὸ περιέχον σὺν τῇ κτίσει περιέχεται ὑπὸ χειρὸς Θεοῦ. Ὥσπερ οὖν ὁ κόκκος τῆς ῥοᾶς ἔνδον κατοικῶν οὐ δύναται ὁρᾶν τὰ ἔξω τοῦ λέπους αὐτὸς ὢν ἔνδον, οὕτως οὐδὲ ἄνθρωπος ἐμπεριεχόμενος μετὰ πάσης τῆς κτίσεως ὑπὸ χειρὸς Θεοῦ οὐ δύναται θεωρεῖν τὸν Θεόν. Εἶτα βασιλεὺς μὲν ἐπίγειος πιςεύεται εἶναι, καίπερ μὴ πᾶσι βλεπόμενος, διὰ δὲ νόμων καὶ διατάξεων αὐτοῦ, καὶ ἐξουσιῶν καὶ δυνάμεων καὶ εἰκόνων νοεῖται· τὸν δὲ Θεὸν οὐ βούλει σὺ νοεῖσθαι διὰ ἔργων καὶ δυνάμεων;

6. Κατανόησον, ὦ ἄνθρωπε, τὰ ἔργα αὐτοῦ, καιρῶν μὲν κατὰ χρόνους ἀλλαγὴν, καὶ ἀέρων τροπὰς, ςοιχείων τὸν εὔτακτον δρόμον, ἡμερῶν τε καὶ νυκτῶν, καὶ μηνῶν καὶ ἐνιαυτῶν τὴν εὔτακτον πορείαν, σπερμάτων τε καὶ φυτῶν καὶ καρπῶν τὴν διάφορον καλλονὴν, τήν τε πολυποίκιλον γονὴν κτηνῶν τετραπόδων, καὶ πετεινῶν καὶ ἑρπετῶν καὶ νηκτῶν, ἐνύδρων [1]) τε καὶ ἐναλίων, ἢ τὴν ἐν αὐτοῖς τοῖς ζώοις δεδομένην σύνεσιν πρὸς τὸ γεννᾶν καὶ ἐκτρέφειν οὐκ εἰς ἰδίαν χρῆσιν, ἀλλὰ εἰς τὸ ἔχειν τὸν ἄνθρωπον, τήν τε πρόνοιαν ἣν ποιεῖται ὁ Θεὸς ἑτοιμάζων τροφὴν πάσῃ σαρκὶ, ἢ τὴν ὑποταγὴν ἣν ὥρικεν ὑποτάσσεσθαι τὰ πάντα τῇ ἀνθρωπότητι, πηγῶν τε γλυκερῶν καὶ ποταμῶν ἀεννάων ῥύσιν, δρόσων τε καὶ ὄμβρων καὶ ὑετῶν τὴν κατὰ καιροὺς

---

[1]) Ἔνυδρος здѣсь означаетъ живущихъ въ другихъ водахъ, кромѣ морской, какъ то: рѣкахъ, озерахъ и проч.

γινομένην ἐπιχορηγίαν, τὴν τῶν οὐρανίων παμποίκιλον κίνησιν, Ἑωσφόρον ἀνατέλλοντα μὲν καὶ προσημαίνοντα ἔρχεσθαι τὸν τέλειον φωςῆρα, σύνδεσμόν τε Πλειάδος καὶ Ὠρίωνος, Ἀρκτοῦρόν τε καὶ τὴν τῶν λοιπῶν ἄςρων πορείαν γινομένην ἐν τῷ κύκλῳ τοῦ οὐρανοῦ, οἷς ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ [1]) πᾶσιν ἴδια ὀνόματα κέκληκεν. Οὗτος Θεὸς μόνος ὁ ποιήσας ἐκ σκότους φῶς, ὁ ἐξαγαγὼν φῶς ἐκ θησαυρῶν αὐτοῦ, ταμεῖά τε νότου καὶ θησαυροὺς ἀβύσσου [2]), καὶ ὅρια θαλασσῶν, χιόνων τε καὶ χαλαζῶν θησαυρούς, συνάγων ὕδατα ἐν θησαυροῖς ἀβύσσου, καὶ συνάγων τὸ σκότος ἐν θησαυροῖς αὐτοῦ, καὶ ἐξάγων τὸ φῶς τὸ γλυκὺ καὶ τὸ ποθεινὸν καὶ ἐπιτερπὲς ἐκ θησαυρῶν αὐτοῦ, ἀνάγων νεφέλας ἐξ ἐσχάτου τῆς γῆς καὶ ἀςραπὰς πληθύνων εἰς ὑετὸν [3]), ὁ ἀποςέλλων τὴν βροντὴν εἰς φόβον καὶ προκαταγγέλλων τὸν κτύπον τῆς βροντῆς διὰ τῆς ἀςραπῆς, ἵνα μὴ ψυχή, αἰφνιδίως ταραχθεῖσα, ἐκψύξῃ· ἀλλὰ μὴν καὶ τῆς ἀςραπῆς τῆς κατερχομένης ἐκ τῶν οὐρανῶν τὴν αὐτάρκειαν ἐπιμετρῶν πρὸς τὸ μὴ ἐκκαῦσαι τὴν γῆν· εἰ γὰρ λάβοι τὴν κατεξουσίαν ἡ ἀςραπή, ἐκκαύσει τὴν γῆν· εἰ δὲ καὶ ἡ βροντή, καταςρέφει τὰ ἐν αὐτῇ.

7. Οὗτός μου Θεός, ὁ τῶν ὅλων Κύριος, ὁ τανύσας τον οὐρανὸν μόνος, καὶ θεὶς τὸ εὖρος τῆς ὑπ' οὐρανὸν [4]), ὁ συνταράσσων τὸ κύτος τῆς θαλάσσης, καὶ ἠχῶν τὰ κύματα αὐτῆς, ὁ δεσπόζων τοῦ κράτους αὐτῆς, καὶ τὸν σάλον τῶν κυμάτων καταπραΰνων [5]), ὁ θεμελιώσας τὴν γῆν ἐπὶ τῶν ὑδάτων, καὶ δοὺς πνεῦμα τὸ τρέφον αὐτήν, οὗ ἡ πνοὴ ζωογονεῖ τὸ πᾶν, ὃς ἐὰν συσχῇ τὸ πνεῦμα παρ' ἑαυτῷ, ἐκλείψει τὸ πᾶν [6]). Τοῦτον λαλεῖς, ἄνθρωπε· τούτου τὸ πνεῦμα ἀναπνεῖς, τοῦτον ἀγνοεῖς. Τοῦτο δέ σοι συμβέβηκε διὰ τὴν τύφλωσιν τῆς ψυχῆς καὶ πώρωσιν τῆς καρδίας σου. Ἀλλά, εἰ βούλει, δύνασαι θεραπευθῆναι· ἐπίδος σεαυτὸν τῷ ἰατρῷ, καὶ παρακεντήσει σου τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς καὶ τῆς καρδίας. Τίς ἐςιν ὁ ἰατρός; Ὁ Θεός, ὁ θεραπεύων καὶ ζωοποιῶν διὰ τοῦ Λόγου καὶ τῆς σοφίας. Ὁ Θεὸς διὰ τοῦ Λόγου αὐτοῦ καὶ τῆς σοφίας ἐποίησε τὰ πάντα. «Τῷ γὰρ Λόγῳ αὐτοῦ ἐςερεώθησαν οἱ οὐρανοί, καὶ τῷ Πνεύματι

---

[1]) Εφεσ. 3. 10. [2]) Ιωβ. 9. 9. [3]) Ψς. 134. 7. [4]) Ιωβ. 9. 8. [5]) Ψς. 64. 8. [6]) Ιωβ. 34. 14.

αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν» [1]). Κρατίστη ἡ σοφία αὐτοῦ. Ὁ Θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν· ἡτοίμασε δὲ οὐρανοὺς φρονήσει· ἐν αἰσθήσει ἄβυσσοι ἐρράγησαν, νέφη δὲ ἐρρύησαν δρόσους [2]). Εἰ ταῦτα νοεῖς, ἄνθρωπε, ἁγνῶς καὶ ὁσίως καὶ δικαίως ζῶν, δύνασαι ὁρᾶν τὸν Θεόν. Πρὸ παντὸς δὲ προηγείσθω σου ἐν τῇ καρδίᾳ πίστις καὶ φόβος ὁ τοῦ Θεοῦ, καὶ τότε συνήσεις ταῦτα. Ὅταν ἀπόθῃ τὸ θνητὸν καὶ ἐνδύσῃ τὴν ἀφθαρσίαν, τότε ὄψῃ κατ' ἀξίαν τὸν Θεόν. Ἀνεγείρει γάρ σου τὴν σάρκα ἀθάνατον σὺν τῇ ψυχῇ ὁ Θεός· καὶ τότε ὄψῃ γενόμενος ἀθάνατος τὸν ἀθάνατον, ἐὰν νῦν πιστεύσῃς αὐτῷ· καὶ τότε ἐπιγνώσῃ, ὅτι ἀδίκως κατελάλησας αὐτοῦ.

8. Ἀλλὰ ἀπιστεῖς νεκροὺς ἐγείρεσθαι. Ὅτε ἔσται, τότε πιστεύσεις θέλων καὶ μὴ θέλων· καὶ ἡ πίστις σου εἰς ἀπιστίαν λογισθήσεται, ἐὰν μὴ νῦν πιστεύσῃς. Πρὸς τί δὲ καὶ ἀπιστεῖς; ἢ οὐκ οἶδας, ὅτι ἁπάντων πραγμάτων ἡ πίστις προηγεῖται; τίς γὰρ δύναται θερίσαι γεωργός, ἐὰν μὴ πρῶτον πιστεύσῃ τὸ σπέρμα τῇ γῇ; ἢ τίς δύναται διαπεράσαι τὴν θάλατταν, ἐὰν μὴ πρῶτον ἑαυτὸν πιστεύσῃ τῷ πλοίῳ καὶ τῷ κυβερνήτῃ; τίς δὲ κάμνων δύναται θεραπευθῆναι, ἐὰν μὴ πρῶτον ἑαυτὸν πιστεύσῃ τῷ ἰατρῷ; ποίαν δὲ τέχνην ἢ ἐπιστήμην δύναταί τις μαθεῖν, ἐὰν μὴ πρῶτον ἐπιδῷ ἑαυτὸν καὶ πιστεύσῃ τῷ διδασκάλῳ; εἰ οὖν γεωργὸς πιστεύει τῇ γῇ, καὶ ὁ πλέων τῷ πλοίῳ, καὶ ὁ κάμνων τῷ ἰατρῷ, σὺ οὐ βούλει σεαυτὸν πιστεῦσαι τῷ Θεῷ, τοσούτους ἀρραβῶνας ἔχων παρ' αὐτοῦ; πρῶτον μὲν ὅτι ἐποίησέ σε ἐξ οὐκ ὄντος εἰς τὸ εἶναι (εἰ γὰρ ὁ πατήρ σου οὐκ ἦν, οὐδὲ ἡ μήτηρ, πολὺ μᾶλλον οὐδὲ σὺ ἦς ποτε), καὶ ἔπλασέ σε ἐξ ὑγρᾶς οὐσίας μικρᾶς καὶ ἐλαχίστης ῥανίδος, ἥτις οὐδὲ αὐτὴ ἦν ποτε, καὶ προήγαγέ σε ὁ Θεὸς εἰς τόνδε τὸν βίον. Εἶτα πιστεύεις τὰ ὑπὸ ἀνθρώπων γινόμενα ἀγάλματα θεοὺς εἶναι καὶ ἀρετὰς [3]) ποιεῖν· τῷ δὲ ποιήσαντί σε Θεῷ ἀπιστεῖς δύνασθαί σε καὶ μεταξὺ ποιῆσαι [4]);

---

[1]) Пс. 32. 6. [2]) Прем. 3. 19, 20.

[3]) Ἀρετὴ въ смыслѣ: проявленіе силы, чудесное дѣйствіе.

[4]) Μεταξὺ иногда употребляется вм. μετέπειτα—послѣ или опять. Въ настоящемъ мѣстѣ съ глаг. ποιῆσαι значитъ: возсоздать.

9. Καὶ τὰ μὲν ὀνόματα ὧν φῂς σέβεσθαι θεῶν, ὀνόματά ἐστι νεκρῶν ἀνθρώπων. Καὶ τούτων τίνων καὶ ποταπῶν; οὐχὶ Κρόνος μὲν τεκνοφάγος εὑρίσκεται, καὶ τὰ ἑαυτοῦ τέκνα ἀναλίσκων; εἰ δὲ καὶ Δία τὸν παῖδα αὐτοῦ εἴποις, κατάμαθε κἀκείνου τὰς πράξεις καὶ τὴν ἀναστροφήν· πρῶτον μὲν ὅτι ἐν Ἴδῃ ὑπὸ αἰγὸς ἀνετράφη, καὶ ταύτην σφάξας, κατὰ τοὺς μύθους, καὶ ἐκδείρας, ἐποίησεν ἑαυτῷ ἔνδυμα. Τάς τε λοιπὰς πράξεις αὐτοῦ, περί τε ἀδελφοκοιτίας, καὶ μοιχείας, καὶ παιδοφθορίας, ἄμεινον Ὅμηρος καὶ οἱ λοιποὶ ποιηταὶ περὶ αὐτοῦ ἐξηγοῦνται. Τί μοι τὸ λοιπὸν καταλέγειν περὶ τῶν υἱῶν αὐτοῦ; Ἡρακλέα μὲν ἑαυτὸν καύσαντα· Διόνυσον δὲ μεθύοντα καὶ μαινόμενον· καὶ Ἀπόλλωνα τὸν Ἀχιλλέα δεδιότα καὶ φεύγοντα, καὶ τῆς Δάφνης ἐρῶντα, καὶ τὸν Ὑακίνθου μόρον ἀγνοοῦντα [1]· ἢ Ἀφροδίτην τὴν τιτρωσκομένην, καὶ Ἄρεα τὸν βροτολοιγόν, ἔτι δὲ καὶ ἰχῶρα ῥέοντα τούτων τῶν λεγομένων θεῶν; καὶ ταῦτα μὲν μέτριον εἰπεῖν, ὅπου γε θεὸς εὑρίσκεται μεμελισμένος, ὁ καλούμενος Ὄσιρις, οὗ καὶ κατ' ἔτος γίνονται τελεταὶ ὡς ἀπολλυμένου καὶ εὑρισκομένου καὶ κατὰ μέλος ζητουμένου. Οὔτε γὰρ εἰ ἀπόλλυται νοεῖται, οὔτε εἰ εὑρίσκεται δείκνυται. Τί δέ μοι λέγειν Ἄττιν ἀποκοπτόμενον, ἢ Ἄδωνιν ἐν ὕλῃ ῥεμβόμενον, καὶ κυνηγετοῦντα καὶ τιτρωσκόμενον ὑπὸ συός, ἢ Ἀσκληπιὸν κεραυνούμενον, καὶ Σάραπιν τὸν ἀπὸ Σινώπης φυγάδα εἰς Ἀλεξάνδρειαν γεγονότα, ἢ τὴν Σκυθίαν Ἄρτεμιν καὶ αὐτὴν φυγάδα γεγονυῖαν, καὶ ἀνδροφόνον, καὶ κυνηγέτιν, καὶ τοῦ Ἐνδυμίωνος ἐρασθεῖσαν; ταῦτα γὰρ οὐχ ἡμεῖς φαμέν, ἀλλὰ οἱ καθ' ὑμᾶς συγγραφεῖς καὶ ποιηταὶ κηρύσσουσιν.

10. Τί μοι λοιπὸν καταλέγειν τὸ πλῆθος ὧν σέβονται ζώων Αἰγύπτιοι, ἑρπετῶν τε, καὶ κτηνῶν, καὶ θηρίων, καὶ πετεινῶν, καὶ ἐνύδρων νηκτῶν· ἔτι δὲ καὶ ποδόνιπτρα καὶ ἤχους αἰσχύνης [2]; εἰ δὲ καὶ Ἕλληνας εἴποις καὶ τὰ λοιπὰ ἔθνη, σέβονται λίθους,

---

[1]) Т. е. по невѣдѣнію или непредвидѣнію убившаго Ὑάκινθον. Объ этомъ, равно какъ и другихъ, кратко передаваемыхъ здѣсь сказаніяхъ греческой миѳологіи, см. въ Lübkers Reallexicon.

[2]) Вѣроятно, здѣсь разумѣются тазы, изъ которыхъ объ одномъ говоритъ Геродотъ (Ист. 2. 172), и постыдные звуки изъ чрева, о которыхъ упоминаетъ Минуцій Феликсъ (Октав. гл. 28).

καὶ ξύλα, καὶ τὴν λοιπὴν ὕλην, ὡς ἔφθημεν εἰρηκέναι, ἀπεικονίσματα νεκρῶν ἀνθρώπων. Φειδίας μὲν γὰρ εὑρίσκεται ἐν Πίσῃ ποιῶν Ἠλείοις τὸν Ὀλύμπιον Δία, Ἀθηναίοις ἐν ἀκροπόλει τὴν Ἀθηνᾶν. Πεύσομαι δέ σου κἀγώ, ὦ ἄνθρωπε, πόσοι Ζῆνες εὑρίσκονται· Ζεὺς μὲν γὰρ ἐν πρώτοις προσαγορεύεται Ὀλύμπιος, καὶ Ζεὺς Λατιάριος, καὶ Ζεὺς Κάσιος, καὶ Ζεὺς Κεραύνιος, καὶ Ζεὺς Προπάτωρ, καὶ Ζεὺς παννύχιος, καὶ Ζεὺς Πολιοῦχος, καὶ Ζεὺς Καπετώλιος. Καὶ ὁ μὲν Ζεὺς παῖς Κρόνου, βασιλεὺς Κρητῶν γενόμενος, ἔχει τάφον ἐν Κρήτῃ, οἱ δὲ λοιποὶ ἴσως οὐδὲ ταφῆς κατηξιώθησαν. Εἰ δὲ καὶ εἴποις τὴν μητέρα τῶν λεγομένων θεῶν, μή μοι γένοιτο διὰ ϛόματος τὰς πράξεις αὐτῆς ἐξειπεῖν (ἀθέμιτον γὰρ ἡμῖν τὰ τοιαῦτα καὶ ὀνομάζειν), ἢ τῶν θεραπόντων αὐτῆς τὰς πράξεις ὑφ᾽ ὧν θεραπεύεται, ὁπόσα τε τέλη καὶ εἰσφορὰς παρέχει τῷ βασιλεῖ αὐτή τε καὶ οἱ υἱοὶ αὐτῆς [1]). Οὐ γάρ εἰσι θεοί, ἀλλὰ εἴδωλα, καθὼς προειρήκαμεν, ἔργα χειρῶν ἀνθρώπων, καὶ δαιμόνια ἀκάθαρτα. Γένοιντο δὲ τοιοῦτοι οἱ ποιοῦντες αὐτά, καὶ οἱ ἐλπίζοντες ἐπ᾽ αὐτοῖς [2]).

11. Τοιγαροῦν μᾶλλον τιμήσω τὸν βασιλέα, οὐ προσκυνῶν αὐτῷ, ἀλλὰ εὐχόμενος ὑπὲρ αὐτοῦ. Θεῷ δὲ τῷ ὄντως Θεῷ καὶ ἀληθεῖ προσκυνῶ, εἰδώς, ὅτι ὁ βασιλεὺς ὑπ᾽ αὐτοῦ γέγονεν. Ἐρεῖς οὖν μοι· διὰ τί οὐ προσκυνεῖς τὸν βασιλέα; ὅτι οὐκ εἰς τὸ προσκυνεῖσθαι γέγονεν, ἀλλὰ εἰς τὸ τιμᾶσθαι τῇ νομίμῳ τιμῇ· θεὸς γὰρ οὐκ ἔϛιν, ἀλλὰ ἄνθρωπος ὑπὸ Θεοῦ τεταγμένος, οὐκ εἰς τὸ προσκυνεῖσθαι, ἀλλὰ εἰς τὸ δικαίως κρίνειν. Τρόπῳ γάρ τινι παρὰ Θεοῦ οἰκονομίαν πεπίϛευται· καὶ γὰρ αὐτός, οὓς ἔχει ὑφ᾽ ἑαυτὸν τεταγμένους, οὐ βούλεται βασιλεῖς καλεῖσθαι· τὸ γὰρ βασιλεὺς αὐτοῦ ἔϛιν ὄνομα, καὶ οὐκ ἄλλῳ ἐξὸν ἐϛὶ τοῦτο καλεῖσθαι· οὕτως οὐδὲ προσκυνεῖσθαι ἀλλ᾽ ἢ μόνῳ Θεῷ. Ὥϛε κατὰ πάντα πλανᾶσαι, ὦ ἄνθρωπε. Τὸν δὲ βασιλέα τίμα εὐνοῶν αὐτῷ, ὑποτασσόμενος αὐτῷ, εὐχόμενος ὑπὲρ αὐτοῦ. Τοῦτο γὰρ ποιῶν, ποιεῖς τὸ θέλημα τοῦ Θεοῦ· λέγει γὰρ ὁ νόμος ὁ τοῦ

---

[1]) Т. е. Κυβέλη и жрецы ея Κορύβαντες. О податяхъ съ религіозныхъ культовъ и храмовъ во времена Римскихъ императоровъ говоритъ и Тертулліанъ (in Nationes, 1. 10.)

[2]) Пс. 134. 15—18.

Θεοῦ· «τίμα, υἱὲ, Θεὸν καὶ βασιλέα, καὶ μηδενὶ αὐτῶν ἀπειθὴς ἦς· ἐξαίφνης γὰρ τίσονται τοὺς ἐχθροὺς αὐτῶν» [1]).

12. Περὶ δὲ τοῦ σε καταγελᾶν μου, καλοῦντά με χριςιανὸν, οὐκ οἶδας ὃ λέγεις. Πρῶτον μὲν ὅτι τὸ χριςὸν ἡδὺ καὶ εὔχρηςον καὶ ἀκαταγέλαςόν ἐςι. Ποῖον γὰρ πλοῖον δύναται εὔχρηςον εἶναι καὶ σώζεσθαι, ἐὰν μὴ πρῶτον χρισθῇ; ἢ ποῖος πύργος ἢ οἰκία εὔμορφος καὶ εὔχρηςός ἐςιν, ἐπὰν οὐ κέχριςαι; τίς δὲ ἄνθρωπος εἰσελθὼν εἰς τόνδε τὸν βίον ἢ ἀθλῶν οὐ χρίεται ἐλαίῳ; ποῖον δὲ ἔργον ἢ κόσμιον [2]) δύναται εὐμορφίαν ἔχειν, ἐὰν μὴ χρισθῇ καὶ ςιλβωθῇ; εἶτα ἀὴρ μὲν καὶ πᾶσα ἡ ὑπ' οὐρανὸν τρόπῳ τινὶ χρίεται φωτὶ καὶ πνεύματι· σὺ δὲ οὐ βούλει χρισθῆναι ἔλαιον Θεοῦ; τοιγαροῦν ἡμεῖς τούτου εἵνεκεν καλούμεθα χριςιανοὶ, ὅτι χριόμεθα ἔλαιον Θεοῦ [3]).

13. Ἀλλὰ καὶ τὸ ἀρνεῖσθαί σε νεκροὺς ἐγείρεσθαι·—φῇς γάρ· δεῖξόν μοι κἂν ἕνα ἐγερθέντα ἐκ νεκρῶν, ἵνα ἰδὼν πιςεύσω·—πρῶτον μὲν τί μέγα, εἰ θεασάμενος τὸ γεγονὸς πιςεύσεις; εἶτα πιςεύεις μὲν Ἡρακλέα, καύσαντα ἑαυτὸν, ζῆν, καὶ Ἀσκληπιὸν κεραυνωθέντα ἐγηγέρθαι· τὰ δὲ ὑπὸ τοῦ Θεοῦ σοι λεγόμενα ἀπιςεῖς; ἴσως καὶ ἐπιδείξω σοι νεκρὸν ἐγερθέντα καὶ ζῶντα, καὶ τοῦτο ἀπιςήσεις. Ὁ μὲν οὖν Θεός σοι πολλὰ τεκμήρια ἐπιδείκνυσιν εἰς τὸ πιςεύειν αὐτῷ. Εἰ γὰρ βούλει, κατανόησον τὴν τῶν καιρῶν καὶ ἡμερῶν καὶ νυκτῶν τελευτὴν, πῶς καὶ αὐτὰ τελευτᾷ καὶ ἀνίςαται. Τί δὲ καὶ οὐχὶ ἡ τῶν σπερμάτων καὶ καρπῶν γινομένη ἐξανάςασις, καὶ τοῦτο εἰς τὴν χρῆσιν τῶν ἀνθρώπων; εἰ γὰρ τύχοι εἰπεῖν, κόκκος σίτου ἢ τῶν λοιπῶν σπερμάτων, ἐπὰν βληθῇ εἰς τὴν γῆν, πρῶτον ἀποθνήσκει καὶ λύεται, εἶτα ἐγείρεται καὶ γίνεται ςάχυς. Ἡ δὲ τῶν δένδρων καὶ ἀκροδρύων φύσις πῶς οὐχὶ κατὰ πρόσταγμα Θεοῦ ἐξ ἀφανοῦς καὶ ἀοράτου κατὰ καιροὺς προφέρουσι [4]) τοὺς καρπούς; ἔτι μὴν ἐνίοτε καὶ

---

[1]) Притч. 24. 21, 22.

[2]) Κόσμιον—уменьшительное отъ κοσμος.

[3]) Χριςιανος—отъ Χριςος, а Χριςος—отъ χρίω. помазую. Разумѣется помазаніе елеемъ, совершаемое надъ христіанами при крещеніи.

[4]) Множественное вм. единственнаго προφέρει при двухъ существительныхъ, къ которымъ относится φύσις.

ϛρουθίον ἢ τῶν λοιπῶν τι πετεινῶν, καταπιὸν σπέρμα μηλέας, η συκῆς, ἢ τινος ἑτέρου, ἦλθεν ἐπί τινα λόφον πετρώδη ἢ τάφον καὶ ἀφώδευσε, κἀκεῖνο δραξάμενον [1]) ἀνέφυ δένδρον, τὸ ποτὲ καταποθὲν καὶ διὰ τοσαύτης θερμασίας διελθόν. Ταυτα δὲ πάντα ἐνεργεῖ ἡ του Θεοῦ σοφία, εἰς τὸ ἐπιδεῖξαι καὶ διὰ τούτων, ὅτι δυνατός ἐϛιν ὁ Θεὸς ποιῆσαι τὴν καθολικὴν ἀνάϛασιν ἁπάντων ἀνθρώπων. Εἰ δὲ καὶ θαυμασιώτερον θέαμα θέλεις θεάσασθαι γινόμενον πρὸς ἀπόδειξιν ἀναϛάσεως οὐ μόνον τῶν ἐπιγείων πραγμάτων, ἀλλὰ καὶ τῶν ἐν οὐρανῷ, κατανόησον τὴν ἀνάϛασιν τῆς σελήνης τὴν κατὰ μῆνα γενομένην, πῶς φθίνει καὶ ἀποθνήσκει καὶ ἀνίϛαται πάλιν. Ἔτι ἄκουσον καὶ ἐν σοὶ αὐτῷ ἔργον ἀναϛάσεως γινόμενον, κἂν ἀγνοεῖς, ὦ ἄνθρωπε. Ἴσως γάρ ποτε νόσῳ περιπεσὼν, ἀπώλεσάς σου τὰς σάρκας καὶ τὴν ἰσχὺν καὶ τὸ εἶδος, ἐλέους δὲ τυχὼν παρὰ Θεοῦ καὶ ἰάσεως, πάλιν ἀπέλαβές σου τὸ σῶμα καὶ τὸ εἶδος καὶ τὴν ἰσχύν· καὶ ὥσπερ οὐκ ἔγνως ποῦ ἐπορεύθησάν σου αἱ σάρκες ἀφανεῖς γενόμεναι, οὕτως οὐκ ἐπίϛασαι οὐδὲ πόθεν ἐγένοντο, ἢ πόθεν ἦλθον. Ἀλλὰ ἐρεῖς· ἐκ τροφῶν καὶ χυμῶν ἐξαιματουμένων. Καλῶς· ἀλλὰ καὶ τοῦτο ἔργον Θεοῦ τοῦ οὕτω δημιουργήσαντος, καὶ οὐκ ἄλλου τινός.

**14.** Μὴ οὖν ἀπίϛει, ἀλλὰ πίϛευε· καὶ γὰρ ἐγὼ ἠπίϛουν τοῦτο ἔσεσθαι, ἀλλὰ νῦν κατανοήσας αὐτὰ πιϛεύω· ἅμα καὶ ἐπιτυχὼν ἱεραῖς γραφαῖς τῶν ἁγίων προφητῶν, οἳ καὶ προεῖπον διὰ πνεύματος Θεοῦ τὰ προγεγονότα ᾧ τρόπῳ γέγονε, καὶ τὰ ἐνεϛῶτα τίνι τρόπῳ γίνεται, καὶ τὰ ἐπερχόμενα ποίᾳ τάξει ἀπαρτισθήσεται. Ἀπόδειξιν οὖν λαβὼν τῶν γινομένων καὶ προαναπεφωνημένων, οὐκ ἀπιϛῶ, ἀλλὰ πιϛεύω πειθαρχῶν Θεῷ, ᾧ, εἰ βούλει, καὶ σὺ ὑποτάγηθι, πιϛεύων αὐτῷ, μὴ, νῦν ἀπιϛήσας, πεισθῇς ἀνιώμενος τότε ἐν αἰωνίοις τιμωρίαις. Ὧν τιμωριῶν προειρημένων ὑπὸ τῶν προφητῶν, μεταγενέϛεροι γενόμενοι οἱ ποιηταὶ καὶ φιλόσοφοι ἔκλεψαν ἐκ τῶν ἁγίων γραφῶν, εἰς τὸ δόγματα αὐτῶν ἀξιόπιϛα γενηθῆναι. Πλὴν καὶ αὐτοὶ προεῖπον περὶ τῶν κολάσεων τῶν μελλουσῶν ἔσεσθαι ἐπὶ τοὺς ἀσεβεῖς καὶ ἀπίϛους,

[1]) Δράσσομαι—хватаюсь, придерживаюсь, принимаюсь. О сѣмени, посѣянномъ и произрастающемъ въ землѣ, можно сказать: пускаю корни.



ὅπως ᾖ ἐμμάρτυρα πᾶσι, πρὸς τὸ μὴ εἰπεῖν τινας, ὅτι οὐκ ἠκούσαμεν, οὐδὲ ἔγνωμεν. Εἰ δὲ βούλει καὶ σὺ, ἔντυχε φιλοτίμως ταῖς προφητικαῖς γραφαῖς· καὶ αὗταί σε τρανότερον ὁδηγήσουσι πρὸς τὸ ἐκφυγεῖν τὰς αἰωνίους κολάσεις, καὶ τυχεῖν τῶν αἰωνίων ἀγαθῶν τοῦ Θεοῦ. Ὁ γὰρ δοὺς ϛόμα εἰς τὸ λαλεῖν, καὶ πλάσας οὖς εἰς τὸ ἀκούειν, καὶ ποιήσας ὀφθαλμοὺς εἰς τὸ ὁρᾶν [1]), ἐξετάσει τὰ πάντα καὶ κρινεῖ τὸ δίκαιον, ἀποδιδοὺς ἑκάϛῳ κατὰ ἀξίαν τῶν μισθῶν. Τοῖς μὲν καθ' ὑπομονὴν διὰ ἔργων ἀγαθῶν ζητοῦσι τὴν ἀφθαρσίαν δωρήσεται ζωὴν αἰώνιον, χαρὰν, εἰρήνην, ἀνάπαυσιν, καὶ πλήθη ἀγαθῶν, ὧν οὔτε ὀφθαλμὸς εἶδεν, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη [2])· τοῖς δὲ ἀπίϛοις, καὶ καταφρονηταῖς καὶ ἀπειθοῦσι τῇ ἀληθείᾳ, πειθομένοις δὲ τῇ ἀδικίᾳ, ἐπὰν ἐμφύρωνται μοιχείαις, καὶ πορνείαις, καὶ ἀρσενοκοιτίαις, καὶ πλεονεξίαις, καὶ ταῖς ἀθεμίτοις εἰδωλολατρείαις, ἔϛαι ὀργὴ καὶ θυμὸς, θλίψις καὶ ϛενοχωρία· καὶ τὸ τέλος τοὺς τοιούτους καθέξει πῦρ αἰώνιον. Ἐπειδὴ προσέθηκας, ὦ ἑταῖρε, δεῖξόν μοι τὸν Θεόν σου· οὗτός μου Θεὸς, καὶ συμβουλεύω σοι φοβεῖσθαι αὐτὸν καὶ πιϛεύειν αὐτῷ.

---

2.

## ΘΕΟΦΙΛΟΥ ΠΡΟΣ ΑΥΤΟΛΥΚΟΝ ΒΙΒΛΙΟΝ Β.

## Глав. 12—19.

**12.** Τῆς μὲν οὖν Ἑξαημέρου [3]) οὐδεὶς ἀνθρώπων δυνατὸς κατ' ἀξίαν τὴν ἐξήγησιν καὶ τὴν οἰκονομίαν πᾶσαν ἐξειπεῖν, οὐδ' εἰ μυρία ϛόματα ἔχοι καὶ μυρίας γλώσσας· ἀλλ' οὐδὲ εἰ μυρίοις ἔτεσι βιώσει τις, ἐπιδημῶν ἐν τῷδε τῷ βίῳ, οὐδὲ οὕτως ἔϛαι

[1]) Пс. 93. 9. [2]) 1 Кор. 2. 9.

[3]) Ἡ Ἑξαήμερος (изъ ἕξ и ἡμέρα), при которомъ подразумѣвается κοσμοποιΐα или δημιουργία, также τὸ ἑξαήμερον, при которомъ подразумѣвается ποίημα,—выраженія, употреблявшіяся у св. Отцевъ церкви о шестидневномъ твореніи міра. Выше было изложено св. Θеофиломъ сказаніе о сотвореніи міра словами книги Бытія.

ἱκανὸς πρὸς ταῦτα ἀξίως τι εἰπεῖν διὰ τὸ ὑπερβάλλον μέγεθος καὶ τὸν πλοῦτον τῆς σοφίας τοῦ Θεοῦ, τῆς οὔσης ἐν ταύτῃ τῇ προγεγραμμένῃ Ἑξαημέρῳ. Πολλοὶ μὲν οὖν τῶν συγγραφέων ἐμιμήσαντο καὶ ἠθέλησαν περὶ τούτων διήγησιν ποιήσασθαι, καίτοι λαβόντες ἐντεῦθεν τὰς ἀφορμὰς, ἤτοι περὶ κόσμου κτίσεως, ἢ περὶ φύσεως ἀνθρώπου, καὶ οὐδὲ τὸ τυχὸν ἔναυσμα ἄξιόν τι τῆς ἀληθείας ἐξεῖπον. Δοκεῖ δὲ τὰ ὑπὸ τῶν φιλοσόφων ἢ συγγραφέων καὶ ποιητῶν εἰρημένα ἀξιόπιστα μὲν εἶναι, παρὰ τὸ φράσει κεκαλλωπίσθαι· μωρὸς δὲ καὶ κενὸς ὁ λόγος αὐτῶν δείκνυται, ὅτι πολλὴ μὲν πληθὺς τῆς φλυαρίας αὐτῶν ἐςι, τὸ τυχὸν δὲ τῆς ἀληθείας ἐν αὐτοῖς οὐχ εὑρίσκεται. Καὶ γὰρ εἴ τι δοκεῖ ἀληθὲς δι᾽ αὐτῶν ἐκπεφωνῆσθαι, σύγκρασιν ἔχει τῇ πλάνῃ. Καθάπερ φάρμακόν τι δηλητήριον συγκραθὲν μέλιτι, ἢ οἴνῳ, ἢ ἑτέρῳ τινὶ, τὸ πᾶν ποιεῖ βλαβερὸν καὶ ἄχρηςον· οὕτως καὶ ἡ ἐν αὐτοῖς πολυλογία εὑρίσκεται ματαιοπονία, καὶ βλάβη μᾶλλον τοῖς πειθομένοις αὐτῇ. Ἔτι μὴν καὶ περὶ τῆς ἑβδόμης ἡμέρας, ἣν πάντες μὲν ἄνθρωποι ὀνομάζουσιν, οἱ δὲ πλείους ἀγνοοῦσιν· ὅτι παρ᾽ Ἑβραίοις ὃ καλεῖται σάββατον Ἑλληνιςὶ ἑρμηνεύεται ἑβδομὰς, ἥτις εἰς πᾶν γένος ἀνθρώπων ὀνομάζεται μὲν, δι᾽ ἣν δὲ αἰτίαν καλοῦσιν αὐτὴν οὐκ ἐπίςανται. Τὸ δὲ εἰπεῖν Ἡσίοδον τὸν ποιητὴν [1]) ἐκ χάους γεγενῆσθαι Ἔρεβον, καὶ τὴν Γῆν καὶ Ἔρωτα κυριεύοντα τῶν κατ᾽ αὐτόν τε θεῶν καὶ ἀνθρώπων [2]), μάταιον καὶ ψυχρὸν τὸ ῥῆμα αὐτοῦ καὶ ἀλλότριον πάσης ἀληθείας δείκνυται. Θεὸν γὰρ οὐ χρὴ ὑφ᾽ ἡδονῆς νικᾶσθαι· ὅπου γε καὶ οἱ σώφρονες ἄνθρωποι ἀπέχονται πάσης αἰσχρᾶς ἡδονῆς καὶ ἐπιθυμίας κακῆς.

13. Ἀλλὰ καὶ τὸ ἐκ τῶν ἐπιγείων κάτωθεν ἄρξασθαι καὶ λέγειν τὴν ποίησιν τῶν γεγεννημένων, ἀνθρώπινον καὶ ταπεινὸν καὶ πάνυ ἀσθενὲς τὸ ἐννόημα αὐτοῦ, ὡς πρὸς Θεὸν, ἐςίν. Ἄνθρωπος γὰρ, κάτω ὢν, ἄρχεται ἐκ τῆς γῆς οἰκοδομεῖν, καὶ οὐ πρὸς τάξιν δύναται καὶ τὴν ὀροφὴν ποιῆσαι, ἐὰν μὴ τὸν θεμέλιον

---

[1]) **Гезіодъ, эпическій поэтъ, жившій въ 8 вѣкѣ до Р. Х. и написавшій дошедшія до насъ сочиненія а)** Ἔργα καὶ ἡμέραι, **б)** Θεογονία **и в)** Ἀσπις. **О немъ см. въ** Lübkers-Reallexicon.

[2]) Θεογ. **116—123.**

υπόθηται. Θεού δε το δυνατόν εκ τούτου δείκνυται, ἵνα πρῶτον μεν ἐξ οὐκ ὄντων ποιῇ τὰ γινόμενα, καθὼς βούλεται· «τὰ γαρ παρὰ ἀνθρώποις ἀδύνατα δυνατά ἐςι παρὰ Θεῷ» [1]. Διὸ καὶ ὁ προφήτης πρῶτον εἴρηκε τὴν ποίησιν τοῦ οὐρανοῦ γεγενῆσθαι τρόπον ἐπέχοντα ὀροφῆς, λέγων· «ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν [2],» τουτέςι διὰ τῆς ἀρχῆς γεγενῆσθαι τὸν οὐρανὸν, καθὼς ἔφθημεν δεδηλωκέναι. Γῆν δὲ λέγει δυνάμει [3] ἔδαφος καὶ θεμέλιον, ἄβυσσον δὲ τὴν πληθὺν τῶν ὑδάτων καὶ σκότος διὰ τὸ τὸν οὐρανὸν γεγονότα ὑπὸ τοῦ Θεοῦ ἐσκεπακέναι καθαπερεὶ πῶμα τὰ ὕδατα σὺν τῇ γῇ· πνεῦμα δὲ τὸ ἐπιφερόμενον ἐπάνω τοῦ ὕδατος, ὃ ἔδωκεν ὁ Θεὸς εἰς ζωογόνησιν τῇ κτίσει, καθάπερ ἀνθρώπῳ ψυχὴν, τῷ λεπτῷ τὸ λεπτὸν συγκεράσας [4] (τὸ γὰρ πνεῦμα λεπτὸν καὶ τὸ ὕδωρ λεπτὸν), ὅπως τὸ μὲν πνεῦμα τρέφῃ τὸ ὕδωρ, τὸ δὲ ὕδωρ σὺν τῷ πνεύματι τρέφῃ τὴν κτίσιν διικνούμενον πανταχόσε. Ἓν μὲν τὸ πνεῦμα, φωτὸς τύπον ἐπέχον, ἐμεσίτευε τοῦ ὕδατος καὶ τοῦ οὐρανοῦ, ἵνα τρόπῳ τινὶ μὴ κοινωνῇ τὸ σκότος τῷ οὐρανῷ ἐγγυτέρῳ ὄντι τοῦ Θεοῦ, πρὸ τοῦ εἰπεῖν τὸν Θεόν· «γενηθήτω φῶς» [5]. Ὥσπερ οὖν καμάρα ὁ οὐρανὸς ὢν συνεῖχε τὴν ὕλην βώλῳ ἐοικυῖαν. Καὶ γὰρ εἴρηκε περὶ τοῦ οὐρανοῦ ἕτερος προφήτης ὀνόματι Ἡσαΐας, λέγων· «Θεὸς οὗτος ὁ ποιήσας τὸν οὐρανὸν ὡς καμάραν, καὶ διατείνας ὡς σκηνὴν κατοικεῖσθαι» [6]. Ἡ διάταξις οὖν Θεοῦ τοῦτό ἐςιν ὁ λόγος αὐτοῦ, φαίνων ὥσπερ λύχνος ἐν οἰκήματι συνεχομένῳ, ἐφώτισε τὴν ὑπ᾿ οὐρανὸν, χωρὶς μὲν τοῦ κόσμου ποιήσας [7]. Καὶ τὸ μὲν φῶς ὁ Θεὸς ἐκάλεσεν ἡμέραν, τὸ δὲ σκότος νύκτα [8]. Ἐπεί τοί γε ἄνθρωπος οὐκ ἂν ᾔδει καλεῖν τὸ φῶς ἡμέραν, ἢ τὸ σκότος νύκτα, ἀλλ᾿ οὐδὲ μὲν τὰ λοιπά, εἰ μὴ τὴν ὀνομασίαν εἰλήφει ἀπὸ τοῦ ποιήσαντος αὐτὰ Θεοῦ. Τῇ μὲν οὖν πρώτῃ ὑποθέσει τῆς ἱςορίας καὶ γενέσεως τοῦ κόσμου

[1]) Лук. 18. 27. [2]) Быт. 1. 1.

[3]) Т. е. въ смыслѣ, какъ бы, нѣкоторымъ образомъ. Δύναμις иногда означаетъ смыслъ или значеніе слова, силу рѣчи. Ср. 1 Кор. 14. 11. Платон. Кратил. 394.

[4]) Быт. 1. 2. [5]) Быт. 1. 3, 4. [6]) Ис. 40. 22.

[7]) Т. е. сотворивъ свѣтъ отдѣльно отъ міра.

[8]) Быт. 1. 5.

εἴρηκεν ἡ ἁγία γραφὴ οὐ περὶ τούτου τοῦ στερεώματος, ἀλλὰ περὶ ἑτέρου οὐρανοῦ τοῦ ἀοράτου ἡμῖν ὄντος, μεθ' ὃν οὗτος ὁ ὁρατὸς ἡμῖν οὐρανὸς κέκληται στερέωμα [1]), ἐφ' ᾧ ἀνείληπται τὸ ἥμισυ τοῦ ὕδατος, ὅπως ᾖ τῇ ἀνθρωπότητι εἰς ὑετοὺς καὶ ὄμβρους καὶ δρόσους. Τὸ δὲ ἥμισυ ὕδατος ὑπελείφθη ἐν τῇ γῇ εἰς ποταμοὺς καὶ πηγὰς καὶ θαλάσσας. Ἔτι οὖν συνέχοντος τοῦ ὕδατος τὴν γῆν, μάλιστα κοίλους τόπους, ἐποίησεν ὁ Θεὸς, διὰ τοῦ Λόγου αὐτοῦ, τὸ ὕδωρ συναχθῆναι εἰς συναγωγὴν μίαν, καὶ ὁρατὴν γενηθῆναι τὴν ξηρὰν, πρότερον γεγονυῖαν αὐτὴν ἀόρατον. Ὁρατὴ οὖν ἡ γῆ γενομένη ἔτι ὑπῆρχεν ἀκατασκεύαστος. Κατεσκεύασεν οὖν αὐτὴν καὶ κατεκόσμησεν ὁ Θεὸς διὰ παντοδαπῶν χλοῶν καὶ σπερμάτων καὶ φυτῶν.

**14.** Σκόπει τὸ λοιπὸν τὴν ἐν τούτοις ποικιλίαν καὶ διάφορον καλλονὴν καὶ πληθὺν [2]), καὶ ὅτι δι' αὐτῶν δείκνυται ἡ ἀνάστασις, εἰς δεῖγμα τῆς μελλούσης ἔσεσθαι ἀναστάσεως ἁπάντων ἀνθρώπων. Τίς γὰρ κατανοήσας οὐ θαυμάσει ἐκ συκῆς κεγχραμίδος γίνεσθαι συκῆν, ἢ τῶν λοιπῶν σπερμάτων ἐλαχίστων φύειν παμμεγέθη δένδρα; τὸν δὲ κόσμον ἐν ὁμοιώματι ἡμῖν λέγομεν εἶναι τῆς θαλάσσης. Ὥσπερ γὰρ θάλασσα, εἰ μὴ εἶχε τὴν τῶν ποταμῶν καὶ πηγῶν ἐπίρρυσιν καὶ ἐπιχορηγίαν εἰς τροφὴν, διὰ τὴν ἁλμυρότητα αὐτῆς πάλαι ἂν ἐκπεφρυγμένη ἦν· οὕτω καὶ ὁ κόσμος, εἰ μὴ ἐσχήκει τὸν τοῦ Θεοῦ νόμον καὶ τοὺς προφήτας ῥέοντας καὶ πηγάζοντας τὴν γλυκύτητα καὶ εὐσπλαγχνίαν, καὶ δικαιοσύνην, καὶ διδαχὴν τῶν ἁγίων ἐντολῶν τοῦ Θεοῦ, διὰ τὴν κακίαν καὶ ἁμαρτίαν τὴν πληθύουσαν ἐν αὐτῷ ἤδη ἂν ἐκλελοίπει. Καὶ καθάπερ ἐν θαλάσσῃ νῆσοί εἰσιν αἱ μὲν οἰκηταὶ καὶ εὔυδροι καὶ καρποφόροι, ἔχουσαι ὅρμους καὶ λιμένας πρὸς τὸ τοὺς χειμαζομένους ἔχειν ἐν αὐτοῖς καταφυγάς· οὕτω δέδωκεν ὁ Θεὸς τῷ κόσμῳ κυμαινομένῳ καὶ χειμαζομένῳ ὑπὸ τῶν ἁμαρτημάτων τὰς συναγωγὰς, λέγομεν δὲ ἐκκλησίας ἁγίας, ἐν αἷς καθάπερ λιμέσιν εὐόρμοις ἐν νήσοις αἱ διδασκαλίαι τῆς ἀληθείας εἰσί· πρὸς ἃς καταφεύγουσιν οἱ θέλοντες σώζεσθαι, ἐρασταὶ γινόμενοι τῆς ἀληθείας, καὶ βουλόμενοι ἐκφυγεῖν τὴν ὀργὴν καὶ κρί-

---

[1]) **Быт. 1. 6, 7.** [2]) **Быт. 1. 8—13.**

σιν τοῦ Θεοῦ. Καὶ ὥσπερ αὖ νῆσοί εἰσιν ἕτεραι πετρώδεις καὶ ἄνυδροι καὶ ἄκαρποι καὶ θηριώδεις καὶ ἀοίκητοι ἐπὶ βλάβῃ τῶν πλεόντων καὶ χειμαζομένων, ἐν αἷς περιπείρεται τὰ πλοῖα, καὶ ἐξαπόλλυνται ἐν αὐταῖς οἱ κατερχόμενοι· οὕτως εἰσὶν αἱ διδασκαλίαι τῆς πλάνης, λέγω δὲ τῶν αἱρέσεων, αἳ ἐξαπολλύουσι τοὺς προσιόντας αὐταῖς. Οὐ γὰρ ὁδηγοῦνται ὑπὸ τοῦ λόγου τῆς ἀληθείας· ἀλλὰ καθάπερ πειραταὶ [1]), ἐπὰν πληρώσωσι τὰς ναῦς, ἐπὶ τοὺς προειρημένους τόπους περιπείρουσιν, ὅπως ἐξαπολέσωσιν αὐτάς· οὕτω συμβαίνει καὶ τοῖς πλανωμένοις ἀπὸ τῆς ἀληθείας ἐξαπόλλυσθαι ὑπὸ τῆς πλάνης.

15. Τετάρτῃ ἡμέρᾳ ἐγένοντο οἱ φωστῆρες [2]). Ἐπειδὴ ὁ Θεὸς, προγνώστης ὢν, ἠπίστατο τὰς φλυαρίας τῶν ματαίων φιλοσόφων, ὅτι ἔμελλον λέγειν ἀπὸ τῶν στοιχείων εἶναι τὰ ἐπὶ τῆς γῆς φυόμενα πρὸς τὸ ἀθετεῖν τὸν Θεόν. Ἵν' οὖν τὸ ἀληθὲς δειχθῇ, προγενέστερα γέγονε τὰ φυτὰ καὶ τὰ σπέρματα τῶν στοιχείων. Τὰ γὰρ μεταγενέστερα οὐ δύναται ποιεῖν τὰ αὐτῶν προγενέστερα. Ταῦτα δὲ δεῖγμα καὶ τύπον ἐπέχει μεγάλου μυστηρίου· Ὁ γὰρ ἥλιος ἐν τύπῳ Θεοῦ ἐστιν· ἡ δὲ σελήνη ἀνθρώπου. Καὶ ὥσπερ ὁ ἥλιος πολὺ διαφέρει τῆς σελήνης δυνάμει καὶ δόξῃ· οὕτω πολὺ διαφέρει ὁ Θεὸς τῆς ἀνθρωπότητος. Καὶ καθάπερ ὁ ἥλιος πλήρης πάντοτε διαμένει μὴ ἐλάσσων γινόμενος· οὕτω πάντοτε ὁ Θεὸς τέλειος διαμένει, πλήρης ὢν πάσης δυνάμεως καὶ συνέσεως καὶ σοφίας καὶ ἀθανασίας καὶ πάντων τῶν ἀγαθῶν. Ἡ δὲ σελήνη κατὰ μῆνα φθίνει, καὶ δυνάμει [3]) ἀποθνήσκει, ἐν τύπῳ οὖσα ἀνθρώπου· ἔπειτα ἀναγεννᾶται καὶ αὔξει εἰς δεῖγμα τῆς μελλούσης ἔσεσθαι ἀναστάσεως. Ὡσαύτως καὶ αἱ τρεῖς ἡμέραι

---

[1]) Πειρατής—морской разбойникъ, отъ πείρω или πειράω—прокалываю, пробую, испытываю, подвергаю искушенію или опасности, нападаю на кого-нибудь. Въ отношеніи къ пиратамъ, переплывающимъ море, чтобы истребить захваченные чужіе корабли, наполнивъ добычею свои собственные, употребленный здѣсь глаг. περιπείρω можетъ означать: пересѣкаю (море), переплываю. Ср. 1 Тим. 6. 9—10, гдѣ въ греческомъ подлинникѣ употреблены слова: πειρασμος и περιπείρω.

[2]) Быт. 1. 14—19.

[3]) Т. е. въ значеніи, какъ бы.

τῶν φωστήρων [1]) γεγονυῖαι τύποι εἰσὶ τῆς Τριάδος, τοῦ Θεοῦ, καὶ τοῦ Λόγου αὐτοῦ, καὶ τῆς Σοφίας [2]) αὐτοῦ. Τετάρτῳ δὲ τύπῳ ἐστὶν ἄνθρωπος ὁ προσδεὴς τοῦ φωτός, ἵνα ᾖ Θεός, Λόγος, Σοφία, ἄνθρωπος. Διὰ τοῦτο καὶ τῇ τετάρτῃ ἡμέρᾳ ἐγεννήθησαν φωστῆρες. Ἡ δὲ τῶν ἄστρων θέσις οἰκονομίαν καὶ τάξιν ἔχει τῶν δικαίων καὶ εὐσεβῶν καὶ τηρούντων τὸν νόμον καὶ τὰς ἐντολὰς τοῦ Θεοῦ. Οἱ γὰρ ἐπιφανεῖς ἀστέρες καὶ λαμπροί εἰσιν εἰς μίμησιν τῶν προφητῶν· διὰ τοῦτο καὶ μένουσιν ἀκλινεῖς μὴ μεταβαίνοντες εἰς τόπον ἐκ τόπου. Οἱ δὲ ἑτέραν ἔχοντες τάξιν τῆς λαμπρότητος τύποι εἰσὶ τοῦ λαοῦ τῶν δικαίων. Οἱ δ' αὖ μεταβαίνοντες καὶ φεύγοντες τόπον ἐκ τόπου, οἱ καὶ πλανῆτες [3]) καλούμενοι, καὶ αὐτοὶ τύπος τυγχάνουσι τῶν ἀφισταμένων ἀνθρώπων ἀπὸ τοῦ Θεοῦ, καταλιπόντων τὸν νόμον καὶ τὰ προστάγματα αὐτοῦ.

16. Τῇ δὲ πέμπτῃ ἡμέρᾳ τὰ ἐκ τῶν ὑδάτων ἐγεννήθη ζῶα [4]), δι' ὧν καὶ ἐν τούτοις δείκνυται ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ. Τίς γὰρ δύναιτ' ἂν τὴν ἐν αὐτοῖς πληθὺν καὶ γονὴν παμποίκιλον ἐξαριθμῆσαι; ἔτι μὴν καὶ εὐλογήθη ὑπὸ τοῦ Θεοῦ τὰ ἐκ τῶν ὑδάτων γενόμενα, ὅπως ᾖ καὶ τοῦτο εἰς δεῖγμα τοῦ μέλλειν λαμβάνειν τοὺς ἀνθρώπους μετάνοιαν καὶ ἄφεσιν ἁμαρτιῶν διὰ ὕδατος καὶ λουτροῦ παλιγγενεσίας, πάντας τοὺς προσιόντας τῇ ἀληθείᾳ, καὶ ἀναγεννωμένους καὶ λαμβάνοντας εὐλογίαν παρὰ τοῦ Θεοῦ. Ἀλλά καὶ τὰ κήτη καὶ τὰ πετεινὰ τὰ σαρκοβόρα ἐν ὁμοιώματι τυγχάνει τῶν πλεονεκτῶν καὶ παραβατῶν. Ὥσπερ γὰρ ἐκ μιᾶς φύσεως ὄντα τὰ ἔνυδρα καὶ τὰ πετεινά, ἔνια μὲν μένει τῷ κατὰ φύσιν μὴ ἀδικοῦντα τὰ ἑαυτῶν ἀσθενέστερα, ἀλλὰ

---

[1]) По смыслу рѣчи разумѣются три дня прежде свѣтилъ (πρὸ τῶν φωστήρων), которыя названы и στοιχεῖα.

[2]) Слово Τριάς (Троица) въ святоотеческой письменности въ первый разъ встрѣчается у св. Θеофила въ настоящемъ мѣстѣ. А подъ премудростію (Σοφία) здѣсь разумѣется 3-е лице св. Троицы, Духъ святый.

[3]) Πλανής или πλανήτης—планета (отъ πλανάω). Съ блуждающими звѣздами (ἀστέρες πλανῆται), подъ которыми, вѣроятно, разумѣются такъ называемыя кометы (κομήτης—отъ κόμη—волосы), сравниваются нечестивые люди и у Апостола Іуды ст. 13.

[4]) Быт. 1. 20—23.

τηρεῖ νόμον τοῦ Θεοῦ καὶ ἀπὸ τῶν σπερμάτων τῆς γῆς ἐσθίει, ἔνια δὲ ἐξ αὐτῶν παραβαίνει τὸν νόμον τοῦ Θεοῦ σαρκοβοροῦντα, καὶ ἀδικεῖ τὰ ἑαυτῶν ἀσθενέστερα· οὕτως καὶ οἱ δίκαιοι φυλάσσοντες τὸν νόμον τοῦ Θεοῦ οὐδένα δάκνουσιν ἢ ἀδικοῦσιν, ὁσίως καὶ δικαίως ζῶντες. Οἱ δὲ ἅρπαγες καὶ φονεῖς καὶ ἄθεοι ἐοίκασι κήτεσι, καὶ θηρίοις, καὶ πετεινοῖς τοῖς σαρκοβόροις· δυνάμει γὰρ καταπίνουσι τοὺς ἀσθενεστέρους ἑαυτῶν. Ἡ μὲν οὖν τῶν ἐνύδρων καὶ ἑρπετῶν γονή, μετεσχηκυῖα τῆς εὐλογίας τοῦ Θεοῦ, οὐδὲν ἴδιον πάνυ κέκτηται.

**17.** Ἕκτῃ δὲ ἡμέρᾳ ὁ Θεὸς ποιήσας τὰ τετράποδα καὶ τὰ θηρία καὶ ἑρπετὰ τὰ χερσαῖα τὴν πρὸς αὐτὰ εὐλογίαν παρασιωπᾷ [1]), τηρῶν τῷ ἀνθρώπῳ τὴν εὐλογίαν, ὃν ἤμελλεν ἐν τῇ ἕκτῃ ἡμέρᾳ ποιεῖν. Ἅμα καὶ εἰς τύπον ἐγένοντο τά τε τετράποδα καὶ θηρία ἐνίων ἀνθρώπων τῶν τὸν Θεὸν ἀγνοούντων καὶ ἀσεβούντων, καὶ τὰ ἐπίγεια φρονούντων, καὶ μὴ μετανοούντων. Οἱ γὰρ ἐπιστρέφοντες ἀπὸ τῶν ἀνομιῶν καὶ δικαίως ζῶντες ὥσπερ πετεινὰ ἀνίπτανται τῇ ψυχῇ, τὰ ἄνω φρονοῦντες καὶ εὐαρεστοῦντες τῷ θελήματι τοῦ Θεοῦ. Οἱ δὲ τὸν Θεὸν ἀγνοοῦντες καὶ ἀσεβοῦντες ὅμοιοί εἰσιν ὀρνέοις τοῖς πτερὰ μὲν ἔχουσι, μὴ δυναμένοις δὲ ἀνίπτασθαι καὶ τὰ ἄνω τρέχειν τῆς θειότητος. Οὕτω καὶ οἱ τοιοῦτοι ἄνθρωποι μὲν λέγονται, τὰ δὲ χαμαιφερῆ καὶ τὰ ἐπίγεια φρονοῦσι, καταβαρούμενοι ὑπὸ τῶν ἁμαρτιῶν. Θηρία δὲ ὠνόμασαι τὰ ζῶα ἀπὸ τοῦ θηρεύεσθαι οὐχ ὡς κακὰ ἀρχῆθεν γεγεννημένα ἢ ἰοβόλα (οὐ γάρ τι κακὸν γέγονεν ἀπὸ Θεοῦ, ἀλλὰ τὰ πάντα καλά, καὶ καλὰ λίαν), ἡ δὲ ἁμαρτία ἡ περὶ τὸν ἄνθρωπον κεκάκωκεν αὐτά. Τοῦ γὰρ ἀνθρώπου παραβάντος, καὶ αὐτὰ συμπαρέβη. Ὥσπερ γὰρ δεσπότης οἰκίας ἐὰν αὐτὸς εὖ πράσσῃ, ἀναγκαίως καὶ οἱ οἰκέται εὐτάκτως ζῶσιν· ἐὰν δὲ ὁ κύριος ἁμαρτάνῃ, καὶ οἱ δοῦλοι συναμαρτάνουσι· τῷ αὐτῷ τρόπῳ γέγονε καὶ τὰ περὶ τὸν ἄνθρωπον κύριον ὄντα [2]) ἁμαρτῆσαι καὶ τὰ δοῦλα συνήμαρτεν. Ὁπόταν οὖν πάλιν ὁ ἄνθρωπος ἀναδράμῃ εἰς τὸ κατὰ φύσιν, μηκέτι κακοποιῶν, κἀκεῖνα ἀποκατασταθήσεται εἰς τὴν ἀρχῆθεν ἡμερότητα.

---

[1]) Быт. 1. 24, 25. [2]) Т. е. онъ сдѣлался ἁμαρτωλός.

18. Τὰ δὲ περὶ τῆς τοῦ ἀνθρώπου ποιήσεως, ἀνέκφραςός ἐςιν ὡς πρὸς ἄνθρωπον ἡ κατ᾽ αὐτὸν δημιουργία, καίπερ σύντομον ἔχει θεία γραφὴ τὴν κατ᾽ αὐτὸν ἐκφώνησιν. Ἐν τῷ γὰρ εἰπεῖν τὸν Θεόν· «ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα καὶ καθ᾽ ὁμοίωσιν τὴν ἡμετέραν» [1]), πρῶτον μηνύει τὸ ἀξίωμα τοῦ ἀνθρώπου. Πάντα γὰρ λόγῳ ποιήσας ὁ Θεὸς, καὶ τὰ πάντα πάρεργα ἡγησάμενος, μόνον ἀΐδιον [2]) ἔργον χειρῶν ἄξιον ἡγεῖται τὴν ποίησιν τοῦ ἀνθρώπου. Ἔτι μὴν καὶ ὡς βοηθείας χρήζων ὁ Θεὸς εὑρίσκεται λέγων· «ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα καὶ καθ᾽ ὁμοίωσιν». Οὐκ ἄλλῳ δέ τινι εἴρηκε, «ποιήσωμεν», ἀλλ᾽ ἢ τῷ ἑαυτοῦ Λόγῳ καὶ τῇ ἑαυτοῦ σοφίᾳ. Ποιήσας δὲ αὐτὸν καὶ εὐλογήσας εἰς τὸ αὐξάνεσθαι καὶ πληρῶσαι τὴν γῆν, ὑπέταξεν αὐτῷ ὑποχείρια καὶ ὑπόδουλα τὰ πάντα· προσέταξε δὲ καὶ ἔχειν τὴν δίαιταν αὐτὸν ἀρχῆθεν ἀπὸ τῶν καρπῶν τῆς γῆς, καὶ τῶν σπερμάτων, καὶ χλοῶν, καὶ ἀκροδρύων, ἅμα καὶ συνδίαιτα κελεύσας εἶναι τὰ ζῶα τῷ ἀνθρώπῳ, εἰς τὸ καὶ αὐτὰ ἐσθίειν ἀπὸ τῶν σπερμάτων ἁπάντων τῆς γῆς [3]).

19. Οὕτω συντελέσας ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν καὶ πάντα ὅσα ἐν αὐτοῖς ἐν τῇ ἕκτῃ ἡμέρᾳ, κατέπαυσεν ἐν τῇ ἑβδόμῃ ἡμέρᾳ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὧν ἐποίησεν [4]). Εἶθ᾽ οὕτως ἀνακεφαλαιοῦται λέγουσα ἡ ἁγία γραφή· «αὕτη βίβλος γενέσεως οὐρανοῦ καὶ τῆς γῆς, ὅτε ἐγένετο ἡμέρᾳ ᾗ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ πᾶν χλωρὸν ἀγροῦ πρὸ τοῦ γενέσθαι, καὶ πάντα χόρτον ἀγροῦ πρὸ τοῦ ἀνατεῖλαι. Οὐ γὰρ ἔβρεξεν ὁ Θεὸς ἐπὶ τὴν γῆν· καὶ ἄνθρωπος οὐκ ἦν ἐργάζεσθαι τὴν γῆν» [5]). Διὰ τούτου ἐμήνυσεν ἡμῖν, ὅτι καὶ ἡ γῆ πᾶσα κατ᾽ ἐκεῖνο καιροῦ [6]) ἐποτίζετο ὑπὸ πηγῆς θείας, καὶ οὐκ εἶχε χρείαν ἐργάζεσθαι αὐτὴν ἄνθρωπον· ἀλλὰ τὰ πάντα αὐτοματισμῷ ἀνέφυεν ἡ γῆ κατὰ τὴν ἐντολὴν τοῦ Θεοῦ, πρὸς τὸ μὴ κοπιᾶν ἐργαζόμενον τὸν ἄνθρωπον. Ὅπως δὲ καὶ ἡ πλάσις [7])

[1]) Быт. 1. 26.

[2]) Въ друг. издан. ἰδίων.

[3]) Быт. 1. 27—31. [4]) Быт. 2. 1—3. [5]) Быт. 2. 4—6.

[6]) Κατ᾽ ἐκεῖνο (подразумѣется μέρος или τέλος) καιροῦ—въ то время.

[7]) Подъ словомъ πλάσις, по контексту рѣчи, разумѣется сотворенiе человѣка.

δειχθῇ, πρὸς τὸ μὴ δοκεῖν εἶναι ζήτημα ἐν ἀνθρώποις ἀνεύρετον [1]). ἐπειδὴ εἴρητο ὑπὸ τοῦ Θεοῦ, «ποιήσωμεν ἄνθρωπον», καὶ οὔπω ἡ ποίησις αὐτοῦ πεφανέρωται, διδάσκει ἡμᾶς ἡ γραφὴ λέγουσα· «πηγὴ δὲ ἀνέβαινεν ἐκ τῆς γῆς, καὶ ἐπότιζε πᾶν τὸ πρόσωπον τῆς γῆς· καὶ ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον χοῦν ἀπὸ τῆς γῆς, καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ἄνθρωπος εἰς ψυχὴν ζῶσαν» [2]). Ὅθεν καὶ ἀθάνατος ἡ ψυχὴ ὠνόμασαι παρὰ τοῖς πλείοσι. Μετὰ δὲ τὸ πλάσαι τὸν ἄνθρωπον ὁ Θεὸς ἐξελέξατο αὐτῷ χωρίον ἐν τοῖς τόποις τοῖς ἀνατολικοῖς, διάφορον φωτὶ, διαυγὲς ἀέρι λαμπροτέρῳ, φυτοῖς παγκάλοις, ἐν ᾧ ἔθετο τὸν ἄνθρωπον.

---

[1]) Словами ζήτημα ἀνεύρετον (отъ ἀ и εὑρίσκω) указывается на неразрѣшимыя безъ божественнаго Откровенія разнорѣчія пытливыхъ умовъ человѣческихъ о происхожденіи человѣка.

[2]) Быт. 2. 7.

## V.

# СВ. ИППОЛИТЪ ЕПИСКОПЪ ПОРТА РИМСКАГО.

Св. Ипполитъ, извѣстный подъ названіемъ Епископа Порта Римскаго (Portus Romani, близъ г. Остіи), принадлежитъ къ древнѣйшимъ и знаменитѣйшимъ Отцамъ Церкви, бывшимъ учениками и собесѣдниками мужей апостольскихъ. Имя его осталось славнымъ между христіанами востока и запада; но по недостатку опредѣленныхъ свѣдѣній объ обстоятельствахъ его жизни нельзя съ точностію сказать ни о мѣстѣ и годѣ его рожденія, ни о началѣ его пастырскаго служенія, ни о времени смерти. Изъ отрывочныхъ свидѣтельствъ послѣдующихъ писателей и церковныхъ преданій представляется несомнѣннымъ, что св. Ипполитъ имѣлъ санъ Епископа и находился въ ближайшихъ отношеніяхъ къ церкви Римской въ первыхъ десятилѣтіяхъ 3-го вѣка (201—223 г.) при римскихъ Папахъ Зефиринѣ и Каллистѣ: затѣмъ болѣе или менѣе достовѣрно, что онъ подвергался гоненіямъ за пастырскую ревность по вѣрѣ православной, путешествовалъ на востокъ въ Антіохію и Аравію и Александрію, принимая дѣятельное участіе въ сношеніяхъ запада съ востокомъ по дѣламъ церковнымъ, и по возвращеніи въ римскую область, за мужественную защиту гонимыхъ христіанъ, вмѣстѣ съ другими сподобился мученической смерти въ г. Остіи (около 252 г.) и погребенъ на Веровомъ кладбищѣ по дорогѣ Тивуртіевой, гдѣ впослѣдствіи поставленъ былъ ему

мраморный памятникъ (найденный въ 1551 году въ видѣ сидящаго на каѳедрѣ старца во весь ростъ), остающійся замѣчательнымъ образцомъ древне-христіанскаго искуства. Память его совершается восточною православною церковію 30 Января (См. о немъ изслѣдованіе Протоіер. Иванцова-Платонова въ книгѣ: Ереси и расколы первыхъ трехъ вѣковъ Христ. Москва, 1877 г.).

Болѣе драгоцѣнный памятникъ св. Ипполита составляютъ многочисленныя его сочиненія, которыхъ заглавія начертаны на упомянутой мраморной каѳедрѣ и перечисляются у Евсевія и Іеронима (Евс. Ц. Ист. 6. 28. Іерон. de viris illustr. c. 61.). Они пользовались большимъ уваженіемъ въ христіанской Церкви и нѣкоторыя изъ нихъ издавна переводились съ греческаго языка, на которомъ писаны, на языки другихъ народовъ—арабскій, сирскій, коптскій, славянскій; въ нихъ этотъ Святитель является мужемъ высоко образованнымъ не только въ предметахъ христіанской учености, но и во многихъ свѣтскихъ наукахъ, и однимъ изъ самыхъ плодовитыхъ и разностороннихъ писателей первыхъ трехъ вѣковъ христіанства: такъ какъ между подлинными его твореніями находятся и догматико-полемическія подъ заглавіями: «о Богѣ и воскресеніи тѣла», «противъ Іудеевъ» и «противъ Эллиновъ», противъ «всѣхъ ересей» и въ частности противъ «Ноэта», и подобныхъ ему еретиковъ,—и экзегетическія: «о Христѣ и Антихристѣ»—и толкованія на разныя книги св. Писанія,—и проповѣдническія: «Слово на Богоявленіе» и другія,—и историко-каноническія: «о Пасхѣ», о «постановленіяхъ апостольскихъ» касательно церковнаго благочинія, и другія. По внутреннему характеру своему они отличаются вѣрностію вселенскому ученію Христовой Церкви, пламенною ревностію о распространеніи истиннаго

христіанскаго ученія, глубокимъ знаніемъ св. Писанія и особеннымъ искуствомъ пользоваться имъ для раскрытія христіанскихъ истинъ и опроверженія заблужденій, твердымъ и прямымъ, иногда и одушевленнымъ изложеніемъ мыслей, въ которомъ, по отзыву патріарха Фотія (Bibl c. CXXI и CCII), соединяются ясность и важность и нѣтъ ничего такого, что не относилось бы къ предмету и цѣли рѣчи.

Предлагаемыя для чтенія сочиненія св. Ипполита, одно изъ догматико-полемическихъ, а другое изъ проповѣдническихъ, имѣютъ весьма важныя достоинства. Первое подъ заглавіемъ: *«противъ ереси Ноэта»*, появившейся около 244 года, представляетъ одинъ изъ первыхъ опытовъ положительнаго христіанскаго богословствованія о св. Троицѣ и таинствѣ воплощенія Бога-Слова въ древней Церкви, съ сильнымъ опроверженіемъ Ноэта и подобныхъ ему еретиковъ: а второе подъ заглавіемъ: *Слово на святыя богоявленія*—замѣчательно и по догматическому содержанію своему и какъ древнѣйшій образецъ церковнаго краснорѣчія, за которое справедливо называли Святителя Ипполита священнѣйшимъ и сладчайшимъ учителемъ Церкви (См. Möhler, Patrologie. T. 2. Hippolytus. Ученіе объ Отц. Церкви Т. I. стр. 91—100).

Лучшія и позднѣйшія изданія сочиненій этого Отца Церкви заключаются въ собраніяхъ отеческихъ твореній:

1. Andr. Gallandii—Bibliotheca veterum Patrum. T. II. Venet. 1766.

2. J. P. Migne—Patrologiae Curs. complet. Ser. Graec. T. X. Paris. 1857.

Изъ послѣдняго изданія и заимствованъ текстъ статей св. Ипполита.

## 1.

# ΤΟΥ ΑΓΙΟΥ ΙΠΠΟΛΥΤΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΑΙ ΜΑΡΤΥΡΟΣ

## ΕΙΣ ΤΗΝ ΑΙΡΕΣΙΝ ΝΟΕΤΟΥ ΤΙΝΟΣ.

## Глав. 8—18.

8. Πολλὰ δὲ καὶ ἕτερα [1]), μᾶλλον δὲ πάντα ἐςὶ μαρτυροῦντα τῇ ἀληθείᾳ. Ἀνάγκην οὖν ἔχει καὶ μὴ θέλων ὁμολογεῖν Πατέρα Θεὸν παντοκράτορα, καὶ Χριςὸν Ἰησοῦν Υἱὸν Θεοῦ, Θεὸν ἄνθρωπον γενόμενον, ᾧ πάντα Πατὴρ ὑπέταξε παρεκτὸς ἑαυτοῦ καὶ Πνεύματος ἁγίου, καὶ τούτους εἶναι οὕτως τρία. Εἰ δὲ βούλεται μαθεῖν, πῶς εἷς Θεὸς ἀποδείκνυται, γινωσκέτω ὅτι μία δύναμις τούτου. Καὶ ὅσον μὲν κατὰ τὴν δύναμιν, εἷς ἐςι Θεός· ὅσον δὲ κατὰ τὴν οἰκονομίαν [2]), τριχὴς ἡ ἐπίδειξις, ὡς ὕςερον ἀποδειχθήσεται, ἀποδιδόντων ἡμῶν περὶ ἀληθείας λόγον. Ταῦτα μὲν οὖν, ἀδελφοί, δείκνυται ἡμῖν συμφώνως εἰρημένα. Εἷς γὰρ Θεός ἐςιν, ᾧ δεῖ πιςεύειν, ἀλλ' ἀγέννητος, ἀπαθής, ἀθάνατος, πάντα ποιῶν ὡς θέλει, καθὼς θέλει, ὅτε θέλει. Τί οὖν πρὸς ταῦτα τολμήσει Νόητος, μὴ νοῶν τὴν ἀλήθειαν; ἐπειδὴ οὖν ἤδη καὶ ὁ Νόητος ἀνατέτραπται, ἔλθωμεν ἐπὶ τὴν τῆς ἀληθείας ἀπόδειξιν, ἵνα συςήσωμεν τὴν ἀλήθειαν· καθ' ἧς πᾶσαι τοσαῦται αἱρέσεις γεγένηνται, μηδὲν δυνάμεναι εἰπεῖν.

9. Εἷς Θεός, ὃν οὐκ ἄλλοθεν ἐπιγινώσκομεν, ἀδελφοί, ἢ [ἐκ] τῶν ἁγίων γραφῶν. Ὃν γὰρ τρόπον ἐάν τις βουληθῇ τὴν σοφίαν τοῦ αἰῶνος τούτου ἀσκεῖν, οὐκ ἄλλως δυνήσεται τούτου τυχεῖν, ἐὰν μὴ δόγμασι φιλοσόφων ἐντύχῃ· τὸν αὐτὸν δὴ τρόπον ὅσοι θεοσέβειαν ἀσκεῖν βουλόμεθα, οὐκ ἄλλοθεν ἀσκήσομεν

---

[1]) Выше были опровергнуты заимствованныя изъ св. Писанія доказательства еретика Ноэта Смирнскаго, который училъ, что «Христосъ есть (Богъ) Отецъ и что самъ Отецъ родился, пострадалъ и умеръ» (глав. 1).

[2]) Домостроительствомъ (οἰκονομία) у св. Отцевъ называется воплощеніе Бога-Слова отъ Духа Святаго и Дѣвы Маріи и все дѣло спасенія рода человѣческаго, совершенное имъ по волѣ Бога-Отца. Также и въ Новомъ Завѣтѣ, 1 Кор. 9. 17. Ефес. 1. 10. Колос. 1. 25.

ἢ ἐκ τῶν λογιων τοῦ Θεοῦ. Ὅσα τοίνυν κηρύσσουσιν αἱ θεῖαι γραφαὶ, ἴδωμεν, καὶ, ὅσα διδάσκουσιν, ἐπιγνῶμεν, καὶ ὡς θέλει Πατὴρ πιςεύεσθαι, πιςεύσωμεν, καὶ ὡς θέλει Υἱὸν δοξάζεσθαι, δοξάσωμεν, καὶ ὡς θέλει Πνεῦμα ἅγιον δωρεῖσθαι, λάβωμεν. Μὴ κατ' ἰδίαν προαίρεσιν, μηδὲ κατ' ἴδιον νοῦν, μηδὲ βιαζόμενοι τὰ ὑπὸ τοῦ Θεοῦ δεδομένα, ἀλλ' ὃν τρόπον αὐτὸς ἐβουλήθη διὰ τῶν ἁγίων γραφῶν δεῖξαι, οὕτως ἴδωμεν.

10. Θεὸς μόνος ὑπάρχων, καὶ μηδὲν ἔχων ἑαυτῷ σύγχρονον, ἐβουλήθη κόσμον κτίσαι. Ὁ κόσμον ἐννοηθεὶς [1]), θελήσας τε καὶ φθεγξάμενος ἐποίησεν, ᾧ παραυτίκα παρέςη τὸ γενόμενον ὡς ἠθέλησεν. Αὐταρκὲς οὖν ἡμῖν ἔτι μόνον εἰδέναι, ὅτι οὐδὲν σύγχρονον Θεοῦ. Οὐδὲν πλὴν αὐτὸς ἦν· αὐτὸς δὲ μόνος ὤν, πολὺς ἦν. Οὔτε γὰρ ἄλογος, οὔτε ἄσοφος, οὔτε ἀδύνατος, οὔτε ἀβούλευτος ἦν. Πάντα δὲ ἦν ἐν αὐτῷ, αὐτὸς δὲ ἦν τὸ πάν. Ὅτε ἠθέλησε, καθὼς ἠθέλησεν, ἔδειξε τὸν Λόγον αὐτοῦ καιροῖς ὡρισμένοις παρ' αὐτῷ, δι' οὗ τὰ πάντα ἐποιησεν. Ὅτε μὲν θέλει, ποιεῖ· ὅτε δὲ ἐνθυμεῖται, τελεῖ· ὅτε δὲ φθέγγεται, δεικνύει· ὅτε πλάσσει, σοφίζεται. Πάντα γὰρ τὰ γενόμενα διὰ λόγου καὶ σοφίας τεχνάζεται, λόγῳ μὲν κτίζων, σοφίᾳ δὲ κοσμῶν. Ἐποίησεν οὖν ὡς ἠθέλησε, Θεὸς γὰρ ἦν. Τῶν δὲ γινομένων ἀρχηγὸν καὶ σύμβουλον καὶ ἐργάτην ἐγέννα Λόγον, ὃν Λόγον ἔχων ἐν ἑαυτῷ, ἀόρατόν τε ὄντα τῷ κτιζομένῳ κόσμῳ, ὁρατὸν ποιεῖ, προτέραν φωνὴν φθεγγόμενος, καὶ φῶς ἐκ φωτὸς γεννῶν, προῆκε τῇ κτίσει Κύριον, τὸν ἴδιον νοῦν, αὐτῷ μόνῳ πρότερον ὁρατὸν ὑπάρχοντα, τῷ δὲ γινομένῳ κόσμῳ ἀόρατον ὄντα, ὁρατὸν ποιεῖ, ὅπως διὰ τοῦ φανῆναι ἰδὼν ὁ κόσμος σωθῆναι δυνηθῇ.

11. Καὶ οὕτως παρίςατο αὐτῷ ἕτερος. Ἕτερον δὲ λέγων οὐ δύο Θεοὺς λέγω, ἀλλ' ὡς φῶς ἐκ φωτὸς, ἢ ὡς ὕδωρ ἐκ πηγῆς,, ἢ ὡς ἀκτῖνα ἀπὸ ἡλίου. Δύναμις γὰρ μία ἡ ἐκ τοῦ παντός· τὸ δὲ πᾶν Πατὴρ, ἐξ οὗ δύναμις Λόγος. Οὗτος δὲ νοῦς, ὃς προβὰς ἐν κόσμῳ ἐδείκνυτο παῖς [2]) Θεοῦ. Πάντα τοίνυν

---

[1]) Ἐννοηθεὶς—тоже, что ἐννοήσας.

[2]) Παῖς вм. υἱός.

δι' αὐτοῦ, αὐτὸς δὲ μόνος ἐκ Πατρός. Τίς τοίνυν ἀποφαίνεται πληθὺν θεῶν παραβαλλομένην κατὰ καιρούς; καὶ γὰρ πάντες ἀπεκλείσθησαν εἰς τοῦτο ἄκοντες εἰπεῖν, ὅτι τὸ πᾶν εἰς ἕνα ἀνατρέχει. Εἰ οὖν τὰ πάντα εἰς ἕνα ἀνατρέχει, καὶ κατὰ Οὐαλεντῖνον καὶ κατὰ Μαρκίωνα, Κήρινθόν [1]) τε καὶ πᾶσαν τὴν ἐκείνων φλυαρίαν, καὶ ἄκοντες εἰς τοῦτο περιέπεσαν, ἵνα τὸν ἕνα ὁμολογήσωσιν αἴτιον τῶν πάντων· οὕτως οὖν συντρέχουσι καὶ αὐτοὶ μὴ θέλοντες τῇ ἀληθείᾳ ἕνα Θεὸν λέγειν ποιήσαντα ὡς ἠθέλησεν. Οὗτος δὲ ἔδωκε νόμον καὶ προφήτας, καὶ δοὺς διὰ Πνεύματος ἁγίου ἠνάγκασε τούτους φθέγξασθαι, ὅπως, τῆς πατρῴας δυνάμεως τὴν ἀπόπνοιαν λαβόντες, τὴν βουλὴν καὶ τὸ θέλημα τοῦ Πατρὸς καταγγείλωσιν.

12. Ἐν τούτοις τοίνυν πολιτευόμενος ὁ Λόγος ἐφθέγγετο περὶ ἑαυτοῦ. Ἤδη γὰρ αὐτὸς ἑαυτοῦ κήρυξ ἐγένετο, δεικνύων μέλλοντα Λόγον φαίνεσθαι ἐν ἀνθρώποις, δι' ἣν αἰτίαν οὕτως ἐβόα· «ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ζητοῦσιν, εὑρέθην τοῖς ἐμὲ μὴ ἐπερωτῶσι» [2]). Τίς δέ ἐστιν ὁ ἐμφανὴς γενόμενος, ἀλλ' ἢ ὁ Λόγος τοῦ Πατρός; ὃν ἀποστέλλων Πατὴρ ἐδείκνυεν ἀνθρώποις τὴν παρ' ἑαυτοῦ ἐξουσίαν. Οὕτως οὖν ἐμφανὴς ἐγένετο ὁ Λόγος, καθὼς λέγει, ἀνακεφαλαιοῦται γὰρ ὁ μακάριος Ἰωάννης τὰ δια τῶν προφητῶν εἰρημένα, δεικνὺς τοῦτον εἶναι τὸν Λόγον, δι' οὗ τὰ πάντα ἐγένετο. Φησὶ γὰρ οὕτως· «ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος. Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν» [3]). Ὑποβὰς δὲ ἔφη· «ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον» [4]). Εἰ οὖν, ἔφη, ὁ κόσμος δι' αὐτοῦ γεγένηται, καθὼς λέγει ὁ Προφήτης· «τῷ Λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν» [5])· ἄρα οὗτός ἐστιν ὁ Λόγος ὁ καὶ ἐμφανὴς δεικνύμενος. Οὐκοῦν ἔνσαρκον Λόγον θεωροῦμεν, Πατέρα δι' αὐτοῦ νοοῦμεν, Υἱῷ δὲ πιστεύομεν,

---

[1]) **Валентинъ, Маркіонъ и Керинѳъ—гностики, изъ которыхъ послѣдній жилъ въ первомъ вѣкѣ, а два первые во второмъ вѣкѣ. О нихъ и ихъ ученіи см. Библейск. Ист. Преосв. Филарета и Церк. Ист. Преосв. Иннокентія.**

[2]) **Ис. 65. 1.** [3]) **Іоан. 1. 1—3.** [4]) **Іоан. 1. 11.** [5]) **Пс. 32. 6.**

Πνεύματι ἁγίῳ προσκυνοῦμεν. Ἴδωμεν οὖν τὰ γεγραμμένα, ὅτι μὲν ἐμφανὴς ὁ Λόγος ἐσόμενος ἐκηρύσσετο.

**13.** Καὶ Ἱερεμίας λέγει· «τίς ἔστη ἐν ὑποστήματι [1]) Κυρίου, καὶ ἴδε τὸν Λόγον αὐτοῦ» [2]); Λόγος δὲ Θεοῦ μόνος ὁρατὸς, ἀνθρώπου δὲ ἀκουστός. Ὅπου ὁρᾶν τὸν Λόγον λέγει, ἀνάγκην ἔχω πιστεύειν ὁρατὸν τοῦτον ἀπεσταλμένον. Οὐκ ἄλλος ἦν ἀλλ' ἢ ὁ Λόγος. Ὅτι δὲ ἀπεστάλθη, μαρτυρεῖ Πέτρος, πρὸς τὸν ἑκατόνταρχον Κορνήλιον λέγων· «ἐξαπέστειλεν ὁ Θεὸς τὸν Λόγον αὐτοῦ τοῖς υἱοῖς Ἰσραὴλ διὰ κηρύγματος Ἰησοῦ Χριστοῦ. Οὗτός ἐστιν ὁ Θεὸς ὁ πάντων Κύριος» [3]). Εἰ δὲ οὖν Λόγος ἀποστέλλεται διὰ Ἰησοῦ Χριστοῦ, τὸ θέλημα τοῦ Πατρός ἐστιν Ἰησοῦς Χριστός.

**14.** Ταῦτα μὲν οὖν, ἀδελφοί, σημαίνουσιν αἱ γραφαί. Ταύτην οἰκονομίαν παραδίδωσιν ἡμῖν καὶ ὁ μακάριος Ἰωάννης ἐν Εὐαγγελίῳ μαρτυρῶν, καὶ τοῦτον τὸν Λόγον Θεὸν ὁμολογεῖ, οὕτως λέγων· «ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος» [4]). Εἰ δὲ οὖν ὁ Λόγος πρὸς τὸν Θεὸν, Θεὸς ὢν, τί οὖν; φήσειεν ἄν τις δύο λέγειν Θεούς; δύο μὲν οὐκ ἐρῶ Θεούς, ἀλλ' ἢ ἕνα, πρόσωπα δὲ δύο, οἰκονομίαν δὲ τρίτην, τὴν χάριν τοῦ ἁγίου Πνεύματος. Πατὴρ μὲν γὰρ εἷς, πρόσωπα δὲ δύο, ὅτι καὶ ὁ Υἱός, τὸ δὲ τρίτον τὸ ἅγιον Πνεῦμα. Πατὴρ ἐντέλλεται, Λόγος ἀποτελεῖ, Υἱὸς δὲ δείκνυται, δι' οὗ Πατὴρ πιστεύεται. Οἰκονομία συμφωνίας συνάγεται εἰς ἕνα Θεόν· εἷς γάρ ἐστιν ὁ Θεός· ὁ γὰρ κελεύων Πατὴρ, ὁ δὲ ὑπακούων Υἱός, τὸ δὲ συνετίζον ἅγιον Πνεῦμα. Ὁ ὢν Πατὴρ «ἐπὶ πάντων», ὁ δὲ Υἱὸς «διὰ πάντων», τὸ δὲ ἅγιον Πνεῦμα «ἐν πᾶσιν» [5]). Ἄλλως τε ἕνα Θεὸν νομίσαι μὴ δυνάμεθα, ἐὰν μὴ ὄντως Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι πιστεύσωμεν. Ἰουδαῖοι μὲν γὰρ ἐδόξασαν Πατέρα, ἀλλ' οὐκ ηὐχαρίστησαν, Υἱὸν γὰρ οὐκ ἐπέγνωσαν. Μαθηταὶ ἐπέγνωσαν Υἱὸν, ἀλλ' οὐκ ἐν Πνεύματι ἁγίῳ, δι' ὃ καὶ ἠρνήσαντο [6]). Γινώσκων οὖν ὁ πατρῷος Λόγος τὴν οἰκονομίαν καὶ τὸ θέλημα τοῦ Πατρὸς, ὅτι οὐκ ἄλλως βούλεται δοξάζεσθαι ὁ

---

[1]) Ὑπόστημα—совѣтъ, собраніе для совѣщаній.

[2]) Іер. 23. 18. [3]) Дѣян. 10. 36. [4]) Іоан. 1. 1. [5]) Еф. 4. 6.

[6]) Такъ говорится объ апостолахъ по поводу отреченія Ап. Петра отъ І. Христа во время страданій Господа.

Πατὴρ ἢ οὕτως, ἀναςὰς παρέδωκε τοῖς μαθηταῖς λέγων· «πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος» [1]), δεικνύων ὅτι πᾶς, ὃς ἂν ἕν τι τούτων ἐκλίπῃ, τελείως Θεὸν οὐκ ἐδόξασε. Διὰ γὰρ τῆς Τριάδος ταύτης Πατὴρ δοξάζεται. Πατὴρ γὰρ ἠθέλησεν, Υἱὸς ἐποίησε, Πνεῦμα ἐφανέρωσε. Πᾶσαι τοίνυν αἱ γραφαὶ περὶ τούτου κηρύσσουσι.

15. Ἀλλ' ἐρεῖ μοί τις· ξένον μοι φέρεις, Λόγον λέγων υἱόν. Ἰωάννης μὲν γὰρ λέγει Λόγον, ἀλλ' ἄλλως ἀλληγορεῖ. Οὕτως γὰρ δεικνύων τὸν Λόγον τοῦ Θεοῦ τοῦτον ὄντα ἀπ' ἀρχῆς καὶ νῦν ἀπεςαλμένον, ὑποβὰς ἐν τῇ Ἀποκαλύψει ἔφη· «καὶ ἴδον τὸν οὐρανὸν ἠνεῳγμένον, καὶ ἰδοὺ ἵππος λευκὸς, καὶ ὁ καθήμενος ἐπ' αὐτοῦ πιςὸς καὶ ἀληθινὸς, καὶ ἐν δικαιοσύνῃ κρίνει καὶ πολεμεῖ. Οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ φλὸξ πυρός· καὶ διαδήματα πολλὰ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, ἔχων ὄνομα γεγραμμένον, ὃ οὐδεὶς οἶδεν εἰ μὴ αὐτός. Καὶ περιβεβλημένος ἱμάτιον ἐρραντισμένον αἵματι· καὶ κέκληται τὸ ὄνομα αὐτοῦ, ὁ Λόγος τοῦ Θεοῦ» [2]). Ὁρᾶτε οὖν, ἀδελφοὶ, πῶς ἐν συμβόλῳ τὸ ἱμάτιον τὸ ἐρραντισμένον αἵματι τὴν σάρκα διηγήσατο, δι' ἧς καὶ ὑπὸ πάθος ἦλθεν ὁ ἀπαθὴς τοῦ Θεοῦ Λόγος, καθὼς μαρτυροῦσί μοι οἱ προφῆται. Λέγει γὰρ οὕτως ὁ μακάριος Μιχαίας· «οἶκος Ἰακὼβ παρώργισε Πνεῦμα Κυρίου. Ταῦτα τὰ ἐπιτηδεύματα αὐτοῖς ἐςιν. Οὐχ οἱ λόγοι αὐτοῦ καλοὶ μετ' αὐτῶν, καὶ ὀρθοὶ πορεύονται; καὶ αὐτοὶ ἀντέςησαν εἰς ἔχθρὰν κατὰ πρόσωπον τῆς εἰρήνης αὐτοῦ, τὴν δόξαν ἐξέδειραν αὐτοῦ» [3]). Τουτέςιν, τὸ σαρκὶ παθεῖν αὐτόν. Ὡσαύτως καὶ ὁ μακάριος Παῦλος λέγει· «τὸ γὰρ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ ἠσθένει, ὁ Θεὸς τὸν ἑαυτοῦ Υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας κατέκρινε τὴν ἁμαρτίαν τῇ σαρκὶ, ἵνα τὸ δικαίωμα τοῦ νόμου φανερωθῇ ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα» [4]). Ποῖον οὖν Υἱὸν ἑαυτοῦ ὁ Θεὸς διὰ τῆς σαρκὸς κατέπεμψεν, ἀλλ' ἢ τὸν Λόγον, ὃν Υἱὸν προσηγόρευε διὰ τὸ μέλλειν αὐτὸν γενέσθαι; καὶ τὸ κοινὸν ὄνομα τῆς εἰς ἀνθρώπους φιλοςοργίας ἀναλαμβάνει ὁ Υἱὸς καλούμενος. Οὔτε γὰρ ἄσαρκος καὶ καθ'

[1]) Мат. 28. 19. [2]) Апок. 19. 11—13. [3]) Мих 2. 7, 8. [4]) Рим. 8. 3, 4.

ἑαυτὸν ὁ Λόγος, τέλειος ἦν Υἱός, καίτοι τέλειος Λόγος ὤν, Μονογενής. Οὔθ' ἡ σὰρξ καθ' ἑαυτὴν δίχα τοῦ Λόγου ὑποςῆναι ἠδύνατο, διὰ τὸ ἐν Λόγῳ τὴν σύςασιν ἔχειν. Οὕτως οὖν εἷς Υἱὸς τέλειος Θεοῦ ἐφανερώθη.

16. Καὶ ταῦτα μὲν περὶ σαρκώσεως τοῦ Λόγου μαρτύρια· ἔςι δὲ καὶ ἕτερα πλεῖςα. Ἴδωμεν δὲ καὶ τὸ προκείμενον· ὅτι ὄντως, ἀδελφοί, ἡ δύναμις ἡ πατρῴα, ὅ ἐςι Λόγος, ἀπ' οὐρανοῦ κατῆλθε, καὶ οὐχ αὐτὸς ὁ Πατήρ. Λέγει γὰρ οὕτως· «ἐγὼ ἐκ τοῦ Πατρὸς ἐξῆλθον, καὶ ἥκω» [1]. Τί δὲ ἐςι τὸ, ἐξῆλθον ἐκ τοῦ Πατρὸς, ἀλλ' ἢ ὁ Λόγος; τί δὲ τὸ ἐξ αὐτοῦ γεννηθὲν, ἀλλ' ἢ Πνεῦμα [2], τουτέςιν ὁ Λόγος; ἀλλ' ἐρεῖς μοι· πῶς γεγέννηται; τὴν μὲν κατά σε διήγησιν, ὡς ἐγέννησαι, οὐ δύνῃ ἐξειπεῖν, καίτοι τῆς ἑκάςης ἡμέρας ὁρῶν τὴν κατὰ ἄνθρωπον αἰτίαν, καὶ τὴν περὶ τοῦτον οἰκονομίαν ἀκριβῶς ἐξειπεῖν οὐ δύνασαι. Οὐ γὰρ πάρεςί σοι γινώσκειν τὴν τοῦ δημιουργήσαντος ἔμπειρον καὶ ἀνεκδιήγητον τέχνην, ἀλλ' ἢ μόνον ὁρῶντα νοεῖν καὶ πιςεύειν, ὅτι ἔργον Θεοῦ ἄνθρωπος. Περὶ δὲ Λόγου γένεσιν ζητεῖς, ὅνπερ βουληθεὶς ὁ Θεὸς Πατὴρ ἐγέννησεν ὡς ἠθέλησεν. Οὐ γὰρ αὐτάρκες σοί ἐςι μαθεῖν, ὅτι κόσμον ὁ Θεὸς ἐποίησεν, ἀλλὰ καὶ πόθεν ἐποίησε, τολμᾷς ἐπιζητεῖν; ἢ οὐκ αὐτάρκες σοί ἐςι μαθεῖν, ὅτι Υἱὸς Θεοῦ σοι ἐφανερώθη εἰς σωτηρίαν, ἐὰν πιςεύσῃς, ἀλλὰ καὶ πῶς ἐγεννήθη κατὰ Πνεῦμα, πολυπραγμονεῖς; καὶ τὴν μὲν κατὰ σάρκα γέννησιν αὐτοῦ οὐ πλείονες ἐπιςεύθησαν διηγήσασθαι πλὴν δύο [3], καὶ σὺ τολμᾷς ἐπιζητεῖν τὴν κατὰ Πνεῦμα διήγησιν, ἣν παρ' ἑαυτῷ φυλάττει Πατήρ, ἀποκαλύπτειν μέλλων τότε τοῖς ἁγίοις καὶ ἀξίοις ἰδεῖν τὸ πρόσωπον αὐτοῦ; αὐτάρκες σοι ἤτω τὸ εἰρημένον ὑπὸ τοῦ Χριςοῦ, ὅτι «τὸ γεγεννημένον ἐκ τοῦ Πνεύματος πνεῦμά ἐςι» [4], καθὼς διὰ τοῦ Προφήτου τὴν τοῦ Λόγου γέννησιν σημαίνων ὅτι γεγέν-

[1] Іон. 16. 28.

[2] Здѣсь говорится не о св. Духѣ—3-мъ лицѣ св. Троицы, а о томъ же Словѣ или Сынѣ Божіемъ съ духовной его стороны, какъ можно видѣть изъ контекста рѣчи.

[3] Т. е. два евангелиста Матѳей и Лука.

[4] Іоан. 3. 6.

νηται, τὸ δὲ πῶς φυλάσσει καιρῷ ὡρισμένῳ παρ' αὐτῷ μέλλων ἀποκαλύπτειν. Λέγει δὲ οὕτως· «ἐκ γαςρος πρὸ ἑωσφόρου ἐξεγέννησά σε» [1]).

**17.** Αὐτάρκεις αὗται αἱ μαρτυρίαι πιςοῖς ἀλήθειαν ἀκοῦσιν, οἱ δὲ ἄπιςοι οὐδενὶ πιςεύουσι. Καὶ γὰρ τὸ Πνεῦμα τὰ ἅγιον ἐκ προσώπου τῶν ἀποςόλων διεμαρτύρατο, λέγων· «καὶ τίς ἐπίςευσε τῇ ἀκοῇ ἡμῶν» [2]); ὥςε μὴ γενώμεθα ἄπιςοι, μήποτε ἐφ' ἡμῖν τελεσθῇ τὸ εἰρημένον. Πιςεύσωμεν οὖν, μακάριοι ἀδελφοί, κατὰ τὴν παράδοσιν τῶν ἀποςόλων, ὅτι Θεὸς Λόγος ἀπ' οὐρανῶν κατῆλθεν εἰς τὴν ἁγίαν παρθένον Μαρίαν, ἵνα σαρκωθεὶς ἐξ αὐτῆς, λαβὼν δὲ καὶ ψυχὴν τὴν ἀνθρωπίνην, λογικὴν δὲ λέγω, γεγονὼς πάντα ὅσα ἐςὶν ἄνθρωπος, ἐκτὸς ἁμαρτίας, σώσῃ τὸν πεπτωκότα, καὶ ἀφθαρσίαν ἀνθρώποις παράσχῃ τοῖς πιςεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ. Ἐν πᾶσιν οὖν ἀποδέδεικται ἡμῖν τῆς ἀληθείας λόγος, ὅτι εἷς ἐςιν ὁ Πατὴρ, οὗ πάρεςι Λόγος, δι' οὗ τὰ πάντα ἐποίησεν· ὃν ὑςέροις καιροῖς, καθὼς εἴπαμεν ἀνωτέρω, ἀπέςειλεν ὁ Πατὴρ πρὸς σωτηρίαν ἀνθρώπων. Οὗτος διὰ νόμου καὶ προφητῶν ἐκηρύχθη παρεσόμενος εἰς τὸν κόσμον. Καθ' ὃν οὖν τρόπον ἐκηρύχθη, κατὰ τοῦτον καὶ παρὼν ἐφανέρωσεν ἑαυτὸν ἐκ παρθένου καὶ ἁγίου Πνεύματος, καινὸς ἄνθρωπος γενόμενος· τὸ μὲν οὐράνιον ἔχων τὸ πατρῷον ὡς Λόγος, τὸ δὲ ἐπίγειον ὡς ἐκ παλαιοῦ Ἀδὰμ διὰ παρθένου σαρκούμενος. Οὗτος προελθὼν εἰς κόσμον Θεὸς ἐν σώματι ἐφανερώθη, ἄνθρωπος τέλειος προελθών. Οὐ γὰρ κατὰ φαντασίαν ἢ τροπὴν, ἀλλ' ἀληθῶς γενόμενος ἄνθρωπος.

**18.** Οὕτως οὖν καὶ τὰ ἀνθρώπινα ἑαυτοῦ οὐκ ἀπαναίνεται ἐνδεικνύμενος Θεὸς ὢν, ὅτε πεινᾷ καὶ κοπιᾷ, καὶ κάμνων διψᾷ, καὶ δειλιῶν φεύγει, καὶ προσευχόμενος λυπεῖται, καὶ ἐπὶ προσκεφάλαιον καθεύδει, ὁ ἄϋπνον ἔχων τὴν φύσιν ὡς Θεός· καὶ ποτηρίου πάθος παραιτεῖται, ὁ διὰ τοῦτο παραγεγονὼς ἐν κόσμῳ· καὶ ἀγωνιῶν ἱδροῖ, καὶ ὑπ' ἀγγέλου ἐνδυναμοῦται, ὁ ἐνδυναμῶν τοὺς εἰς αὐτὸν πιςεύοντας, καὶ θανάτου καταφρονεῖν ἔργῳ διδάξας· καὶ ὑπὸ Ἰούδα παραδίδοται, ὁ γινώσκων τὸν Ἰούδαν τίς ἐςι· καὶ ἀτιμάζεται ὑπὸ Καϊάφα, ὁ πρότερον ὑπ' αὐτοῦ ἱερα-

---

[1]) Πς. 109. 3. [2]) Ησ. 53. 1.

τευόμενος ὡς Θεός [1]· καὶ ὑπὸ Ἡρώδου ἐξουθενεῖται, ὁ μέλλων κρῖναι πᾶσαν τὴν γῆν· καὶ μαςίζεται ὑπὸ Πιλάτου, ὁ τὰς ἀσθενείας ἡμῶν ἀναδεξάμενος· καὶ ὑπὸ ςρατιωτῶν παίζεται, ᾧ παρεςήκουσι χίλιαι χιλιάδες καὶ μυρίαι μυριάδες ἀγγέλων καὶ ἀρχαγγέλων· καὶ ὑπὸ Ἰουδαίων ξύλῳ προσπήγνυται, ὁ πήξας ὡς καμάραν τὸν οὐρανόν· καὶ πρὸς Πατέρα βοῶν παρατίθεται τὸ πνεῦμα, ὁ ἀχώριςος τοῦ Πατρός· καὶ κλίνων κεφαλὴν, ἐκπνεῖ, ὁ εἴπας· «ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν» [2]. Ὅτι δὲ οὐκ ἐκυριεύετο ὑπὸ θανάτου, ὡς ζωὴ, εἶπεν· «ἐγὼ ἀπ' ἐμαυτοῦ τίθημι αὐτήν». Καὶ πλευρὰν λόγχῃ νύσσεται, ὁ τὴν ζωὴν πᾶσι χαριζόμενος· καὶ σίνδονι ἐλισσόμενος ἐν μνημείῳ τίθεται, ὁ τοὺς νεκροὺς ἐγείρων· καὶ τριήμερος ὑπὸ Πατρὸς ἀνίςαται, αὐτὸς ὢν ἡ ἀνάςασις καὶ ἡ ζωή. Ταῦτα γὰρ πάντα ἡμῖν κατώρθωσεν, ὃς δι' ἡμᾶς γέγονε καθ' ἡμᾶς. «Αὐτὸς γὰρ τὰς ἀσθενείας ἡμῶν ἀνεδέξατο καὶ τὰς νόσους ἐβάςασε» [3], καὶ περὶ ἡμῶν ὠδυνᾶτο, καθὼς εἶπεν Ἡσαΐας ὁ προφήτης· ὁ ὑπ' ἀγγέλων ὑμνούμενος καὶ ὑπὸ ποιμένων θεωρούμενος, καὶ ὑπὸ Συμεῶνος προσδοκώμενος, καὶ ὑπὸ Ἄννα μαρτυρούμενος. Οὗτος ἦν ὁ ζητούμενος ὑπὸ μάγων, καὶ σημαινόμενος ὑπ' ἀςέρος· ὁ καὶ ἐν οἴκῳ Πατρὸς πολιτευόμενος, καὶ ὑπὸ Ἰωάννου δακτυλοδεικτούμενος· ὁ ὑπὸ Πατρὸς ἄνωθεν μαρτυρούμενος· «οὗτός ἐςιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἀκούετε αὐτοῦ» [4]. Οὗτος ςεφανοῦται κατὰ διαβόλου [5]. Οὗτός ἐςιν Ἰησοῦς ὁ Ναζαραῖος ὁ ἐν Κανᾷ ἐν γάμοις κληθεὶς, καὶ τὸ ὕδωρ εἰς οἶνον μεταβαλὼν, καὶ θαλάσσῃ ὑπὸ βίας ἀνέμων κινουμένῃ ἐπιτιμῶν, καὶ ἐπὶ θαλάσσης περιπατῶν ὡς ἐπὶ ξηρᾶς γῆς, καὶ τυφλὸν ἐκ γενετῆς ὁρᾶν ποιῶν, καὶ νεκρὸν Λάζαρον τετραήμερον ἀνιςῶν, καὶ ποικίλας δυνάμεις ἀποτελῶν, καὶ ἁμαρτίας ἀφεὶς, καὶ ἐξουσίαν διδοὺς μαθηταῖς, καὶ αἷμα καὶ ὕδωρ ἐξ ἁγίας πλευρᾶς ῥεύσας, λόγχῃ νυγείς. Τούτου χάριν ἥλιος σκοτίζεται, ἡμέρα

---

[1] Ἱερατεύω или ἱερατεύομαι- священнодѣйствую. Здѣсь выражается мысль о призваніи І. Христа Богомъ отъ Каіафы, какъ первосвященника, согласно съ евангелистомъ Іоан. 11. 51, 52.

[2] Іоан. 10. 18. [3] Исаія 53. 9. [4] Мат. 17. 5.

[5] Т. е. увѣнчавается терновымъ вѣнцомъ въ знакъ побѣды надъ діаволомъ. Матѳ. 27. 29.

οὐ φωτίζεται, ῥήγνυνται πέτραι, σχίζεται καταπέτασμα, τὰ θεμέλια γῆς σείεται, ἀνοίγονται τάφοι καὶ ἐγείρονται νεκροὶ, καὶ ἄρχοντες καταισχύνονται, τὸν γὰρ κοσμήτορα τοῦ παντὸς ἐπὶ ςαυροῦ βλέποντες καμμύσαντα τὸν ὀφθαλμὸν καὶ παραδώσαντα τὸ πνεῦμα· ἰδοῦσα ἡ κτίσις ἐταράσσετο, καὶ τὴν αὐτοῦ ὑπερβάλλουσαν δόξαν χωρῆσαι οὐ δυναμένη ἐσκοτίζετο. Οὗτος ἐμφυσῶν δίδωσι τὸ Πνεῦμα μαθηταῖς, καὶ θυρῶν κεκλεισμένων εἰσέρχεται· καὶ βλεπόντων μαθητῶν ὑπὸ νεφέλης ἀναλαμβάνεται εἰς οὐρανοὺς, καὶ ἐκ δεξιῶν Πατρὸς καθίζεται, καὶ ζώντων καὶ νεκρῶν παραγίνεται κριτής. Οὗτος ὁ Θεὸς, ὁ ἄνθρωπος δι' ἡμᾶς γεγονὼς, ᾧ πάντα ὑπέταξε Πατήρ. Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος ἅμα Πατρὶ καὶ ἁγίῳ Πνεύματι, ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

---

## 2.

## ΤΟΥ ΑΓΙΟΥ ΙΠΠΟΛΥΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΚΑΙ ΜΑΡΤΥΡΟΣ ΛΟΓΟΣ ΕΙΣ ΤΑ ΑΓΙΑ ΘΕΟΦΑΝΕΙΑ [1]).

### Глав. 1—10.

1. Πάντα μὲν καλὰ, καὶ καλὰ λίαν τὰ τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν δημιουργήματα, ὅσα τε ὀφθαλμὸς ὁρᾷ, καὶ ὅσα ψυχὴ διανοεῖται, ὅσα τε λόγος ἑρμηνεύει, καὶ ὅσα χεὶρ περιςρέφει, ὅσα ἡ διάνοια περιέχει, καὶ ὅσα ἡ ἀνθρωπότης καταλαμβάνει. Τί γὰρ τοῦ οὐρανίου δίσκου πολυμορφώτερον κάλλος; τί δὲ τοῦ ἐπιγείου χωρίου πολυανθέςερον εἶδος; τί δὲ τοῦ ἡλιακοῦ ἅρματος ὀξυτικώτερον εἰς δρόμον, τί δὲ τοῦ σεληνιακοῦ ςοιχείου χαριέςερον ζεῦ-

---

[1]) Τὰ Θεοφάνεια—праздникъ Богоявленія Господня, иначе называемый Ἐπιφάνεια. Этотъ праздникъ въ первые три вѣка христіанства совершался въ воспоминаніе а) Рождества Христова, б) явленія необыкновенной звѣзды волхвамъ при рожденіи Спасителя, в) Крещенія Господня на Іорданѣ и г) проявленія божественной силы Спасителя въ первомъ чудѣ на бракѣ въ Канѣ Галилейской. Ios. Binghami Antiquit. Eccles. vol. IX. p. 67.

γος [1]); τί δὲ τοῦ πολυπηγήτου τῶν ἄςρων μουσίου [2]) ἀξιαγάςερον ἔργον; τί δὲ τῶν ἐπιτηδείων ἀνέμων πλουσιώτερον εἰς πρόσοδον; τί δὲ τοῦ ἡμερινοῦ φωτὸς ἀκηλιδώτερον ἔσοπτρον; τί δὲ τοῦ ἀνθρώπου ἐντιμότερον ζῶον; παντα μὲν οὖν καλὰ λίαν τὰ τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν δημιουργήματα. Τί δὲ καὶ τῆς τοῦ ὕδατος φύσεως ἀναγκαιότερον χάρισμα: πάντα γὰρ τοῖς ὕδασι καὶ λούεται, καὶ τρέφεται, καὶ καθαίρεται καὶ ἀρδεύεται. Ὕδωρ τὴν γῆν βαςάζει, ὕδωρ τὴν δρόσον τίκτει, τὴν ἄμπελον ἱλαρύνει· ὕδωρ τὸν ςάχυν τελεσφορεῖ, ὕδωρ τὸν βότρυν ἀπομφακίζει [3]), ὕδωρ ἔλαιον ἁπαλύνει, ὕδωρ τὸν φοίνικα γλυκαίνει, ὕδωρ τὸ ῥόδον ἐρυθραίνει, καὶ τὸ ἴον ἀνθίζει, ὕδωρ τὸ κρίνον λαμπροῖς τοῖς κάλλεσι τρέφει. Καὶ τί μακρολογῶ: ἄνευ τῆς τῶν ὑδάτων φύσεως οὐδὲν τῶν παρόντων συνίςαται· οὕτως ἡ τῶν υδάτων φύσις ἀναγκαία, ὅτι τὰ μὲν ἄλλα ςοιχεῖα ὑπὸ τῶν χαμαρωδεςάτων οὐρανῶν τὴν οἴκησιν ἔλαβεν· ἡ δὲ τῶν ὑδάτων φύσις καὶ ἐπάνω τῶν οὐρανῶν τὴν μονὴν ἐδέξατο. Καὶ τούτου μάρτυς αὐτὸς ὁ Προφήτης βοῶν· «αἰνεῖτε τὸν Κύριον οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ἐπάνω τῶν οὐρανῶν» [4]).

2. Οὐ μόνον δὲ τοῦτο τὴν ἀξιοπιςίαν τοῦ ὕδατος παρίςησιν, ἀλλὰ καὶ τὸ πάντων αἰδεσιμώτερον, ὅτι ὁ πάντων δημιουργὸς Χριςὸς, ὡς ὑετὸς κατῆλθε [5]), καὶ ὡς πηγὴ ἐγνώσθη [6]), καὶ ὡς ποταμὸς διεδόθη [7]), καὶ ἐν τῷ Ἰορδάνῃ ἐβαπτίσθη. Ἤκουες γὰρ ἀρτίως, πῶς ἐλθὼν ὁ Ἰησοῦς πρὸς τὸν Ἰωάννην ἐν τῷ Ἰορδάνῃ ἐβαπτίσθη ὑπ' αὐτοῦ [8]). Ὢ παραδόξων πραγμάτων· πῶς

---

[1]) По примѣру классическихъ писателей авторъ представляетъ здѣсь солнце и луну несущимися въ небесномъ пространствѣ на колесницахъ, запряженныхъ конями.

[2]) Μουσίον—мозаика, искусство посредствомъ сочетанія разноцвѣтныхъ кусковъ (πολυπήγητον—изъ πολυς и πήγνυμι) камней, стекла или финифти, составлять картины подобныя живописи. Искусство это было извѣстно въ глубокой древности (Евсип. 1. 7. Plin. XXXVI. 60). Названіе его производятъ съ большею вѣроятностію отъ Еврейскаго masach—смѣшивалъ. D. Augusti—Denkwürdigk. aus d. Christl. Archeologie. T. XII. p. 229. Leipz. 1831.

[3]) Ἀπομφακίζω, если употреблено вмѣсто πομφολύζω (отъ πομφός), то значитъ: наполняю влагою; если же составлено изъ ἀπὸ и φακὸς (пятно, затвердѣлость), то можетъ означать: освобождаю отъ жесткости.

[4]) Псал. 148. 4. [5]) Осія. 6. 3. [6]) Іоан. 4. 14. [7]) Іоан. 7. 37. [8]) Мат. 3. 13.

ὁ ἀπερίγραπτος ποταμὸς ὁ εὐφραίνων τὴν πόλιν τοῦ Θεοῦ [1]), ἐν ὀλίγῳ ὕδατι ἐλούετο; ἡ ἀκατάληπτος πηγή, ἡ ζωὴν βλαςάνουσα πᾶσιν ἀνθρώποις καὶ τέλος μὴ ἔχουσα, ὑπὸ πενιχρῶν καὶ προσκαίρων ὑδάτων ἐκαλύπτετο. Ὁ πανταχοῦ παρὼν καὶ μηδαμοῦ ἀπολιμπανόμενος, ὁ ἀκατάληπτος ἀγγέλοις καὶ ἀόρατος ἀνθρώποις, ἐπὶ τὸ βάπτισμα ἔρχεται, ὡς ηὐδόκησε. Ταῦτα ἀκούων, ἀγαπητέ, μὴ φυσικῶς ἐκλάμβανε τὰ λεγόμενα, ἀλλ᾽ οἰκονομικῶς δέχου τὰ παρατιθέμενα. Διὸ καὶ ὁ Κύριος τῇ φιλανθρωπίᾳ τῆς συγκαταβάσεως οὐκ ἔλαθε τὴν τῶν ὑδάτων φύσιν, ὅπερ ἐποίησεν ἐν κρυφῇ. «Εἶδον γάρ αὐτὸν τὰ ὕδατα, καὶ ἐφοβήθησαν [2])». Ἐξέςησαν μικροῦ δεῖν, καὶ τῆς ὁροθεσίας ἀπέφυγον. Ὅθεν ὁ Προφήτης ἐκ πολλῶν τῶν χρόνων τοῦτο θεωρήσας, ἐπερωτᾷ λέγων· «τί σοί ἐςι, θάλασσα, ὅτι ἔφυγες, καὶ σύ, Ἰορδάνη, ὅτι ἐςράφης εἰς τὰ ὀπίσω» [3]); αὐτὰ δὲ ἀποκριθέντα εἶπον· τὸν πάντων κτιςὴν ἐν μορφῇ δούλου εἴδομεν [4]), καὶ τὸ μυςήριον τῆς οἰκονομίας ἀγνοήσαντες, ἀπὸ τῆς δειλίας ἐλαυνόμεθα.

3. Νῦν δὲ γνόντες τὴν οἰκονομίαν, προσκυνοῦμεν αὐτοῦ τὴν εὐσπλαγχνίαν, ὅτι παραγέγονε σῶσαι καὶ οὐ κρῖναι τὴν οἰκουμένην. Ὅθεν Ἰωάννης ὁ τοῦ Κυρίου πρόδρομος ἀγνοήσας τοῦτο τὸ μυςήριον, καὶ μαθών, ὅτι ἀληθῶς ὁ Κύριός ἐςιν, ἐβόα λέγων τοῖς ἀπερχομένοις ὑπ᾽ αὐτοῦ βαπτισθῆναι· «γεννήματα ἐχιδνῶν», τί μοι σφοδρῶς ἀτενίζετε; «οὐκ εἰμὶ ἐγὼ ὁ Χριςός» [5])· ὑπηρέτης εἰμὶ καὶ οὐκ αὐθέντης· ἰδιώτης εἰμί, οὐ βασιλεύς· πρόβατόν εἰμι, οὐ ποιμήν· ἄνθρωπός εἰμι, οὐ Θεός. Στείρωσιν ἔλυσα μητρὸς γεννηθείς, οὐ παρθενίαν ἐςείρωσα. Ἐκ τῶν κάτωθεν ἀνεδόθην, ἐκ τῶν ἄνωθεν οὐ κατῆλθον. Πατρικὴν ἔδησα γλῶσσαν, οὐ θεϊκὴν ἥπλωσα χάριν. Ὑπὸ μητρὸς ἐγνώσθην, ὑπὸ ἀςέρος δὲ οὐκ ἐμηνύθην. Ἐγὼ εὐτελὴς καὶ ἐλάχιςος, ἔρχεται δὲ ὀπίσω μου, ὃς ἔμπροσθέν μού ἐςιν· ὀπίσω διὰ τὸν χρόνον, ἔμπροσθεν δὲ διὰ τὸ ἀπρόσιτον καὶ ἀνέκφραςον τῆς θεότητος φῶς. «Ἔρχεται ὁ ἰσχυρότερός μου, οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βαςάσαι, αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί» [6]). Ἐγὼ ὑπεξού-

[1]) Пс. 45. 5. [2]) Пс. 76. 17. [3]) Пс. 113. 5. [4]) Филип. 2. 7. [5]) Іоан. 1. 20 Мат. 3. 7. [6]) Мат. 3. 11.

σιος, αὐτὸς δὲ αὐτεξούσιος. Ἐγὼ ἁμαρτιῶν ἔνοχος, αὐτὸς δὲ ἁμαρτιῶν ἀφαιρέτης. Ἐγὼ τὸν νόμον παράπτω [1]), αὐτὸς δὲ τὴν χάριν φωταγωγεῖ. Ἐγὼ ὡς δοῦλος κατηχῶν, αὐτὸς δὲ ὡς δεσπότης κρίνων. Ἐγὼ τὸ ἔδαφος κλίνην ἔχω, αὐτὸς τὸν οὐρανὸν ἔχει. Ἐγὼ μετανοίας βαπτίζω βάπτισμα, αὐτὸς δὲ υἱοθεσίας δωρεῖται χάρισμα· αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί. Τί ἐμοὶ προσανέχετε; οὐκ εἰμὶ ἐγὼ ὁ Χριστός.

4. Ταῦτα τοῦ Ἰωάννου πρὸς τὸν ὄχλον λέγοντος καὶ τοῦ λαοῦ καραδοκοῦντος ξένον τι θέαμα τοῖς σωματικοῖς ὀφθαλμοῖς θεάσασθαι, καὶ τοῦ διαβόλου καταπληττομένου ἐπὶ τῇ τοσαύτῃ τοῦ Ἰωάννου μαρτυρίᾳ· ἰδοὺ ὁ Κύριος παραγίνεται λιτός, μόνος, γυμνός, ἀπροςάτευτος [2]), ἔνδυμα ἔχων τὸ ἀνθρώπινον σῶμα, κρύπτων δὲ τὸ τῆς θεότητος ἀξίωμα, ἵνα λάθῃ τοῦ δράκοντος τὸ πανούργημα. Καὶ οὐ μόνον ὡς Κύριος ἐκτὸς τῆς βασιλικῆς δορυφορίας πρὸς τὸν Ἰωάννην παραγέγονεν, ἀλλὰ καὶ ὡς ἄνθρωπος λιτὸς καὶ ὑπόχρεως ἁμαρτιῶν ἔκλινεν τὴν κεφαλὴν αὐτοῦ βαπτισθῆναι ὑπὸ Ἰωάννου. Ὅθεν ὁ Ἰωάννης θεασάμενος τὴν τοσαύτην ταπεινοφροσύνην, θαμβηθεὶς ἐπὶ τῷ πράγματι, ἤρξατο διακωλύειν αὐτὸν λέγων, καθὼς ἀρτίως ἠκούσατε· «ἐγὼ χρείαν ἔχω ὑπό σου βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με» [3]); τί ποιεῖς, ὦ Δέσποτα; ἀκανόνιςα δογματίζεις. Ἄλλα κατήγγειλα, καὶ ἄλλα μετέρχῃ· ἄλλα ἤκουσεν ὁ διάβολος, καὶ ἄλλα κατανοεῖ. Βάπτισόν με τῷ πυρὶ τῆς θεότητος· τί περιμένεις τὸ ὕδωρ; φώτισον τῷ Πνεύματι· τί προσανέχεις τῷ κτίσματι; βάπτισόν με τὸν βαπτιςήν, ἵνα γνωσθῇ σου ἡ ὑπεροχή. Ἐγώ, Δέσποτα, μετανοίας βαπτίζω βάπτισμα, καὶ τοὺς προσερχομένους πρός με ἀμήχανον βαπτίσαι, ἐὰν μὴ τὰς ἁμαρτίας αὐτῶν ἐξομολογήσωνται. Κείσθω ὅτι βαπτίζω σε, τί ἔχεις ἐξομολογήσασθαι; ἁμαρτιῶν ἀφαιρέτης ὑπάρχεις, καὶ τὸ τῆς μετανοίας θέλεις βαπτισθῆναι βάπτισμα; εἰ καὶ ἐγώ σε τολμήσω βαπτίσαι, ὁ Ἰορδάνης οὐ τολμᾷ πλη-

[1]) Παράπτω—въ смыслѣ: придерживаюсь.

[2]) Т. е. безъ сопровождающихъ лицъ, безъ служителей.

[3]) Мат. 3. 14.

σιάσαι. «Ἐγὼ χρείαν ἔχω ὑπὸ σου βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με;»

5. Τί οὖν ὁ Κύριος πρὸς αὐτόν; «ἄφες ἄρτι, οὕτως γὰρ πρέπον ἡμῖν ἐςι πληρῶσαι πᾶσαν δικαιοσύνην» [1]). Ἄφες ἄρτι, Ἰωάννη, οὐκ εἶ μου σοφώτερος. Σὺ ὡς ἄνθρωπος βλέπεις, ἐγὼ ὡς Θεὸς προγινώσκω. Πρῶτόν με δεῖ ποιῆσαι, καὶ οὕτως διδάξαι. Οὐδὲν ἀπρεπὲς μετέρχομαι, εὐπρέπειαν γὰρ περιβέβλημαι. Θαυμάζεις, ὦ Ἰωάννη, ὅτι οὐκ ἦλθον μετὰ τοῦ ἀξιώματός μου; ἰδιώτῃ μὲν γὰρ οὐ πρέπει βασιλικὴ ἀλουργὶς, βασιλεῖ δὲ πρέπει ςρατιωτικὸν σχῆμα [2])· πρὸς τύραννον ἦλθον, μὴ γὰρ πρὸς φίλον; ἄφες ἄρτι, οὕτως γὰρ πρέπον ἡμῖν ἐςι πᾶσαν δικαιοσύνην πληρῶσαι. Πληροτής εἰμι νόμου, οὐδὲν βούλομαι ἐλλιπὲς καταλεῖψαι εἰς πᾶν τὸ πλήρωμα, ἵνα μετ' ἐμὲ βοήσῃ ὁ Παῦλος· «πλήρωμα νόμου ὁ Χριςὸς εἰς δικαιοσύνην παντὶ τῷ πιςεύοντι» [3]). Ἄφες ἄρτι, οὕτως γὰρ πρέπον ἡμῖν ἐςι πληρῶσαι πᾶσαν δικαιοσύνην. Βάπτισόν με, Ἰωάννη, ἵνα μηδεὶς βαπτίσματος καταφρονήσῃ. Ὑπό σου τοῦ δούλου βαπτίζομαι, ἵνα μηδεὶς βασιλέων ἢ ὑπερεχόντων διαπτύσῃ ὑπὸ πενιχροῦ ἱερέως βαπτισθῆναι. Ἄφες ἐν τῷ Ἰορδάνῃ κατέλθω, ἵνα ἀκούσωσι τὴν πατρῴαν μαρτυρίαν, καὶ ἐπιγνώσωνται τὴν τοῦ Υἱοῦ δύναμιν. Ἄφες ἄρτι, οὕτως γὰρ πρέπον ἡμῖν ἐςι πληρῶσαι πᾶσαν δικαιοσύνην. Τότε λοιπὸν ἀφίησιν αὐτὸν ὁ Ἰωάννης, «καὶ βαπτισθεὶς ὁ Ἰησοῦς εὐθέως ἀνέβη ἀπὸ τοῦ ὕδατος· καὶ ἠνεῴχθησαν αὐτῷ οἱ οὐρανοὶ, καὶ ἰδοὺ τὸ Πνεῦμα τοῦ Θεοῦ κατέρχεται ἐν εἴδει περιςερᾶς, καὶ ἔμεινεν ἐπ' αὐτόν. Καὶ φωνὴ ἐκ τῶν οὐρανῶν λέγουσα· οὗτός ἐςιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα» [4]).

6. Ἴδες, ἀγαπητὲ, πόσων καὶ πηλίκων ἀγαθῶν ἐμέλλομεν ζημιοῦσθαι, εἰ εἶξεν ὁ Κύριος τῇ τοῦ Ἰωάννου παρακλήσει, καὶ παρῃτήσατο τὸ βάπτισμα: κεκλεισμένοι γὰρ ἦσαν πρὸ τούτου οἱ οὐρανοὶ, ἄβατον ἦν τὸ ἄνω χωρίον. Ἐν τοῖς κάτω κατείημεν, ἐν τοῖς ἄνω δὲ οὐκ ἀνίειμεν. Μόνον δὲ ὁ Δεσπότης ἐβαπτι-

---

[1]) Мат. 3. 15.

[2]) Т. е. видъ простаго воина.

[3]) Рим. 10. 4. [4]) Мат. 3. 16, 17.

σθη [1]); καὶ τὸν παλαιὸν ἄνθρωπον ἀνεκαίνισε, καὶ τὰ σκῆπτρα τῆς υἱοθεσίας αὐτῷ πάλιν ἐπίςευσεν. Εὐθέως γὰρ «ἠνεῴχθησαν αὐτῷ οἱ οὐρανοί.» Διαλλαγὴ γέγονε τῶν ὁρατῶν πρὸς τὰ ἀόρατα· ἐχαροποιήθησαν τὰ οὐράνια τάγματα, ἰάθη τὰ ἐπίγεια νοσήματα, ἐγνώσθη τὰ ἀπόρρητα πράγματα, ἐφιλιώθη τὰ ἐχθραίνοντα. Ἤκουες γὰρ τοῦ εὐαγγελιςοῦ λέγοντος· «ἠνεῴχθησαν αὐτῷ οἱ οὐρανοί» τριῶν παραδόξων χάριν. Τοῦ γὰρ νυμφίου Χριςοῦ βαπτιζομένου, ἔδει τὸν οὐράνιον θάλαμον τὰς λαμπροφόρους ἀνοῖξαι πύλας. Ὡσαύτως δὲ καὶ τοῦ ἁγίου Πνεύματος ἐν εἴδει περιςερᾶς κατιόντος, καὶ τῆς Πατρῴας φωνῆς πανταχοῦ διαδεδραμένης, ἔδει τὰς «ἐπουρανίους πύλας επηρμένας ὑπάρχειν» [2]). Καὶ ἰδοὺ ἠνεῴχθησαν αὐτῷ οἱ οὐρανοί. καὶ φωνὴ ἐγένετο, λέγουσα· «οὗτός ἐςιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα.»

7. Ἀγαπητὸς ἀγάπην γεννᾷ, [3]) καὶ φῶς ἄϋλον—φῶς ἀπρόσιτον. «Οὗτός ἐςιν ὁ Υἱός μου ὁ ἀγαπητὸς,» ὁ κάτω ἐπιφανεὶς καὶ τῶν πατρῴων κόλπων μὴ χωρισθεὶς, ἐπεφάνη, οὐκ ἐφάνη· ἄλλο γὰρ τὸ φανῆναι, ἐπειδὴ πρὸς τὸ φαινόμενον ὁ βαπτίζων τοῦ βαπτιζομένου προέχει. Τούτου ἕνεκεν ὁ Πατὴρ οὐρανόθεν τὸ ἅγιον Πνεῦμα ἐπὶ τὸν βαπτιζόμενον κατέπεμπεν. Ὥσπερ γὰρ ἐν τῇ κιβωτῷ τοῦ Νῶε διὰ περιςερᾶς μηνύεται ἡ φιλανθρωπία τοῦ Θεοῦ, οὕτως καὶ νῦν τὸ ἐν εἴδει περιςερᾶς κατελθὸν Πνεῦμα, ὡς καρπὸν ἐλαίας βαςάσαν, ἐπὶ τὸν μαρτυρούμενον κατέςη. Διὰ τί; ἵνα καὶ τῆς πατρῴας φωνῆς τὸ βέβαιον γνωρισθῇ, καὶ ἡ προφητικὴ πρόρρησις ἐκ πολλῶν τῶν χρόνων πιςωθῇ. Ποία αὕτη; «φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων, ὁ Θεὸς τῆς δόξης ἐβρόντησε, Κύριος ἐπὶ ὑδάτων πολλῶν» [4]). Ποία φωνή; «οὗτός ἐςιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα.» Οὗτός ἐςιν ὁ τοῦ Ἰωσὴφ ὀνομαζόμενος υἱὸς, καὶ ἐμὸς Μονογενὴς κατὰ τὴν θεϊκὴν οὐσίαν. «Οὗτός ἐςιν ὁ Υἱός μου ὁ ἀγαπητός»· ὁ πεινῶν, καὶ

---

[1]) Μόνον δέ—безъ знака вопроса можетъ означать: лишь только; а съ знакомъ вопроса значитъ: только ли? Слѣдуетъ отвѣтъ: нѣтъ, не только.

[2]) Пс. 23. 7.

[3]) Богъ, который есть любовь (Іоан. 4. 16), раждаетъ Сына, который есть также любовь.

[4]) Пс. 28. 3.

τρέφων μυριάδας· καὶ κοπιῶν, καὶ ἀναπαύων τοὺς κοπιῶντας· ὁ μὴ ἔχων ποῦ τὴν κεφαλὴν κλῖναι, καὶ πάντα ἐν τῇ χειρὶ βαςάζων· ὁ πάσχων, καὶ τὰ πάθη ἰώμενος· ὁ ῥαπιζόμενος, καὶ ἐλευθερίαν τῷ κόσμῳ δωρούμενος· ὁ τὴν πλευρὰν νυττόμενος, καὶ τὴν πλευρὰν τοῦ Ἀδὰμ διορθούμενος [1]).

8. Ἀλλὰ συντείνατέ μοι τὸν νοῦν, παρακαλῶ, μετὰ ἀκριβείας· βούλομαι γὰρ ἐπὶ τὴν πηγὴν τῆς ζωῆς ἀναδραμεῖν, καὶ θεάσασθαι τὴν πηγὴν τῶν ἰαμάτων πηγάζουσαν. Ὁ τῆς ἀθανασίας Πατὴρ τὸν ἀθάνατον Υἱὸν καὶ Λόγον ἀπέςειλεν εἰς τὸν κόσμον· ὃς ἀφικόμενος εἰς τὸν ἄνθρωπον, λούσασθαι ὕδατι καὶ Πνεύματι, καὶ ἀναγεννήσας πρὸς ἀφθαρσίαν ψυχῆς τε καὶ σώματος, ἐνεφύσησεν ἡμῖν πνεῦμα ζωῆς, περιαμφιάσας ἡμᾶς ἀφθάρτῳ πανοπλίᾳ. Εἰ οὖν ἀθάνατος γέγονεν ὁ ἄνθρωπος, ἔςαι καὶ Θεός [2]). Εἰ δὲ Θεὸς δι' ὕδατος καὶ Πνεύματος ἁγίου μετὰ τὴν τῆς κολυμβήθρας ἀναγέννησιν γίνεται, εὑρίσκεται καὶ συγκληρονόμος Χριςοῦ μετὰ τὴν ἐκ νεκρῶν ἀνάςασιν [3]). Διὸ κηρύσσω λέγων· δεῦτε, πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν, ἐπὶ τὴν τοῦ βαπτίσματος ἀθανασίαν· ζωὴν ὑμῖν εὐαγγελίζομαι. τοῖς ἐν τῷ ζόφῳ τῆς ἀγνωσίας ἐνδιατρίβουσι. Δεῦτε εἰς ἐλευθερίαν ἐκ δουλείας, εἰς βασιλείαν ἐκ τυραννίδος, εἰς ἀφθαρσίαν ἐκ τῆς φθορᾶς. Καὶ πῶς, φησι, ἐλευσόμεθα; πῶς; δι' ὕδατος καὶ ἁγίου Πνεύματος. Τοῦτο δέ ἐςι τὸ ὕδωρ τὸ Πνεύματι κοινωνοῦν, δι' οὗ παράδεισος ποτίζεται, δι' οὗ ἡ γῆ πιαίνεται, δι' οὗ φυτὸν αὔξει, δι' οὗ ζῶα τεκνογονεῖ, καὶ ἵνα πάντα συνελὼν εἴπω, δι' οὗ ἀναγεννώμενος ζωογονεῖται ἄνθρωπος, ἐν ᾧ καὶ ὁ Χριςὸς ἐβαπτίσατο, ἐν ᾧ καὶ τὸ Πνεῦμα κατήρχετο ἐν εἴδει περιςερᾶς.

9. Τοῦτο δέ ἐςι τὸ Πνεῦμα, τὸ ἀπ' ἀρχῆς «ἐπιφερόμενον ἐπάνω τῶν ὑδάτων» [4])· δι' οὗ κόσμος κινεῖται, δι' οὗ κτίσις ἵςαται καὶ τὰ σύμπαντα ζωογονεῖται· τὸ ἐν προφήταις ἐνεργῆσαν, τὸ ἐπὶ Χριςὸν καταπτάν. Τοῦτό ἐςι τὸ Πνεῦμα τὸ δοθὲν τοῖς ἀποςόλοις ἐν εἴδει πυρίνων γλωσσῶν. Τοῦτο τὸ Πνεῦμα ἐζήτει Δαβὶδ λέγων· «καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ

---

[1]) Т. е. избавилъ родъ человѣческiй отъ грѣха, котораго виновницею была жена, сотворенная изъ ребра Адамова.

[2]) 2 Петр. 1. 4. [3]) Рим. 8. 17. [4]) Быт. 1. 2.

πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου» [1]). Περὶ τούτου καὶ Γαβριὴλ ἔλεγε τῇ παρθένῳ· «πνεῦμα ἅγιον ἐπελεύσεται ἐπί σε, καὶ δύναμις Ὑψίςου ἐπισκιάσει σοι» [2]). Διὰ τούτου τοῦ Πνεύματος Πέτρος ἐφθέγξατο τὴν μακαρίαν ἐκείνην φωνήν· «σὺ εἶ ὁ Χριςὸς ὁ Υἱὸς τοῦ Θεοῦ ζῶντος» [3]). Διὰ τούτου τοῦ Πνεύματος ἐςερεώθη ἡ πέτρα τῆς Ἐκκλησίας. Τοῦτό ἐςι τὸ Πνεῦμα, ὁ Παράκλητος, τὸ διά σε πεμπόμενον, ἵνα δείξῃ σε τέκνον Θεοῦ.

10. Δεῦρο τοίνυν, ἀναγεννήθητι, ἄνθρωπε, εἰς υἱοθεσίαν Θεοῦ. Καὶ πῶς; φησιν· ἐὰν μηκέτι μοιχεύσῃς, μηδὲ φονεύσῃς, μηδὲ εἰδωλολατρεύσῃς· ἐὰν μὴ κρατηθῇς ὑφ᾽ ἡδονῆς, ἐὰν μὴ πάθος ὑπερηφανίας κυριεύσῃ σου· ἐὰν ἀποξέσῃς τὸν ῥύπον τῆς ἀκαθαρσίας, καὶ ἀπεῤῥίψῃς τὸ φορτίον τῆς ἁμαρτίας· ἐὰν ἀποδύσῃ τὴν πανοπλίαν τοῦ διαβόλου, καὶ ἐνδύσῃ τὸν θώρακα τῆς πίςεως, καθώς φησιν Ἡσαΐας· «λούσασθε καὶ ζητήσατε κρίσιν, ῥύσασθε ἀδικούμενον, κρίνατε ὀρφανῷ, καὶ δικαιώσατε χήραν. Καὶ δεῦτε καὶ διαλεχθῶμεν, λέγει Κύριος. Καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡσεὶ ἔριον λευκανῶ. Καὶ ἐὰν θέλητε καὶ τῆς φωνῆς μου ἀκούσητε, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε» [4]). Ἴδες, ἀγαπητέ, πῶς προεῖπεν ὁ προφήτης τὸ τοῦ βαπτίσματος καθάρσιον; ὁ γὰρ καταβαίνων μετὰ πίςεως εἰς τὸ τῆς ἀναγεννήσεως λουτρὸν διατάσσεται [5]) τῷ πονηρῷ, συντάσσεται δὲ τῷ Χριςῷ· ἀπαρνεῖται τὸν ἐχθρόν, ὁμολογεῖ δὲ τὸ Θεὸν εἶναι τὸν Χριςόν· ἀποδύεται τὴν δουλείαν, ἐνδύεται δὲ τὴν υἱοθεσίαν· ἀνέρχεται ἀπὸ τοῦ βαπτίσματος λαμπρὸς ὡς ὁ ἥλιος, ἀπαςράπτων τὰς τῆς δικαιοσύνης ἀκτῖνας· τὸ δὲ μέγιςον, ἄνεισιν υἱὸς Θεοῦ καὶ συγκληρονόμος Χριςοῦ. Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

[1]) Пс. 50. 12. [2]) Лук 1. 35. [3]) Мат. 16. 16. [4]) Ис. 1. 16—19.

[5]) Διατάσσομαι въ смыслѣ: вооружаюсь, иду войною противъ когонибудь.

## VI.

# СВ. МЕѲОДІЙ ЕПИСКОПЪ ПАТАРСКІЙ.

Св. Меѳодій, жившій въ 3-мъ и въ началѣ 4-го вѣка христіанства, принадлежитъ къ такимъ Отцамъ Церкви, которыхъ высота ученія и святость жизни пріобрѣли имъ великое уваженіе не только отъ православныхъ христіанъ, но и отступниковъ отъ православной Церкви—еретиковъ. Древніе писатели, свидѣтельствуя о многостороннемъ просвѣщеніи и мудрости его, благотворной дѣятельности въ утвержденіи и защищеніи вѣры Христовой и славныхъ подвигахъ мученичества, вообще отзываются о немъ съ высокими похвалами.

Въ свидѣтельствахъ древности св. Меѳодій называется Епископомъ не только Патарскимъ, но и Олимпійскимъ и Тирскимъ; потому что, занимая въ концѣ жизни своей каѳедру Епископа Тирскаго, прежде того онъ былъ Епископомъ Патаръ, древнѣйшаго города Ликіи въ Малой Азіи, и вмѣстѣ небольшаго селенія Олимпа, стоявшаго на отлогостяхъ ликійской горы Олимпа. Въ финикійскомъ городѣ Тирѣ, просвѣщенномъ христіанскою вѣрою еще во времена апостольскія, промыслъ Божій судилъ святительствовать св. Меѳодію въ то время, когда послѣднее и жесточайшее гоненіе на христіанъ, начатое императоромъ Діоклитіаномъ (съ 303 г.) и продолженное преемниками его власти на востокѣ Галеріемъ и Максиминомъ (до 312 г.), причиняло и пастырямъ и пасомымъ ужаснѣйшія бѣдствія; но со стороны христіанства всюду выступали

новые доблестные поборники его и скорѣе жертвовали жизнію своею, нежели отказывались отъ содержимаго ими вѣроученія; а во главѣ Тирской церкви, прославившейся въ то время особенною твердостію въ вѣрѣ. стоялъ св. Меѳодій до тѣхъ поръ, доколѣ и самъ, по любви къ Господу и для назиданія пасомыхъ, не запечатлѣлъ свою вѣру мученическимъ подвигомъ. Впрочемъ дѣятельность этого пастыря въ санѣ Епископа среди тяжкихъ обстоятельствъ Церкви не изложена въ какомъ-либо письменномъ памятникѣ, равно какъ до насъ не дошло почти никакихъ свѣдѣній и о всѣхъ обстоятельствахъ его жизни, предшествовавшихъ епископству, наприм. о мѣстѣ и годѣ его рожденія. мѣстѣ воспитанія, времени вступленія въ служеніе Церкви и проч. Мученическая же кончина его послѣдовала въ глубокой его старости въ концѣ Діоклитіанова гоненія, не раньше 310 и не позже 312 года по Р. Х., въ сирійскомъ городѣ Халкидѣ, лежащемъ въ странѣ сосѣдней съ Финикіею. Память его празднуется въ восточной церкви 20 Іюня.

Писатели всѣхъ вѣковъ изъ восточныхъ и западныхъ областей христіанской Церкви, упоминавшіе о св. Меѳодіѣ, свидѣтельствуя о святости жизни и мученическихъ подвигахъ его. вмѣстѣ съ тѣмъ превозносятъ похвалами его глубокую ученость, блестящее краснорѣчіе и искуство писать о высокихъ истинахъ христіанства. Творенія его даже въ томъ неполномъ видѣ, въ какомъ многія изъ нихъ дошли до насъ, совершенно оправдываютъ превосходныя похвалы знаменитому ихъ автору. Они дѣйствительно отличаются съ одной стороны діалектическою тонкостію въ разсужденіяхъ, блистательнымъ краснорѣчіемъ и обширнымъ знакомствомъ съ лучшими писателями языческаго міра, а съ другой стороны христіанскою мудростію и глубокимъ знаніемъ св. Писанія, и по многостороннему

содержанію своему показываютъ въ этомъ Святителѣ и превосходнаго проповѣдника христіанской нравственности, особенно высокой идеи христіанскаго дѣвства, и твердаго защитника догматовъ православной вѣры противъ еретиковъ и язычниковъ, и глубокаго толкователя св. Писанія. Главнѣйшія изъ нихъ суть слѣдующія: 1) *Пиръ десяти дѣвъ* или *о дѣвствѣ*, весьма значительное по объему разсужденіе, написанное въ видѣ разговора между десятью дѣвами, изъ которыхъ каждая, одна за другою, говоритъ болѣе или менѣе продолжительную рѣчь въ похвалу дѣвственной жизни. Изъ предлагаемыхъ въ настоящемъ сборникѣ двухъ рѣчей ихъ можно видѣть, какими превосходными мыслями просвѣщеннаго разума о высокомъ достоинствѣ дѣвства, подкрѣпленными свидѣтельствами Слова Божія, наполнено это сочиненіе, и какимъ изящнымъ изложеніемъ, обогащеннымъ всѣми красотами греческой словесности, облечены прекрасныя мысли писателя; 2) Два слова—*о Симеонѣ и Аннѣ* и *въ недѣлю Ваій*—образцы церковнаго краснорѣчія древняго христіанскаго проповѣдника; 3) Направленныя противъ еретиковъ сочиненія *о свободѣ воли* и *о воскресеніи*, первое противъ Валентиніанъ, продолжавшихъ распространять въ 3 вѣкѣ ученіе Валентина о томъ, что матерія или вещество есть совѣчное Богу начало міра и что все зло происходитъ отъ этой матеріи, а второе противъ послѣдователей Оригена, знаменитаго учителя и писателя 3-го вѣка, отвергавшихъ между прочимъ будущее воскресеніе человѣческихъ тѣлъ. Предлагаемый изъ втораго сочиненія отрывокъ ясно показываетъ мудрость, основательность и искуство, съ какими св. Отецъ опровергалъ возраженія еретиковъ и защищалъ православное ученіе о воскресеніи мертвыхъ. Къ этому же разряду твореній Святителя относятся также не вполнѣ дошедшія до насъ сочиненія *о*

*сотворенномъ* и *противъ Порфирія,* ученаго язычника 3-го вѣка, писавшаго противъ христіанства; 4) Толкованія на разныя книги св. Писанія, впрочемъ большею частію доселѣ извѣстныя только по однимъ заглавіямъ (см. ученіе объ Отцахъ Цер. Т. I. стр. 142—150. Также: св. Меѳодій, Епископъ и мученикъ, Отецъ церкви III вѣка. Полное собраніе его твореній въ русскомъ переводѣ. Спб. 1877).

Лучшія и новѣйшія изданія твореній св. Меѳодія въ греческомъ подлинникѣ сдѣлали:

1. Andr. Gallandius въ Bibliotheka veterum Patrum. Wenet. 1755. и съ дополненіями. Wenet. 1781. T. III.

2. I. P. Migne — въ Patrologiae Curs. complet. Ser. graec. T. XVIII. Paris. 1857.

3. Alb. Iahnius подъ заглавіемъ: S. Methodii opera. Halis Saxonum, 1865.

Текстъ статей св. Меѳодія заимствованъ изъ послѣдняго изданія.

---

## 1.

## ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΜΕΘΟΔΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΚΑΙ ΜΑΡΤΥΡΟΣ ΣΥΜΠΟΣΙΟΝ Η ΠΕΡΙ ΑΓΝΕΙΑΣ.

*Λογος α.*

Μαρκέλλα [1]).

### Глав. 1—5.

1. Μεγάλη τίς ἐςιν ὑπερφυῶς και θαυμαςὴ καὶ ἔνδοξος ἡ παρθενία, και εἰ χρὴ φανερῶς εἰπεῖν ἑπομένην ταῖς ἁγίαις γραφαῖς, τὸ οὖθαρ τῆς ἀφθαρσίας καὶ τὸ ἄνθος καὶ ἡ ἀπαρχὴ αὐτῆς·

---

[1]) Маркелла—одна изъ десяти дѣвъ, принимавшихъ участіе въ разговорѣ о дѣвственной жизни.

τοῦτο τὸ ἄριςον καὶ κάλλιςον ἐπιτήδευμα μόνον τυγχάνει· καὶ διὰ ταῦτα καὶ ὁ Κύριος εἰς τὴν βασιλείαν εἰσελάσαι τῶν οὐρανῶν τοὺς ἀποπαρθενεύσαντας σφᾶς αὐτοὺς ἐπαγγέλλεται, ἔνθα περὶ διαφορᾶς εὐνουχισμῶν ἐν εὐαγγελίοις παρεγγυᾷ [1])· σπάνιον γὰρ πάνυ καὶ δυσεπίτευκτον ἀνθρώποις ἁγνεία, καὶ ὅσῳ κορυφαιότατον καὶ μεγαλοπρεπὲς, τοσούτῳ καὶ τοὺς κινδύνους μείζονας ἔχον. Δεῖται οὖν ἐῤῥωμένων καὶ γενναίων φύσεων, αἵτινες ἀθρόως τῆς ἡδυπαθείας τὸ ῥεῦμα ὑπερπτάμεναι ἄνω μετέωρον ἀπευθύνουσι τὸ ὄχημα [2]) τῆς ψυχῆς, μὴ ἀπολήγουσαι τοῦ σκοποῦ, ἔς ἂν [3]) ὑπερπηδήσασαι κούφως τὸν κόσμον ὀξυτάτῳ διανοίας τάχει, καὶ ἐπὶ τὴν οὐράνιον ἀληθῶς ἀψῖδα ςαθεῖσαι, αὐτὴν εἰλικρινῶς θεάσωνται τὴν ἀφθαρσίαν, ἀπὸ τῶν ἀμιάντων τοῦ παντοκράτορος ἀναπηδῶσαν κόλπων. Τοῦτο τὸ πόμα γεννᾶν οὐκ ἐχώρησε γῆ· μόνος αὐτὸ πηγάζειν οἶδεν ὁ οὐρανός· παρθενίαν γὰρ βαίνειν μὲν ἐπὶ γῆς, ἐπιψαύειν δὲ τῶν οὐρανῶν ἡγητέον· ἧς δὴ ἐφιέμενοι καὶ πρὸς μόνον τὸ τέλος αὐτῆς ἀφορῶντές τινες, ἀνίπτοις ποσὶν [4]) ἀτελεῖς ὑπὸ βαναυσίας προσελθόντες, ἐκ μέσης ἀνέκαμψαν ὁδοῦ, οὐδὲν ἄξιον φρόνημα τοῦ ἐπιτηδεύματος ἐπανηρημένοι· οὐ γὰρ μόνον ἄφθορα τὰ σώματα τηρεῖσθαι δεῖ, ὥσπερ οὐδὲ τοὺς ναοὺς κρείττονας ἀποφαίνεσθαι τῶν ἀγαλμάτων, ἀλλὰ τὰς ψυχὰς ἀγάλματα τῶν σωμάτων οὔσας θεραπεύεσθαι χρὴ κοσμουμένας δικαιοσύνῃ· θεραπεύονται δὲ καὶ ἀποσμήχονται τότε μᾶλλον, ὁπόταν ἀόκνως κατακούειν τῶν θείων ἁμιλλώμεναι λόγων μὴ ἀπολήγωσι, πρὶν αὐτοῦ ἐφάψασθαι ὃ ἐςιν ἀληθὲς, ἐπὶ σοφῶν ἀφικνούμεναι θύρας [5]). Ὥσπερ γὰρ ἅλατι τῶν κρεῶν οἱ ἰχῶρες ἐκτήκονται καὶ αἱ σηπεδόνες καὶ πάντα τὰ φθοροποιὰ, τὸν αὐτὸν δὴ τρόπον καὶ τῆς παρθένου αἱ ἄλογοι πᾶσαι τοῖς μαθήμασιν ἀποςύφονται τοῦ

---

[1]) Мато. 19. 12.

[2]) Ὄχημα—колесница—не означаетъ здѣсь ни тѣла, ни другой какой-нибудь вещественной оболочки души, но есть образное выраженіе полета души къ небу.

[3]) Ἔς ἂν—до тѣхъ поръ, пока.

[4]) Ἀνίπτοις ποσὶ—неумытыми ногами.—греческая пословица, означающая: безъ надлежащаго приготовленія, недостойно, ἀμαθῶς. См. Corpus paroemiographorum graecorum, edid. Lud. a Leutsch. T. II. Gotting. 1851.

[5]) Сирах. 6. 36.

σώματος ἐπιθυμίαι· ἀνάγκη γὰρ τὴν μὴ πασσομένην δίκην ἅλατος τοῦ Χριστοῦ ταῖς φωναῖς ψυχὴν ἐπόζειν καὶ σκώληκας γεννᾶν, ὥσπερ ἀμέλει «ἐπώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου» [1], μετὰ δακρύων ἐξομολογούμενος ὁ Δαβὶδ ἐν τοῖς ὄρεσιν ἔκραζεν ὁ βασιλεὺς, ὅτι μὴ ἀπέσυψεν ἁλίσας τοῖς σωφρονισμοῖς ἑαυτὸν, ἀλλὰ ῥαθυμήσας εἰς οἶστρον ὑπεσύρη καὶ ἐξώζεσε μοιχείαν· ταύτῃ πᾶν δῶρον ἐν τῷ Λευϊτικῷ, ἐὰν μὴ ἅλατι ἁλισθῇ, ἀπαγορεύεται εἰς ὁλοκάρπωμα προσφέρεσθαι Κυρίῳ τῷ Θεῷ [2]. Ἅλας δὲ ἡμῖν τὸ δηκτικὸν πρὸς ὠφέλειαν ἀποσῦφον ἡ πνευματικὴ πᾶσα τῶν γραφῶν ἐδόθη μελέτη, ἧς δὴ χωρὶς ἀδύνατον τῷ παντοκράτορι διὰ τοῦ λόγου προσενεχθῆναι ψυχήν· «ὑμεῖς» γὰρ «ἐστε τὸ ἅλας τῆς γῆς», ὁ Κύριος ἔφη τοῖς ἀποστόλοις [3]. Χρὴ οὖν τὴν παρθένον ἀεὶ τῶν καλῶν ἐρᾶν καὶ τοῖς πρωτεύουσιν εἰς σοφίαν ἐμπρέπειν, καὶ μηδὲν ῥᾴθυμον μηδὲ μαλθακὸν ἔχειν, ἀλλ' ἀριστεύειν καὶ ἄξια τῆς παρθενίας φρονεῖν, ἀποσμήχουσαν τῷ λόγῳ τοὺς ἰχῶρας ἀεὶ τῆς ἡδυπαθείας, μή πως λαθοῦσα βραχεῖα σηπεδὼν γεννήσῃ τὸν σκώληκα τῆς ἀκολασίας· «ἡ» γὰρ «ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου, πῶς ἀρέσῃ τῷ Κυρίῳ, ἵνα ᾖ ἁγία καὶ σώματι καὶ πνεύματι» [4], φησὶν ὁ μακάριος Παῦλος. Πολλαὶ δὲ πάρεργον ἡγούμεναι τὴν ἀκρόασιν νομίζουσι χαρίζεσθαι μεγάλα, ἐὰν κἂν τὸ βραχὺ παράσχωσι τὰς ἀκοάς· ἃς ἐκκριτέον· μικρολόγῳ γὰρ φύσει καὶ ταπεινῇ καὶ ἐπιμορφαζομένῃ σοφίαν οὐ χρὴ μαθημάτων θείων κοινωνεῖν· ἢ γὰρ οὐ γελοῖον ἐκείναις ἀδολεσχεῖν, αἵτινες ἐπὶ μὲν τοῖς μικροῦ ἀξίοις πάντα ποιεῖν συντείνονται, ὅπως ἀκριβέστατα ἕξουσι τὰ τελεσιουργούμενα, ἐπὶ δὲ τῶν ἀναγκαίων, δι' ὧν μᾶλλον αὐταῖς ὁ τῆς σωφροσύνης ἔρως αὔξεται, μὴ μεγίστας ἡγεῖσθαι τὰς ἀκριβείας;

**2.** Μεγάλη γὰρ ἀληθῶς ὑπερβολῇ τὸ τῆς παρθενίας ἀνθρώποις ἀπ' οὐρανῶν κατεπέμφθη φυτὸν, καὶ διὰ τοῦτο ταῖς πρώταις οὐκ ἀπεκαλύφθη γενεαῖς· ἔτι γὰρ ὁ ἄνθρωπος ὀλιγοστὸς ἦν, καὶ ἐχρῆν αὐτὸν εἰς πλῆθος πρῶτον αὐξήσαντα τελειωθῆναι· διὸ δὴ καὶ τὰς σφετέρας ἀδελφὰς οἱ παλαιοὶ λαμβάνοντες γυναῖκας οὐδὲν ἠσχημόνουν, μέχρι νόμος ἐλθὼν διεστείλατο καὶ τὸ πρῶτον

[1] Пс. 37. 6. [2] Лев. 2. 13. [3] Мат. 5. 13. [4] 1 Кор. 7. 34.

δοκοῦν εἶναι καλὸν ἀπαγορεύσας ἁμαρτίαν ἀπεφήνατο, «ἐπικατάρατον» καλῶν «τὸν ἀποκαλύπτοντα τὴν ἀσχημοσύνην τῆς ἀδελφῆς αὐτοῦ» [1]), τοῦ Θεοῦ κατὰ καιρὸν τὴν ἁρμόζουσαν ἡμῶν τῷ γένει σπουδαίως προςφέροντος βοήθειαν, ὥσπερ δὴ καὶ οἱ πατέρες τοῖς υἱοῖς· οὐ γὰρ εὐθέως ἄνωθεν ἐπιτατοῦσι τοὺς παιδαγωγούς, ἀλλὰ τὴν παιδικὴν ἡλικίαν ἐάσαντες ἀθύρεσθαι μοσχαρίων δίκην, πρῶτον εἰς [2]) διδασκάλων συμψελλιζόντων ἀποςέλλουσιν, ἕς ἂν ἀποβαλόντες τὴν μειρακιώδη τρίχα [3]) τοῦ νοῦ εἰς τὴν τῶν μειζόνων ἄσκησιν παραπεμφθῶσι κἀκεῖθεν αὖθις εἰς τὴν τῶν ἔτι μειζόνων. Ταύτῃ γὰρ καὶ τὸν Θεὸν καὶ πατέρα τῶν ὅλων ἡγητέον προσηνέχθαι τοῖς πρὸ ἡμῶν· ἔτι γὰρ ὁ κόσμος ἀνθρώπων ἀπλήρωτος ὢν ὡς νήπιος ἦν, καὶ ἐχρῆν αὐτὸν εἰς πλῆθος πρότερον ἐκ τούτων ἀνδρωθέντα πληθυνθῆναι· ἀλλ᾿ ὅτε λοιπὸν ἀπὸ περάτων ἐπὶ πέρατα κατῳκίσθη τῆς ἀνθρωπότητος εἰς ἄπειρον κεχυμένης, οὐκ ἔτι τοῖς αὐτοῖς ἐπιμένειν τὸν ἄνθρωπον ἐπέτρεπεν ὁ Θεός, σκοπῶν ὅπως ἀπὸ τῶνδε εἰς τάδε μεταβαίνοντες πλησιαίτερον προκόπτωσιν ἔρχεσθαι τῶν οὐρανῶν, μέχρις ἂν εἰς αὐτὸ τὸ μέγιςον μάθημα καὶ κορυφαιότατον τῆς παρθενίας φθάσαντες τελειωθῶσιν, ἀπὸ τῆς ἀδελφομιξίας ὁδεύσαντες πρῶτον εἰς τὸ ὀθνείας ἐπάγεσθαι γαμετάς, κἀκεῖθεν εἰς τὸ μηκέτι πολλαῖς ἐπιβαίνειν τετραπόδων νόμῳ, κἀντεῦθεν εἰς τὸ μὴ μοιχοὺς γεγονέναι, καὶ αὖ πάλιν εἰς σωφροσύνην, καὶ ἀπὸ σωφροσύνης εἰς παρθενίαν, ἔνθα μελετήσαντες τῆς σαρκὸς ὑπερφρονεῖν εἰς τὸν τῆς ἀφθαρσίας εὔδιον ἀφόβως ἐνορμίζονται χῶρον.

**3.** Εἰ δέ τις ὡς ἀμάρτυρον τῶν γραφῶν αἰτιάσασθαι τολμήσαι τὸν λόγον, φέρε δὴ παραθέντες καὶ τὰ τῶν προφητῶν ἀληθέςερα μᾶλλον ἀποδείξωμεν τὰ προειρημένα. Ὁ γοῦν Ἀβραὰμ πρῶτος ἐν διαθήκῃ τὴν περιτομὴν λαβὼν οὐδὲν ἕτερον αἰνίττεσθαι δοκεῖ, τὸ οἰκεῖον περιτεμνόμενος τῆς σαρκὸς αὐτοῦ μέλος,

---

[1]) Левит. 18. 9; 20. 17.

[2]) Предлогъ εἰς, когда за нимъ слѣдуетъ родительный пад. имени существительнаго, какъ у классическихъ писателей, такъ и здѣсь, относится къ подразумѣваемымъ: δόμον, οἶκον или ναόν.

[3]) Τὴν μειρακιώδη τρίχα ἀποβάλλειν—сбросить юношескіе волосы—греческая пословица, означающая: сдѣлаться возмужалымъ, вступить въ зрѣлый и здравомыслящій возрастъ.

ἢ τοῦτο, τὸ μηκέτι εἰς τὴν ἐκ τοῦ αὐτοῦ αἵματος σάρκα δημιουργηθεῖσαν παιδοσπορεῖν, ἀπὸ τῆς ἰδίας ἕκαςον διδάσκων ἀδελφῆς οἷα σαρκὸς ἀποτέμνειν τὴν κατὰ συνουσίαν ἡδονήν· ὥςε τὸ πλησιάζειν καὶ ὁμεύναις χρῆσθαι ταῖς σφῶν ἀδελφαῖς ἀπὸ τῶν τοῦ Ἀβραὰμ πέπαυται καιρῶν· τὸ δὲ πλειόνων συναλλαγαῖς ἁρμόζεσθαι γυναικῶν ἀπὸ τῶν προφητικῶν ἀνῄρηται χρόνων· «ὀπίσω» γὰρ «σου τῶν ἐπιθυμιῶν μὴ πορευθῆς, καὶ ἀπὸ τῶν ὀρέξεών σου κωλύου»· «οἶνος» γὰρ «καὶ γυναῖκες ἀποςήσουσι συνετούς» [1]· καὶ ἐν ἑτέρῳ· «ἡ πηγή σου τοῦ ὕδατος ἔςω σοι ἰδία, καὶ συνευφραίνου μετὰ γυναικὸς τῆς ἐκ νεότητός σου», δηλονότι παραιτούμενος τὰς πολλάς [2]· ὁ δὲ Ἱερεμίας «ἵππους θηλυμανεῖς» ἀναφανδὸν τοὺς εἰς διαφόρους μαργῶντας γυναῖκας καλεῖ [3]· «πολύγονον» γάρ, φησιν, «ἀσεβῶν πλῆθος οὐ χρησιμεύσει, καὶ ἐκ νόθων μοσχευμάτων οὐ δώσει ῥίζαν εἰς βάθος» [4]. Ἀλλὰ γὰρ ἵνα μὴ μακρηγορῶμεν ἐπὶ πολὺ τὰς προφητικὰς ἀναλεγόμενοι φωνάς, φέρε δὴ συςήσωμεν πάλιν, ὅπως διαδέχεται τὴν ἐπὶ μιᾷ γυναικὶ συναλλαγὴν ἡ σωφροσύνη, μέχρις ἂν ἐκλύσῃ τελείως τὴν ἐκ τοῦ ἔθους ἐπὶ τὴν συνουσίαν καταφοράν, πρὸς ὀλίγον ἀφαιρουμένη τὰς τῆς σαρκὸς ἡδυπαθείας· αὐτίκα γοῦν εἰσάγεταί τις ἐμφανῶς ἤδη λοιπὸν παραιτούμενος τουτονὶ τὸν περισπασμόν, «Κύριε», λέγων, «πάτερ καὶ δέσποτα τῆς ζωῆς μου, μὴ ἐγκαταλίπῃς με ἐν βουλῇ αὐτῶν· μετεωρισμὸν ὀφθαλμῶν ἄφελε ἀπ' ἐμοῦ· καρδίας ὄρεξις καὶ συνουσιασμὸς μὴ καταλαβέτωσάν με» [5]· καὶ ἐν τῇ πανάρέτῳ δὲ Σοφίᾳ γυμνῶς ἤδη τοὺς ἀκροατὰς εἰς ἐγκράτειαν ἐφελκόμενον καὶ σωφροσύνην τὸ πνεῦμα τὸ ἅγιον τοιαῦτα μελῳδεῖ, «κρεῖσσον ἀτεκνία μετ' ἀρετῆς» κεκραγός· » ἀθανασία γάρ ἐςιν ἐν μνήμῃ αὐτῆς, ὅτι καὶ παρὰ Θεῷ γινώσκεται καὶ παρὰ ἀνθρώποις, παροῦσάν τε τιμῶσιν αὐτὴν καὶ ποθοῦσιν ἀπελθοῦσαν, καὶ ἐν τῷ αἰῶνι στεφανηφοροῦσα πομπεύει, τὸν τῶν ἀμιάντων ἄθλων ἀγῶνα νικήσασα» [6].

4. Περὶ μὲν οὖν τῶν καιρῶν τῆς ἀνθρωπότητος, ὅπως ἀρξαμένη ἀπὸ τῆς ἀδελφομιξίας ὥδευσεν ἐπὶ τὴν ἐγκράτειαν, εἴρηται·

---

[1]) Сирах. 18. 30; 19. 2. [2]) Прит. 5. 18. [3]) Iep. 5. 8. [4]) Прем. 4. 3.
[5]) Сир. 23. 1—5. [6]) Прем. 4. 1. 2.

περὶ δὲ παρθενίας λείπεται· ὅσον οὖν δυνατὸν, πειρατέον φράσαι. Καὶ πρῶτον ἐξεταστέον, δι' τὴν αἰτίαν πολλῶν πατριαρχῶν καὶ πολλῶν προφητῶν καὶ δικαίων πολλὰ καὶ καλὰ διδαξάντων καὶ ἐργασαμένων παρθενίαν οὐδεὶς οὔτε ἐνεκωμίασεν οὔτε εἵλετο. Μόνῳ γὰρ ἄρα ἐφυλάσσετο τοῦτο πρεσβεῦσαι τὸ μάθημα τῷ Κυρίῳ, ἐπεὶ καὶ μόνος παρελθὼν ἄνθρωπον ἐδίδαξε χωρεῖν εἰς Θεόν· ἔπρεπε γὰρ τῷ ἀρχιερεῖ καὶ ἀρχιπροφήτῃ καὶ ἀρχαγγέλῳ τούτῳ καὶ ἀρχιπαρθένῳ προσαγορευθῆναι. Τὸ δὲ παλαιὸν οὐδέπω τέλειος ὁ ἄνθρωπος ἦν, καὶ διὰ τοῦτο τὸ τέλειον οὐδέπω χωρῆσαι, τὴν παρθενιαν, ἴσχυεν· ἔτι γὰρ ἔχρῃζε, κατ' εἰκόνα Θεοῦ γεγονὼς, καὶ τὸ καθ' ὁμοίωσιν ἀπολαβεῖν· ὅπερ τελεσιουργῆσαι καταπεμφθεὶς ὁ Λόγος εἰς τὸν κόσμον, τὴν ἡμετέραν μορφὴν πρότερον ἀνέλαβε πολλοῖς ἁμαρτήμασι κατεστιγμένην, ἵνα δὴ τὴν θείαν ἡμεῖς, δι' οὓς αὐτὸς ἐφόρεσε, πάλιν χωρῆσαι δυνηθῶμεν· καθ' ὁμοίωσιν γὰρ ἀκριβωθῆναι τότε πάρεστι Θεοῦ, ὁπότε δὴ τοὺς αὐτοῦ χαρακτῆρας τῆς κατὰ ἄνθρωπον πολιτείας ζωγράφων δίκην ἐπιστημόνων ἐν ἑαυτοῖς ὥσπερ σανίσιν ἐκτυπωσάμενοι ἀσινεῖς κατέχωμεν, ἣν αὐτὸς ἐφανέρωσε μαθητεύοντες τρίβον. Ταύτῃ γὰρ ἠρετίσατο τὴν ἀνθρωπίνην ἐνδύσασθαι σάρκα Θεὸς ὢν, ὅπως ὥσπερ ἐν πίνακι θεῖον ἐκτύπωμα βίου βλέποντες ἔχωμεν καὶ ἡμεῖς τὸν γράψαντα μιμεῖσθαι· οὐ γὰρ ἕτερα φρονῶν ἕτερα ἐποίει· οὐδὲ μὴν ἕτερα νομίζων εἶναι τὰ καλὰ ἐδίδασκεν ἕτερα· ἀλλ' ἅπερ ἦν ἀληθῶς ὠφέλιμα καὶ καλὰ, ταῦτα καὶ ἐδίδασκε καὶ ἐποίει.

5. Τί οὖν ὁ Κύριος, ἡ ἀλήθεια, τὸ φῶς, ἐπραγματεύσατο κατελθών; ἄφθορον ἐφύλαξεν ἐν παρθενίᾳ τὴν σάρκα κοσμήσας [1]). Καὶ ἡμεῖς ἄρα, εἰ μέλλοιμεν καθ' ὁμοίωσιν ἔσεσθαι Θεοῦ καὶ Χριστοῦ, φιλοτιμώμεθα τὴν παρθενίαν τιμᾶν· ὁμοίωσις γὰρ Θεῷ φθορᾶς ἀποφυγή. Ὅτι δὲ καὶ ἀρχιπαρθένος, ὃν τρόπον καὶ ἀρχιποιμὴν καὶ ἀρχιπροφήτης, γέγονεν ὁ Λόγος ἐνανθρωπήσας τῆς ἐκκλησίας, καὶ ὁ χριστόληπτος ἡμῖν παρέστησεν ἐν βιβλίῳ τῆς Ἀποκαλύψεως Ἰωάννης λέγων· «καὶ εἶδον, καὶ ἰδοὺ τὸ ἀρνίον ἑστὼς ἐπὶ τὸ ὄρος Σιὼν, καὶ μετ' αὐτοῦ ἑκατὸν τεσσαράκοντα

---

[1]) Κοσμήσας, т. е. σάρκα, устроивъ себѣ, принявъ плоть; или: украсивъ ее тѣмъ, что сохранилъ ее нерастлѣнною.

τέσσαρες χιλιάδες ἔχουσαι τὸ ὄνομα αὐτοῦ καὶ τὸ ὄνομα τοῦ πατρὸς αὐτοῦ γεγραμμένον ἐπὶ τῶν μετώπων αὐτῶν· καὶ ἤκουσα φωνὴν ἐκ τοῦ οὐρανοῦ ὡς φωνὴν ὑδάτων πολλῶν καὶ ὡς φωνὴν βροντῆς μεγάλης· καὶ ἡ φωνὴ ἣν ἤκουσα, ὡς φωνὴ κιθαρῳδῶν κιθαριζόντων ἐν ταῖς κιθάραις αὐτῶν· καὶ ᾄδουσι καινὴν ᾠδὴν ἐνώπιον τοῦ θρόνου καὶ ἐνώπιον τῶν τεσσάρων ζώων καὶ τῶν πρεσβυτέρων· καὶ οὐδεὶς ἠδύνατο μαθεῖν τὴν ᾠδήν, εἰ μὴ αἱ ἑκατὸν τεσσαράκοντα τέσσαρες χιλιάδες, οἱ ἠγορασμένοι ἀπὸ τῆς γῆς· οὗτοί εἰσιν, οἳ μετὰ γυναικῶν οὐκ ἐμολύνθησαν· παρθένοι γάρ εἰσιν· οὗτοί εἰσιν οἱ ἀκολουθήσαντες τῷ ἀρνίῳ, ὅπου ἂν ὑπάγῃ [1])», τοῦ χοροῦ τῶν παρθένων ἐξάρχοντα δεικνύων τὸν Κύριον. Ἐπίστησον δὲ πρὸς τούτοις, ὅπως τὸ ἀξίωμα τῆς παρθενίας μέγιστον παρὰ τῷ Θεῷ. «Οὗτοι ἠγοράσθησαν ἀπὸ τῶν ἀνθρώπων ἀπαρχὴ τῷ Θεῷ καὶ τῷ ἀρνίῳ, καὶ ἐν τῷ στόματι αὐτῶν οὐχ εὑρέθη ψεῦδος· ἄμωμοι γάρ εἰσι καὶ ἀκολουθοῦσι», φησί, «τῷ ἀρνίῳ, ὅπου ἂν ὑπάγῃ [2])», σαφῶς ἡμᾶς κἀντεῦθεν διδάσκειν βούλεται, ὅτι ἐν ἀριθμῷ τοσούτῳ, τουτέστιν ἑκατὸν τεσσαράκοντα καὶ τέσσαρσι χιλιάσιν, ἀπάνωθεν τὸ πλῆθος περιώρισε τῶν παρθένων, τῶν ἄλλων ἁγίων εἰς πλῆθος ἀόριστον ὀχλιζομένων. Τί γὰρ παρεγγυᾷ καὶ περὶ τῶν λοιπῶν διαλεγόμενος, προσεκτέον. «Καὶ εἶδον ἀπὸ πάσης γλώττης καὶ φυλῆς καὶ παντὸς ἔθνους πλῆθος πολύ, ὃ ἀριθμῆσαι αὐτὸ οὐδεὶς ἠδύνατο [3])». Οὐκοῦν συνέστηκεν, ὡς ἔφην, ἐπὶ μὲν τῶν ἄλλων ἁγίων αὐτὸν πληθὺν ἄφατον εἰσάγειν, ἐπὶ δὲ τῶν ἐν παρθενίᾳ βραχύτατον ἀριθμόν, ὡς πρὸς σύγκρισιν τῶν εἰς ἀναρίθμητον πλῆθος συντελούντων.

---

[1]) Апок. 14. 1—4. [2]) Апок. 14. 5. [3]) Апок. 7. 9.

## Λόγος ια΄.

### Ἀρετή [1]).

## Глав. 1—2.

1. Κράτιστα γὰρ δή, κἂν οὕτω μὴ φανερῶς, ἀλλὰ μετὰ σπουδῆς τὰ λεχθέντα δεχομένη διεξελήλυθας [2]), οὐ γλυκυμυθίαν πρὸς τέρψιν τῶν ἀκουόντων συσκευασαμένη, ἀλλὰ πρὸς ἐπανόρθωσιν ὑπόμνημα καὶ νῆψιν· προτάττειν γὰρ τῶν ἐμῶν ἐπιτηδευμάτων ἁγνείαν ὁ λέγων δεῖν καὶ ἀσπάζεσθαι πρώτην τῶν ἄλλων, ὀρθῶς παρακελεύεται· ἣν τιμᾶν μὲν νομίζουσι καὶ θεραπεύειν πολλοί, τιμῶσι δ᾽ αὐτήν, ὡς ἔπος εἰπεῖν, ὀλίγοι. Οὐ γὰρ ὁπόταν τὴν ἑαυτοῦ σάρκα τῆς κατὰ συνουσίαν ἄγευστον ἡδονῆς φιλοτιμῆται τηρεῖν ἄνθρωπος, τῶν ἄλλων μὴ κρατῶν, ἁγνείαν τιμᾷ· ἀτιμάζει μὲν οὖν αὐτὴν μᾶλλον οὐχ ἥκιστα βαναύσοις ἐπιθυμίαις, ἡδονὰς ἀντικαταλλασσόμενος ἡδοναῖς· οὐδέ γε ὁπόταν πρὸς τὰς ἔξω μὲν ἐπιθυμίας διαπονῇ καρτερῶν, ὑπεραίρηται δὲ φυσιούμενος, αὐτῷ δὴ τούτῳ τῷ δύνασθαι τῶν τῆς σαρκὸς ὑπεκκαυμάτων κρατεῖν, καὶ πάντας οὐδὲν ἡγῆται, ἁγνείαν τιμᾷ· ἀτιμάζει γὰρ αὐτὴν ὑβρίζων ὑψηλοφροσύνῃ, τῷ τὸ μὲν ἔξωθεν τοῦ πίνακος καθαίρειν καὶ τῆς παροψίδος [3]), τὴν σάρκα, τὸ σῶμα, τὴν δὲ καρδίαν τύφῳ σίνεσθαι καὶ φιλοκρατίᾳ. Οὐδέ γε ὁπότε ἐναβρύνεταί τις χρήμασι, τιμᾶν αὐτὴν σπουδάζει· ἀτιμάζει μὲν οὖν παντὸς μᾶλλον [4]) καὶ οὗτος, προκρίνων αὐτῆς ὀλίγον κέρδος, ἧς οὐδὲν ἀντάξιον τῶν ἐν τῷ βίῳ τιμίων· πᾶς γὰρ πλοῦτος ἐνώπιον αὐτῆς καὶ χρυσὸς ὡς ψάμμος ὀλίγη [5]). Οὐδέ γε ὁ ἑαυτὸν ὑπερφυῶς ἡγούμενος φιλεῖν καὶ τὸ ἑαυτῷ μόνῳ συμφέρον σπουδάζων

---

[1]) Арета—одна изъ дѣвъ, въ домѣ которой происходитъ разговоръ.

[2]) Рѣчь обращается къ дѣвѣ Домнинѣ, говорившей предъ Аретою.

[3]) Мат. 23. 25.

[4]) Παντὸς μᾶλλον—вполнѣ, всецѣло, воособенности, тоже, что μάλιστα—выраженіе часто употребляющееся въ разговорахъ Философа Платона. См. Ast Lexic. Plat. T. III. p. 62.

[5]) Прем. 7. 9.

σκοπεῖν, ἄφροντις δὲ τῶν πλησίον, ἁγνείαν τιμᾷ· ἀτιμάζει μὲν οὖν αὐτὴν καὶ οὗτος· πολὺ γὰρ λείπεται [1]) τῶν κατ' ἀξίαν ὁμιλούντων αὐτῇ, τῷ τὴν ἀγάπην αὐτῆς καὶ τὸ συμπαθητικὸν καὶ τὸ φιλάνθρωπον λωβήσασθαι. Οὐ γὰρ τῇδε μὲν ἁγνεύοντας παρθενεύειν δεῖ, τῇδε δὲ κακοπραγοῦντας χραίνεσθαι καὶ ἀκολασαίνειν, οὐδὲ τῇδε μὲν ἐπαγγέλλεσθαι καθαρεύειν καὶ σωφρονεῖν, τῇδε δὲ μολύνεσθαι καὶ ἁμαρτάνειν, οὐδ' αὖ τῇ μὲν ὁμολογεῖν μὴ πεφροντικέναι τῶν κοσμικῶν, τῇ δὲ κτᾶσθαι καὶ ἐν αὐτοῖς ἐξετάζεσθαι, ἀλλὰ πάντα τὰ μέλη φθορᾶς ἀκοινώνητα καὶ ἀμιγῆ τηρεῖν, οὐ μόνον τὰ κνησμώδη καὶ συνουσιαστικά, ἀλλ' ἤδη καὶ τὰ τούτων ἐνεργέστερα· χλεύη γὰρ τὰ μὲν τῆς παιδοποιήσεως ὄργανα τηρεῖν παρθένα, τὴν δὲ γλῶτταν μὴ τηρεῖν, ἢ τὴν γλῶτταν μὲν τηρεῖν παρθένον, τὴν δὲ ὅρασιν ἢ τὴν ἀκοὴν ἢ τὰς χεῖρας μὴ τηρεῖν, ἢ ταῦτα μὲν ἔχειν καὶ τηρεῖν παρθένα, τὴν καρδίαν δὲ μὴ τηρεῖν, ἀλλ' εταιρίζεσθαι τύφῳ καὶ θυμῷ· δεῖ γαρ πάντως τὸν μέλλοντα μὴ ἁμαρτήσεσθαι περὶ τὴν ἄσκησιν τῆς ἁγνείας τὰ μέλη πάντα καὶ τὰ αἰσθητήρια τηρεῖν ἑαυτοῦ καθαρὰ καὶ συνεσφιγμένα, καθάπερ δὴ καὶ πλοίων οἱ κυβερνῆται τὰς ἁρμογὰς σφίγγουσι, πρὸς τὸ μὴ σχεῖν ἔσω δίοδον τὴν ἁμαρτίαν ἐπεισχεομένην. Τοῖς γὰρ μεγάλοις ἐξ ἀνάγκης ἐπιτηδεύμασι μεγάλα καὶ τὰ πταίσματα συμβαίνει, καὶ τῷ ὄντι τῷ ἀγαθῷ μᾶλλον ἐναντιώτερον τὸ κακὸν ἢ τῷ μὴ ἀγαθῷ· πολλοὶ οὖν δοξάζοντες τὸ περὶ τὰς οἰστρώδεις καρτερεῖν ἐπιθυμίας εἶναι τὴν ἁγνείαν, τῶν ἄλλων ἀμελήσαντες, αὐτῆς ἔπταισαν καὶ τοῖς ὀρθῶς πρὸς αὐτὴν ὡρμημένοις προσῆψαν ψόγους, ὡς ὑμεῖς ἠλέγξατε, νόμος διὰ πάντων [2]), αὐταί γε παρθενεύουσαι καὶ ἔργῳ καὶ λόγῳ. Καὶ τὰ μὲν δὴ τῆς παρθένου, ποταπὴν εἶναι προσήκει, διεγράφη· ὑμᾶς δὲ διαρκῶς διαγωνισαμένας τῷ λόγῳ αὐτήκοος γενομένη πάσας ἀποφαίνομαι νικᾶν καὶ στέφω, Θέκλαν δὲ [3]) τῷ μείζονι στεφάνῳ καὶ δασυτέρῳ ὡς πρώτην ὑμῶν καὶ μεγαλοπρεπέστερον ἐκλάμψασαν.

---

[1]) Λείπεσθαι (ἀπό) τινος—отставать отъ кого-нибудь, быть ниже или хуже кого-нибудь.

[2]) Вы—образецъ во всемъ. Обращеніе ко всѣмъ дѣвамъ, участвовавшимъ въ разговорѣ.

[3]) Дѣва, говорившая осьмую рѣчь.

2. Ταῦτα οὖν εἰποῦσαν ἔφη κελεῦσαι πάσας ἀναστῆναι τὴν Ἀρετὴν ἡ Θεοπάτρα [1]), καὶ πάσας ὑπὸ τὴν ἄγνον [2]) εὐχαριστήριον ὕμνον πρεπόντως ἀναπέμψαι τῷ Κυρίῳ, ἐξάρχειν δὲ τὴν Θέκλαν καὶ προυφηγεῖσθαι. Ὡς οὖν ἀνέστησαν, τὴν Θέκλαν μέσην μὲν τῶν παρθένων ἔφη, ἐκ δεξιῶν δὲ τῆς Ἀρετῆς στᾶσαν κοσμίως ψάλλειν, τὰς δὲ λοιπὰς ἐν κύκλῳ καθάπερ ἐν χοροῦ σχήματι συστάσας ὑπακούειν [3]) αὐτῇ.

Ψαλμός [4]).

Ἄνωθεν, παρθένοι, βοῆς ἐγερσίνεκρος ἦχος
ἦλθεν νυμφίῳ πασσυδὶ ὑπαντάνειν λευκαῖσιν
καὶ λαμπάσι πρὸς ἀντολάς [5])· ἔγρεσθε πρὶν φθάσῃ μολεῖν
εἴσω θυρῶν ἄναξ.

Ὑπακοή.

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι [6]).

Βροτῶν πολυστένακτον ὄλβον ἐκφυγοῦσα καὶ
βίου τρυφῆς ἔρωτα, σαῖς ὑπ' ἀγκάλαις
ζωηφόροις ποθῶ σκέπεσθαι καὶ βλέπειν τὸ σὸν
κάλλος διηνεκῶς, μάκαρ.

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

Γάμων λιποῦσα θνητὰ λέκτρα καὶ δόμον, ἄναξ,

---

[1]) Дѣва, говорившая четвертую рѣчь и пересказавшая другимъ все происходившее на «Пиру дѣвъ».

[2]) Ἄγνος, vitex или komaricha (агнецъ непорочный, или цѣломудренникъ),—растеніе, которое по самому названію своему соотвѣтствуетъ заглавію сочиненія: περὶ ἁγνείας. Это душистое растеніе изъ рода кустарниковъ описываютъ Платонъ въ Федрѣ, 230. и Плиній въ Hist. Nat. XXIV. 19. Оно упоминается и въ св. Писаніи—Левит. 23. 40.

[3]) Ὑπακούειν—прислушиваться и подпѣвать. Отсюда ὑπακοή—припѣвъ.

[4]) Эта пѣснь, состоящая изъ 24 строфъ съ отдѣльнымъ припѣвомъ, имѣетъ алфавитный акростихъ изъ 24 буквъ греческаго алфавита, и составлена изъ ямбическихъ стиховъ, впрочемъ не вездѣ метрически правильныхъ, съ раздѣленіемъ каждой строфы на четыре стиха, изъ которыхъ три болѣе длинные (большею частію семистопные ямбы), и одинъ болѣе короткій (большею частію четырехстопный ямбъ), по образцу припѣва, состоящаго изъ двухъ стиховъ длиннаго и короткаго.

[5]) Вм. ἀνατολὴν—востокъ.

[6]) Мат. 25. 7.

δά σε πολύχρυσον, ἦλθον ἀσπίλοις ἐν εἵμασιν,
ὅπως φθάσω κἀγὼ πανολβίων θαλάμων
εἴσω σύν σοι μολεῖν.
ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
Δόλους δράκοντος ἐκφυγοῦσα μυρίους, μάκαρ,
θελκτηρίους, ἔτλην δὲ καὶ πυρὸς φλόγα
καὶ θηρίων ἀνημέρων ὁρμὰς βροτοφθόρους,
σὲ προσμένουσ' ἀπ' οὐρανῶν.
ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
᾿Ελαθόμην πάτρας, ποθοῦσα σὴν χάριν, Λόγε,
ἐλαθόμην καὶ παρθένων ὁμηλίκων χορούς,
μητρός τε καὶ γένους φρύαγμα· πάντα γὰρ σύ μοι
αὐτὸς σύ, Χριςὲ, τυγχάνεις.
ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
Ζωῆς χοραγὸς [1]), Χριςὲ, χαῖρε φῶς ἀνέσπερον,
ταύτην δέδεξο τὴν βοήν· χορός σε παρθένων
προσεννέπει, τέλειον ἄνθος, ἀγάπη, χαρὰ,
φρόνησις, σοφία, Λόγε.
ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
᾿Ηνοιγμέναις θύραις, ἄνασσα φαιδρόκοσμε, δέδεξ' ἡμᾶς
ἀχραντόσωμε, καλλίνικε νύμφα, καλλίπνου·
ὁμόζολοι παρήμεθα Χριςῷ, πανόλβιαι,
μέλπουσαι σὸν γάμον, θάλος [2]).
ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
Θρηνοῦσι νῦν βαρύζονοι κόραι πυλῶν πικρῶς
νυμφῶνος ἔξω καὶ βοῶσι γοερῶς, ὅτι

---

[1]) А вм. η по Дорич. діалекту, какъ и ниже въ нѣкот. словахъ.

[2]) По принятому Яномъ чтенію подъ θάλος (отрасль) можно разумѣть Сына Богоматери, т. е. μέλπουσαι... (καὶ σὸν) θάλος; а по другому чтенію (πανόλβιε...)—саму Богоматерь. См. Anthologia graeca carminum christian. Ed. W. Christ et P. M. Paranicas. Lips. 1871. p. 34.

τὸ λαμπάδων ἀποσβέσασαι φῶς οὐκ ἔφθασαν
χαρᾶς ταμεῖον εἰσιδεῖν [1]).

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

Ἱερᾶς ὁδοῦ γὰρ ἐκτραπεῖσαι πρὸς βίου πόρους
κτήσασθ᾽ ἔλαιον ἠμέλησαν ἄθλιαι πλέον·
νεκρὰς δὲ πυρὸς φέρουσαι φλογεροῦ λαμπάδας
ςένουσιν ἔνδον ἐκ φρενῶν.

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

Κρατῆρες ἀδυπληθέες πρόκεινται νέκταρος·
πίνωμεν· οὐράνιον γάρ ἐςι πόμα, παρθένοι,
ὁ νυμφίος ὅπερ τέθεικε τοῖς μετ᾽ ἀξίας
εἰς τὸν γάμον κεκλημένοις.

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

Λαμπρῶς σου τὸν θάνατον Ἄβελ προεκτυπῶν,
μάκαρ, ἔλεξεν αἱματοςαγὴς βλέπων εἰς οὐρανούς·
ἀνηλεῶς με συγγόνου τετρωμένον χερὶ
δέξαι, λιτάζομαι, Λόγε [2]).

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

Μέγιςον ἆθλον ἁγνείας σου παῖς Ἰωσὴφ ἀνείλετο·
γυνὴ γὰρ αὐτὸν εἰς ἄθεσμα λέκτρα εἵλκυσεν
φλεγομένη πόθοις, ὁ δ᾽ οὐδὲν ἐντραπεὶς
ἔφευγε γυμνὸς ἐκβοῶν [3])·

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

Νεοσφαγῆ ὁ Ἰεφθάε κόραν ἦγε θυσίαν Θεῷ,
ἄπειρον ἀνδρός, ἀμφὶ βωμὸν ἀμνάδος δίκην·
ἡ δ᾽ εὐγενῶς σου τὸν τύπον τῆς σαρκός, ὦ μάκαρ,
τελοῦσ᾽ ἔκραζε καρτερῶς [4])·

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

---

[1]) Мат. 25. 11. [2]) Быт. 4. 10. [3]) Быт. 39. 12. [4]) Суд. 11. 38.

Ξένων ςρατηλάταν ὄχλων εὔτολμος εὐςόχοις
Ἰουδὴθ δόλοις καρατομήσασα, κάλλεος τύποις
θέλξασα τοῦτον, οὐ χράναντα σώματος μέλη,
νικαφόροις ἔφη βοαῖς [1]·
ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
Ὁρῶντες εἶδος εὐπρεπὲς ὑφῆς [2]) δύο κριταὶ
Σουσάννας, ἐμμανεῖς ἔρωτι λέξαν· ὦ γύναι,
κρυπτῶν γάμων λέχη ποθοῦντες ἥκομεν, φίλα.
ἡ δ᾽ ἐντρόμοις ἔφη βοαῖς [3])·
ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
Πολλῷ με κατθανεῖν ἄμεινόν ἐςιν ἢ λέχη
προδοῦσαν, ὦ γυναιμανεῖς, ὑμῖν αἰωνίαν
δίκην ὑπ᾽ ἐμπύροις Θεοῦ τιμωρίαις παθεῖν·
σῶσόν με, Χριςὲ, τῶνδε νῦν [4]).
ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
Ῥοαῖς καθαρσίοις λούων πλήθη βροτῶν ὁ σὸς
πρόδρομος ἀνόμως κακοῦ πρὸς ἀνδρὸς εἰς σφαγὴν
ἤχθη δι᾽ ἁγνείαν, λύθρῳ δὲ φοινίῳ χόνιν
δεύων ἔκραζέ σοι, μάκαρ·
ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
Σοῦ καὶ ζωητόκος, χάρις, ἄθικτος, ἄτεγκτος, ἀσπίλους
τὰς σὰς γονὰς ἐν ἀσπόρῳ φέρουσα νηδύϊ,
μορφὴν ὑπέσχεν ὡς προδοῦσα λέκτρα παρθένος·
ἔλεξε δ᾽ ἔγχυος, μάκαρ [5])·
ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
Τὴν σὴν, μάκαρ, γαμήλιον ποθοῦντες ἁμέραν
ἰδεῖν, ὅσους ἄνωθεν αὐτὸς ἀγγέλων ἄναξ

---

[1]) Іуд. 13. 8.
[2]) Ὑφὴ или ὗφος—составъ, станъ, видъ, осанка.
[3]) Дан. 13. 19. [4]) Дан. 13. 23. [5]) Мат. 1. 18.

κέκληκας, ἥκουσιν μέγιςα δῶρά σοι, Λόγε,
φέροντες ἀσπίλοις ςολαῖς.

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

Ὕμνοις, μάκαιρα θεόνυμφε, θαλαμηπόλοι
αἰέν σε γεραίρομεν, σὲ νῦν, ἄθικτε παρθένε,
ἐκκλησία χιονόσωμε, κυανοβόςρυχε,
σῶφρον, ἄμωμ', ἐρασμία.

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

Φθορὰ πέφευγε καὶ νόσων πόνοι δακρυςαγεῖς,
θάνατος ἤρέθη, ὄλωλε πᾶσα ἀφροσύνη, λύπη
τέθνηκε τηξίφρων, ἔλαμψε δ' ἡ Θεοῦ Χριςοῦ
χάρις βροτοῖς ἄφνω πάλιν.

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

Χῆρος βροτῶν παράδεισός ἐςιν οὐκέτι·
πάλιν γὰρ αὐτὸν ἐκ θείας ὥςπερ τὸ πρὶν ταγῆς
οἰκεῖ τέχναις ὁ ποικίλαις δράκοντος ἐκπεσὼν,
ἄφθαρτος, ἄφοβος, μάκαρ.

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

Ψάλλων τὸ καινὸν ᾆσμα νῦν χορός σε παρθένων
καθιστάνει πρὸς οὐρανοὺς, ἄνασσα, σαφῶς ὅλος
ἐςεμμένος λευκοῖς κρίνων κάλυξι καὶ φλόγας
χερσὶν σελασφόρους φέρων.

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

Ὦ τὰς ἀχράντους οὐρανοῦ, μάκαρ, ναίων ἕδρας,
ἄναρχε, πάντα συγκρατῶν αἰωνίῳ κράτει,
δέξαι σὺν παιδὶ σῷ, πάρεσμεν, ἔνδον εἰς ζωῆς
πύλας, πάτερ, καὶ ἡμέας.

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

2.

## ΜΕΘΟΔΙΟΥ, ΕΚ ΤΟΥ ΠΕΡΙ ΑΝΑΣΤΑΣΕΩΣ.

### Глав. 15—34.

15. Ὁ τῶν ὅλων δημιουργὸς Θεὸς, ἐπειδὴ τὸ πᾶν εὐτάκτως συνεςήσατο, καθάπερ μεγάλην πόλιν, καὶ διεκόσμησε προστάσσων τῷ λόγῳ, ἕκαςόν τε αὐτῷ συμφώνως ἡρμόσατο ςοιχεῖον καὶ πάντα ζώων πεπλήρωτο διαφοραῖς, ἵνα τελέως ὁ κόσμος εἰς κάλλος αὐξηθῇ, παντοίας φύσεως ζωοτοκήσας μορφὰς, ἄςρα μὲν κατὰ τὸν οὐρανὸν καὶ πτηνὰ κατὰ τὸν ἀέρα, τετράποδα δὲ κατὰ τὴν γῆν καὶ νηκτὰ κατὰ τὸ ὕδωρ, τελευταῖον τὸν ἄνθρωπον, προετοιμάσας ὡς οἰκίαν αὐτῷ καλλίςην τὸ πᾶν, μίμημα τῆς ἰδίας εἰκόνος ἐμφερὲς [1]) εἰς τὸν κόσμον εἰσήγαγεν, ἄγαλμα ὡς ἐν ναῷ φαιδρῷ καλὸν ταῖς ἑαυτοῦ χερσὶ κατασκευάσας· ἠπίςατο γὰρ ὅτι πάντως, ὅπερ ἂν τῇ ἑαυτοῦ τεχνήσηται χειρὶ, ἐξ ἀνάγκης ἔςαι ἀθάνατον, ἅτε ἀθανασίας ἔργον. Ἀθανασίᾳ γὰρ ἀθάνατα τὰ ἀθάνατα γίγνεται, καθάπερ καὶ τὰ κακὰ κακίᾳ κακὰ, καὶ τὰ ἄδικα ἀδικίᾳ ἄδικα· οὐ γὰρ δικαιοσύνης ἔργον τὸ ἄδικον, ἀλλὰ ἀδικίας, οὐδ᾽ αὖ ἀδικίας ἀντιςρόφως τὸ δικαιοπραγεῖν ἔργον, ἀλλὰ δικαιοσύνης, ὥσπερ οὐδὲ ἀφθαρσιας τὸ φθείρεσθαι ποιεῖν, ἀλλὰ φθορᾶς, οὐδὲ φθορᾶς τὸ ἀθανατίζον, ἀλλ᾽ ἀφθαρσίας· καὶ συλλήβδην, οἷον ἂν ᾖ τὸ ποιοῦν, κατὰ τὸν αὐτὸν οὕτως λόγον τοιοῦτον καὶ τὸ ποιούμενον ἐξ ἀνάγκης ἀπεργάζεσθαι συμβαίνει. Ὁ δὲ Θεὸς καὶ ἀθανασία καὶ ζωὴ καὶ ἀφθαρσία, ἔργον δὲ ἄνθρωπος Θεοῦ· πᾶν δὲ τὸ ὑπὸ ἀθανασίας ἐργασθὲν ἀθάνατον· ἀθάνατος ἄρα ὁ ἄνθρωπος. Διὸ δὴ τὸν μὲν ἄνθρωπον αὐτούργησεν ὁ Θεὸς, τὰ δὲ λοιπὰ γένη τῶν ζώων ἀέρι καὶ γῇ καὶ ὕδατι προσέταξε φέρειν· ἄνθρωπος δὲ ἀληθέςατα λέγεται κατὰ φύσιν οὔτε ψυχὴ χωρὶς σώματος οὔτ᾽ αὖ πάλιν σῶμα χωρὶς ψυχῆς, ἀλλὰ τὸ ἐκ συςάσεως ψυχῆς καὶ σώματος εἰς μίαν τὴν τοῦ καλοῦ μορ-

---

[1]) Отъ ἐμφέρω (изъ ἐν и φέρω)—отношу къ чему-нибудь, сравниваю.— Ἐμφερής, подобный, сравнительно сходный, точный.

φὴν συντεθέν. Ὅθεν ἐντεῦθεν ἀθάνατον δὴ τὸν ἄνθρωπον γεγονέναι φαίνεται, φθορᾶς τε ἁπάσης καὶ νόσων ἐκτός· μάθοι δ᾽ ἄν τις τοῦτο καὶ ἀπὸ τῆς γραφῆς ἱκανῶς. Ἐπὶ μὲν γὰρ τῶν ἄλλων, ὁπόσα χρόνων μετακοσμοῦνται διατριβαῖς ἡβῶντα καὶ γηράσκοντα, «ἐξαγαγέτω» λέγεται «τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν, καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς, κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ», καὶ «ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν κατὰ γένος τετράποδα καὶ ἑρπετὰ καὶ θηρία τῆς γῆς κατὰ γένος» [1], ἐπὶ δὲ τοῦ ἀνθρώπου ὡσαύτως ἐκείνοις οὐκέτι «ἐξαγαγέτω ἡ γῆ» ἢ «ἐξαγαγέτω τὰ ὕδατα» ἢ «γενηθήτωσαν φωστῆρες», ἀλλὰ «ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα καὶ καθ᾽ ὁμοίωσιν ἡμετέραν, καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ καὶ πάντων τῶν κτηνῶν· καὶ ἔλαβεν ὁ Θεὸς χοῦν ἀπὸ τῆς γῆς, καὶ ἔπλασε τὸν ἄνθρωπον» [2].

16. Καὶ ἵνα δὴ μᾶλλον καὶ ὑμεῖς τὴν διαφορὰν αἴσθησθε, ὡς ὅλῳ καὶ παντὶ τῶν ἄλλων διαφέρων καὶ ἐν δευτέρᾳ τιμῇ τῶν ἀγγέλων ἐγκαταλεχθεὶς ὁ ἄνθρωπος εὑρίσκεται ἀθάνατος ὤν, φέρε κατὰ τὸν ἀληθῆ πάλιν καὶ ὀρθόδοξον καὶ τοῦτο διαλάβωμεν λογισμόν. Τοῖς μὲν γὰρ ἀπὸ τῆς εἰσπνοῆς τοῦ κατὰ τὸν ἀέρα πνεύματος ἐψυχῶσθαι ἐδόθη τὸ ζῆν, τῷ δὲ ἐξ αὐτῆς τῆς ἀθανάτου καὶ διαφερούσης οὐσίας· ἐνεφύσησε γὰρ ὁ Θεὸς εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν [3]. Καὶ τοῖς μὲν δουλεύειν καὶ ἄρχεσθαι προσετάγη, τῷ δὲ ἄρχειν καὶ δεσπόζειν. Καὶ τοῖς μὲν διάφορα σχήματα φύσεων δέδονται καὶ μορφαί, ὁπόσας ἡ στερέμνιος καὶ ὁρατὴ φύσις κελεύοντος ἐγέννησε Θεοῦ, τῷ δὲ τὸ θεοειδὲς καὶ θεοείκελον, καὶ πάντα πρὸς ἐκείνην ἀπηκριβωμένον τὴν πρωτότυπον τοῦ πατρὸς καὶ μονογενῆ εἰκόνα· ἐποίησε γὰρ ὁ Θεὸς τὸν ἄνθρωπον, κατ᾽ εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν [4]. Διὸ καὶ ἐμέλησεν αὐτῷ τοῦ σφετέρου ἀγάλματος τῆς διαμονῆς [5], ἵνα μὴ εὐάλωτον ᾖ πρὸς διαφθοράν, καθάπερ καὶ τῶν ἀνδριάντων τοῖς δημιουργοῖς· οὐ γὰρ μόνον κάλλους τῶν ἀγαλμάτων αὐτοῖς καὶ τῆς εὐπρεπείας αὐτῶν πεφρον-

---

[1]) Быт. 1. 20—24. [2]) Быт. 1. 26; 2. 7. [3]) Быт. 2. 7. [4]) Быт. 1. 27.

[5]) Διαμονή—прочное существованіе, постоянство, вѣчность (отъ διά и μένω), въ противоположность съ ἀπόλλυμαι. Ср. Евр. I. 11.

τιται, ὅπως ὦσι περικαλλῆ μεγαλοπρεπῶς, ἀλλὰ καὶ τῆς εἰς τὸ δυνατὸν σφίσιν αὐτοῖς ἀθανασίας τῶν δημιουργημάτων πρόνοιαν ποιεῖσθαι, εἰς τὸν μακραίωνα χρόνον διασώζεσθαι μὴ λυόμενα, καθάπερ καὶ Φειδίας [1]). Οὗτος γὰρ μετὰ τὸ κατασκευάσαι τὸ Πισαῖον εἴδωλον (ἐξ ἐλέφαντος δὲ τοῦτο ἦν) ἔλαιον ἐκχεῖσθαι προσέταξεν ἀμφὶ τοὺς πόδας ἔμπροσθεν τοῦ ἀγάλματος, ἀθάνατον εἰς δύναμιν φυλάσσων αὐτό. Καὶ τοίνυν εἰ τῶν χειροκμήτων οὕτως οἱ δημιουργοί, Θεὸς ὁ ἀριςοτέχνας, ὃς πάντα δύναται καὶ ἐξ οὐκ ὄντων ποιεῖν, οὐ μᾶλλον τὸ ἄγαλμα τὸ λογικὸν ἑαυτοῦ, τὸν ἄνθρωπον, ἀνώλεθρον καὶ ἀθάνατον εἶναι τὸ παράπαν ἐξ ἁπάσης ἀνάγκης ἐμηχανήσατο, ἀλλ' εἴασεν οὕτως ἀτιμότατα λυόμενον ὀλέθρῳ παραδοῦναι καὶ φθορᾷ, ὃ διαφερόντως ἠξίωσε ταῖς ἑαυτοῦ ποιῆσαι χερσὶ, κατ' εἰκόνα μορφοποιήσας αὐτὸ καὶ καθ' ὁμοίωσιν τὴν ἑαυτοῦ, τὸν κόσμον τοῦ κόσμου, δι' ὃ καὶ ὁ κόσμος ἐγένετο; οὐκ ἐςιν εἰπεῖν· ἀπειὴ γὰρ εἰς ἀφροσύνην ἐπαρθέντα φρονῆσαι τοῦτο.

**17.** Ἀλλ' ἴσως μὲν ἐπιςήσαντες ἑαυτοὺς πρὸς τὰ λεχθέντα νῦν, ὦ Ἀγλαοφῶν [2]), λέξετε· καὶ πῶς, εἰ ἀθάνατον ἦν ἐκ γενέσεως καθ' ὑμᾶς τὸ ζῶον, γεγένηται θνητὸν, ὁπότε τὸ ἀθάνατον ἀμεταςρόφως τοῦτο ὅ ἐςιν εἶναι χρὴ, μὴ μεταπῖπτον ἢ ἐξανιςάμενον εἰς τὴν αἰσχίονα καὶ θνητὴν φύσιν; ἀμήχανον γὰρ, ἐπεὶ [3]) οὐκ ἐςιν ἀθάνατον. Ἐπειδὴ, λέξω, γενόμενον αὐτεξούσιον πρὸς τὴν αἵρεσιν τοῦ καλοῦ, καὶ τοῦτον τὸν θεσμὸν εἰληφὸς, ὁ μισόκαλος ἐπιςὰς ἐβάσκανε φθόνος· ὁ γὰρ Θεὸς ἔκτισε τὸν ἄνθρωπον ἐπὶ ἀφθαρσίᾳ, καὶ εἰκόνα τῆς ἰδίας ἀϊδιότητος ἐποίησεν αὐτόν· καὶ γὰρ ὁ Θεὸς θάνατον οὐκ ἐποίησεν, οὐδὲ τέρπεται ἐπ' ἀπωλείᾳ ζώντων· φθόνῳ δὲ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον [4]), καθάπερ καὶ ἡ σοφία διὰ Σολομῶνος μαρτυρεῖ. Πό-

---

[1]) Фидій—знаменитый греческій скульпторъ и архитекторъ († 431 г. до Р Хр.), изваявшій между прочимъ статую Зевса, поставленную въ г. Олимпіи (древней Писѣ) и славившуюся во всей Греціи.

[2]) Въ сочиненіи св. Меѳодія о воскресеніи мертвыхъ, написанномъ противъ Оригенистовъ, бесѣдуютъ между собою Аглаофонъ, Проклъ, Авксентій и самъ Меѳодій: изъ нихъ первые двое въ вопросѣ о воскресеніи представляются на сторонѣ Оригенистовъ.

[3]) Ἐπεί, при пропускѣ посредствующей мысли, какъ въ настоящемъ мѣстѣ, можетъ быть переведено: иначе, въ противномъ случаѣ.

[4]) Прем. 1. 13; 2. 24.

θεν οὖν ὁ θάνατος, πάλιν δὴ λέγεσθαι ἀνάγκη. εἰ μὴ θάνατον ἐποίησεν ὁ Θεός· εἰ ἀπὸ τοῦ φθόνου, καὶ πῶς ὁ φθόνος τῆς βουλήσεως μᾶλλον ἴσχυσε τοῦ Θεοῦ; ἀλλὰ τοῦτο δύσφημον λέξομεν. Πόθεν οὖν ὁ φθόνος; ὁ ἀντιλέγων ἐρεῖ· εἰ γὰρ ἀπὸ τοῦ διαβόλου, καὶ διὰ τί διάβολος ἐγένετο, εἰ ἐγένετο, καὶ ὁ ποιήσας αὐτὸν ἐςιν αἴτιος τοῦ εἶναι κακόν; ἀλλὰ ἀναίτιος παντάπασι κακῶν πᾶσιν ὁ Θεός. Ἀγένητος ἄρα ὁ διάβολος, καὶ εἰ ἀγένητος, καὶ ἀπαθὴς καὶ ἀνώλεθρος καὶ ἀνενδεής· τῷ γὰρ ἀγενήτῳ ἐξ ἀνάγκης ἁπάσης ταῦτα ὑπάρχειν δεῖ, ὁ δὲ διάβολος καταργεῖται καὶ κολάζεται· τὸ δὲ κολαζόμενον ἀλλοιοῦται καὶ πάσχει, ἀπαθὲς δὲ τὸ ἀγένητον· οὐκ ἄρα ἀγένητος, ἀλλὰ γενητὸς ὁ διάβολος· εἰ δὲ γενητὸς καὶ πᾶν τὸ γεγενημένον ἀπό τινος ἀρχῆς ἐγένετο καὶ ἐςιν αὐτοῦ δημιουργὸς, ἔςιν ἄρα τις δημιουργὸς τοῦ διαβόλου. Καὶ πότερον κἀκεῖνος ἀγένητός ἐςιν ἢ γενητός; ἀλλὰ τὸ ἀγένητον ἓν εἶναι μόνον νοεῖσθαι χρὴ τὸν Θεόν· οὐδὲ γὰρ εἶναι τὸ σύνολον ὅλως ἐκ παντὸς τὸ παράπαν ἕτερος δημιουργός δύναται πλὴν αὐτοῦ («ἐγώ» φησιν «πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα. καὶ πλὴν ἐμοῦ ἄλλος Θεὸς οὐκ ἔςιν») [1]), οὐδὲ μετασκευάζεσθαί τι ἢ κτίζεσθαι παρὰ τὴν αὐτοῦ δύναται βουλήν· καὶ γὰρ ὁ υἱὸς οὐδὲν ἀφ' ἑαυτοῦ δύνασθαι ποιεῖν ὁμολογήσει, ἐὰν μή τι βλέπῃ τὸν πατέρα ποιοῦντα· «ἃ γὰρ ἂν» φησιν «ὁ πατὴρ ποιῇ, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ» [2])· οὐδὲ μήν τι πολέμιον ἢ ἀντίξουν [3]) αὐτῷ ἢ ἀντίθεόν ἐςιν· ἐπεὶ κἂν εἰ ἀντέπρασσέ τι τῷ Θεῷ, ἐπαύσατο ἂν τοῦ εἶναι, λυθείσης αὐτοῦ τῇ τοῦ Θεοῦ δυνάμει καὶ ἰσχύϊ τῆς συςάσεως· τῷ γὰρ ποιήσαντι λῦσαι μόνῳ καὶ τὰ ἀθάνατα δυνατόν.

**18.** Τί οὖν ὁ διάβολος λέξεται; πνεῦμα περὶ τὴν ὕλην ἔχον, καθάπερ ἐλέχθη καὶ Ἀθηναγόρᾳ [4]), γενόμενον ὑπὸ τοῦ Θεοῦ,

---

[1]) **Ис. 44. 6.**

[2]) **Іоан. 5. 19.**

[3]) **Изъ** ἀντὶ **и** ξέω **(скоблю)—противодѣйствую, противорѣчу, противное думаю.**

[4]) **Аѳинагоръ—христіанскій писатель 2-го вѣка, оставившій дошедшіе до насъ** *Апологію* **и трактатъ** *о воскресеніи мертвыхъ.* **Приведенное св. Меѳодіемъ мнѣніе Аѳинагора находится въ гл. 24 (а по другимъ изданіямъ въ 22) Апологіи.**

ὥσπερ δὴ καὶ οἱ λοιποὶ γεγόνασιν ὑπ' αὐτοῦ ἄγγελοι, καὶ τὴν ἐπὶ τῇ ὕλῃ καὶ τοῖς τῆς ὕλης εἴδεσι πεπιστευμένον διοίκησιν. Τοῦτο γὰρ ἦν ἡ τῶν ἀγγέλων σύστασις, τῷ Θεῷ ἐπὶ προνοίᾳ γεγονέναι τοῖς ὑπ' αὐτοῦ διακεκοσμημένοις, ἵνα τὴν μὲν παντελικὴν καὶ γενικὴν ὁ Θεὸς ἔχων τῶν ὅλων πρόνοιαν ᾖ, τὸ κῦρος καὶ τὸ κράτος ἁπάντων αὐτὸς ἀνηρτημένος καὶ ὥσπερ σκάφος τῷ τῆς σοφίας οἴακι διευθύνων ἀκλινῶς τὸ πᾶν, τὴν δὲ διὰ μέρους οἱ ἐπὶ τούτῳ ταχθέντες ἄγγελοι. Ἀλλ' οἱ μὲν λοιποὶ ἐφ' οἷς αὐτοὺς ἐποίησε καὶ διετάξατο ὁ Θεὸς ἔμειναν, ὁ δὲ ἐνύβρισε καὶ πονηρὸς περὶ τῶν πεπιστευμένων ἐγένετο τὴν διοίκησιν, φθόνον ἐγκισσήσας καθ' ἡμῶν, ὥσπερ καὶ οἱ μετὰ ταῦτα σαρκῶν ἐρασθέντες καὶ ταῖς τῶν ἀνθρώπων εἰς φιληδονίαν ἐνομιλήσαντες θυγατράσιν [1]· αὐθαίρετον γὰρ καὶ αὐτοῖς ἔχειν πρὸς ἑκάτερα διετάξατο βούλησιν ὁ Θεὸς, οἷα καὶ ἐπὶ τῶν ἀνθρώπων, ἵν' ἢ πειθόμενοι τῷ λόγῳ συνῶσιν αὐτῷ καὶ ἀπολαύωσι μακαριότητος, ἢ μὴ πειθόμενοι κρίνωνται. Ἦν δὲ καὶ ὁ διάβολος ἀστὴρ ἑωσφόρος· «πῶς ἐξέπεσεν ἐκ τοῦ οὐρανοῦ ὁ ἑωσφόρος, ὁ πρωῒ ἀνατέλλων» [2]; ἦν μετὰ τῶν ἀγγέλων ἀνατέλλων τοῦ φωτὸς, ἦν ἄστρον πρωϊνὸν, ἀλλ' ἐξέπεσε καὶ εἰς τὴν γῆν συνετρίβη, ἐπιτροπεύσας τῷ ἀνθρώπῳ τἀναντία· τὸ γὰρ θεῖον νεμεσᾷ τοῖς ὑπερηφάνοις καὶ τὰ αὐθάδη φρονήματα κολούει. Ἐπέρχεταί δέ μοι καὶ ἐμμέτρως εἰπεῖν [3]·

ὦ πᾶσιν ἀρχὴ καὶ πέρας κακῶν ὄφις,
οὕτω βαρὺν τίκτουσα θησαυρὸν κακῶν
πλάνη, τυφλοῦ ποδηγὸς ἀγνοίας βίου,
χαίρουσα θρήνοις καὶ στενάγμασιν βροτῶν,
ὑμεῖς ἀθέσμους εἰς ὕβρεις ὁμοσπόρων
τὰς μισαδέλφους ὁπλίσαντες ὠλένας
Κάϊν μολῦναι φοινίῳ πρῶτον λύθρῳ
ἐπείσατον γῆν, καὶ τὸν ἐξ ἀκηράτων
πεσεῖν αἰώνων πρωτόπλαστον εἰς χθόνα
ὑμεῖς ἐτεκτήνασθε.

---

[1]) Быт. 6. 2. [2]) Ис. 14. 12.

[3]) Ἐμμέτρως—метрически, стихами; самые же стихи, слѣдующіе за тѣмъ, написаны шестистопными ямбами.

19. Καὶ ὁ μὲν διάβολος οὕτως· ὁ δὲ θάνατος πρὸς ἐπιστροφὴν εὑρέθη, καθάπερ καὶ τοῖς ἀρτιμαθέσι γραμμάτων παιδίοις πρὸς ἐπανόρθωσιν αἱ πληγαί· οὐδὲν γὰρ ἄλλο ὁ θάνατος ἢ διάκρισις καὶ χωρισμὸς ψυχῆς ἀπὸ σώματος. Τί οὖν; παραίτιος ὁ Θεὸς θανάτου λέξεται; πάλιν γὰρ ὁ αὐτὸς ἡμῖν ἥκει λόγος. Μὴ γένοιτο, ἐπεὶ μηδὲ οἱ διδάσκαλοι προκαθηγουμένως τοῦ ἀλγύνεσθαι ταῖς πληγαῖς τοὺς παῖδας αἴτιοι· καλὸν οὖν ὁ θάνατος, εἰ καθάπερ παισὶ πρὸς ἐπιστροφὴν δίκην [1]) πληγῶν εὑρέθη, οὐχ ὁ τῆς ἁμαρτίας, ὦ σοφώτατοι, ἀλλ' ὁ τῆς διαζεύξεως τῆς σαρκὸς καὶ τοῦ χωρισμοῦ. Αὐτεξούσιος γὰρ ὢν καὶ αὐτοκράτωρ ὁ ἄνθρωπος, καὶ αὐτοδέσποτον βούλησιν καὶ αὐτοπροαίρετον πρὸς τὴν αἵρεσιν, ὡς ἔφην, τοῦ καλοῦ λαβών, ἀκούσας τε «ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ φάγεσθε, ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν οὐ φάγεσθε ἀπ' αὐτοῦ, ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε» [2]), ἐνδοὺς εἰς τὸ φαγεῖν ἀπ' αὐτοῦ, τοῦ διαβόλου δεδελεασμένος τῇ σοφίᾳ ποικίλως πρὸς παρακοὴν πείθοντος, ἠθέτησε τὴν ἐντολὴν τοῦ Θεοῦ· καὶ ἐγένετο τοῦτο αὐτῷ εἰς σκάνδαλον καὶ παγίδα καὶ σκῶλον. Οὐ γὰρ ἐποίησεν ὁ Θεὸς κακὸν, οὐδὲ ἔστι τὸ σύνολον ὅλως ἐκ παντὸς εἰς τὸ παράπαν αἴτιος κακοῦ· ἀλλὰ πᾶν ὅπερ ἂν αὐτεξούσιον οὕτως ὑπ' αὐτοῦ γεγονὸς ᾖ πρὸς τὸ φυλάξασθαι καὶ τηρῆσαι νόμον, ὃν αὐτὸς δικαίως διεστείλατο, μὴ τηρῆσαν λέγεται κακόν· βαρυτάτη δὲ βλάβη τὸ παρακοῦσαι Θεοῦ, τοὺς ὅρους τῆς κατὰ τὸ αὐτεξούσιον ὑπερβάντα δικαιοσύνης. Ὅθεν ἐπειδὴ κατερρυπώθη καὶ κατεμιάνθη τῆς ἀποφάσεως ἀποστήσας ὁ ἄνθρωπος τοῦ Θεοῦ καὶ κηλῖδας ἐναπεμάξατο κακίας πολλῆς, ἃς ὁ ἄρχων οὗτος ἀπεχύησε καὶ πατὴρ τῆς πλάνης, πόνον κατὰ τὴν γραφὴν συλλαβών [3]), ἵνα τὸν ἄνθρωπον φαντάζειν ἀεὶ πρὸς ἀδικίαν ἔχῃ καὶ κινεῖν, ὁ Θεὸς ὁ παντοκράτωρ, ἀθάνατον ἐν ἐλαττώσει κεκακωμένον ἐξ ἐπιβουλῆς τοῦ διαβόλου ἰδὼν αὐτὸν γεγενημένον, οὐκ εἴασε μεταλαβεῖν τοῦ ξύλου τῆς ζωῆς, ἀλλὰ ἐνέδυσεν αὐτόν τε καὶ τὴν σύζυγον Εὔαν χιτῶνας δερματίνους καὶ ἀπέλυσε τοῦ πα-

---

[1]) Δίκην съ родит. пад. въ видѣ нарѣчія, значитъ: подобно, какъ-бы.

[2]) Быт. 2. 16, 17. [3]) Псал. 7. 15.

ραδείσου, νέκρωσιν αὐτοῖς ὁρίσας λέγων· «γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσει» [1]), ὅπως καθαρίσας τῆς ἐλαττώσεως ἐν τῇ ἀναςάσει ὡς ἄριςος κεραμεὺς πάλιν ἀπὸ τοῦ ἰδίου φυράματος ἄνευ ἐλαττώσεως ἀναςήσῃ.

20. Προηπόρηται [2]) δὲ ἤδη καὶ ἀπεδείχθη τοὺς δερματίνους χιτῶνας μὴ εἶναι τὰ σώματα· ὅμως δὲ καὶ πάλιν (οὐ γὰρ ἅπαξ ῥητέον) φράζωμεν. Αὐτὸς πρὸ τῆς κατασκευῆς αὐτῶν ὁ πρωτόπλαςος ὁμολογεῖ καὶ ὀςᾶ ἔχειν καὶ σάρκας, ὁπότε δὴ τὴν γυναῖκα προσενεχθεῖσαν αὐτῷ θεασάμενος «τοῦτο νῦν ὀςοῦν» ἐφώνησεν «ἐκ τῶν ὀςῶν μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου· αὕτη κληθήσεται γυνή, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη· ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν» [3]). Οὐ γὰρ δὴ ἀνέξομαι φληναφώντων τινῶν καὶ βιαζομένων ἀπηρυθριασμένως τὴν γραφήν, ἵνα αὐτοῖς δὴ σαρκὸς μὴ εἶναι προχωρήσῃ ἡ ἀνάςασις, ὀςᾶ νοητὰ καὶ σάρκας νοητὰς ὑποτιθεμένων, καὶ ἄλλοτε ἄλλως ἄνω καὶ κάτω μεταβαλλομένων ἀλληγορίαις [4])· καὶ ταῦτα οὕτως, ὡς γέγραπται, παραλαμβάνεσθαι κρατύνοντος τοῦ Χριςοῦ τὴν γραφήν, ἔνθα πυνθανομένοις τοῖς Φαρισαίοις περὶ χωρισμοῦ γυναικὸς ἀποκρίνεται· «οὐκ ἀνέγνωτε, ὅτι ἀπ' ἀρχῆς ὁ κτίσας ἄρσεν καὶ θῆλυ ἐποίησε; καὶ εἶπεν· ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα» καὶ τὰ ἑξῆς [5]). Πῶς γὰρ ἐπὶ ψυχῶν μόνον τὸ «αὐξάνεσθε καὶ πληρώσατε τὴν γῆν» [6]) παραληπτέον, ἢ τὸ «ἔλαβε χοῦν ἀπὸ τῆς γῆς ὁ Θεὸς καὶ ἔπλασε τὸν ἄνθρωπον» [7]), ὃ κυρίως ἐπὶ τοῦ σώματος λελέχθαι φαίνεται; οὐ γὰρ ἀπὸ τοῦ χοὸς καὶ τῶν βαρυτέρων τὴν οὐσίαν ἐκτήσατο ἡ ψυχή· ὥςε συνέςηκεν ἐκ παντὸς ἀληθέςατα πρὸ τῶν δερματίνων σεσωματοποιῆσθαι χιτώνων τὸν ἄνθρωπον·

---

[1]) Быт. 3. 19.

[2]) Изъ ἀπορέω недоумѣваю, предлагаю недоумѣнія, и προ-прежде. Указывается на разсужденія о томъ же предметѣ въ предъидущихъ главахъ настоящаго сочиненія.

[3]) Быт. 2. 23, 24.

[4]) Т. е. бросаются во всѣ стороны, увлекаясь аллегорическимъ объясненіемъ текстовъ св. Писанія.

[5]) Мат. 19. 4. [6]) Быт. 1. 28. [7]) Быт. 2.

ταῦτα γὰρ πρὸ τοῦ ἐκπεσεῖν αὐτὸν ἅπαντα εἴρηται, τὰ δὲ κατὰ τοὺς χιτῶνας μετὰ τὸ ἐκπεσεῖν. Ὅθεν ἴωμεν πάλιν ἐπισκεψόμενοι τὰ ἐν χερσίν, ἱκανῶς ἀποδείξαντες μὴ εἶναι τοὺς δερματίνους χιτῶνας τὰ σώματα, ἀλλα τὴν ἐπὶ τοῦ λογικοῦ τῶν ζώων νεκρότητα κατεσκευασμένην. Τοῦτο γὰρ λείπεται· ἀμέλει τῶν ὅρων ἔξω τοῦ παραδείσου κατὰ ταύτην ἐξοικίζεται τὴν αἰτίαν· οὐ γάρ, ὅτι μὴ θέλων ὁ Θεὸς ἀπὸ τοῦ ξύλου δρέψασθαι τῆς ζωῆς αὐτὸν καὶ φαγεῖν ἐξέβαλεν (ἐδύνατο γὰρ εἰς τὸν αἰῶνα ζῆν, αὖθις φαγὼν ἀπὸ τῆς ζωῆς), ἀλλ' ἵνα μὴ ἀθάνατον, ὡς ὑπεθέμεθα, γενηθῇ τὸ κακόν. Ἐπεὶ διὰ τί τὸν Χριστὸν ἀπὸ τῶν οὐρανῶν ἀπέστελλεν εἰς τὴν γῆν, εἰ ὅλως ἤθελε ζωῆς τὸν ἄνθρωπον ἄγευστον ἀποθανεῖν εἰς τὸ παντελές; εἰ δὲ ἐκ μεταμέλου φαίη τοῦτο πεποιηκέναι τὸν Θεὸν ὁ ἀντιλέγων, ασθενὴς αὐτῷ ὁ λόγος, μεταγινώσκοντα τὸν Θεὸν εἰσάγων· ἀλλ' ουτε ἀσύνετος τοῦ μέλλοντος Θεὸς οὔτε κακοποιός, ἀλλὰ καὶ ἄκρως ἀγαθὸς καὶ προγινώσκων τὰ μέλλοντα· ὥστε οὐκ ἄρα διὰ τὸ μὴ σώζεσθαι εἰς τὸν αἰῶνα φαγόντα αὐτὸν ἀπὸ τοῦ ξύλου τῆς ζωῆς ἐξέβαλεν, ἀλλὰ διὰ τὸ νεκρωθῆναι πρῶτον θανάτῳ τὴν ἁμαρτίαν, ἵν' οὕτως μετὰ τὸ ἀποθανεῖν ἐκτακείσης τῆς ἁμαρτίας ἐγερθεὶς ὁ ἄνθρωπος καθαρὸς φάγῃ τῆς ζωῆς.

**21.** Μηδεὶς δὲ ἀβέλτερος ὢν παρακινδυνευέτω, ὡς τούτων ἑτέρως λεχθέντων· ὁ γὰρ ὅλως ὁριζόμενος τὴν σάρκα μὴ εἶναι ταύτην ἀθανασίας δεκτικήν, ὄντως ἀνοίας ὑπεύθυνος ὢν νόσῳ, βλασφημεῖ. Διὰ τί γὰρ μετὰ τὴν τῶν χιτώνων τῶν δερματίνων ὁ Ἀδὰμ κατασκευὴν ἐκβάλλεται, κωλυόμενος φαγεῖν ἀπὸ τοῦ ξύλου τῆς ζωῆς καὶ ζῆσαι, εἰ ὅλως ἀδύνατον ἦν μετὰ σώματος εἰς τὸν αἰῶνα ζῆσαι τὸν ἄνθρωπον; ὡς δυναμένου γὰρ αὐτοῦ μη ἀποθανεῖν, ἐὰν ἀπὸ τῆς ζωῆς [1]) γεύσηται λαβών, ἡ κώλυσις γίγνεται· φησὶ γάρ· «καὶ ἐποίησε Κύριος ὁ Θεὸς τῷ Ἀδὰμ καὶ τῇ γυναικὶ αὐτοῦ χιτῶνας δερματίνους, καὶ ἐνέδυσεν αὐτούς· καὶ εἶπεν ὁ Θεός· ἰδοὺ, γέγονεν Ἀδὰμ ὡς εἷς ἐξ ἡμῶν, τοῦ γινώσκειν καλὸν καὶ πονηρόν· καὶ νῦν μή ποτε ἐκτείνῃ τὴν χεῖρα καὶ λάβῃ τοῦ ξύλου τῆς ζωῆς καὶ φάγῃ, καὶ ζήσεται εἰς τὸν

---

[1]) Т. е. отъ древа жизни.

αἰῶνα· καὶ ἐξαπέστειλεν αὐτὸν Κύριος ὁ Θεὸς ἐκ τοῦ παραδείσου τῆς τρυφῆς ἐργάζεσθαι τὴν γῆν, ἐξ ἧς ἐλήφθη, καὶ ἐξέβαλε τὸν Ἀδάμ»[1]). Οὐκοῦν ἐδύνατο ζῆν εἰς τὸν αἰῶνα τὸ σῶμα καὶ ἀθάνατον ἔσεσθαι, εἰ μὴ κεκώλυτο γεύσασθαι τῆς ζωῆς· ἐκωλύθη δέ, ὅπως ἡ μὲν ἁμαρτία συναποκτανθεῖσα τῷ σώματι λυθῇ, τὸ δὲ σῶμα ἀνασταθῇ τῆς ἁμαρτίας ἀπολομένης· ἵνα μὴ τοίνυν ᾖ κακὸν ἀθάνατον ὁ ἄνθρωπος, ὡς ἔφην, ἢ ἀείζωον, ἔχων ἐν ἑαυτῷ τὴν ἁμαρτίαν κρατιστεύουσαν, ἅτε ἐν ἀθανάτῳ βλαστήσασαν σώματι καὶ ἀθάνατον ἔχουσαν τὴν τροφήν, ὁ Θεὸς αὐτὸν διὰ τοῦτο θνητὸν ἀπεφήνατο νεκρότητι περιβαλών· τοῦτο γὰρ οἱ δερμάτινοι χιτῶνες ἐβούλοντο, ἵνα δὴ διὰ τῆς λύσεως τοῦ σώματος καὶ τῆς διαιρέσεως ἡ ἁμαρτία κάτωθεν αὐτόπρεμνος πᾶσα διαφθαρῇ, ὡς μηδὲ κἂν βραχύτατον ῥίζης ἐαθῆναι μέρος, ἀφ' οὗ νέαι βλάσται πάλιν ἁμαρτημάτων ἀναβήσονται.

22. Καθάπερ γὰρ ἐν οἰκοδομήμασι ναῶν καλοῖς συκῆ γεννηθεῖσα καὶ εἰς ἔκτασιν καὶ μέγεθος εὐτραφήσασα, καὶ περὶ πάσας τὰς ἁρμονίας πολυκληματοῖς ῥίζαις τῶν λίθων κεχυμένη, οὐ πρότερον τοῦ φύειν στέλλεται, ἕως ἂν πᾶσα ἀποσπασθῇ, λυθέντων τῶν καθ' οὓς ἐβλάστησε τόπους τῶν λίθων (δυνατὸν γὰρ πάλιν εἰς τοὺς ἑαυτῶν ἐναρμοσθῆναι τόπους τοὺς λίθους, τῆς συκῆς ἀφῃρημένης, ὅπως ὁ μὲν ναὸς σώζηται, μηδὲν τῶν ἀφανιζόντων αὐτὸν κακῶν ἐν ἑαυτῷ μηκέτι φέρων, ἡ δὲ συκῆ πᾶσα πρόθέλυμνος ἀποσπασθεῖσα ἀποθάνῃ), κατὰ ταὐτὰ καὶ ὁ Θεὸς ὁ τεχνίτης τὸν ἑαυτοῦ νεὼν τὸν ἄνθρωπον, δίκην ἀγρίας συκῆς τὴν ἁμαρτίαν βλαστήσαντα, διέλυσε θανάτου προσκαίροις προσβολαῖς ἀποκτείνων, κατὰ τὸ γεγραμμένον[2]), καὶ ζωοποιῶν, ἵνα ἀπὸ τῶν αὐτῶν ἡ σὰρξ μερῶν, μετὰ τὸ ξηρανθῆναι καὶ ἀποθανεῖν τὸ ἁμάρτημα, δίκην ἀνακαινοποιηθέντος ναοῦ ἀθάνατος καὶ ἀπήμων ἐγερθῇ, τελέως ἐκ βάθρων ἀπολομένης τῆς ἁμαρτίας· ζῶντος γὰρ ἔτι τοῦ σώματος πρὸ τοῦ τεθνήξεσθαι συζῆν ἀνάγκη καὶ τὴν ἁμαρτίαν, ἔνδον τὰς ῥίζας αὐτῆς ἐν ἡμῖν ἀποκρύπτουσαν, εἰ καὶ ἔξωθεν τομαῖς ταῖς ἀπὸ τῶν σωφρονισμῶν καὶ τῶν νουθετή-

---

[1]) Быт. 3. 21—24. [2]) Втор. 32 39

σεων ἀνεςέλλετο, ἐπεὶ οὐκ ἂν μετὰ τὸ φωτισθῆναι συνέβαινεν ἀδικεῖν, ἅτε παντάπασιν εἰλικρινῶς ἀφῃρημένης ἀφ' ἡμῶν τῆς ἁμαρτίας· νῦν δὲ καὶ μετὰ τὸ πιςεῦσαι καὶ ἐπὶ τὸ ὕδωρ ἐλθεῖν τοῦ ἁγνισμοῦ [1]) πολλάκις ἐν ἁμαρτίαις ὄντες εὑρισκόμεθα. Οὐδεὶς γὰρ οὕτως ἁμαρτίας ἐκτὸς εἶναι ἑαυτὸν καυχήσεται, ὡς μηδὲ κἂν ἐνθυμηθῆναι τὸ σύνολον ὅλως τὴν ἀδικίαν· ὥςε συμβέβηκε συςέλλεσθαι μὲν καὶ κατευνάζεσθαι τῇ πίςει νῦν τὴν ἁμαρτίαν, εἰς τὸ μὴ οἶσαι καρποὺς βλαβοποιούς, οὐ μὴν ἀνῃρῆσθαι καὶ τῶν ῥιζῶν ἄχρις· νῦν μὲν γὰρ ἐνταῦθα τὰς βλάςας αὐτῆς, οἷον τὰς ἐνθυμήσεις τὰς πονηράς, συςέλλομεν, μή τις ῥίζα πικρίας ἄνω φύουσα ἐνοχλήσῃ [2]), μὴ ἐῶντες ἀναμύειν καὶ διοίγνυσθαι τὰ μεμυκότα ςόμια πρὸς τὰς ἐκφύσεις [3]), τοῦ λόγου δίκην ἀξίνης τὰς ῥίζας αὐτῆς τὰς κάτω φυομένας τέμνοντος· τότε δὲ καὶ τὸ ὅλως ἐνθυμηθήσεσθαι περὶ κακίας ἀφανισθήσεται.

**23.** Οὐδὲ γὰρ ἀμάρτυρος ὁ λόγος γραφῶν τοῖς βουλομένοις εἰλικρινῶς τὸ ἀληθὲς λέγειν, ἐπεὶ οἶδεν ὁ ἀπόςολος μηδέπω τὴν ῥίζαν ἐξ ἀνθρώπων τῆς ἁμαρτίας ὁλοσχερῶς ἀνῃρημένην, ὅτε μὲν «οἶδα γάρ, ὅτι οὐκ οἰκεῖ ἐν ἐμοὶ ἀγαθόν, τουτέςιν ἐν τῇ σαρκί μου» φράζων «τὸ ἀγαθόν· τὸ γὰρ θέλειν παράκειταί μοι, τὸ δὲ κατεργάζεσθαι τὸ καλὸν οὔ· οὐ γὰρ ὃ θέλω ποιῶ ἀγαθόν, ἀλλ' ὃ οὐ θέλω κακὸν τοῦτο πράσσω· εἰ δὲ ὃ οὐ θέλω, τοῦτο ποιῶ, οὐκέτι κατεργάζομαι αὐτό, ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία», ὅτε δὲ «συνήδομαι τῷ νόμῳ τοῦ Θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον· βλέπω δὲ ἕτερον νόμον ἐν τοῖς μέλεσί μου, ἀντιςρατευόμενον τῷ νόμῳ τοῦ νοός μου, καὶ ἐκ παντὸς αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας τῷ ὄντι ἐν τοῖς μέλεσί μου» [4]). Οὕτως οὐδέπω τὴν ἁμαρτίαν αὐτόπρεμνον ἐκ ῥιζῶν διακοπῆναι συνέβη (οὐ γὰρ εἰς τέλος ἐπέθανεν), ἀλλὰ ζῆν (πῶς γαρ πρὸ τοῦ περιβεβλῆσθαι θανάτῳ τὸν ἄνθρωπον;), ἵνα αὐτῷ συμμαρανθεῖσα καὶ

---

[1]) Т. е. послѣ крещенія, которое здѣсь называется и просвѣщеніемъ и водою очищенія.

[2]) Евр. 12. 15.

[3]) Στόμιον—малый ротъ, горлышко сосуда, удило у узды; у растеній—отверстіе прозябающей почки или отростка. Въ послѣднемъ смыслѣ, вѣроятно, употреблено это слово и въ настоящемъ мѣстѣ.

[4]) Рим. 7. 18—23.

συμφθινήσασα αὐτὴ μὲν εἰς ἄρδην ἀπόληται καὶ διαφθαρῇ καθάπερ φυτὸν, λυθέντος ἐν ᾧ κρύπτουσα τὰς ῥίζας, ὡς ἔφην, ἑαυτῆς διεσώζετο, ὁ δὲ ἄνθρωπος αὖθις μηκέτι ῥίζαν ἐμφωλεύουσαν πικρίας ἔχων ἐξεγερθῇ ὥσπερ ναός· ἀλεξιφαρμάκου γὰρ τρόπον [1]) ὑπὸ τοῦ ἀλεξητῆρος ἡμῶν ἀληθῶς καὶ ἰατροῦ Θεοῦ πρὸς ἐκρίζωσιν τῆς ἁμαρτίας παρελήφθη ὁ θάνατος καὶ ἀφανισμὸν, ἵνα μὴ διαιωνίζον ἐν ἡμῖν εἴη τὸ κακὸν ἀθάνατον, ἅτε ἐν ἀθανάτοις ἀνατεῖλαν, αὐτοὶ δὲ λελωβημένοι καὶ ἐκςάντες, νοσούντων τρόπον, τῆς οἰκείας ἀρετῆς ἐπὶ πολὺ διατρίβωμεν, ἅτε ἐν ὑφεςηκόσιν ἀεὶ καὶ ἀθανάτοις σώμασι τὴν κατὰ τὸ ἁμάρτημα μεγάλην τρέφοντες νόσον· διὸ δὴ καλῶς ταύτην πρὸς ἄμφω σωτηρίαν καὶ ψυχῆς καὶ σώματος, φαρμακευτικῆς τρόπον καθάρσεως, τὸν θάνατον ὁ Θεὸς ηὕρατο, ἵνα πανάμωμοι καὶ ἀσινεῖς ὄντως ἐξεργασθῶμεν.

24. Φέρε γὰρ, ἐπειδὴ πολλῶν δεῖ τῶν περὶ τὰ τοιαῦτα παραδειγμάτων, ἐντεῦθεν αὐτὰ μάλιςα σκεψώμεθα, μὴ ἀφιςάμενοι, πρὶν ἂν πρῶτον εἰς εὐδηλοτέραν ἑρμηνείαν ἀποτελευτήσῃ καὶ ἀπόδειξιν ὁ λόγος. Φαίνεται τοίνυν, ὥσπερ εἴ τις δημιουργὸς ἄκρος ἄγαλμα καλὸν, ἀπὸ χρυσοῦ κατεσκευασμένον ἢ ὕλης ἑτέρας αὐτῷ, καὶ πάντα τὰ μέλη συμμέτρως εἰς κάλλος διακεκοσμημένον, πάλιν χωνεύοι, λελωβημένον ἄφνω θεασάμενος ὑπό τινος ἀνθρώπου πονηροτάτου, ὃς οὐκ ἐνεγκὼν ὑπὸ βασκανίας εὐπρεπὲς εἶναι τὸ ἄγαλμα, ἐσίνατο, ματαίαν ἡδονὴν καρπούμενος τοῦ φθόνου (πρόσχες γὰρ, ὦ σοφώτατε Ἀγλαοφῶν, ὅτι, εἰ βούλοιτο μὴ εἶναι σεσινωμένον ὅλως ὁ δημιουργὸς καὶ ψεκτον τὸ μετὰ τοσαύτης αὐτῷ σπουδῆς τε καὶ φροντίδος πεπονημένον, πάλιν προτραπήσεται συγχωνεύσας αὐτὸ τοιοῦτο ποιεῖν, οἷον καὶ πρόσθεν ἦν· εἰ δὲ μὴ ἀναχωνεύοι, μηδὲ ἀνασκευάζοι, ἐῴη δὲ οὕτως μένειν, θεραπεύων αὐτὸ καὶ ἐπανορθούμενος, ἀνάγκη δὴ πυρακτούμενον καὶ χαλκευόμενον τὸ ἄγαλμα μηκέτι δύνασθαι διατηρηθῆναι τὸ αὐτὸ, ἀλλὰ διηλλαγμένον ἔσεσθαι καὶ ὑπεσπασμένον)· διὰ τοῦτο, εἰ βούλοιτο καλὸν καὶ ἄμωμον εἶναι τὸ ἔργον, ἀναθλᾶσθαι [2]) αὐτὸ καὶ ἀναχωνεύεσθαι δεῖ, ὅπως τὰ μὲν αἴσχη καὶ

---

[1]) Τρόπον съ род. пад., въ видѣ нарѣчія, значитъ: подобно, какъ-бы.

[2]) Θλάω или θλίβω; оттуда ἀναθλάω—расплавляю.

τὰ ἀλλοιώματα πάντα τὰ ἐξ ἐπιβουλῆς αὐτῷ καὶ φθόνου ὑπάρξαντα αὐτὰ μὲν διὰ τῆς ἀνασκευῆς καὶ ἀναχωνεύσεως ἀπόληται, τὸ δὲ εἰς τὸ ἑαυτοῦ εἶδος ἀσινὲς καὶ ἀκίβδηλον αὖθις ἄγαλμα ὁμοιότατον ἑαυτῷ καταςαθῇ (τῷ μὲν γὰρ ἀγάλματι ἀπολέσθαι οὐκ ἔςιν ὑπὸ τῷ αὐτῷ τεχνίτῃ, κἂν πάλιν εἰς ὕλην λυθῇ, ἀποκαταςαθῆναι δὲ ἔςι· τοῖς δὲ αἴσχεσι καὶ λωβήμασιν ἀπολέσθαι μὲν ἔςι—τήκονται γὰρ—ἀποκαταςαθῆναι δὲ οὐκ ἔςι, διὰ τὸ ἐν πάσῃ τέχνῃ τὸν ἄριςον δημιουργὸν μὴ πρὸς τὸ αἴσχιον ἢ ἀπηχθημένον ὁρᾶν, ἀλλὰ πρὸς τὸ σύμμετρον καὶ εὐθὲς τοῦ δημιουργουμένου)· ταὐτὸν γὰρ φαίνεται δή μοι καὶ ἐφ' ἡμῶν ὁ Θεὸς διῳκονομηκέναι. Τὸν γὰρ ἄνθρωπον, τὸ εὐπρεπέςατον ἑαυτοῦ τέχνημα, βασκάνοις ἐπιβουλαῖς φρόνου κεκακωμένον ἰδὼν οὐχ ἠνέσχετο τοιοῦτον καταλεῖψαι, φιλάνθρωπος ὤν, ὅπως μὴ δι' αἰῶνος εἴη λελωβημένον, ἀθάνατον ἔχον ἐν ἑαυτῷ τὸν ψόγον, ἀλλὰ διέλυσεν εἰς ὕλην πάλιν, ἵνα διὰ τῆς ἀναπλάσεως ἐκτακῶσι καὶ ἐξαφανισθῶσι πάντα τὰ ἐν αὐτῷ μωμήματα· τὸ γὰρ ἐκεῖ ἀναχωνευθῆναι τὸν ἀνδριάντα τοῦτον, τὸ ἐνταῦθα ἀποθανεῖν καὶ διαλυθῆναι τὸ σῶμα· τὸ δὲ ἐκεῖ ἀναμορφοποιηθῆναι τὴν ὕλην ἢ ἀνακοσμοποιηθῆναι, τοῦτο ἐνταῦθα μετὰ τὸ ἀποθανεῖν τὸ ἀναςῆναι, ὥσπερ καὶ ὁ προφήτης Ἱερεμίας· τούτοις γὰρ ἤδη καὶ αὐτὸς ὧδε τὰ αὐτὰ παρεγγυᾷ, «καὶ κατέβην» λέγων «εἰς τὸν οἶκον τοῦ κεραμέως· καὶ ἰδοὺ, αὐτὸς ἐποίει ἔργον ἐπὶ τῶν λίθων, καὶ διέπεσε τὸ ἄγγειον ὃ ἐποίει ἐν ταῖς χερσὶν αὐτοῦ, καὶ πάλιν ἐποίησεν αὐτὸς ἄγγειον ἕτερον, καθὼς ἤρεσεν ἐνώπιον αὐτοῦ τοῦ ποιῆσαι· καὶ ἐγένετο λόγος Κυρίου πρός με λέγων· εἰ καθὼς ὁ κεραμεὺς οὗτος οὐ δυνήσομαι τοῦτο ποιῆσαι ὑμᾶς, οἶκος Ἰσραήλ; ἰδοὺ, ὡς ὁ πηλὸς τοῦ κεραμέως, ὑμεῖς ἐςε ἐν ταῖς χερσί μου» [1]).

25. Πρόσχες γὰρ ὅπως, ὡς ἔφην, μετὰ τὸ παραβῆναι τὸν ἄνθρωπον ἡ μεγάλη χεὶρ εἰς νῖκος καταλεῖψαι τὸ ἑαυτῆς ἔργον οὐκ ηὐδόκησεν ὡς κίβδηλον τῷ πονηρῷ ἀδίκως αὐτὸ λυμηναμένῳ βασκάνοις αἰτίαις, ἀλλὰ ἀνατήξας ἀνέδευσεν αὖθις εἰς πηλὸν, οἷα κεραμεὺς ὁ ἀναπλάσσων ἄγγος πρὸς τὸ ἀφανισθῆναι μὲν διὰ τῆς ἀναπλάσεως πάντα τὰ ἐν αὐτῷ αἴσχη καὶ θλάσματα, γενηθῆναι δὲ το πᾶν

[1]) Ιερ. 18. 4—7.

ἄνωθεν ἀμέμπτως ἀρεςόν· «ἢ οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς τοῦ πηλοῦ ἐκ τοῦ αὐτοῦ φυράματος ποιῆσαι σκεῦος, ὃ μὲν εἰς τιμὴν, ὃ δὲ εἰς ἀτιμίαν;» [1]) ὃ δὴ ἐςι (τοῦτο γὰρ παντάπασιν ὁ ἀπόςολός μοι δηλοῦν φαίνεται)· μή τι ἐξουσίαν οὐκ ἔχει ὁ Θεὸς ἀπὸ τῆς ὕλης ἑκάςου τῆς αὐτῆς ἀναπλάσας καὶ ἀνακοσμήσας ἰδίως ἕκαςον ἢ εἰς τιμὴν ἡμῶν ἀναςῆσαι καὶ δόξαν, ἢ εἰς ἀτιμίαν καὶ κατάκρισιν; εἰς ἀτιμίαν μὲν τῶν ἐν ἁμαρτίαις φαύλως βιωσάντων, εἰς τιμὴν δὲ τῶν ἐν δικαιοσύνῃ· καθάπερ ἐδηλώθη καὶ τῷ Δανιὴλ ὅτι «πολλοὶ τῶν καθευδόντων ἐν γῆς χώματι» λέγοντι «ἐξεγερθήσονται, οὗτοι εἰς ζωὴν αἰώνιον, καὶ οὗτοι εἰς ὀνειδισμὸν καὶ αἰσχύνην αἰώνιον, καὶ οἱ συνιέντες ἐκλάμψουσιν ὡς ἡ λαμπρότης τοῦ ςερεώματος» [2]). Ἐφ' ἡμῖν γὰρ οὐ τὸ ἀφανίσαι τὴν ῥίζαν τελέως τῆς πονηρίας, ἀλλὰ τὸ μὴ πρὸς ἔκτασιν αὐτὴν ἐᾶσαι φῦναι καὶ καρποφορεῖν· ἡ μὲν γὰρ καθόλου καὶ παντελικὴ αὐταῖς ῥίζαις αὐτῆς ἀναίρεσίς τε καὶ ἀπώλεια ὑπὸ τοῦ Θεοῦ κατὰ τὴν τοῦ σώματος, ὡς εἴρηται, διάλυσιν γίγνεται, ἡ δὲ ἐκ μέρους, πρὸς τὸ μὴ οἶσαι βλαςὸν, ὑφ' ἡμῶν· καὶ διὰ τοῦτο τὸν ἐκθρέψαντα πρὸς αὔξησιν αὐτὴν μᾶλλον καὶ μέγεθος, ἀλλὰ μή τι ςειρώσαντα ὅσον ἐπ' αὐτῷ καὶ συμπιλήσαντα ἀνάγκη διδόναι δίκην [3]), ὅτι δυνάμενος καὶ ἔχων πρὸς τοῦτο τὴν ἐξουσίαν εἵλατο τὸ βλάπτον τοῦ συμφέροντος μᾶλλον προτιμῆσαι.

26. Ὥςε μηδεὶς, αὐτὸς αἴτιος ὢν, ἀκολάςῳ γλώσσῃ μεμφέσθω τὴν θείαν φύσιν, ὡς οὐκ ἐν δίκῃ διανέμουσαν ἑκάςῳ κακίας καὶ ἀρετῆς τὰ ἀμοιβαῖα· «τίς γὰρ εἶ, ὦ ἄνθρωπε, ὁ ἀνταποκρινόμενος τῷ Θεῷ; μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι, τί με ἐποίησας οὕτως ἢ οὕτως» [4]): πῶς γὰρ ὁπότε αὐτοδεσπότῳ βουλῇ κακίαν εἵλατο; διὸ καὶ οὐ λέξει δικαιοσύνης δόγμασιν ἀπαραλλάκτοις κρίνοντι τῷ Θεῷ, τί με ἐποίησας οὕτως κατακριθέντα εἰς το ἀλγύνεσθαι; πρόσχες γὰρ, ὅπως ὥσπερ ἀκοντιςὴς ὁ ἀπόςολος δεινὸς συνεςραμμένα ῥήματα τῶν λόγων εἰς μέσον ἐμβαλὼν ἀσαφῆ μὲν καὶ ἐπικεκαλυμμένην ποιεῖται εἰς βάθος τῶν ἀναγνωσμάτων τὴν

---

[1]) Рим. 9. 21. [2]) Дан. 12. 2, 3.

[3]) Необходимо понесетъ наказаніе (по смыслу выраженія: διδόναι δίκην ὑπό τινος).

[4]) Рим. 9. 20.

ἐξεργασίαν [1]), ἀληθεςάτην δὲ καὶ ὀρθόδοξον καὶ μηδὲν ἔχουσαν ἀπημελημένον ἢ δύσφημον· τοῖς μὲν γὰρ μὴ μετὰ σπουδῆς, ἀλλὰ ἀγεννῶς ἐγκύπτουσι τοῖς λόγοις ἀσυνάρτητα ἔσθ᾿ ὅτε δοκεῖ καὶ ἀσύμφωνα λέγειν, τοῖς δ᾿ αὖ σπουδαίως καὶ λογισμῷ νήφοντι ὁπόσης τάξεως ἔμπλεα καὶ ἀληθείας! Δι᾿ ἀκριβείας μὲν οὖν περὶ τούτων διεξιέναι τὰ νῦν ἱκανὸν ἂν γένοιτο αὐτὸ καθ᾿ ἑαυτὸ μόνον ἔργον [2])· καὶ γὰρ γελοῖον καταλείψαντάς που τὴν σκέψιν, ἧς ἕνεκα ταύτην ἐξειλάμεθα, εἰς ἄλλα μετιέναι· ταῦτα γὰρ ἡμῖν εἴρηται διὰ τὴν τῶν ἐθελοκακούντων τιμωρὸν δίκην. Ἀποδειχθέντος τοίνυν ἐνδηλότατα τὸν θάνατον τῷ ἀνθρώπῳ μεμηχανῆσθαι μὴ ἐπὶ κακῷ τινι, ἄλλα χρὴ λοιπὸν τὸν μὴ φαύλως τούτοις ἐγκύπτοντα περὶ τῆς ἀναςάσεως νοεῖν τοῦ σώματος· πῶς γὰρ οὐκ ὠφέλιμος ὁ θάνατος, διαφθείρων ἡμῶν τὰ ληΐζοντα τὴν φύσιν, εἰ καὶ παρα τὸν καιρὸν ἐπαχθὴς, καθ᾿ ὃν προσφέρεσθαι δοκεῖ καθάπερ αὐςηρότατον τῷ νοσοῦντι φάρμακον; καὶ ἵνα μὴ πολλάκις τὰ αὐτὰ περὶ τῶν αὐτῶν διαλεγώμεθα, φέρε καὶ ἀπὸ τῆς ᾠδῆς ἔτι τοῦ Δευτερονομίου βεβαιώσαντες τὸν λόγον ἴωμεν τὰ ἑξῆς διαληψόμενοι.

27. Τὸ γὰρ «ἐγὼ ἀποκτενῶ καὶ ζῆν ποιήσω, πατάξω κἀγὼ ἰάσομαι, καὶ οὐκ ἔςιν ὃς ἐξελεῖται ἐκ τῶν χειρῶν μου» [3]) λεγόμενον ὑπὸ τοῦ Θεοῦ τί ἄλλο διδάσκειν βούλεται ἢ ὅτι διὰ τοῦτο τὸ σῶμα πρῶτον ἀποκτίννυται καὶ θνήσκει, ἵνα αὖθις ἀναςαθῇ καὶ ζήσῃ; πατάσσεται πρῶτον καὶ θραύεται, ἵνα σῶν αὖθις πλασθῇ καὶ ὑγιές; καὶ οὐδὲν ἐξελέσθαι ὅλως τὸ σύνολον τῆς μεγάλης καὶ κραταιᾶς αὐτοῦ χειρὸς πρὸς ἀπώλειαν καὶ ὄλεθρον σθένει, οὐ πῦρ, οὐ θάνατος, οὐ σκότος, οὐ χάος, οὐ φθορά· «τίς γὰρ ἡμᾶς» φησιν «ἀπο τῆς ἀγάπης χωρίσει τοῦ Κυρίου;» — ὃς ἑρμηνεύεται χεὶρ τοῦ πατρὸς καὶ λόγος—«θλίψις, ἢ ςενοχωρία; ἢ διωγμός; ἢ λιμός; ἢ, γυμνότης; ἢ κίνδυνος; ἢ μάχαιρα» [4]); καθὼς γέγραπται, ὅτι «ἕνεκέν σου θανατούμεθα ὅλην τὴν ἡμέραν, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς [5]), ἀλλ᾿ ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς»· ἀληθέςατα, ἵνα πληρωθῇ, καθὼς

---

[1]) Ἐξεργασία, какъ діалектическое выраженіе, означаетъ: выводъ, заключеніе.

[2]) Одно это составило бы порядочную задачу—ἱκανὸν ἔργον.

[3]) Втор. 32. 39. [4]) Рим. 8. 35—37. [5]) Пс. 43. 23.

ἔφην, τό· «ἐγὼ ἀποκτενῶ καὶ ζῆν ποιήσω, πατάξω καὶ ἰάσομαι,» καὶ οὐκ ἔϛιν ὃς ἐξελεῖται ἡμᾶς ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ τῆς ἐν Χριϛῷ πρὸς ἀπώλειαν· διὸ καὶ ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς, ἵνα ἀποθανόντες τῇ ἁμαρτίᾳ ζήσωμεν τῷ Θεῷ. Καὶ ταῦτα μὲν μέχρι τοσούτου διεσκέφθω· τὰ δὲ συνεχῆ τούτοις ὧδε πάλιν προχειριϛέον [1]).

28. Εἰ πᾶν τὸ γεννώμενον νοσεῖ (προτείνει γὰρ οὕτως ὁ ἐξ ἐναντίας) καὶ κατὰ τὴν γένεσιν καὶ κατὰ τὴν τροφὴν ἀπὸ τῶν προσιόντων, φησίν, αὔξεται, καὶ ἀπὸ τῶν ἀπιόντων ἐλαττοῦται, τὰ δὲ μὴ γεννώμενα ὑγιαίνει, ὅτι μὴ νοσεῖ μηδὲ προσδεῖται ἢ ἐπιθυμεῖ, ἐπιθυμεῖ δὲ τὰ γεννώμενα καὶ συνουσίας καὶ τροφῆς, τὸ δὲ ἐπιθυμεῖν νοσεῖν ἐϛι, τὸ δὲ μὴ δεῖσθαι μηδὲ ἐπιθυμεῖν ὑγιαίνειν, νοσεῖ δὲ τὰ γεννώμενα, ὅτι ἐπιθυμεῖ, τὰ δὲ μὴ γεννώμενα οὐ νοσεῖ, πάσχει δὲ τὰ νοσοῦντα ἢ κατὰ πλῆθος, ἢ ἔνδειαν τῶν προσγινομένων καὶ ἀπογινομένων, τὸ δὲ πάσχον καὶ φθίνει καὶ ἀπόλλυται, διόπερ καὶ γεννᾶται, γεννᾶται δὲ ὁ ἄνθρωπος, — οὐ δύναται ἄρα ἀπαθὴς εἶναι ὁ ἄνθρωπος καὶ ἀθάνατος. Καταπίπτει μὲν οὖν καὶ ἐπὶ τούτοις αὐτοῖς ὁ λόγος· εἰ γὰρ πᾶν τὸ γιγνόμενον ἢ γεννώμενον ἀπόλλυται (διαφέρει γὰρ οὐδὲν οὕτως εἰπεῖν, ἐπειδὴ καὶ οἱ πρωτόπλαϛοι οὐκ ἐγεννήθησαν, ἀλλ' ἐγενήθησαν), γενητοὶ δὲ καὶ οἱ ἄγγελοι καὶ αἱ ψυχαὶ («ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα») [2]), ἀπόλλυνται ἄρα οἱ ἄγγελοι κατ' αὐτοὺς [3]) καὶ αἱ ψυχαί· ἀλλ' οὔτε οἱ ἄγγελοι οὔτε αἱ ψυχαὶ ἀπόλλυνται· ἀθάνατα γὰρ ταῦτα καὶ ἀδάμαϛα, καθὼς ὁ ποιήσας εἶναι βεβούλευται· ἀθάνατος ἄρα καὶ ὁ ἄνθρωπος. Οὐκ ἀρεϛὸν δὲ οὐδ' ἐκεῖνο, τὸ λέγειν εἰς ἄρδην ἀπολεῖσθαι τὸ πᾶν, καὶ γῆν καὶ ἀέρα καὶ οὐρανὸν μὴ ἔσεσθαι· ἐκπυρωθήσεται μὲν γὰρ πρὸς κάθαρσιν καὶ ἀνακαινισμὸν καταβασίῳ πᾶς κατακλυζόμενος ὁ κόσμος πυρί, οὐ μὴν εἰς ἀπώλειαν ἐλεύσεται παντελῆ καὶ φθοράν· εἰ γὰρ κρεῖττον τὸ μὴ εἶναι τοῦ εἶναι τὸν κόσ-

---

[1]) Προχειρίζω (изъ προ и χείρ)—даю въ руки, дѣлаю извѣстнымъ для всѣхъ. Въ общемъ залогѣ (—σθαι)—предпринимаю, предъизбираю, поставляю. Ср. Дѣян. Ап. 22. 14.

[2]) Пс. 103. 4.

[3]) Κατ' αὐτοὺς—по ихъ мнѣнію, выраженному въ приведенномъ возраженіи.

μον, διὰ τί τὸ χεῖρον ᾑρεῖτο ποιήσας τὸν κόσμον ο Θεός; ἀλλ' οὐδὲν ὁ Θεὸς ματαίως ἢ χεῖρον ἐποίει· οὐκοῦν εἰς τὸ εἶναι καὶ μένειν τὴν κτίσιν ὁ Θεὸς διεκοσμήσατο, καθάπερ καὶ ἡ σοφία διασυνίςησιν, «ἔκτισε γὰρ εἰς τὸ εἶναι» λέγουσα «τὰ πάντα ὁ Θεός, καὶ σωτήριοι αἱ γενέσεις τοῦ κόσμου, καὶ οὐκ ἔςιν ἐν αὐταῖς φάρμακον ὀλέθρου» [1]· καὶ Παῦλος δὲ σαφῶς μαρτυρεῖ λέγων· «ἡ γὰρ ἀποκαραδοκία [2]) τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ ἀπεκδέχεται· τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα ἐπ' ἐλπίδι, ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ» [3]. «Τῇ γὰρ ματαιότητι» φησιν «ἡ κτίσις ὑπετάγη», ἐλευθερωθήσεσθαι δὲ τῆς τοιαύτης δουλείας προσδοκᾷ κτίσιν, τὸν κόσμον τοῦτον βουλόμενος νῦν καλεῖν· οὐ γὰρ τὰ μὴ βλεπόμενα τῇ φθορᾷ δουλεύει, ἀλλὰ ταῦτα δὴ τὰ βλεπόμενα· μένει ἄρα ἡ κτίσις εἰς τὸ ἄμεινον ἀνακαινοποιηθεῖσα καὶ εὐπρεπέςερον, ἀγαλλομένη καὶ χαίρουσα ἐπὶ τοῖς τέκνοις τοῦ Θεοῦ τῇ ἀναςάσει, δι' οὓς ςενάζει καὶ συνωδίνει νῦν, τὴν ἀπολύτρωσιν ἡμῶν ἀπὸ τῆς φθορᾶς καὶ αὐτὴ τοῦ σώματος ἀπεκδεχομένη, ὅπως ἡμῶν ἐξεγερθέντων καὶ ἀποτιναξαμένων τὴν νεκρότητα τῆς σαρκός, κατὰ τὸ γεγραμμένον «ἐκτίναξαι τὸν χοῦν καὶ ἀνάςηθι καὶ κάθισον, Ἱερουσαλήμ [4])», ἐλευθερωθέντων τε τῆς ἁμαρτίας, ἐλευθερωθήσεται καὶ αὐτὴ τῆς φθορᾶς, μηκέτι τῇ ματαιότητι δουλεύουσα, ἀλλὰ τῇ δικαιοσύνῃ· «οἴδαμεν γάρ (φησιν) ὅτι πᾶσα ἡ κτίσις συςενάζει καὶ συνωδίνει ἄχρι τοῦ νῦν· οὐ μόνον δέ, ἀλλὰ καὶ αὐτοὶ τὴν ἀπαρχὴν τοῦ πνεύματος ἔχοντες, καὶ αὐτοὶ ἐν ἑαυτοῖς ςενάζομεν τὴν υἱοθεσίαν ἀπεκδεχόμενοι, τὴν ἀπολύτρωσιν τοῦ σώματος ἡμῶν [5])». Καὶ ὁ Ἡσαΐας δέ· «ὃν τρόπον γὰρ ὁ οὐρανὸς καινὸς καὶ ἡ γῆ καινή, ἃ ἐγὼ (φησι) ποιῶ, μένει ἐνώπιόν μου, λέγει Κύριος, οὕτως ἔςαι τὸ σπέρμα ὑμῶν καὶ τὸ ὄνομα ὑμῶν» [6])· καὶ πά-

---

[1]) Прем. 1. 14.

[2]) Ἀπὸ—κάρα—δοκεῖν—съ напряженіемъ или со тщаніемъ ожидать чего-нибудь; отсюда существ. имя, употребленное и Апостоломъ къ Рим. 8. 19 и Филипп. 1. 20.

[3]) Рим. 8. 19—21. [4]) Ис. 52 2. [5]) Рим. 8. 22. [6]) Ис. 66. 22.

λιν· «οὕτως λέγει Κύριος ὁ ποιήσας τὸν οὐρανὸν, οὗτος Θεὸς ὁ κατασκευάσας τὴν γῆν καὶ ποιήσας αὐτήν· αὐτὸς διώρισεν αὐτὴν, οὐκ εἰς κενὸν ἐποίησεν αὐτὴν, ἀλλὰ κατοικεῖσθαι» [1]). Ὄντως γὰρ οὐκ εἰς κενὸν οὐδὲ εἰς μάτην πρὸς ἀπώλειαν ἔκτισε, κατὰ τοὺς φρονοῦντας μάταια, τὸ πᾶν ὁ Θεὸς, ἀλλὰ εἰς τὸ εἶναί τε καὶ οἰκεῖσθαι καὶ διαμένειν· διὸ ἀνάγκη δὴ καὶ τὴν γῆν αὖθις καὶ τὸν οὐρανὸν μετὰ τὴν ἐκφλόγωσιν ἔσεσθαι πάντων καὶ τὸν βρασμόν· διὰ τί δὲ τοῦτο ἀνάγκη, λόγος ἂν ἔτι πλείων τῶν εἰρημένων γίγνοιτο· οὔτε γὰρ εἰς ὕλην ἀργὴν καὶ τοιαύτην ἔτι κατάςασιν, οἵα καὶ πρὸ τῆς διακοσμήσεως ἦν, διαλυθὲν ἀναςοιχειωθήσεται τὸ πᾶν, οὔτ' αὖ εἰς ἀπώλειαν παντελῆ καὶ φθοράν.

29. Ἐὰν δὲ· πῶς οὖν, εἰ μὴ ἀπόλλυται τὸ πᾶν, οἱ ἐξ ἐναντίας εἴπωσι, ὁ μὲν Κύριος τὸν οὐρανὸν παρελεύσεσθαι ἔφη καὶ τὴν γῆν, ὁ δὲ προφήτης ἀπολεῖσθαι μὲν τὸν οὐρανὸν ὡς καπνὸν, τὴν δὲ γῆν ὡς ἱμάτιον παλαιωθήσεσθαι [2]); Ἐπειδήπερ ἔθος ταῖς γραφαῖς, λέξομεν, τὴν εἰς τὸ κρεῖττον καὶ ἐνδοξότερον ἀπὸ ταύτης τῆς καταςάσεως τοῦ κόσμου μεταβολὴν ἀπώλειαν λέγειν, οἷον τοῦ πρόσθεν σχήματος ἀπολλυμένου κατὰ τὴν εἰς τὸ φαιδρότερον ἁπάντων ἐξαλλαγήν· ὅτι μηδεμία ὑπεναντίωσις ἢ ἀτοπία ἐν τοῖς θείοις λόγοις· «παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου [3]),» καὶ οὐχ «ὁ κόσμος» εἴρηται. Οὕτως ἔθος ἀπώλειαν καλεῖν τὰς γραφὰς τὴν εἰς τὸ ἄμεινον ἔσθ' ὅτε καὶ εὐμορφότερον τροπὴν τοῦ πρόσθεν σχήματος, οἷον ὥσπερ ὁπόταν τις ἀπώλειαν λέγῃ τοῦ κατὰ τὸν νήπιον σχήματος τὴν εἰς τὸν ἄνδρα τὸν τέλειον μεταλλαγὴν, τρεπομένης εἰς μέγεθος καὶ κάλλος τῆς ἡλικίας τοῦ νηπίου· «ὅτε γὰρ ἤμην νήπιος, ὡς νήπιος ἐλάλουν, ὡς νήπιος ἐφρόνουν, ὡς νήπιος ἐλογιζόμην· ὅτε δὲ γέγονα ἀνὴρ, κατήργησα τὰ τοῦ νηπίου» [4]). Παραχθήσεσθαι μὲν γὰρ τὴν κτίσιν, ὥσπερ τεθνηξομένην κατὰ τὴν ἐκπύρωσιν, ἵνα καὶ ἀνακαινισθῇ, οὐ μὴν ἀπολεῖσθαι προσδοκητέον, ὅπως οἱ ἀνακαινοποιηθέντες ἐν ἀνακαινοποιηθέντι τῷ κόσμῳ ἄγευςοι λύπης κατοικήσωμεν, κατὰ τὸ λεχθὲν «ἐξαποςελεῖς τὸ πνεῦμά σου καὶ κτισθήσονται» ἐν

---

[1]) Ησ. 45. 18. [2]) Ματ. 24. 35. Ησ. 51. 6. [3]) 1 Κορ. 7. 31. [4]) 1 Κορ. 13. 11

ἑκατοςῷ τρίτῳ ψαλμῷ, «καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς» [1]), τοῦ περιέχοντος [2]) τῆς εὐκρασίας ἐπιτροπεύοντος λοιπὸν τοῦ Θεοῦ· ἐσομένης γὰρ καὶ μετὰ τοῦτον τὸν αἰῶνα γῆς ἀνάγκη πᾶσα ἔσεσθαι καὶ τοὺς οἰκήσοντας οὐκέτι τεθνηξομένους ἢ γαμήσοντας καὶ γεννησομένους, ἀλλ' ὡς ἀγγέλους ἀμεταςρόφως ἐν ἀφθαρσίᾳ τὰ ἄριςα πράξοντας. Διὸ ληρῶδες τὸ ἐν ποίᾳ διαγωγῇ τότε δὴ τὰ σώματα ἔσεσθαι λέγεσθαι, μήτε ἀέρος μήτε γῆς μήτε τῶν ἄλλων ἐσομένων.

30. Ἄξιον δὲ κἀκεῖνο πρὸς τοῖς εἰρημένοις ἐπισκοπεῖν, ὡς ἔχει πολλὴν διάπτωσιν [3]), εἰ δεῖ παῤῥησίαν ἄγειν περὶ τηλικούτων, ὦ Ἀγλαοφῶν, διαλεγομένους πραγμάτων. Φράσας γὰρ ἀποφήνασθαι τὸν Κύριον, ὡς οἱ τῆς ἀναςάσεως τευξόμενοι ἔσονται τότε ὡς ἄγγελοι [4]), ἔνθα πειράζουσιν αὐτὸν οἱ Σαδδουκαῖοι, ἐπέφερες· οἱ δὲ ἄγγελοι ἐκτὸς ὄντες σαρκὸς ἐν μακαριότητος ἀκρότητι διὰ τοῦτο καὶ δόξης εἰσί, καὶ ἡμᾶς δὲ ἄρα ἐξισάζεσθαι μέλλοντας ἀγγέλοις ἀνάγκη δὴ σαρκῶν ὡσαύτως ἐκείνοις γυμνοὺς ἔσεσθαι δεῖν,—οὐκ ἐπιςήσας, ὦ ἄριςε, ὡς ὁ ποιήσας καὶ διακοσμήσας ἐξ οὐκ ὄντων τὸ πᾶν τὴν τῶν ἀθανάτων φύσιν οὐ μόνον εἰς ἀγγέλους καὶ λειτουργοὺς διανείμας διεκόσμησεν, ἀλλὰ καὶ εἰς ἀρχὰς καὶ θρόνους καὶ ἐξουσίας· ἄλλο γὰρ γένος τὸ τῶν ἀγγέλων καὶ ἄλλο τὸ τῶν ἀρχῶν καὶ ἐξουσιῶν, ὅτι μὴ τάγμα ἓν καὶ μία σύςασις καὶ φυλὴ καὶ πατριὰ τῶν ἀθανάτων, ἀλλὰ γένη καὶ φυλαὶ καὶ διαφοραί· καὶ οὔτε τὰ Χερουβὶμ τῆς ἰδίας ἐξιςάμενα φύσεως εἰς τὴν τῶν ἀγγέλων ἰδέαν μετασκευάζονται, οὔτ' αὖ πάλιν εἰς τὴν ἑτέρων οἱ ἄγγελοι· εἶναι γὰρ αὐτὰ χρὴ καὶ ὅ εἰσι καὶ ὃ γεγόνασιν. Ἀτὰρ καὶ ὁ ἄνθρωπος τὸν κόσμον οἰκεῖν καὶ τῶν ἐν αὐτῷ πάντων ἡγεμονεύειν καταςαθεὶς τῆς ἐξ ἀρχῆς διακοσμήσεως, ἀθάνατος ὤν, τοῦ εἶναι ἄνθρωπος οὔποτε μεταβληθήσεται, οὔτε εἰς τὴν των ἀγγέλων οὔτε εἰς τὴν τῶν ἑτέρων μορφήν, ὅτι μηδὲ οἱ ἄγγελοι εἰς τὴν τῶν

---

[1]) Пс. 103. 30.

[2]) Ὁ περιέχων или τὸ περιέχον—иногда употребляется въ значеніи: все, что окружаетъ насъ, какъ-то: воздухъ, температура, небо и т. п.

[3]) Ὡς... διάπτωσιν—въ какое великое заблужденіе можно впасть. Или: какъ много можно ошибаться.

[4]) Марк. 12. 25.

ἄλλων τῆς ἐξ ἀρχῆς ἰδέας μετακοσμούμενοι μεταβάλλονται· ὁ γὰρ Χριςὸς ἧκεν οὐκ εἰς ἑτέραν μορφὴν πλασθῆναι κηρύσσων ἢ μετασκευασθῆναι τὴν ἀνθρωπείαν φύσιν, ἀλλὰ εἰς ὃ ἦν ἐξ ἀρχῆς πρὸ τοῦ ἐκπεσεῖν, ἀθάνατος ὤν. Χρὴ γὰρ ἐν τῷ ἰδίῳ τῆς ἕξεως ἑαυτοῦ τύπῳ τῶν γενητῶν ἕκαςον μένειν, ἵνα πάντα πάντων ὦσι πεπληρωμένα, οὐρανοὶ μὲν ἀγγέλων, θρόνοι δὲ ἐξουσιῶν, φῶτα δὲ λειτουργῶν, καὶ οἱ θειότεροι τόποι καὶ τὰ ἄκρατα καὶ ἀκραιφνῆ φῶτα τῶν Σεραφίμ, ἃ παρεςήκασι τῇ μεγάλῃ βουλῇ διακρατούσῃ τὸ πᾶν, ὁ δὲ κόσμος ἀνθρώπων· ἐὰν δὲ μεταβάλλεσθαι δῶμεν τοὺς ἀνθρώπους εἰς ἀγγέλους, ὥρα μεταβάλλεσθαι δοῦναι καὶ τοὺς ἀγγέλους εἰς ἐξουσίας, καὶ ταύτας εἰς ἄλλο καὶ ἄλλο, ἕς ἂν ὁ λόγος ἀναβὰς εἰς κίνδυνον ἐμπέσῃ.

**31.** Ἀλλ' οὔτε ὡς φαῦλον τεκτηνάμενος ὁ Θεὸς τὸν ἄνθρωπον, ἢ διαμαρτήσας αὐτοῦ περὶ τὴν διάπλασιν, ἄγγελον αὐτὸν ὕςερον ἐπενόησε ποιῆσαι, μεταγνούς, ὥσπερ οἱ φαυλότατοι τῶν δημιουργῶν, οὔτε ἄγγελον κατ' ἀρχὰς θελήσας ποιῆσαι καὶ μὴ δυνηθεὶς ἄνθρωπον ἔπλασεν· ἀσθενὲς τοῦτο γάρ. Τί δήποτε οὖν τὸν ἄνθρωπον ἄνθρωπον ἐποίει καὶ οὐκ ἄγγελον, εἴ γε ἄγγελον τὸν ἄνθρωπον καὶ οὐκ ἄνθρωπον γενέσθαι ἤθελεν; ὡς οὐ δυνάμενος; βλάσφημον· ἀλλ' ἀνεβάλλετο περὶ τοῦ κρείττονος τὸ χεῖρον ποιῶν; καὶ τοῦτο ἄτοπον· οὔτε γὰρ διασφάλλεται περὶ τὸ ποιεῖν τὸ καλὸν οὔτε ἀναβάλλεται οὔτε ἀδυνατεῖ, ἀλλὰ καὶ ὡς θέλει καὶ ὅτε θέλει τὸ δύνασθαι ἔχει, δύναμις ὤν· οὐκοῦν εἶναι τὸν ἄνθρωπον ἄνθρωπον θέλων ἐξ ἀρχῆς ἔκτισεν· εἰ δὲ θέλων, θέλει δὲ τὸ καλόν, καλὸν δὲ ὁ ἄνθρωπος, ἄνθρωπος δὲ τὸ ἐκ ψυχῆς καὶ σώματος λέγεται συντεθέν, οὐκ ἔςαι ἄρα ἐκτὸς σώματος ὁ ἄνθρωπος, ἀλλὰ μετὰ σώματος, ἵνα μὴ ἄλλος ἄνθρωπος παρὰ τὸν ἄνθρωπον γενηθῇ· δεῖ γὰρ τῷ Θεῷ τὰ ἀθάνατα γένη πάντα σώζεσθαι, ἀθάνατον δὲ ὁ ἄνθρωπος· «ἔκτισε» γάρ φησιν σοφία «τὸν ἄνθρωπον ὁ Θεὸς ἐπὶ ἀφθαρσίᾳ, καὶ εἰκόνα τῆς ἰδίας ἀϊδιότητος ἐποίησεν αὐτόν [1])»· οὐκ ἄρα ἀπόλλυται τὸ σῶμα· ὁ γὰρ ἄνθρωπος ἐκ ψυχῆς καὶ σώματος.

**32.** Διὸ ἐπίςησον, ὡς καὶ ὁ Κύριος τὰ αὐτὰ ταῦτα διδάσκειν

---

[1]) Прем. 2. 23.

θέλων, μὴ πιςευόντων Σαδδουκαίων εἰς τὴν ἀνάςασιν τῆς σαρκὸς (δόγμα γὰρ τοῦτο Σαδδουκαίων· ὅθεν συσκευασάμενοι τὴν κατὰ τὴν γυναῖκα καὶ τοὺς ἑπτὰ ἀδελφοὺς παραβολὴν, ἵνα τὸν περὶ ἀναςάσεως τῆς σαρκὸς λόγον ἀποκηρύσσωσι, προσῆλθον αὐτῷ· ἀμέλει [1]) αὐτὸς ὁ εὐαγγελιςὴς ἐπεσημήνατο «προσῆλθον δὲ αὐτῷ» εἰπὼν «καὶ Σαδδουκαῖοι, λέγοντες μὴ εἶναι ἀνάςασιν») [2]), ὁ οὖν Χριςὸς, εἰ μὴ ἦν ἀνάςασις σαρκὸς, ἀλλὰ μόνον ἐσώζετο ἡ ψυχὴ, συνέθετο ἂν αὐτοῖς ὡς καλῶς καὶ ὀρθῶς φρονοῦσι· νυνὶ δὲ ἀποκρίνεται λέγων· «ἐν τῇ ἀναςάσει οὔτε γαμοῦσιν οὔτε γαμίσκονται, ἀλλ᾽ ὡς ἄγγελοι ἐν οὐρανῷ εἰσιν,» οὐ τῷ σάρκα μὴ ἔχειν, ἀλλὰ τῷ μὴ γαμεῖν καὶ γαμεῖσθαι, ἀλλὰ εἶναι λοιπὸν ἐν ἀφθαρσίᾳ· καί φησιν ἀγγέλοις κατὰ τοῦτο παραπλησιασθέντας, ἵν᾽ ὥσπερ οἱ ἄγγελοι ἐν τῷ οὐρανῷ, οὕτως καὶ ἡμεῖς ἐν τῷ παραδείσῳ μὴ γάμοις ἢ εἰλαπίναις ἔτι σχολάζωμεν, ἀλλὰ τῷ βλέπειν τὸν Θεὸν καὶ γεωργεῖν τὴν ζωὴν πρυτανεύοντος ἡμῖν τοῦ Χριςοῦ· οὐ γὰρ εἶπεν «ἔσονται ἄγγελοι,» ἀλλ᾽ «ὡς ἄγγελοι,» οἷον δόξῃ μὲν καὶ τιμῇ, κατὰ τὸ γεγραμμένον, ἐςεφανωμένοι, βραχὺ δέ τι παρὰ τοὺς ἀγγέλους διαλλάσσοντες [3]) καὶ ἐγγὺς ὄντες τοῦ εἶναι ἄγγελοι. Καθάπερ εἰ ἔλεγεν, οὔσης εὐταξίας κατὰ τὸν ἀέρα καὶ γαλήνης νυκτὸς καὶ πάντων τῷ τῆς σελήνης αἰθερίῳ φωτὶ κεκοσμημένων, ἡ σελήνη φαίνει ὡς ὁ ἥλιος, καὶ οὐ πάντως ἂν ἥλιον εἶναι τὴν σελήνην ἀπομαρτυρεῖν αὐτὸν ἐλέγομεν, ἀλλ᾽ ὡς ἥλιον, ὥσπερ καὶ τὸ μὴ ὑπάρχον χρυσὸς, ἐγγὺς δὲ τοῦ εἶναι χρυσὸς πεφυκὸς, ὡς χρυσὸς λέγεται καὶ οὐ χρυσός· εἰ δὲ ἦν χρυσὸς, οὐκ ἐλέγετο ἂν ὡς χρυσὸς, ἀλλὰ χρυσός· ἐπεὶ δὲ μὴ ἐςι χρυσὸς, ἀλλὰ ἐγγὺς τοῦ εἶναι χρυσὸς καὶ φαντάζεσθαι τὸν χρυσὸν, οὐ χρυσὸς, ἀλλ᾽ ὡς χρυσὸς λέγεται· οὕτω καὶ ὡς ἀγγέλους ἔσεσθαι λέγοντος τοὺς ἁγίους ἐν τῇ ἀναςάσει, οὐκ αὐτὸ τοῦτο ἀγγέλους αὐτὸν ἐπαγγέλλεσθαι ἀκούομεν τοὺς ἁγίους ἔσεσθαι ἐν τῇ ἀναςάσει, ἀλλὰ ἐγγὺς τοῦ εἶναι ἀγγέλους· ὥςε ἀλογώτατον λέγειν, ἐπειδὴ ὁ Χριςὸς τοὺς ἁγίους ἀπεφήνατο ὀφθῆναι ὡς ἀγγέλους ἐν τῇ ἀναςάσει, τὰ σώματα διὰ τοῦτο ταῦτα μὴ ἀνίςασθαι, καίτοι τῆς λέξεως αὐτὴν

---

[1]) Ἀμέλει—подлинно, такъ. Повелит. наклоненіе отъ ἀμελέω: не сомнѣвайся (въ томъ, что говорится).

[2]) Мат. 22. 23. [3]) Псал. 8. 6.

τὴν τάξιν δηλούσης σαφῶς τοῦ συμβαίνοντος. Ἀνάςασις γὰρ οὐκ ἐπὶ τοῦ μὴ πεπτωκότος, ἀλλ' ἐπὶ τοῦ πεπτωκότος λέγεται καὶ ἀνιςαμένου, ὥσπερ ὁπόταν λέγῃ καὶ ὁ προφήτης· «καὶ ἀναςήσω τὴν σκηνὴν Δαβὶδ τὴν πεπτωκυῖαν [1])»· ἔπεσε δὲ ὀκλάσασα ἡ παθητὴ σκηνὴ τῆς ψυχῆς εἰς γῆν χώματος [2])· οὐ γὰρ τὸ μὴ θνῆσκον, ἀλλὰ τὸ θνῆσκον κλίνεται· θνήσκει δὲ σάρξ· ψυχὴ γὰρ ἀθάνατος. Καὶ τοίνυν εἰ ἡ ψυχὴ ἀθάνατος, σῶμα δὲ ὁ νεκρὸς, οἱ λέγοντες ἀνάςασιν μὲν εἶναι, σαρκὸς δὲ μὴ εἶναι, ἀρνοῦνται μὴ εἶναι ἀνάςασιν, ὅτι μὴ τὸ ἑςὸς, ἀλλὰ τὸ πεπτωκὸς καὶ κλιθὲν διανίςαται, κατὰ τὸ γεγραμμένον· «μὴ ὁ πίπτων οὐκ ἀνίςαται, ἢ ὁ ἀποςρέφων οὐκ ἀναςρέψει [3]);»

33. Ὅτι δὲ ἀθάνατος ἡ ψυχὴ, ἐδίδαξεν ἀναφανδὸν ὁ Κύριος καὶ δι' ἑαυτοῦ καὶ διὰ Σολομῶνος εἰπὼν, δι' ἑαυτοῦ μὲν ἐν τῇ κατὰ τὸν πλούσιον καὶ τὸν πένητα Λάζαρον ἱςορίᾳ, τὸν μὲν ἐν κόλποις Ἀβραὰμ δοὺς ἀναπαύεσθαι μετὰ τὴν ἀπόθεσιν τοῦ σώματος, τὸν δὲ ἐν ἀλγηδόσιν, οἷς διαλεγόμενον τὸν Ἀβραὰμ εἰσήγαγε [4])· διὰ Σολομῶνος δὲ ἐν τῇ ἐπιγραφομένῃ σοφίᾳ, ἔνθα «δικαίων αἱ ψυχαὶ ἐν χειρὶ» γέγραπται «Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος· ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ, καὶ ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης» [5]). Ὅθεν σώματος ἡ ἀνάςασις, καὶ οὐ ψυχῆς· οὐ γὰρ τὸν ἑςῶτά τις ἀνίςησιν, ἀλλὰ τὸν κείμενον, ὥσπερ οὐδὲ τὸν ὑγιαίνοντα θεραπεύουσιν, ἀλλὰ τὸν πάσχοντα. Εἰ δέ τις τὴν ἀνάςασιν ἐπὶ τῆς ψυχῆς, καὶ μὴ ἐπὶ τῆς σαρκὸς βιάζεται (λέγειν) ἔσεσθαι, πολλὴ μὲν μωρία τοῦτο καὶ ἀλογία· δεῖ γὰρ φθορὰν πρῶτον καὶ λύσιν τὸν τοιοῦτον τῆς ψυχῆς δεικνύναι, ἵνα δείξῃ δὴ καὶ τὴν ἀνάςασιν, μήτοι ληροῦντά γε, ἀλλὰ σαφῶς λέγοντά τι φαίνεσθαι. Ὅμως γοῦν δοτέον αὐτῷ θνητὴν ὁρίσασθαι τὴν ψυχήν· δυοῖν γάρ τοι θάτερον ταῦτα θετέον, ἢ ἀληθῆ τὸν Κύριον ἀποφήνασθαι ἀθάνατον τὴν ψυχὴν διδάσκοντα, καὶ ψεῦδος αὐτὴν τὸ φθείρεσθαι λέγειν, ἢ φθείρεσθαι, καὶ ψεῦδος τὸ ἀνώλεθρον αὐτὴν καὶ ἀθάνατον εἶναι διδάσκειν τὸν Χριςὸν, καὶ ἐν τῇ κατὰ τὸν πλούσιον καὶ τὸν πένητα φράσει, καὶ ἐν τῇ

---

[1]) Амос. 9. 11. [2]) Дан. 12. 2. [3]) Iер. 8. 4. [4]) Лук. 16. [5]) Прем. 3. 1—4.

κατὰ τὸν Μωυσέα καὶ τὸν Ἠλίαν ὀπτασία. Ἀλλ' οὐδὲν ὁ Κύριος ἄλλως [1]) ἐφθέγξατο, ἢ ἐψεύσατο· οὐ γὰρ εἴδωλον ἢ φάσμα, τοὺς ἀποςόλους βουλόμενος ἀπατᾶν, ἐδείκνυεν αὐτοῖς ἐν τῷ ὄρει τὸν Ἠλίαν καὶ τὸν Μωυσέα, ἀλλὰ τὸ ὃ ἦσαν ἀψευδῶς· ὥςε, ὡς ἔπος εἰπεῖν, καὶ τὸν δυσμαθέςατον μαθεῖν ἀθάνατον αὐτὸν εἶναι καὶ ἀνώλεθρον διαβεβαιοῦσθαι τὴν ψυχήν.

34. Οὐκοῦν σαρκὸς ἡ ἀνάςασις γίνεται καὶ οὐ ψυχῆς, ὅπως ἡ πεπτωκυῖα τοῦ Δαβὶδ εἰς τὴν φθορὰν ἀνας αίη σκηνὴ, καὶ ἀναςᾶσα καὶ ἀνοικοδομηθεῖσα, καθὼς αἱ ἡμέραι τοῦ αἰῶνος [2]), ἀπήμων λοιπὸν καὶ ἀδιάπτωτος διαμένοι, ὅτι μὴ τοῦ Θεοῦ τὴν λιθίνην οἰκίαν δείμασθαι τοῦ Δαβὶδ εἰς τὸ μέλλον, ἵν' ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν οἰκίαν σχῇ καλὴν, ἀλλὰ τὴν σάρκα τὸ σκῆνος τῆς ψυχῆς, ἣν αὐτὸς ταῖς ἑαυτοῦ χερσὶν ἐτεκτήνατο. Σκοπεῖσθαι δέ σε, ὦ σοφώτατε Ἀγλαοφῶν, οὑτωσὶ χρή· πάντως δὲ ῥᾷςα μαθήσῃ τοῦτο, ἐὰν ἐπὶ τὴν τοῦ καθεύδειν εἰκόνα πρόσχῃς καὶ ἀνίςασθαι· εἰ γὰρ τὸ ὑπνοῦν ἀπὸ τοῦ ἐγρηγορέναι καὶ τὸ ἀνίςασθαι ἀπὸ τοῦ καθεύδειν γίγνεται, καὶ τοῦτο θανάτου καὶ ἀναςάσεως μελέτη (ὕπνῳ γὰρ καὶ θανάτῳ διδυμάοσιν) [3]), ἀνάγκη δὴ καὶ τὸ ἀναβιώσκεσθαι εἶναι ἐκ τοῦ τεθνάναι, εἰς τὸ ζῆν τὴν σάρκα, εἴπερ καὶ τὸ ἀνεγείρεσθαι ἐκ τῶν καθευδόντων· ὡς γὰρ ἐκ τοῦ καθεύδειν τὸ ἐγρηγορέναι γίγνεται, καὶ οὐ πάντως ὁ καθεύδων ἐν τῷ αὐτῷ διαμένει σχήματι καθεύδων ἀεὶ, ἀλλ' αὖθις ἀνίςαται, οὕτως καὶ τὸ ζῆν ἐκ τοῦ ἀποθανεῖν συμβήσεται, καὶ οὐ πάντως ὁ ἀποθανὼν, ἐπειδὰν ἀποθάνοι, ἐν τῷ αὐτῷ μένει· εἰ γὰρ ἐκ τοῦ κοιμᾶσθαι τὸ ἐγρηγορέναι καὶ ἐκ τοῦ πεσεῖν τὸ ἀνεγερθῆναι καὶ ἐκ τοῦ καταβληθῆναι τὸ ἀνοικοδομηθῆναι, τίς μηχανὴ [4]) καὶ ἐκ τοῦ κλιθέντος μὴ οὐχὶ προσδοκᾶν τὸ ἀναςήσεσθαι καὶ ἐκ τοῦ θανόντος τὸ ἀναβιώσκεσθαι; καὶ γὰρ ἡμεῖς ταῦτα οὐκ ἐξαπατώμενοι ὁμολογοῦμεν, ἐκ τῶν τεθνεώτων σωμάτων τὸ ἀναβιώσκεσθαι συμβαίνειν. Καὶ μὴ μόνον τοῦτο, εἰ βούλει, ἀπὸ τοῦ καθεύδειν σκόπει καὶ ἀνίςασθαι, ἀλλὰ καὶ ἀπὸ τῶν σπερμάτων καὶ φυτῶν,

---

[1]) Ἄλλως—иначе, не такъ (какъ слѣдуетъ), несправедливо.

[2]) Амос. 9. 11. [3]) Ιλiaд. 16. 672.

[4]) Μηχανή—средство, способъ, возможность дѣлать что-нибудь. Τίς μηχανὴ μὴ οὐχὶ.. какъ возможно не ожидать?

ὡς ἐν πᾶσιν αὐτοῖς ἡ ἀνάςασις καταγγέλλεται· κατάμαθε γὰρ τὰ σπέρματα, πῶς γυμνὰ καὶ ἄσαρκα βάλλεται εἰς τὴν γῆν, καὶ τελεσφορούμενα πάλιν ἀποδίδοται· ἐπεὶ εἰ θνήσκοι μὲν καὶ σήποιτο τὰ σπέρματα, ἐκ δὲ τῶν σπερμάτων μηκέτι τὸ ἀναζῆν καὶ φύειν γένοιτο, τίς ἡ ἀποκλήρωσις [1]), μὴ οὐχὶ πάντα καταναλωθῆναι εἰς τὸ τεθνάναι;

---

[1]) Ἀποκλήρωσις (изъ ἀπὸ и κλῆρος), назначеніе жребіемъ, судьба, окончательный исходъ.

## VII.

# СВ. АѲАНАСІЙ ВЕЛИКІЙ АРХІЕПИСКОПЪ АЛЕКСАНДРІЙСКІЙ.

Св. Аѳанасій родился въ концѣ 3-го вѣка отъ христіанскихъ и благочестивыхъ родителей, жившихъ въ Александріи, гдѣ Промыслъ Божій судилъ ему быть предстоятелемъ Церкви въ теченіи почти полвѣка—съ 326 до 373 года—и оказать для ней важныя заслуги какъ дѣлами своими, такъ и писаніями, при смутныхъ обстоятельствахъ этого вѣка. Въ тоже время заслуги его не ограничивались одною Александрійскою областію, но простирались на всю вселенскую Церковь Христову. Ни одинъ изъ пастырей не имѣлъ столько вліянія на тогдашнія церковныя событія, сколько имѣлъ этотъ Святитель по своимъ превосходнымъ природнымъ дарованіямъ, по высокому просвѣщенію въ предметахъ христіанской и свѣтской учености и по своей непоколебимой твердости въ исповѣданіи православной Вѣры.

Св. Аѳанасій, можно сказать, такъ же великъ въ началѣ своего поприща, какъ и при концѣ его. Въ достославномъ собраніи пастырей вселенской Церкви въ г. Никеи въ 325 году—куда прибылъ онъ съ Епископомъ своимъ Александромъ въ званіи діакона 30-ти лѣтъ отъ роду—онъ сначала въ предварительныхъ совѣщаніяхъ, потомъ въ торжественномъ засѣданіи 318 Епископовъ предъ лицемъ Императора Константина, съ особенною силою защищалъ догматъ Божества Іисусъ-Христова противъ ересеначальника

Арія и его приверженцевъ, и тогда же пріобрѣлъ всеобщую извѣстность. Затѣмъ, въ санѣ Архіепископа Александрійскаго, св. Аѳанасій съ истиннымъ самоотверженіемъ Христова исповѣдника постоянно и непреклонно подвизался противъ современной ереси словомъ и дѣломъ и всѣми средствами, какія только могла изобрѣсти его пламенная ревность по вѣрѣ православной и крѣпкая любовь къ Христовой Церкви. Борьба съ аріанствомъ сдѣлалась главною задачею всей его жизни, побѣда надъ нимъ—цѣлію важнѣйшихъ трудовъ его и постоянныхъ желаній, а заслуги его для Церкви въ этомъ дѣлѣ были столь разительны, что еще при жизни своей онъ почтенъ рѣдкими названіями *непобѣдимаго защитника Вѣры, Отца православія, великаго.* Но такая побѣда и такая слава пріобрѣтены имъ въ жестокой борьбѣ съ врагами, которые съ самаго 325 года питали къ нему непримиримую ненависть, возраставшую все болѣе и болѣе и сдѣлавшую для него всю жизнь многострадальнымъ подвигомъ за Вѣру и Церковь. Послѣ Никейскаго Собора послѣдователи Арія неоднократно овладѣвали умами современниковъ и важнѣйшими епископскими каѳедрами и при помощи нѣкоторыхъ свѣтскихъ правителей получали возможность подвергать православныхъ христіанъ и ихъ пастырей гоненію, ссылкѣ и заточенію. По ихъ проискамъ и насиліямъ св. Аѳанасій два раза былъ въ изгнаніи на западѣ Европы, три раза принужденъ былъ удаляться въ африканскія пустыни, и столько же разъ при перемѣнившихся обстоятельствахъ Церкви и государства возвращался на свою Александрійскую каѳедру, непрестанно ратоборствуя противъ враговъ православія. Только къ концу своей жизни—съ 367 года—онъ имѣлъ утѣшеніе оставаться среди своей ближайшей паствы, принимая и въ это время самое живое и дѣятельное участіе во всѣхъ

дѣлахъ церковныхъ, пока наконецъ послѣ многочисленныхъ и по истинѣ удивительныхъ подвиговъ 80-лѣтней жизни сошелъ въ могилу въ 373 году съ блаженнымъ сознаніемъ того, что возложенное на него Промысломъ Божіемъ дѣло—сокрушить или по крайней мѣрѣ обезсилить Аріанство—совершено имъ со славою, къ истинному благу Христовой Церкви.—Священную память его православная Церковь прославляетъ 13 Января и 2 Мая (См. Ученіе объ Отцахъ Ц. Т. 2. стр. 34—40. Также: О заслугахъ св. Аѳанасія великаго для Церкви въ борьбѣ съ Аріанствомъ. С. П. Б. 1850 г.).

Важнѣйшія творенія св. Аѳанасія, кромѣ двухъ написанныхъ въ раннее время его жизни подъ заглавіями: *Слово противъ Эллиновъ* и *Слово о воплощеніи (Бога) Слова и о пришествіи Его къ намъ во плоти*, имѣютъ весьма близкое отношеніе къ его пастырской и словесной дѣятельности противъ тѣхъ враговъ православія, съ которыми онъ боролся во всю свою жизнь. Аріане стремились поколебать основаніе Христовой Церкви и на мѣсто правой вѣры въ единосущіе Сына Божія съ Богомъ Отцемъ внушить современникамъ ученіе недостойное божественнаго лица Спасителя. Св. Аѳанасій одушевилъ всѣ главные письменные труды свои единственною цѣлію—опровергнуть ложное ученіе Аріанъ и близкихъ къ нимъ тогдашнихъ еретиковъ и всестороннимъ раскрытіемъ истины поддержать въ душахъ христіанъ ту вѣру въ Сына Бога живаго, которая постоянно сохранялась въ Церкви отъ временъ апостольскихъ. опредѣлена и утверждена на св. Никейскомъ 1-мъ вселенскомъ Соборѣ. Эти творенія Святителя, составленныя иногда не со строгою систематичностію по причинѣ смутъ и преслѣдованій, среди которыхъ они писаны, но всегда выраженныя съ увлекательною силою, рѣдкимъ краснорѣчіемъ и необыкновенною точностію, не смотря

на высоту и непостижимость защищаемаго догмата Вѣры, во всей своей совокупности составляютъ приснопамятный «полный трофей побѣды надъ ересью аріанскою», какъ говоритъ патріархъ Фотій (Bibl. cod. CXLI), и въ свое время, «какъ бы цѣлительный бальзамъ, оживляли всю поднебесную», по словамъ св. Кирилла Александрійскаго (Epist. ad Presb. et caet. in actis Synod. Ephes. I. c. I). Таковы сочиненія его

1. Полемико-догматическія: *Изложеніе Вѣры, четыре слова противъ Аріанъ, О воплощеніи Бога Слова и противъ Аріанъ, четыре посланія къ Серапіону, Два Слова о воплощеніи Господа противъ Аполлинарія, Посланіе къ Іовіану о вѣрѣ*, и нѣкоторыя другія.

2. Историческія, касающіяся вселенскихъ церковныхъ событій и относящіяся къ собственной его личности: посланіе *объ опредѣленіяхъ Никейскаго собора, Окружное посланіе къ Епископамъ, Защитительное слово противъ Аріанъ, Окружное посланіе къ мѣстнымъ Епископамъ Египта и Ливіи противъ Аріанъ*, посланіе *о соборахъ Ариминскомъ и Селевкійскомъ*, посланіе *къ африканскимъ Епископамъ*, посланіе *къ монахамъ о нечестіи Аріанъ, Апологія къ Императору Констанцію, Апологія о своемъ бѣгствѣ*, посланіе *къ Серапіону о смерти Арія* и другія.

Кромѣ того отъ этого Святителя Александрійскаго остались достоуважаемыя сочиненія

3. Экзегетическія, какъ то: *Пасхальныя посланія, Синопсисъ*, посланіе къ *Марцеллину о псалмахъ, Толкованіе на псалмы*, и другія, относящіяся къ изъясненію св. Писанія, не безъ приложенія къ обстоятельствамъ его времени.

4. Нравоучительныя, какъ то: *Жизнь св. Антонія*, посланія *къ Аммуну, Руфиніану, Драконтію*, и другія письма, содержащія не только нравоученіе, но и много замѣчаній о предметахъ догматическихъ.

Въ настоящемъ сборникѣ помѣщаются произведенія св. Аѳанасія одно изъ полемико-догматическихъ, а другое изъ нравоучительныхъ. Первое, подъ заглавіемъ: *Противъ Аріанъ Слово 4-е* представляетъ не столько въ полемическихъ, сколько въ положительныхъ разсужденіяхъ заключительное воззрѣніе св. Отца на тотъ православный догматъ, который составлялъ главный предметъ борьбы его съ Аріанами, отличающееся всѣми достоинствами богословствующаго ума великаго Святителя. Второе подъ заглавіемъ: *Письмо къ Драконтію*, отличаясь литературными достоинствами, ясно показываетъ мудрую попечительность архипастыря Александрійскаго о благосостояніи не только вселенской Церкви Христовой, но и каждой малой церкви въ частности и отдѣльныхъ ея членовъ.

Лучшія и позднѣйшія изданія твореній св. Аѳанасія Александрійскаго суть:

1) Athanasii magni opera dogmatica. Ed. Montfaucon. съ предисловіемъ Thilo. Paris. 1853.

2) Patrologiae Cursus compl. Edit. I. P. Migne. Ser. graec. T. XXV—XXVIII. Paris. 1857.

Текстъ статей изъ твореній св. Аѳанасія заимствованъ изъ изданія Migne.

---

## 1.

## ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΑΘΑΝΑΣΙΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ ΚΑΤΑ ΑΡΕΙΑΝΩΝ ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ.

### Глав. 1—36.

1. Ἐκ Θεοῦ Θεός ἐςιν ὁ Λόγος· «καὶ Θεὸς γὰρ ἦν ὁ Λόγος» [1]· καὶ πάλιν· «ὧν οἱ πατέρες, καὶ ἐξ ὧν ὁ Χριςὸς, ὁ ὢν ἐπὶ

[1]) Іоан. 1. 1.

πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας, ἀμήν»[1]). Καὶ ἐπειδὴ ἐκ Θεοῦ Θεός ἐςι, καὶ τοῦ Θεοῦ Λόγος, Σοφία, Υἱὸς καὶ δύναμίς ἐςιν ὁ Χριςὸς, διὰ τοῦτο εἷς Θεὸς ἐν ταῖς θείαις γραφαῖς καταγγέλλεται. Τοῦ ἑνὸς γὰρ Θεοῦ Υἱὸς ὢν ὁ Λόγος, εἰς αὐτὸν, οὗ καὶ ἔςιν, ἀναφέρεται· ὥςε δύο μὲν εἶναι Πατέρα καὶ Υἱὸν, μονάδα δὲ θεότητος ἀδιαίρετον καὶ ἄσχιςον. Λεχθείη δ' ἂν καὶ οὕτω μία ἀρχὴ θεότητος, καὶ οὐ δύο ἀρχαί· ὅθεν κυρίως καὶ μοναρχία ἐςίν. Ἐξ αὐτῆς δὲ τῆς ἀρχῆς ἐςι φύσει Υἱὸς ὁ Λόγος, οὐχ ὡς ἀρχὴ ἑτέρα καθ' ἑαυτὸν ὑφεςὼς οὐδ' ἔξωθεν ταύτης γεγονὼς, ἵνα μὴ τῇ ἑτερότητι δυαρχία καὶ πολυαρχία γένηται, ἀλλὰ τῆς μιᾶς ἀρχῆς ἴδιος Υἱὸς, ἰδία σοφία, ἴδιος Λόγος, ἐξ αὐτῆς ὑπάρχων. Κατὰ γὰρ τὸν Ἰωάννην «ἐν ταύτῃ τῇ ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν»[2])· Θεὸς γάρ ἐςιν ἡ ἀρχή· καὶ ἐπειδὴ ἐξ αὐτῆς ἐςι, διὰ τοῦτο καὶ Θεὸς ἦν ὁ Λόγος. Ὥσπερ δὲ μία ἀρχὴ, καὶ κατὰ τοῦτο εἷς Θεός· οὕτως ἡ τῷ ὄντι καὶ ἀληθῶς καὶ ὄντως οὖσα οὐσία καὶ ὑπόςασις[3]) μία ἐςὶν ἡ λέγουσα· «Ἐγώ εἰμι ὁ ὤν»[4]),καὶ οὐ δύο, ἵνα μὴ δύο ἀρχαί· ἐκ δὲ τῆς μιᾶς φύσει καὶ ἀληθῶς Υἱὸς, ὁ Λόγος, ἡ σοφία, ἡ δύναμις ἰδία ὑπάρχουσα αὐτῆς, καὶ ἐξ αὐτῆς ἀχώριςος. Ὥσπερ δὲ οὐκ ἄλλη, ἵνα μὴ δύο ἀρχαὶ, οὕτως ὁ ἐκ τῆς μιᾶς Λόγος οὐ διαλελυμένος ἢ ἁπλῶς φωνὴ σημαντικὴ, ἀλλὰ οὐσιώδης Λόγος καὶ οὐσιώδης σοφία, ἥτις ἐςὶν ὁ Υἱὸς ἀληθῶς. Εἰ γὰρ δὴ μὴ οὐσιώδης εἴη, ἔςαι ὁ Θεὸς λαλῶν εἰς ἀέρα, καὶ σῶμα οὐδὲν πλέον[5]) ἔχων τῶν ἀνθρώπων. Ἐπειδὴ δὲ οὐκ ἔςιν ἄνθρωπος, οὐκ ἂν εἴη οὐδὲ ὁ Λόγος αὐτοῦ κατὰ τὴν τῶν ἀνθρώπων ἀσθένειαν. Ὥσπερ γὰρ μία οὐσία ἡ ἀρχὴ, οὕτως εἷς οὐσιώδης καὶ ὑφεςὼς ὁ ταύτης Λόγος καὶ ἡ σοφία. Ὡς γὰρ ἐκ Θεοῦ Θεός ἐςι, καὶ ἐκ σοφοῦ σοφία, καὶ ἐκ λογικοῦ Λόγος, καὶ ἐκ Πατρὸς Υἱός, οὕτως ἐξ ὑποςάσεως ὑπόςατος, καὶ ἐξ οὐσίας οὐσιώδης καὶ ἐνούσιος, καὶ ἐξ ὄντος ὤν.

---

[1]) Рим. 9. 5. [2]) Іоан. 1. 1.

[3]) Ὑπόςασις здѣсь означаетъ не лице, но существо божественныхъ лицъ, въ смыслѣ слова οὐσία.

[4]) Исх. 3. 4.

[5]) Οὐδὲν πλέον—точно такое же, какъ у людей.

2. Ἐπεὶ εἰ μὴ οὐσιώδης Σοφία, καὶ ἐνούσιος Λόγος, καὶ ὢν Υἱός, ἀλλὰ ἁπλῶς σοφία, καὶ λόγος, καὶ υἱὸς ἐν τῷ Πατρί· εἴη ἂν αὐτὸς ὁ Πατὴρ σύνθετος ἐκ σοφίας καὶ λόγου. Εἰ δὲ τοῦτο, ἀκολουθήσει τὰ προειρημένα ἄτοπα· ἔςαι δὲ καὶ αὐτὸς ἑαυτοῦ Πατήρ, καὶ ὁ Υἱὸς αὐτὸς ἑαυτὸν γεννῶν, καὶ γεννώμενος ὑφ᾽ ἑαυτοῦ· ἢ ὄνομα μόνον ἐςὶ Λόγος, καὶ Σοφία, καὶ Υἱὸς, οὐχ ὑφέςηκε δὲ, καθ᾽ οὗ λέγεται ταῦτα, μᾶλλον δὲ ὅς ἐςι ταῦτα. Εἰ οὖν οὐχ ὑφέςηκεν, ἀργὰ ἂν εἴη καὶ κενὰ τὰ ὀνόματα, ἐκτὸς εἰ μὴ ἄν τις εἴποι αὐτοσοφίαν εἶναι καὶ αὐτολόγον τὸν Θεόν. Ἀλλ᾽ εἰ τοῦτο, εἴη ἂν αὐτὸς ἑαυτοῦ Πατὴρ καὶ Υἱός· Πατὴρ μὲν, ὅτε σοφὸς, Υἱὸς δὲ, ὅτε σοφία. Ἀλλὰ μὴ ὡς ποιότης τις ταῦτα ἐν τῷ Θεῷ· ἄπαγε! ἀπρεπὲς τοῦτο· εὑρεθήσεται γὰρ σύνθετος ὁ Θεὸς ἐξ οὐσίας καὶ ποιότητος· πᾶσα γὰρ ποιότης ἐν οὐσίᾳ ἐςί. Κατὰ τοῦτο δὲ ἡ θεία μονὰς, ἀδιαίρετος οὖσα, σύνθετος φανήσεται, τεμνομένη εἰς οὐσίαν καὶ συμβεβηκός [1]). Πευςέον οὖν τῶν προπετῶν· ὁ Υἱὸς σοφία καὶ Λόγος ἐκηρύχθη τοῦ Θεοῦ· πῶς τοίνυν ἐςίν; εἰ μὲν ὡς ποιότης, ἐδείχθη τὸ ἄτοπον· εἰ δὲ αὐτοσοφία ὁ Θεὸς, καὶ τὸ ἐκ τούτου ἄτοπον εἴρηται παρὰ Σαβελλίῳ [2]). Οὐκοῦν ὡς γέννημα κυρίως ἐξ αὐτοῦ τοῦ Πατρὸς, κατὰ τὸ τοῦ φωτὸς παράδειγμα. Ὡς γὰρ ἀπὸ πυρὸς φῶς, οὕτως ἐκ Θεοῦ Λόγος, καὶ σοφία ἐκ σοφοῦ, καὶ ἐκ Πατρὸς Υἱός. Ταύτῃ γὰρ καὶ ἡ μονὰς ἀδιαίρετος καὶ ὁλόκληρος μένει, καὶ ὁ ταύτης Υἱὸς Λόγος οὐκ ἀνούσιος, οὐδὲ οὐχ ὑφεςὼς, ἀλλ᾽ οὐσιώδης ἀληθῶς. Ἐπεὶ εἰ μὴ τοῦτον ἔχει τὸν τρόπον, εἴη ἂν πάντα, ἃ λέγεται, κατ᾽ ἐπίνοιαν καὶ ἁπλῶς λεγόμενα. Εἰ δὲ φευκτέον τὸ ἐκ τῆς ἐπινοίας ἄτοπον, ἄρα ἀληθὴς Λόγος οὐσιώδης ἐςίν. Ὥσπερ γὰρ ἀληθῶς Πατὴρ, οὕτως ἀληθῶς Σοφία. Κατὰ τοῦτο οὖν δύο μὲν, ὅτι μὴ κατὰ Σαβέλλιον ὁ αὐτὸς Πατὴρ καὶ Υἱὸς, ἀλλὰ ὁ Πατὴρ Πατὴρ, καὶ ὁ Υἱὸς Υἱός· ἓν δὲ, ὅτι Υἱὸς τῆς οὐσίας τοῦ Πατρός ἐςι φύσει, ἴδιος ὑπάρχων Λόγος αὐτοῦ. Τοῦτο ὁ Κύριος

---

[1]) Συμβεβηκός (отъ συμβαίνω)—качество въ отличіе отъ сущности лица или вещи, accidens.

[2]) Савеллій, еретикъ 3-го вѣка, послѣдователь Ноэта, отвергалъ Троичность лицъ въ Божествѣ, признавая Сына и св. Духа за одни названія одного и того же Отца.

ἔλεγεν· «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν» [1]). Οὔτε γὰρ ὁ Λόγος κεχώρισαι τοῦ Πατρὸς, οὔτε ὁ Πατὴρ ἄλογος πώποτε ἦν ἢ ἐςι. Καὶ ὁ Λόγος οὖν Θεὸς, καὶ ὁ Πατὴρ οὐκ ἄλογος· διὰ τοῦτο, «Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοὶ», εἴρηκεν [2]).

3. Καὶ πάλιν ὁ Χριςὸς Λόγος τοῦ Θεοῦ ἐςι. Πότερον οὖν ἀφ' ἑαυτοῦ ὑπέςη, καὶ ὑποςὰς προσκεκόλληται τῷ Πατρί; ἢ ὁ Θεὸς αὐτὸν πεποίηκε καὶ ὠνόμασεν ἑαυτοῦ Λόγον; εἰ μὲν τὸ πρῶτον, λέγω δὴ, τὸ, ἑαυτῷ ὑπέςη καὶ Θεός ἐςι, δύο ἂν εἶεν ἀρχαὶ, οὐκ ἔςαι δὲ εἰκότως οὐδὲ τοῦ Πατρὸς ἴδιος, διὰ τὸ μὴ αὐτοῦ τοῦ Πατρὸς, ἀλλ' ἑαυτοῦ εἶναι· εἰ δὲ ἔξωθεν πεποίηται, εἴη ἂν κτίσμα. Λείπεται δὴ ἐξ αὐτοῦ τοῦ Θεοῦ λέγειν αὐτόν· εἰ δὲ τοῦτο, ἄλλο ἂν εἴη τὸ ἔκ τινος, καὶ ἄλλο τὸ ἐξ οὗ ἐςι· κατὰ τοῦτο ἄρα δύο. Εἰ δὲ μὴ δύο εἴη, ἀλλ' ἐπὶ τοῦ αὐτοῦ λέγοιτο, ἔςαι τὸ αὐτὸ αἴτιον καὶ αἰτιατὸν, καὶ γεννώμενον καὶ γεννῶν, ὅπερ ἄτοπον ἐπὶ Σαβελλίου δέδεικται. Εἰ δὲ ἐξ αὐτοῦ μέν ἐςιν, οὐκ ἄλλο δέ· ἔςαι καὶ γεννῶν, καὶ μὴ γεννῶν· γεννῶν μὲν, ὅτι ἐξ αὐτοῦ προφέρει, μὴ γεννῶν δέ, ὅτι μὴ ἄλλο αὐτοῦ ἐςιν. Εἰ δὲ τοῦτο, εἴη ἂν κατ' ἐπίνοιαν λεγόμενος ὁ αὐτὸς Πατὴρ καὶ Υἱός. Εἰ δὲ απρεπὲς οὕτως, εἴη ἂν δύο, Πατὴρ καὶ Υἱός· ἓν δὲ, ὅτι ὁ Υἱὸς οὐκ ἔξωθεν, ἀλλ' ἐκ τοῦ Θεοῦ γεγέννηται. Εἰ δὲ φεύγει τις τὸ λέγειν γέννημα, μόνον δὲ λέγει ὑπάρχειν τὸν Λόγον σὺν τῷ Θεῷ· φοβηθήτω ὁ τοιοῦτος μὴ, φεύγων τὸ ὑπὸ τῆς γραφῆς λεγόμενον, ἐμπέσῃ εἰς ἀτοπίαν, διφυῆ τινα εἰσάγων τὸν Θεόν· μὴ διδοὺς γὰρ ἐκ τῆς μονάδος εἶναι τὸν Λόγον, ἀλλ' ἁπλῶς κεκολλῆσθαι τῷ Πατρὶ Λόγον, δυάδα οὐσίας εἰσάγει, μηδετέραν τῆς ἑτέρας Πατέρα τυγχάνουσαν. Τὸ αὐτὸ δὲ καὶ περὶ δυνάμεως. Φανερώτερον δ' ἄν τις ἴδοι τοῦτο, εἰ ἐπὶ Πατρὸς λάβοι· εἷς γὰρ Πατὴρ, καὶ οὐ δύο, ἀλλ' ἐκ τοῦ ἑνὸς ὁ Υἱός. Ὥσπερ οὖν οὐ δύο Πατέρες, ἀλλ' εἷς, οὕτως οὐ δύο ἀρχαὶ, ἀλλὰ μία, καὶ ἐκ τῆς μιᾶς οὐσιώδης ὁ Υἱός. Πρὸς Ἀρειανοὺς δὲ ἀνάπαλιν ἐρωτητέον· τοὺς μὲν γὰρ Σαβελλίζοντας ἀπὸ τῆς περὶ Υἱοῦ ἐννοίας ἐλεγκτέον, τοὺς δὲ Ἀρειανοὺς ἀπὸ τῆς περὶ Πατρός.

4. Λεκτέον οὖν· ὁ Θεὸς σοφὸς καὶ οὐκ ἄλογός ἐςιν, ἢ

---

[1]) Іоан. 10. 30. [2]) Іоан. 14. 10.

τοὐναντίον ἄσοφος καὶ ἄλογος. Εἰ μὲν οὖν τὸ δεύτερον, αὐτόθεν ἔχει τὴν ἀτοπίαν· εἰ δὲ τὸ πρῶτον, ἐρωτητέον, πῶς ἐςι σοφὸς καὶ οὐκ ἄλογος· πότερον ἔξωθεν ἐσχηκὼς τὸν Λόγον καὶ τὴν σοφίαν, ἢ ἐξ ἑαυτοῦ: εἰ μὲν οὖν ἔξωθεν, ἔςαι τις ὁ προδεδωκὼς αὐτῷ, καὶ πρὶν λαβεῖν ἄσοφος καὶ ἄλογος· εἰ δὲ ἐξ αὐτοῦ, δῆλον ὅτι οὐκ ἐξ οὐκ ὄντων, οὐδ' ἦν ποτε ὅτε οὐκ ἦν [1]· ἀεὶ γὰρ ἦν· ἐπεὶ καὶ οὗ ἐςιν εἰκὼν, ἀεὶ ὑπάρχει. Ἐὰν δὲ λέγωσιν, ὅτι σοφὸς μέν ἐςι καὶ οὐκ ἄλογος, ἰδίαν δὲ ἔχει ἐν ἑαυτῷ σοφίαν καὶ ἴδιον Λόγον, οὐ τὸν Χριςὸν δὲ, ἀλλ' ἐν ᾧ καὶ τὸν Χριςὸν ἐποίησε· λεκτέον, ὅτι, εἰ ὁ Χριςὸς ἐν ἐκείνῳ τῷ Λόγῳ γέγονε, δῆλον ὅτι καὶ τὰ πάντα· καὶ αὐτὸς ἂν εἴη, περὶ οὗ λέγει Ἰωάννης· «πάντα δι' αὐτοῦ ἐγένετο» [2]· καὶ ὁ Ψαλμῳδὸς δέ· «πάντα ἐν σοφίᾳ ἐποίησας» [3]. Εὑρεθήσεται δὲ ὁ Χριςὸς ψευδόμενος· «Ἐγὼ ἐν τῷ Πατρί», ὄντος ἑτέρου ἐν τῷ Πατρί. Καὶ, «ὁ Λόγος δὲ σὰρξ ἐγένετο» [4], οὐκ ἀληθὲς κατ' αὐτούς· εἰ γὰρ, ἐν ᾧ τὰ πάντα ἐγένετο, αὐτὸς ἐγένετο σὰρξ, ὁ δὲ Χριςὸς οὐκ ἔςιν ἐν τῷ Πατρὶ Λόγος, δι' οὗ τὰ πάντα ἐγένετο· ἄρα ὁ Χριςὸς οὐ γέγονε σὰρξ, ἀλλ' ἴσως ὠνομάσθη Λόγος ὁ Χριςός. Καὶ εἰ τοῦτο, πρῶτον μὲν ἄλλος ἂν εἴη παρὰ τὸ ὄνομα· ἔπειτα οὐ δι' αὐτοῦ ἐγένετο τὰ πάντα, ἀλλ' ἐν ἐκείνῳ, ἐν ᾧ καὶ ὁ Χριςός. Εἰ δὲ φήσαιεν, ὡς ποιότητα εἶναι ἐν τῷ Πατρὶ τὴν σοφίαν, ἢ αὐτοσοφίαν εἶναι· ἀκολουθήσει τὰ ἐν τοῖς ἔμπροσθεν ἄτοπα εἰρημένα· ἔςαι γὰρ σύνθετος, καὶ αὐτὸς ἑαυτοῦ Υἱὸς καὶ Πατὴρ γινόμενος. Πλὴν ἐλεγκτέον καὶ δυσωπητέον αὐτοὺς, ὅτι ὁ ἐν τῷ Θεῷ Λόγος οὐκ ἂν εἴη κτίσμα, οὐδὲ ἐκ τοῦ μὴ ὄντος· ὄντος δὲ ἅπαξ ἐν Θεῷ Λόγου, αὐτὸς ἂν εἴη ὁ Χριςὸς ὁ λέγων· «Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί» [5], ὁ διὰ τοῦτο καὶ μονογενὴς ὢν, ἐπειδὴ οὐκ ἄλλος τις ἐξ αὐτοῦ ἐγεννήθη. Εἷς οὗτος Υἱὸς, ὅς ἐςι Λόγος, σοφία, δύναμις· οὐ γὰρ σύνθετος ἐκ τούτων ὁ Θεὸς, ἀλλὰ γεννητικός. Ὥσπερ γὰρ τὰ κτίσματα Λόγῳ δημιουργεῖ, οὕτω κατὰ φύσιν τῆς ἰδίας οὐσίας ἔχει γέννημα τὸν Λόγον, δι' οὗ καὶ δημιουργεῖ, καὶ κτίζει, καὶ οἰκονομεῖ τὰ πάντα. Τῷ γὰρ Λόγῳ καὶ τῇ σοφίᾳ τὰ πάντα γε-

---

[1]) Имѣется въ виду обыкновенное выраженіе Аріанъ о Сынѣ Божіемъ: было время, когда Его не было.

[2]) Іоан. 1. 3. [3]) Пс. 103. 24. [4]) Іоан. 1. 14. [5]) Іоан. 14. 10.

γονε, καὶ τῇ διατάξει αὐτοῦ διαμένει τὰ σύμπαντα. Τὸ αὐτὸ δὲ καὶ περὶ Υἱοῦ· εἰ ἄγονος, καὶ ἀνενέργητος ὁ Θεός· γέννημα γὰρ αὐτοῦ ὁ Υἱός, δι' οὗ ἐργάζεται. Εἰ δὲ μὴ, αἱ αὐταὶ ἐρωτήσεις καὶ τὰ αὐτὰ ἄτοπα τοῖς ἀναισχυντοῦσιν ἀκολουθήσει.

5. Ἐκ τοῦ Δευτερονομίου· «ὑμεῖς δὲ οἱ προσκείμενοι Κυρίῳ τῷ Θεῷ ὑμῶν, ζῆτε πάντες ἐν τῇ σήμερον» [1]). Ἐκ τούτου δυνατὸν εἰδέναι τὴν διαφορὰν καὶ γνῶναι, ὅτι οὐκ ἐςι κτίσμα ὁ Υἱὸς τοῦ Θεοῦ. Ὁ μὲν γὰρ Υἱὸς λέγει· «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν» [2])· καὶ, «Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί» [3])· τὰ δὲ γενητὰ, ὅτ' ἂν προκόπτῃ, πρόσκειται τῷ Κυρίῳ. Ὁ μὲν γὰρ Λόγος, ὡς ἴδιος, ἐν τῷ Πατρί ἐςι· τὰ δὲ γενητὰ, ἔξωθεν ὄντα, πρόσκειται, ὡς τῇ μὲν φύσει ἀλλότρια, τῇ δὲ προαιρέσει προσκείμενα. Καὶ γὰρ καὶ υἱὸς μὲν ὁ φύσει, ἕν ἐςι μετὰ τοῦ γεννῶντος· ὁ δὲ ἔξωθεν υἱοποιούμενος προσκείσεται τῷ γένει. Διὰ τοῦτο καὶ εὐθὺς ἐπιφέρει, ὅτι «ποῖον ἔθνος μέγα, ᾧ ἐςιν αὐτῷ Θεὸς ἐγγίζων» [4]); καὶ ἀλλαχοῦ· «Θεὸς ἐγγίζων ἐγώ» [5]). Τοῖς γὰρ γενητοῖς ἐγγίζει, ὡς ξένοις αὐτοῦ οὖσι· τῷ δὲ Υἱῷ, ὡς ἰδίῳ, οὐκ ἐγγίζει, ἀλλ' ἐν αὐτῷ ἐςι· καὶ ὁ Υἱὸς οὐ πρόσκειται, ἀλλὰ σύνεςι τῷ Πατρί. Ὅθεν καὶ πάλιν λέγει Μωϋσῆς ἐν αὐτῷ τῷ Δευτερονομίῳ· «τῆς φωνῆς αὐτοῦ ἀκούσεσθε, καὶ αὐτῷ προστεθήσεσθε» [6]). Τὸ δὲ προστιθέμενον ἔξωθεν προστίθεται.

6. Πρὸς δὲ τὴν ἀσθενῆ καὶ ἀνθρωπίνην ἔννοιαν τῶν Ἀρειανῶν, διὰ τὸ ὑπονοεῖν τὸν Κύριον ἐνδεῆ, ὅταν λέγῃ· «ἐδόθη μοι» [7]), καί· «ἔλαβον» [8])· καὶ ἐὰν λέγῃ ὁ Παῦλος «διὰ τοῦτο ὑπερύψωσεν αὐτὸν» [9]), καὶ, «ἐκάθισεν ἐν δεξιᾷ» [10]), καὶ τὰ τοιαῦτα, λεκτέον, ὅτι Κύριος ἡμῶν, Λόγος ὢν Υἱὸς τοῦ Θεοῦ, ἐφόρεσε σῶμα, καὶ γέγονε καὶ Υἱὸς ἀνθρώπου, ἵνα, μεσίτης γενόμενος Θεοῦ καὶ ἀνθρώπων, τὰ μὲν Θεοῦ ἡμῖν, τὰ δὲ ἡμῶν τῷ Θεῷ διακονῇ. Ὅταν οὖν λέγηται πεινᾶν, καὶ δακρύειν, καὶ κοπιᾶν, καὶ «Ἐλωΐ, Ἐλωΐ», ἀνθρώπινα ὄντα καὶ ἡμέτερα πάθη, δέχεται παρ' ἡμῶν καὶ τῷ Πατρὶ ἀναφέρει, πρεσβεύων ὑπὲρ ἡμῶν, ἵνα

---

[1]) Втор. 4. 4. [2]) Іоан. 10. 30. [3]) Іоан. 14. 10. [4]) Втор. 4. 7. [5]) Іер. 23. 23. [6]) Втор. 13. 4. [7]) Мат. 28. 18. [8]) Іоан. 10. 18. [9]) Фил. 2. 9. [10]) Еф. 1. 20.

ἐν αὐτῷ ἐξαφανισθῇ [1])· ὅταν δέ, ὅτι «ἐδόθη μοι ἐξουσία», καὶ «ἔλαβον», καὶ «διὰ τοῦτο ὑπερύψωσεν αὐτὸν ὁ Θεός», τὰ παρὰ τοῦ Θεοῦ εἰς ἡμᾶς ἐςι χαρίσματα δι' αὐτοῦ διδόμενα. Οὐ γὰρ ὁ Λόγος ἐνδεὴς ἦν ἢ γέγονε πώποτε· οὐδὲ πάλιν οἱ ἄνθρωποι ἱκανοὶ ἦσαν ἑαυτοῖς διακονῆσαι ταῦτα· διὰ δὲ τοῦ Λόγου δίδοται ἡμῖν· διὰ τοῦτο, ὡς αὐτῷ διδόμενα, ἡμῖν μεταδίδοται· διὰ τοῦτο γὰρ καὶ ἐνηνθρώπησεν, ἵνα, ὡς αὐτῷ διδόμενα, εἰς ἡμᾶς διαβῇ. Ἄνθρωπος γὰρ ψιλὸς οὐκ ἂν ἠξιώθη τούτων· Λόγος δὲ πάλιν μόνος οὐκ ἂν ἐδεήθη τούτων. Συνήφθη οὖν ἡμῖν ὁ Λόγος, καὶ τότε ἐξουσίαν ἡμῖν μετέδωκε, καὶ ὑπερύψωσεν. Ἐν ἀνθρώπῳ γὰρ ὢν ὁ Λόγος ὑπερύψωσε τὸν ἄνθρωπον· καὶ ἐν ἀνθρώπῳ ὄντος τοῦ Λόγου, ἔλαβεν ὁ ἄνθρωπος. Ἐπεὶ οὖν τοῦ Λόγου ὄντος ἐν σαρκί, ὑψώθη ὁ ἄνθρωπος, καὶ ἔλαβεν ἐξουσίαν· διὰ τοῦτο εἰς τὸν Λόγον ἀναφέρεται ταῦτα, ἐπειδὴ δι' αὐτὸν ἐδόθη· διὰ γὰρ τὸν ἐν ἀνθρώπῳ Λόγον ἐδόθη ταῦτα τὰ χαρίσματα. Καὶ ὥσπερ ὁ Λόγος σὰρξ ἐγένετο, οὕτω καὶ ὁ ἄνθρωπος τὰ διὰ τοῦ Λόγου εἴληφε. Πάντα γὰρ ὅσα ὁ ἄνθρωπος εἴληφεν, ὁ Λόγος λέγεται εἰληφέναι [2]), ἵνα δειχθῇ, ὅτι οὐκ ἄξιος ὢν ὁ ἄνθρωπος λαβεῖν, ὅσον ἧκεν εἰς τὴν αὐτοῦ φύσιν, ὅμως διὰ τὸν γενόμενον σάρκα Λόγον εἴληφεν. Ὅθεν ἐάν τι λέγηται δίδοσθαι τῷ Κυρίῳ, ἤ τι τοιοῦτον, νοεῖν δεῖ μὴ αὐτῷ ὡς χρῄζοντι δίδοσθαι, ἀλλὰ τῷ ἀνθρώπῳ διὰ τοῦ Λόγου. Καὶ γὰρ πᾶς πρεσβεύων ὑπὲρ ἄλλου, αὐτὸς τὴν χάριν λαμβάνει, οὐ χρῄζων, ἀλλὰ διὰ τὸν ὑπὲρ οὗ πρεσβεύει.

7. Ὥσπερ γὰρ τὰς ἀσθενείας ἡμῶν λαμβάνει οὐκ ἀσθενῶν, καὶ πεινᾷ οὐ πεινῶν, ἀλλὰ τὰ ἡμῶν ἀναπέμπει [3]) εἰς τὸ ἐξαλειφθῆναι· οὕτω τὰς ἀντὶ τῶν ἀσθενειῶν παρὰ Θεοῦ δωρεὰς πάλιν αὐτὸς δέχεται, ἵνα συναφθεὶς ἄνθρωπος μεταλαβεῖν δυνηθῇ. Λέγει γοῦν ὁ Κύριος· «πάντα ὅσα δέδωκάς μοι, δέδωκα αὐτοῖς» [4])· καὶ πάλιν· «ὑπὲρ αὐτῶν ἐρωτῶ» [5]). Ἠρώτα γὰρ ὑπὲρ ἡμῶν τὰ ἡμῶν ἀναδεχόμενος, καὶ ἐδίδου ἃ ἐλάμβανεν. Ἐπειδὴ

---

[1]) Т. е. наши немощи уничтожились въ Немъ.

[2]) Ефес. 1. 20.

[3]) Ἀναπέμπει—препровождаетъ къ верху; въ настоящемъ мѣстѣ можетъ означать: представляетъ Богу Отцу.

[4]) Іоан. 7. 7. [5]) Іоан. 7. 9.

σύν, συναφθέντος τοῦ Λόγου τῷ ἀνθρώπῳ, εἰς τὸν Λόγον ἀποβλέπων ἐχαρίζετο ὁ Πατὴρ τῷ ἀνθρώπῳ τὸ ὑψωθῆναι, τὸ ἔχειν πᾶσαν ἐξουσίαν, καὶ ὅσα τοιαῦτα· διὰ τοῦτο αὐτῷ τῷ Λόγῳ πάντα ἀναφέρεται, καὶ ὡς αὐτῷ διδόμενά ἐςιν, ἃ δι' αὐτοῦ ἡμεῖς λαμβάνομεν. Ὡς γὰρ δι' ἡμᾶς ἐνηνθρώπησεν αὐτὸς, οὕτως ἡμεῖς δι' αὐτὸν ὑψούμεθα. Οὐδὲν οὖν ἄτοπον, εἰ, ὥσπερ δι' ἡμᾶς ἐταπείνωσεν ἑαυτὸν, καὶ δι' ἡμᾶς λέγεται ὑπερυψῶσθαι· «ἐχαρίσατο οὖν αὐτῷ», ἀντὶ τοῦ, ἡμῖν δι' αὐτόν· καὶ «ὑπερύψωσεν», ἀντὶ τοῦ, ἡμᾶς ἐν αὐτῷ. Καὶ αὐτὸς δὲ ὁ Λόγος, ἡμῶν ὑψουμένων, καὶ λαμβανόντων, καὶ βοηθουμένων, ὡς αὐτὸς ὑψούμενος, καὶ λαμβάνων, καὶ βοηθούμενος, εὐχαριςεῖ τῷ Πατρὶ, τὰ ἡμέτερα εἰς ἑαυτὸν ἀναφέρων καὶ λέγων· «πάντα ὅσα δέδωκάς μοι, δέδωκα αὐτοῖς».

8. Οἱ περὶ Εὐσέβιον [1]) οἱ Ἀρειομανῖται [2]), ἀρχὴν τοῦ εἶναι τῷ Υἱῷ διδόντες, προσποιοῦνται μὴ βούλεσθαι ἀρχὴν αὐτὸν ἔχειν βασιλείας. Ἔςι δὲ γελοῖον. Ὁ γὰρ ἀρχὴν τοῦ εἶναι διδοὺς τῷ Υἱῷ, πρόδηλον, ὅτι καὶ τοῦ βασιλεύειν ἀρχὴν δίδωσιν αὐτῷ· ὥςε ὁμολογοῦντες ὃ ἀρνοῦνται, τυφλώττουσι. Καὶ πάλιν οἱ λέγοντες μόνον ὄνομα εἶναι Υἱοῦ, ἀνούσιον δὲ καὶ ἀνυπόςατον εἶναι τὸν Υἱὸν τοῦ Θεοῦ, τουτέςι τὸν Λόγον τοῦ Πατρὸς, προσποιοῦνται ἀγανακτεῖν κατὰ τῶν λεγόντων· ἦν ποτε, ὅτε οὐκ ἦν. Ἔςι δὲ καὶ τοῦτο γελοῖον. Οἱ γὰρ ὅλως τὸ εἶναι αὐτῷ μὴ διδόντες, ἀγανακτοῦσι κατὰ τῶν κἂν χρόνῳ διδόντων. Καὶ οὗτοι οὖν ὅπερ ἀρνοῦνται, διὰ τοῦ ἐπιτιμᾶν τοῖς ἄλλοις, ὁμολογοῦσι. Πάλιν τε οἱ περὶ Εὐσέβιον, Υἱὸν ὁμολογοῦντες, ἀρνοῦνται αὐτὸν εἶναι φύσει Λόγον, καὶ κατ' ἐπίνοιαν Λόγον λέγεσθαι τὸν Υἱὸν βούλονται· οἱ δὲ ἕτεροι, Λόγον ὁμολογοῦντες, ἀρνοῦνται αὐτὸν εἶναι Υἱὸν, καὶ κατ' ἐπίνοιαν Υἱὸν λέγεσθαι τὸν Λόγον βούλονται, ἐξ ἴσου κενοβατοῦντες [3]).

---

[1]) Евсевiане, еретики 4 вѣка, отрасль Арiанъ, получившая свое названiе отъ Евсевiя Епископа Никомидiйскаго.

[2]) Ἀρειομανῖται (изъ Ἄρειος и μαίνομαι)—до безумiя увлекающiеся Арiемъ, безумные послѣдователи Арiя, безумствующiе по—арiански.

[3]) Κενοβατέω (отъ κενὸς и βατέω)—дѣлаю напрасные шаги, нетвердо ступаю, не имѣю твердой почвы подъ ногами.

9. «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν» [1]. Τὰ δύο ἓν εἶναί φατε, ἢ τὸ ἓν διώνυμον, ἢ πάλιν τὸ ἓν εἰς δύο διῃρῆσθαι. Εἰ μὲν οὖν τὸ ἓν εἰς δύο διῄρηται, ἀνάγκη σῶμα εἶναι τὸ διαιρεθὲν, καὶ μηδέτερον τέλειον, μέρος γὰρ ἑκάτερον καὶ οὐχ ὅλον· εἰ δὲ τὸ ἓν διώνυμον, Σαβελλίου τὸ ἐπιτήδευμα, τὸν αὐτον Υἱὸν καὶ Πατέρα λέγοντος, καὶ ἑκάτερον ἀναιροῦντος, ὅτε μὲν Υἱὸς, τὸν Πατέρα, ὅτε δὲ Πατὴρ, τὸν Υἱόν. Εἰ δὲ τὰ δύο ἓν, ἀνάγκη δύο μὲν εἶναι, ἓν δὲ κατὰ τὴν θεότητα, καὶ κατα τὸ ὁμοούσιον [2] εἶναι τὸν Υἱὸν τῷ Πατρὶ, καὶ ἐξ αὐτοῦ τοῦ Πατρὸς εἶναι τὸν Λόγον· ὥςε δύο μὲν εἶναι, ὅτι Πατήρ ἐςι καὶ Υἱὸς, ὁ ἐςι Λόγος, ἓν δὲ, ὅτι εἷς Θεός. Εἰ γὰρ μὴ οὕτως ἐςὶν, ἔδει εἰπεῖν· Ἐγώ εἰμι ὁ Πατὴρ, ἢ, Ἐγὼ καὶ ὁ Πατήρ εἰμι. Νῦν δὲ ἐν τῷ, «Ἐγὼ», τὸν Υἱὸν σημαίνει· ἐν δὲ τῷ, «καὶ ὁ Πατὴρ», τὸν γεννήσαντα· ἐν δὲ τῷ, «ἕν», τὴν μίαν θεότητα καὶ τὸ ὁμοούσιον αὐτοῦ. Οὐ γὰρ καθ' Ἕλληνας ὁ αὐτὸς σοφὸς καὶ σοφία ἐςὶν, ἢ ὁ αὐτὸς Πατὴρ καὶ Λόγος ἐςίν· ἀπρεπὲς γὰρ αὐτὸν ἑαυτοῦ πατέρα εἶναι· ἡ δὲ θεία διδασκαλία οἶδε Πατέρα καὶ Υἱὸν, καὶ σοφὸν καὶ σοφίαν, καὶ Θεὸν καὶ Λόγον· καθόλου μέντοι φυλάττει ἀδιαίρετον, καὶ ἀδιάσπαςον, καὶ ἀμέριςον κατὰ πάντα.

10. Ἐὰν δὲ, ὅτι δύο ἐςὶν ὁ Πατὴρ καὶ ὁ Υἱὸς, ἀκούων τις διαβάλλοι, ὡς δύο Θεῶν καταγγελλομένων (τοιαῦτα γάρ τινες ἑαυτοῖς ἀναπλάττονται, καὶ εὐθέως γελῶσιν, ὅτι δύο Θεοὺς λέγετε), λεκτέον πρὸς τοὺς τοιούτους· εἰ ὁ Πατέρα καὶ Υἱὸν γινώσκων δύο Θεοὺς λέγει, ὥρα καὶ τὸν λέγοντα ἕνα, ἀναιρεῖν τὸν Υἱὸν καὶ Σαβελλίζειν. Εἰ γὰρ ὁ λέγων δύο Ἑλληνίζει, οὐκοῦν ὁ λέγων ἓν Σαβελλίζει. Τοῦτο δὲ οὐκ ἔςι· μὴ γένοιτο! ἀλλ' ὥσπερ ὁ λέγων Πατέρα καὶ Υἱὸν δύο ἕνα Θεὸν λέγει, οὕτως ὁ λέγων ἕνα Θεὸν δύο φρονείτω Πατέρα καὶ Υἱὸν, ἓν ὄντας τῇ θεότητι, καὶ τῷ ἐξ αὐτοῦ ἀμέριςον καὶ ἀδιαίρετον καὶ ἀχώριςον εἶναι τὸν Λόγον ἀπὸ τοῦ Πατρός. Ἔςω δὲ παράδειγμα ἀνθρώπινον, τὸ πῦρ

---

[1] Іоан. 10. 30.

[2] Ὁμοούσιος — единосущный — отличительное выраженіе православнаго ученія объ отношеніи Сына Божія къ Богу Отцу по Божескому естеству, объясненное и защищаемое св. Аѳанасіемъ въ противоположность неточнымъ выраженіямъ Аріанъ и полуаріанъ и принятое 1-мъ Никейскимъ Соборомъ въ символъ Вѣры.

καὶ τὸ ἐξ αὐτοῦ ἀπαύγασμα, δύο μὲν τῷ εἶναι καὶ ὁρᾶσθαι. ἓν δὲ τῷ ἐξ αὐτοῦ καὶ ἀδιαίρετον εἶναι τὸ ἀπαύγασμα αὐτοῦ.

11. Εἰς τὴν αὐτὴν μὲν ἄνοιαν τοῖς Ἀρειανοῖς πίπτουσι [1]· κἀκεῖνοι γάρ φασι δι' ἡμᾶς αὐτὸν ἐκτίσθαι, ἵνα ἡμᾶς κτίσῃ, ὥσπερ τοῦ Θεοῦ περιμένοντος τὴν ἡμετέραν κτίσιν, ἵνα ἢ προβάληται [2]) κατ' ἐκείνους, ἢ κτίσῃ κατὰ τούτους. Ἀρειανοὶ μὲν οὖν πλέον ἡμῖν ἢ τῷ Υἱῷ χαρίζονται· οὐ γὰρ ἡμεῖς δι' ἐκεῖνον, φασὶν, ἀλλ' ἐκεῖνος δι' ἡμᾶς γέγονεν, εἴγε διὰ τοῦτο ἐκτίσθη καὶ ὑπέςη, ἵνα ἡμᾶς δι' αὐτοῦ κτίσῃ ὁ Θεός. Οὗτοι δὲ, ἐξ ἴσου ἢ καὶ μειζόνως ἀσεβοῦντες, ἔλαττον τῷ Θεῷ ἢ ἡμῖν διδόασιν. Ἡμεῖς γὰρ πολλάκις καὶ σιωπῶντες μὲν, ἐνθυμούμενοι δὲ ἐνεργοῦμεν, ὥςε τὰ ἐκ τῆς ἐνθυμήσεως καὶ εἰδωλοποιεῖσθαι [3])· τὸν δὲ Θεὸν, σιωπῶντα μὲν ἀνενέργητον, λαλοῦντα δὲ ἰσχύειν αὐτὸν βούλονται, εἴγε σιωπῶν μὲν οὐκ ἠδύνατο ποιεῖν, λαλῶν δὲ κτίζειν ἤρξατο. Ἐρέσθαι γὰρ αὐτοὺς δίκαιον, εἰ ὁ Λόγος, ἐν τῷ Θεῷ ὢν, τέλειος ἦν, ὥςε καὶ ποιεῖν δύνασθαι· εἰ μὲν οὖν ἀτελὴς ἦν, ἐν Θεῷ ὢν, γεννηθεὶς δὲ τέλειος γέγονεν, ἡμεῖς αἴτιοι τῆς τελειότητος αὐτοῦ, εἴγε δι' ἡμᾶς γεγέννηται, δι' ἡμᾶς γὰρ καὶ τὸ δύνασθαι ποιεῖν προσείληφεν· εἰ δὲ τέλειος ἦν ἐν Θεῷ, ὥςε καὶ ποιεῖν δύνασθαι, περιττὴ ἡ γέννησις αὐτοῦ· ἐδύνατο γὰρ, καὶ ἐν Πατρὶ ὢν, δημιουργεῖν· ὥςε ἢ οὐ γεγέννηται, ἢ γεγέννηται οὐ δι' ἡμᾶς, ἀλλ' ὅτι ἀεὶ ἐκ τοῦ Πατρός ἐςιν. Ἡ γὰρ γέννησις αὐτοῦ οὐ τὴν ἡμῶν κτίσιν δείκνυσιν, ἀλλὰ τὸ ἐκ Θεοῦ εἶναι· ἦν γὰρ καὶ πρὸ τῆς κτίσεως ἡμῶν.

12. Τὸ αὐτὸ δὲ καὶ ἐπὶ τοῦ Πατρὸς τολμῶντες φανήσονται. Εἰ γὰρ σιωπῶν οὐκ ἠδύνατο ποιεῖν, ἀνάγκη προσειληφέναι αὐτὸν δύναμιν γεννήσαντα, ὅ ἐςι, λαλήσαντα. Καὶ πόθεν προσείληφε; καὶ διὰ τί; εἰ δὲ ἠδύνατο, ἔχων ἐν ἑαυτῷ τὸν Λόγον, ποιεῖν, περιττῶς γεννᾷ, δυνάμενος καὶ σιωπῶν ποιεῖν. Ἔπειτα, εἰ πρὸ τοῦ γεννηθῆναι ἐν τῷ Θεῷ ἦν ὁ Λόγος, ἄρα γεννηθεὶς ἐκτὸς

---

[1]) Т. е. Савелліане.

[2]) Προβάλλομαι—произвожу, проявляю. Выраженіе Евсевіанъ о происхожденіи Сына Божія отъ Бога Отца.

[3]) Εἰδωλοποιεῖσθαι—въ психологическомъ смыслѣ значитъ: представлять что-нибудь въ видѣ дѣйствительнаго предмета, воображать.

καὶ ἔξω τοῦ Θεοῦ ἐςιν. Εἰ δὲ τοῦτο, πῶς νῦν λέγει· «Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί» [1]); εἰ δὲ νῦν ἐν τῷ Πατρί ἐςιν, ἄρα ἀεὶ ἦν ἐν τῷ Πατρὶ, ὥσπερ καὶ νῦν ἐςι, καὶ περιττὸν τὸ λέγειν· δὶ ἡμᾶς γεγέννηται, καὶ μεθ' ἡμᾶς ἀνατρέχει, ἵνα ᾖ ὥσπερ ἦν. Οὐ γὰρ ἦν ὅπερ οὐκ ἔςι νῦν, οὐδέ ἐςιν ὅπερ οὐκ ἦν· ἀλλ' ἔςιν ὥσπερ ἦν ἀεὶ, καὶ ὡσαύτως καὶ κατὰ τὰ αὐτὰ ἔχων· ἐπεὶ [2]) ἀτελὴς καὶ τρεπτὸς φανήσεται. Εἰ γὰρ, ὅπερ ἦν, τοῦτ' ἔσται μετὰ ταῦτα, ὡς νῦν οὐκ ὤν· δῆλον, ὅτι οὐκ ἔςι νῦν, ὅπερ ἦν καὶ ἔςαι. Λέγω δέ· εἰ ἐν Θεῷ ἦν πρότερον, καὶ μετὰ ταῦτα πάλιν ἔςαι· δῆλον, ὅτι οὐκ ἔςι νῦν ἐν τῷ Θεῷ ὁ Λόγος. Ἀλλ' ἐλέγχει τούτους ὁ Κύριος λέγων· «Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί»· οὕτω γάρ ἐςι νῦν, ὥσπερ ἦν ἀεί. Εἰ δὲ οὕτω νῦν ἐςιν, ὥσπερ ἦν ἀεί· δῆλον, ὅτι οὐ ποτὲ μὲν ἐγεννᾶτο, ποτὲ δὲ οὔ, οὐδὲ ποτὲ μὲν ἐν Θεῷ ἡσυχία ἦν, ποτὲ δὲ ἐλάλει· ἀλλ' ἔςιν ἀεὶ Πατὴρ, καὶ Υἱὸς ὁ τούτου Λόγος, οὐκ ὀνόματι μόνον Λόγος, οὐδὲ κατ' ἐπίνοιαν Υἱὸς ὁ Λόγος, ἀλλ' ὑπάρχων ὁμοούσιος τῷ Πατρὶ, οὐ δὶ ἡμᾶς γεννηθείς· ἡμεῖς γὰρ δὶ ἐκεῖνον γεγόναμεν. Ἐπεὶ εἰ δὶ ἡμᾶς ἐγεννήθη, καὶ ἐν τῷ γεγεννῆσθαι αὐτὸν ἐκτίσθημεν, καὶ τῇ γεννήσει αὐτοῦ συνέςηκεν ἡ κτίσις, ἀνατρέχει δὲ ἵνα ᾖ ὅπερ πρότερον ἦν· πρῶτον μὲν ἔςαι πάλιν μὴ γεννώμενος ὁ γεννηθείς. Εἰ γὰρ ἡ πρόοδος αὐτοῦ γέννησίς ἐςιν, ἡ ἀναδρομὴ πάλιν παῦλα [3]) τῆς γεννήσεως· γενομένου γὰρ αὐτοῦ ἐν τῷ Θεῷ, σιωπήσει πάλιν ὁ Θεός. Εἰ δὲ σιωπήσει, ἔςαι ὅπερ ἦν, σιωπῶντος αὐτοῦ, ἡσυχία, καὶ οὐ κτίσις· παύσεται ἄρα ἡ κτίσις. Ὥσπερ γὰρ προελθόντος τοῦ Λόγου γέγονεν ἡ κτίσις καὶ ὑπῆρξεν, οὕτω παλινδρομοῦντος τοῦ Λόγου οὐχ ὑπάρξει ἡ κτίσις. Τίς οὖν χρεία τοῦ γενέσθαι, εἰ παύσεται; ἢ τί καὶ ἐλάλει ὁ Θεὸς, ἵνα μετὰ ταῦτα σιωπήσῃ; τί δὲ προεβάλλετο, ὃν ἀνακαλεῖται; τί δὲ καὶ ἐγέννα, οὗ τὴν γέννησιν παύσειν ἤθελε; τί δὲ πάλιν ἔςαι, ἄδηλον. Ἢ γὰρ σιωπήσει ἀεὶ, ἢ πάλιν γεννήσει, καὶ ἑτέραν κτίσιν ἐπινοήσει· οὐ γὰρ τὴν αὐτὴν ποιήσει—ἢ γὰρ ἂν διέμεινεν

---

[1]) Іоан. 14. 10.

[2]) Ἐπεὶ—по смыслу рѣчи, можетъ быть переведено: иначе, въ противномъ случаѣ.

[3]) Παῦλα (отъ παύω)—прекращеніе; подразумѣвается ἐςί.

ἡ γενομένη,—ἀλλ' ἑτέραν· ἀκολούθως δὲ καὶ ταύτην παύσει, καὶ ἑτέραν ἐπινοήσει, καὶ τοῦτο εἰς ἄπειρον.

13. Τοῦτο δὲ ἴσως ἀπὸ τῶν Στωϊκῶν ὑπέλαβε, διαβεβαιουμένων συστέλλεσθαι καὶ πάλιν ἐκτείνεσθαι τὸν Θεὸν μετὰ τῆς κτίσεως, καὶ ἀπείρως παύεσθαι [1]). Τὸ γὰρ πλατυνόμενον ἀπὸ ςενότητος πλατύνεται, καὶ τὸ ἐκτεινόμενον συνεςαλμένον ἐκτείνεται· καὶ αὐτὸ μὲν ἐςι, πλέον δὲ οὐδὲν ἢ πάθος ὑπομένει. Εἰ τοίνυν ἡ Μονὰς, πλατυνθεῖσα, γέγονε Τριάς· ἡ δὲ Μονάς ἐςιν ὁ Πατὴρ, Τριὰς δὲ Πατὴρ, Υἱὸς, ἅγιον Πνεῦμα· πρῶτον μὲν πλατυνθεῖσα ἡ Μονὰς πάθος ὑπέμεινε, καὶ γέγονεν ὅπερ οὐκ ἦν· ἐπλατύνθη γὰρ οὐκ οὖσα πλατεῖα· ἔπειτα εἰ αὐτὴ ἡ Μονὰς ἐπλατύνθη εἰς Τριάδα, Τριὰς δέ ἐςι Πατὴρ καὶ Υἱὸς καὶ ἅγιον Πνεῦμα· ὁ αὐτὸς ἄρα Πατὴρ γέγονε καὶ Υἱὸς καὶ Πνεῦμα κατὰ Σαβέλλιον· ἐκτὸς εἰ μὴ ἡ λεγομένη παρ' αὐτῷ Μονὰς ἄλλο τί ἐςι παρὰ τὸν Πατέρα. Οὐκ ἔτι οὖν πλατύνεσθαι ἔδει λέγειν, ἀλλ' ἡ Μονὰς τριῶν ποιητικὴ, ὥςε εἶναι Μονάδα, εἶτα καὶ Πατέρα, καὶ Υἱὸν, καὶ Πνεῦμα. Εἰ γὰρ ἐπλατύνθη αὕτη, καὶ ἐξέτεινεν ἑαυτὴν, αὐτὴ ἂν εἴη, ὅπερ ἐξετάθη. Καὶ Τριὰς μὲν πλατυνθεῖσα οὐκ ἔτι Μονάς ἐςι· Μονὰς δὲ οὖσα οὔπω ἦν Τριάς· καὶ ὁ Πατὴρ ἄρα ὢν οὔπω ἦν Υἱὸς καὶ Πνεῦμα· γενόμενος δὲ ταῦτα, οὐκ ἔτι Πατὴρ μόνον ἐςι. Ταῦτα δὲ καταψευδόμενος ἄν τις εἴποι, τοῦ Θεοῦ σῶμα καὶ παθητὸν αὐτὸν εἰσάγων· τί γάρ ἐςι πλατύνεσθαι ἢ πάθος τοῦ πλατυνομένου; ἢ τί ἐςι τὸ πλατυνόμενον ἢ τὸ πρότερον μὴ τοιοῦτον, ἀλλὰ ςενὸν τυγχάνον; ταὐτὸν γάρ ἐςι, χρόνῳ μόνον διαφέρον ἑαυτοῦ.

14. Τοῦτο καὶ ὁ θεῖος γινώσκει Ἀπόςολος πρὸς Κορινθίους ἐπιςέλλων· «μὴ ςενοχωρεῖσθε ἐν ἡμῖν· πλατύνθητε δὲ καὶ ὑμεῖς, Κορίνθιοι» [2]). Τοὺς γὰρ αὐτοὺς ἀπὸ ςενότητος εἰς πλατυσμὸν μεταβάλλειν συμβουλεύει. Ὥσπερ δὲ εἰ ἐπλατύνθησαν πάλιν Κορίνθιοι καὶ ςενοχωρούμενοι, οὐκ ἄλλοι ἐτύγχανον, ἀλλὰ πάλιν ἦσαν Κορίνθιοι· οὕτως εἰ ὁ Πατὴρ ἐπλατύνθη εἰς Τριάδα, ἡ Τριὰς πάλιν ἐςὶν ὁ Πατὴρ μόνος. Τὸ αὐτὸ δὲ πάλιν φησίν· «ἡ καρ-

---

[1]) Ученіе Стоиковъ объ этомъ предметѣ изложено у Діогена Лаэрція Lib. VII. c. 1. и у Свиды въ Lexicon подъ словомъ Ζήνων.

[2]) 2 Кор. 6. 12, 13.

δία ἡμῶν πεπλάτυνται» [1]· καὶ ὁ Νῶε λέγει· «πλατύναι ὁ Θεὸς τῷ Ἰάφεθ» [2]· ἡ αὐτὴ γὰρ καρδία καὶ ὁ αὐτὸς Ἰάφεθ ἐςὶν ἐν τῷ πλατυσμῷ. Εἰ μὲν οὖν ἡ Μονὰς ἐπλάτυνεν, ἄλλοις ἂν ἐπλάτυνεν· εἰ δὲ αὐτὴ ἐπλάτυνεν, αὐτὴ ἂν εἴη, ὅπερ ἐπλατύνθη. Τί δέ ἐςιν ἡ ὁ Υἱὸς καὶ Πνεῦμα ἅγιον; ἐρέσθαι δὲ αὐτὸν τοιαῦτα λέγοντα, καλόν [3]· τίς ἡ ἐνέργια τοῦ τοιούτου πλατυσμοῦ; ἤ, ὡς ἐπ' αὐτῆς ἀληθείας [4], διὰ τί ὅλως ἐπλατύνθη; τὸ γὰρ μὴ μένον τὸ αὐτὸ, ἀλλ' ὕςερον πλατυνόμενον, ἔχειν ἀνάγκη δεῖ τὴν αἰτίαν, δι' ἣν καὶ ἐπλατύνθη. Εἰ μὲν οὖν ἵνα Λόγος καὶ Πνεῦμα συνῇ αὐτῷ, περιττὸν τὸ λέγειν, Μονάς· εἶτα, ἐπλατύνθη. Οὐ γὰρ ὕςερον Λόγος καὶ Πνεῦμα, ἀλλ' ἀεὶ, ἵνα μὴ ἄλογος ὁ Θεὸς κατὰ τοὺς Ἀρειανούς. Ὥςε, εἰ ἀεὶ ἦν Λόγος καὶ Πνεῦμα, ἀεὶ πλατεῖα, καὶ οὐ πρῶτον Μονάς. Εἰ δὲ ὕςερον ἐπλατύνθη, ὕςερον καὶ Λόγος. Εἰ δὲ διὰ τὴν ἐνανθρώπησιν ἐπλατύνθη, καὶ γέγονε τότε Τριάς· ἄρα πρὸ τῆς ἐνανθρωπήσεως οὔπω ἦν Τριάς. Φανήσεται δὲ ὁ Πατὴρ καὶ γεγονὼς σάρξ, εἴγε αὐτὸς, Μονὰς ὤν, ἐν τῷ ἀνθρώπῳ ἐπλατύνθη· καὶ τάχα λοιπὸν Μονάς ἔςαι καὶ σάρξ, καὶ, τὸ τρίτον, Πνεῦμα, εἴγε αὐτὸς ἐπλατύνθη· ἔςαι δὲ καὶ ὀνόματι μόνον Τριάς. Εἰ δὲ διὰ τὸ κτίσαι ἐπλατύνθη, ἄτοπον. Δυνατὸν γὰρ ἦν, καὶ Μονάδα μένουσαν αὐτὴν πάντα ποιεῖν· οὐ γὰρ ἐνδεὴς ἦν πλατυσμοῦ ἡ Μονὰς, οὐδὲ ἀσθενὴς ἦν πρὸ τοῦ πλατυνθῆναι. Ἄτοπον γὰρ καὶ ἀσεβὲς τοῦτό γε ἐπὶ Θεοῦ νοεῖν καὶ λέγειν. Ἀκολουθήσει δὲ καὶ ἄλλο ἄτοπον. Εἰ γὰρ διὰ τὴν κτίσιν ἐπλατύνθη, ἕως δὲ Μονὰς ἦν, οὐκ ἦν ἡ κτίσις· πάλιν δὲ ἔςαι μετὰ τὴν συντέλειαν Μονὰς ἀπὸ πλατυσμοῦ· ἀναιρεθήσεται καὶ ἡ κτίσις. Ὥσπερ γὰρ διὰ τὸ κτίσαι ἐπλατύνθη, οὕτω, παυομένου τοῦ πλατυσμοῦ, παύσεται καὶ ἡ κτίσις.

15. Τοιαῦτα μὲν οὖν ἄτοπα ἐκ τοῦ πλατύνεσθαι λέγειν εἰς Τριάδα τὴν Μονάδα ἀπαντήσει. Ἐπειδὴ δὲ οἱ τοῦτο λέγοντες τολμῶσι διαιρεῖν Λόγον καὶ Υἱὸν, καὶ λέγειν ἄλλον μὲν εἶναι τὸν Λόγον, ἕτερον δὲ τὸν Υἱὸν, καὶ πρότερον μὲν εἶναι τον Λό-

[1]) 2 Кор. 6. 11. [2]) Быт. 9, 27.

[3]) Καλὸν (ἐςι) ἐρέσθαι: хорошо—спросить.

[4]) Предъ самою правдою, по истинѣ.

γον, εἶτα τὸν Υἱόν· φέρε, καὶ περὶ τούτων ἴδωμεν. Ἔςι δὲ τούτων διάφορος ἡ τόλμα. Οἱ μὲν γὰρ τὸν ἄνθρωπον, ὃν ἀνέλαβεν ὁ Σωτὴρ, αὐτὸν εἶναι τὸν Υἱὸν λέγουσιν· οἱ δὲ τὸ συναμφότερον, τόν τε ἄνθρωπον καὶ τὸν Λόγον, Υἱὸν τότε γεγενῆσθαι, ὅτε συνήφθησαν. Ἄλλοι δέ εἰσιν οἱ λέγοντες, αὐτὸν τὸν Λόγον τότε Υἱὸν γεγενῆσθαι, ὅτε ἐνηνθρώπησεν· ἀπὸ γὰρ Λόγου, φασὶ, γέγονεν Υἱὸς, οὐκ ὢν πρότερον Υἱὸς, ἀλλὰ Λόγος μόνον. Στωϊκὰ μὲν οὖν ἀμφότερα, τό τε πλατύνεσθαι λέγειν τὸν Θεὸν, καὶ ἀρνεῖσθαι τὸν Υἱόν. Κατὰ περιττὸν ¹) δὲ ἀνόητον, ὅτι, ὀνομάζοντες Λόγον, ἀρνοῦνται αὐτὸν Υἱὸν εἶναι. Εἰ μὲν γὰρ οὐκ ἔςιν ἐκ τοῦ Θεοῦ ὁ Λόγος, εἰκότως ἂν αὐτὸν ἀρνοῖντο εἶναι Υἱόν· εἰ δὲ ἐκ τοῦ Θεοῦ ἐςι, διὰ τί μὴ συνορῶσιν, ὅτι τὸ ἔκ τινος ὑπάρχον υἱός ἐςιν ἐκείνου, ἐξ οὗ καὶ ἔςιν; εἶτα εἰ τοῦ Λόγου Πατὴρ ἐςιν ὁ Θεὸς, διὰ τί μὴ καὶ ὁ Λόγος Υἱὸς ἂν εἴη τοῦ ἑαυτοῦ Πατρός; Πατὴρ γάρ τίς ἐςι καὶ λέγεται, ᾧ ἐςιν ὁ υἱός, καὶ υἱός τίς ἐςι καὶ λέγεται ἐκείνου, οὗ ἐςιν ὁ πατήρ. Εἰ τοίνυν τοῦ Χριςοῦ οὐκ ἔςι Πατὴρ ὁ Θεός, οὐδὲ ὁ Λόγος Υἱὸς ἂν εἴη· εἰ δὲ Πατὴρ ὁ Θεὸς, εἰκότως ἂν εἴη καὶ ὁ Λόγος Υἱός. Εἰ δὲ ὕςερον μὲν Πατὴρ καὶ πρῶτον Θεὸς, Ἀρειανῶν μὲν τὸ φρόνημα· ἔπειτα ἄτοπον μεταβάλλεσθαι τὸν Θεόν· σωματικὸν γάρ· εἰ δὲ ὥσπερ ἐπὶ τῆς κτίσεως ὕςερον ποιητὴς, ἰςέον, ὅτι τῶν γινομένων ὕςερόν ἐςιν ἡ μεταβολὴ, οὐχὶ τοῦ Θεοῦ.

**16.** Εἰ μὲν οὖν ποίημα καὶ ὁ Υἱὸς, καλῶς ἂν ὕςερον Πατὴρ καὶ ἐπ' αὐτοῦ· εἰ δὲ οὐ ποίημα ὁ Υἱὸς, ἀεὶ ἄρα ὁ Πατὴρ, ἀεὶ καὶ ὁ Υἱός. Εἰ δὲ ἀεὶ ὁ Υἱὸς, αὐτὸς ἂν εἴη ὁ Λόγος. Εἰ γὰρ μὴ Υἱὸς εἴη ὁ Λόγος, καὶ τοῦτό τις ἀποτολμῶν εἴποι· ἢ τὸν Λόγον Πατέρα λέγει, ἢ τὸν Υἱὸν κρείττονα τοῦ Λόγου. Τοῦ γὰρ Υἱοῦ ἐν κόλποις ὄντος τοῦ Πατρὸς ²), ἀνάγκη ἢ μὴ εἶναι πρὸ Υἱοῦ τὸν Λόγον· οὐδὲν γάρ ἐςι πρὸ τοῦ ὄντος ἐν τῷ Πατρί· ἢ εἰ ὁ Λόγος ἄλλος ἐςὶ παρὰ τὸν Υἱὸν, ὁ Λόγος ἂν εἴη ὁ Πατὴρ, ἐν ᾧ ἐςιν ὁ Υἱός. Εἰ δὲ οὐκ ἔςιν ὁ Λόγος Πατὴρ, ἀλλὰ Λόγος, ἐκτὸς ἂν εἴη ὁ Λόγος τοῦ Πατρὸς, ὄντος τοῦ Υἱοῦ ἐν

---

¹) Κατὰ περιττὸν вм. περιττῶς—съ избыткомъ, до крайности.

²) Іоан. 1. 15.

τοῖς κόλποις τοῦ Πατρός. Οὐ γὰρ ἀμφότερα, ὅ τε Λόγος καὶ ὁ Υἱός, ἐν τοῖς κόλποις, ἀλλ' ἕνα εἶναι δεῖ, καὶ τοῦτον τὸν Υἱόν, ὅς ἐςι μονογενής. Καὶ πάλιν, εἰ ἄλλος ἐςὶν ὁ Λόγος, καὶ ἄλλος ὁ Υἱός, κρείττων εὑρεθήσεται ὁ Υἱὸς τοῦ Λόγου· οὐδεὶς γὰρ γινώσκει τὸν Πατέρα, εἰ μὴ ὁ Υἱός [1]), οὐχ ὁ Λόγος. Ἢ τοίνυν οὐκ οἶδεν ὁ Λόγος, ἢ εἰ οἶδε, ψεῦδος τὸ «οὐδεὶς γινώσκει». Τὸ αὐτὸ δὲ καὶ ἐπὶ τοῦ «ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα [2]), καὶ «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν» [3]). Υἱοῦ γάρ εἰσι φωναὶ, καὶ οὐ Λόγου, κατ' αὐτούς· δῆλον δὲ ἀπὸ τῶν Εὐαγγελίων. Κατὰ γὰρ τὸν Ἰωάννην, λέγοντος τοῦ Κυρίου· «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν, ἐβάςασαν λίθους οἱ Ἰουδαῖοι, ἵνα λιθάσωσιν αὐτόν. Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· πολλὰ ἔργα καλὰ ἔδειξα ὑμῖν ἐκ τοῦ Πατρός· διὰ ποῖον αὐτῶν ἔργον ἐμὲ λιθάζετε; ἀπεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι· περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας, καὶ ὅτι σὺ, ἄνθρωπος ὢν, ποιεῖς σεαυτὸν Θεόν. Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· οὐκ ἔςι γεγραμμένον ἐν τῷ νόμῳ ὑμῶν, ὅτι ἐγὼ εἶπα, θεοί ἐςε; εἰ ἐκείνους εἶπε θεοὺς, πρὸς οὓς ὁ Λόγος τοῦ Θεοῦ ἐγένετο, καὶ οὐ δύναται λυθῆναι ἡ γραφή· ὃν ὁ Πατὴρ ἡγίασε καὶ ἀπέςειλεν εἰς τὸν κόσμον, ὑμεῖς λέγετε, ὅτι βλασφημεῖς, ὅτι εἶπον, υἱὸς τοῦ Θεοῦ εἰμι; εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ Πατρὸς, μὴ πιςεύετέ μοι· εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιςεύητε, τοῖς ἔργοις πιςεύσατε, ἵνα γνῶτε καὶ γινώσκητε, ὅτι ἐν ἐμοὶ ὁ Πατὴρ, κἀγὼ ἐν τῷ Πατρί» [4]). Καίτοι, ὅσον ἐκ τοῦ προφανοῦς δεῖ νοεῖν, οὐθ' ὅτι Θεός εἰμι, οὐδ' ὅτι υἱὸς Θεοῦ εἰμι, εἶπεν, ἀλλ' «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν».

17. Οἱ μὲν οὖν Ἰουδαῖοι ἐν τῷ ἀκοῦσαι, «ἕν», ἐνόμιζον κατὰ Σαβέλλιον αὐτὸν εἰρηκέναι εἶναι τὸν Πατέρα· ὁ δέ γε Σωτὴρ ἡμῶν συλλογίζεται μὲν αὐτῶν τὴν ἁμαρτίαν ὅτι· εἰ καὶ Θεὸν εἶπον, ἔδει ὑμᾶς εἰδέναι τὸ γεγραμμένον «Ἐγὼ εἶπα, θεοί ἐςε»· εἶτα τὸ «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν» σαφηνίζων, ἐν τῷ Υἱῷ τὴν πρὸς τὸν Πατέρα ἑνότητα ἀποδέδωκε λέγων· «ὅτι εἶπον· Υἱός εἰμι τοῦ Θεοῦ». Εἰ γὰρ τῇ λέξει οὐκ εἶπεν, ἀλλὰ τὴν διάνοιαν τοῦ «ἕν ἐσμεν» ἀποδέδωκε τῷ Υἱῷ. Οὐδὲν γὰρ ἓν πρὸς τὸν

---

[1]) Мат. 11. 27. [2]) Іоан. 14. 9. [3]) Іоан. 10. 30. [4]) Іоан. 10. 30—38.

Πατέρα, εἰ μὴ τὸ ἐξ αὐτοῦ. Τί δ' ἂν εἴη τὸ ἐξ αὐτοῦ ἢ ὁ Υἱός; ἐπιφέρει γοῦν· «ἵνα γινώσκητε, ὅτι ἐγὼ ἐν τῷ Πατρί, καὶ ὁ Πατὴρ ἐν ἐμοί». Τὸ γὰρ «ἕν» ἐπεξηγούμενος, οὐκ ἐν τῷ αὐτο εἶναι ἐκεῖνο πρὸς ὅ ἓν ἐςιν εἶπεν, ἀλλ' ἐν τῷ «αὐτὸν ἐν τῷ Πατρὶ καὶ τὸν Πατέρα ἐν τῷ Υἱῷ» τὴν συνάφειαν καὶ τὸ ἀχώριςον. Καὶ γὰρ καὶ Σαβέλλιον ἐν τούτῳ ἀνατρέπει, ἐν τῷ εἰπεῖν οὐχ «ὁ Πατήρ εἰμι», ἀλλὰ «ὁ Υἱὸς τοῦ Θεοῦ», καὶ Ἄρειον ἐν τῷ εἰπεῖν· «ἕν ἐσμεν». Εἰ τοίνυν ὁ Υἱὸς ἄλλο, καὶ ὁ Λόγος ἄλλο, οὐχ ὁ Λόγος ἓν ἐςι πρὸς τὸν Πατέρα, ἀλλ' ὁ Υἱός· οὐδὲ ὁ τὸν Λόγον ἑωρακὼς ἑώρακε τὸν Πατέρα, ἀλλ' ὁ τὸν Υἱόν. Τούτων δὲ δεικνυμένων, ἢ μείζων ὁ Υἱὸς τοῦ Λόγου, ἢ πλεῖον οὐδὲν ὁ Λόγος τοῦ Υἱοῦ ἔχει. Τί γὰρ μεῖζον ἢ τελειότερον τοῦ «ἕν» καὶ τοῦ «Ἐγὼ ἐν τῷ Πατρί, καὶ ὁ Πατὴρ ἐν ἐμοί», καὶ τοῦ «ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα»; καὶ γὰρ καὶ αὗται αἱ φωναὶ τοῦ Υἱοῦ εἰσι. Φησὶ γοῦν ὁ αὐτὸς Ἰωάννης· «ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πέμψαντά με» [1]· καὶ «ὁ ἐμὲ δεχόμενος, δέχεται τὸν ἀποςείλαντά με» [2]· καὶ «Ἐγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα, ἵνα πᾶς ὁ πιςεύων εἰς ἐμὲ ἐν τῇ σκοτίᾳ μὴ μείνῃ» [3]· καὶ «ἐάν τίς μου ἀκούσῃ τῶν λόγων, καὶ μὴ φυλάξῃ, ἐγὼ οὐ κρίνω αὐτόν· οὐ γὰρ ἦλθον, ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω τὸν κόσμον. Ὁ λόγος δὲ ὃν ἀκούει, ἐκεῖνος κρινεῖ αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ· ὅτι ἐγὼ πρὸς τὸν Πατέρα πορεύομαι» [4]. Τὸ κήρυγμα δέ φησι κρίνειν τὸν μὴ φυλάξαντα τὴν ἐντολήν. «Εἰ γάρ, φησι, «μὴ ἦλθον, καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐχ ἕξουσίν» [5], φησι, ἀκηκοότες μου τῶν ῥημάτων, δι' ὧν σωτηρίαν καρπίζονται οἱ φυλάσσοντες.

18. Ἴσως μὲν οὖν ἂν εἴποιεν ἀναιδῶς, μὴ Υἱοῦ, ἀλλὰ Λόγου εἶναι τὴν φωνὴν ταύτην. Ἀλλ' ἐν τοῖς ἀνωτέρω λεχθεῖσι δῆλον ἐγένετο, ὅτι Υἱός ἐςιν ὁ λέγων. Ὁ γὰρ λέγων ἐνταῦθα «οὐκ ἦλθον κρῖναι τὸν κόσμον, ἀλλὰ σῶσαι», δείκνυται οὐκ ἄλλος εἶναι ἢ ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ. Φησὶ γὰρ ἐν τοῖς ἔμπροσθεν

---

[1]) Іоан. 12. 45. [2]) Мат. 10. 40. [3]) Іоан. 12. 46—48. [4]) Іоан. 14. 12. [5]) Іоан. 15. 22.

ὁ αὐτὸς Ἰωάννης· «οὕτω γαρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥςε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιςεύων ἐπ' αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. Οὐ γὰρ ἀπέςειλεν ὁ Θεὸς τὸν Υἱὸν εἰς τὸν κόσμον, ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δἰ αὐτοῦ. Ὁ πιςεύων εἰς αὐτὸν οὐ κρίνεται· ὁ δὲ μὴ πιςεύων ἤδη κέκριται, ὅτι μὴ πεπίςευκεν εἰς το ὄνομα τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ. Αὕτη δέ ἐςιν ἡ κρίσις, ὅτι τὸ φῶς ἐλήλυθεν εἰς τὸν κόσμον, καὶ ἠγάπησαν οἱ ἄνθρωποι μᾶλλον τὸ σκότος ἢ τὸ φῶς· ἦν γὰρ αὐτῶν πονηρὰ τὰ ἔργα» [1]· Εἰ ὁ λέγων «οὐ γὰρ ἦλθον, ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω αὐτὸν», αὐτός ἐςιν ὁ λέγων «ὁ θεωρῶν ἐμὲ, θεωρεῖ τὸν πέμψαντά με»· ὁ δὲ ἐλθὼν σῶσαι τὸν κόσμον, καὶ μὴ κρῖναι αὐτὸν, ὁ μονογενής ἐςιν Υἱος τοῦ Θεοῦ· δῆλον ὅτι ὁ αὐτὸς Υἱός ἐςιν ὁ λέγων· «ὁ θεωρῶν ἐμὲ, θεωρεῖ τὸν πέμψαντά με». Καὶ γὰρ ὁ λέγων «ὁ πιςεύων εἰς ἐμὲ», καὶ, «ἐάν τίς μου ἀκούσῃ τῶν ῥημάτων, ἐγὼ οὐ κρίνω αὐτὸν», αὐτός ἐςιν ὁ Υἱὸς, περὶ οὗ ταῦτά φησιν· «ὁ πιςεύων εἰς αὐτὸν οὐ κρίνεται· ὁ δὲ μὴ πιςεύων ἤδη κέκριται, ὅτι μὴ πεπίςευκεν εἰς τὸ ὄνομα τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ»· καὶ πάλιν· «καὶ αὕτη ἐςὶν ἡ κρίσις τοῦ μὴ πιςεύοντος εἰς τὸν Υἱὸν, ὅτι τὸ φῶς ἐλήλυθεν εἰς τὸν κόσμον, καὶ οὐκ ἐπίςευσαν αὐτῷ» [2], δηλονότι τῷ Υἱῷ. Αὐτὸς γὰρ ἂν εἴη τὸ «φῶς τὸ φωτίζον πάντα ἄνθρωπον τὸν ἐρχόμενον εἰς τὸν κόσμον» [3]· καὶ ὅσον χρόνον ἐπι γῆς ὑπῆρχε κατὰ τὴν ἐνανθρώπησιν, φῶς εἰς τὸν κόσμον ἦν, ὡς ἔφη αὐτός· «ἕως τὸ φῶς ἔχετε, πιςεύετε εἰς τὸ φῶς, ἵνα υἱοὶ φωτὸς γένησθε. Ἐγὼ γὰρ φῶς», φησιν, «εἰς τὸν κόσμον ἐλήλυθα» [4].

19. Καὶ τούτου τοίνυν δειχθέντος, δῆλον ὅτι Υἱός ἐςιν ὁ Λόγος. Εἰ δὲ ὁ Υἱός ἐςι τὸ φῶς τὸ εἰς τὸν κόσμον ἐληλυθὸς, ἀναντιρρήτως διὰ τοῦ Υἱοῦ ὁ κόσμος ἐγένετο. Ἐν γὰρ τῇ ἀρχῇ τοῦ Εὐαγγελίου περὶ τοῦ βαπτιςοῦ λέγων Ἰωάννου ὁ εὐαγγελιςής φησιν· «οὐκ ἦν ἐκεῖνος τὸ φῶς, ἀλλ' ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός» [5]. Ἦν γὰρ, ὡς προέφημεν, «τὸ φῶς» αὐτὸς ὁ Χρι-

---

[1]) Іоан. 3. 16—19. [2]) Іоан. 3. 19. [3]) Іоан. 1. 9. [4]) Іоан. 12. 36, 46. [5]) Іоан. 1. 8.

ςὸς «τὸ ἀληθινὸν, τὸ φωτίζον πάντα ἄνθρωπον τὸν ἐρχόμενον εἰς τὸν κόσμον» Εἰ γὰρ ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, ἀνάγκη οὖν αὐτὸν εἶναι τὸν Λόγον τοῦ Θεοῦ, περὶ οὗ καὶ πάντα δι' αὐτοῦ γεγενῆσθαι ἔφησεν. Ἢ γὰρ δύο κόσμους ἀναγκασθήσονται λέγειν, ἵν' ὁ μὲν δι' Υἱοῦ, ὁ δὲ διὰ τοῦ Λόγου εἴη γεγονώς· ἤ, εἰ εἷς ἐςιν ὁ κόσμος καὶ μία ἡ κτίσις, ἀκόλουθον καὶ ἕνα καὶ τὸν αὐτὸν Υἱὸν καὶ Λόγον πρὸ πάσης κτίσεως· δι' αὐτοῦ γὰρ γέγονεν. Οὐκοῦν εἰ ὡς διὰ τοῦ Λόγου, οὕτω καὶ διὰ Υἱοῦ τὰ πάντα γέγονεν, οὐδὲν ἐναντίον φανήσεται, ἀλλὰ καὶ ταυτὸν εἴη ἂν εἰπεῖν, ὡς «ἐν ἀρχῇ ἦν ὁ Λόγος», ἐν ἀρχῇ ἦν ὁ Υἱός. Εἰ δὲ, ὅτι μὴ εἶπεν ὁ Ἰωάννης «ἐν ἀρχῇ ἦν ὁ Υἱός», οὐχ ἁρμόζειν φήσουσι τῷ Υἱῷ τὰ τοῦ Λόγου, ὥρα καὶ τὰ τοῦ Υἱοῦ μὴ ἁρμόζειν τῷ Λόγῳ. Τοῦ δὲ Υἱοῦ ἐδείχθη τὸ «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν», καὶ τὸ «ὁ ὢν ἐν τοῖς κόλποις τοῦ Πατρὸς» ὑπάρχειν αὐτόν· καὶ τὸ «ὁ θεωρῶν ἐμὲ, θεωρεῖ τὸν πέμψαντά με» κοινὸν μέντοι πρός τε τὸν Λόγον καὶ τὸν Υἱὸν τὸ τὸν κόσμον δι' αὐτοῦ γεγενῆσθαι· ὡς ἐκ τούτου δείκνυσθαι πρὸ τοῦ κόσμου εἶναι τὸν Υἱόν. Ἀνάγκη γὰρ τὸν δημιουργὸν πρὸ τῶν γινομένων εἶναι. Καὶ τὸ πρὸς Φίλιππον δὲ λεγόμενον οὐ τοῦ Λόγου κατ' αὐτοὺς ἂν εἴη, ἀλλὰ τοῦ Υἱοῦ. Εἶπε γάρ, φησιν, ὁ Ἰησοῦς· «τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με, Φίλιππε; ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα. Καὶ πῶς σὺ λέγεις· δεῖξον ἡμῖν τον Πατέρα; οὐ πιςεύεις, ὅτι ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί ἐςι; τὰ ῥήματα, ἃ ἐγὼ λαλῶ ὑμῖν, ἀπ' ἐμαυτοῦ οὐ λαλῶ· ὁ δὲ Πατὴρ, ὁ ἐν ἐμοὶ μένων, αὐτὸς ποιεῖ τὰ ἔργα. Πιςεύετέ μοι, ὅτι ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί. Εἰ δὲ μὴ, διὰ τὰ ἔργα αὐτὰ πιςεύετέ μοι. Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὁ πιςεύων εἰς ἐμὲ, τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει, ὅτι ἐγὼ πρὸς τὸν Πατέρα πορεύομαι. Καὶ ὅ τι ἂν αἰτήσητε ἐν τῷ ὀνόματί μου, τοῦτο ποιήσω, ἵνα δοξασθῇ ὁ Πατὴρ ἐν τῷ Υἱῷ» [1]), Οὐκοῦν εἰ ὁ Πατὴρ δοξάζεται ἐν τῷ Υἱῷ, ὁ Υἱὸς ἂν εἴη ὁ λέγων· «Ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοί»· αὐτὸς καὶ

---

[1]) Ioaн. 14. 9—15.

τό· «ὁ ἐμὲ ἑωρακὼς, ἑώρακε τὸν Πατέρα». Αὐτὸς γαρ ὁ ταῦτα λέγων Υἱὸν ἑαυτὸν δείκνυσιν ἐπάγων· «ἵνα δοξασθῇ ὁ Πατὴρ ἐν τῷ Υἱῷ».

20. Εἰ μὲν οὖν τὸν ἄνθρωπον, ὃν ἐφόρεσεν ὁ Λόγος, αὐτὸν εἶναι λέγουσι τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, καὶ μὴ τὸν Λόγον Υἱόν· ὁ ἄνθρωπος ἂν εἴη ἀκολούθως ὁ ἐν τῷ Πατρὶ, ἐν ᾧ καὶ ὁ Πατὴρ ἐν αὐτῷ· καὶ ὁ ἄνθρωπος ἂν εἴη ὁ ἓν ὧν αὐτὸς καὶ ὁ Πατὴρ, καὶ ὁ ἐν τοῖς κόλποις τοῦ Πατρὸς, καὶ τὸ φῶς τὸ ἀληθινόν. Ἀναγκασθήσονται δὲ καὶ δι' αὐτοῦ τοῦ ἀνθρώπου εἰπεῖν τὸν κόσμον γεγενῆσθαι, καὶ τὸν ἄνθρωπον εἶναι τὸν ἐλθόντα μὴ κρῖναι τὸν κόσμον, ἀλλὰ σῶσαι αὐτόν· αὐτὸν δὲ εἶναι καὶ πρὶν Ἀβραὰμ γενέσθαι. «Ἰησοῦς» γάρ, φησιν, «εἶπεν αὐτοῖς· ἀμὴν, ἀμὴν λέγω ὑμῖν, πρὶν Ἀβραὰμ γενέσθαι, ἐγώ εἰμι» [1]. Καὶ πῶς οὐκ ἄτοπον κατ' αὐτοὺς τὸν ἐκ σπέρματος Ἀβραὰμ μετὰ δύο καὶ τεσσαράκοντα γενεὰς γενόμενον λέγειν, πρὶν Ἀβραὰμ γενέσθαι, ὑπάρχειν; πῶς δὲ οὐκ ἄτοπον, εἰ ἡ σὰρξ, ἣν ἐφόρεσεν ὁ Λόγος, αὕτη ἐςὶν ὁ Υἱὸς, λέγειν τὴν ἐκ Μαρίας σάρκα ταύτην εἶναι, δι' ἧς ὁ κόσμος ἐγένετο; πῶς δὲ φήσουσι καὶ τὸ «ἐν τῷ κόσμῳ ἦν»; Τὸ γὰρ πρὸ τῆς κατὰ σάρκα γενέσεως τοῦ Υἱοῦ σημαίνων ὁ εὐαγγελιςὴς, ἐπήγαγε λέγων· «ἐν τῷ κόσμῳ ἦν». Πῶς δὲ εἰ μὴ ὁ Λόγος Υἱός ἐςιν, ἀλλ' ὁ ἄνθρωπος Υἱὸς, δύναται τὸν κόσμον σῶσαι, εἷς ὢν καὶ αὐτὸς τοῦ κόσμου; εἰ δὲ ἀναισχυντοῖεν ἐπὶ τούτοις, ποῦ ἔςαι ὁ Λόγος, τοῦ ἀνθρώπου ὄντος ἐν τῷ Πατρί; Πόςος δὲ ἔςαι ὁ Λόγος πρὸς τὸν Πατέρα, τοῦ ἀνθρώπου καὶ τοῦ Πατρὸς ἓν ὄντων; Εἰ δὲ ὁ ἄνθρωπος μονογενής ἐςι, πόςος ἔςαι ὁ Λόγος; ἢ γὰρ δεύτερον εἶναι αὐτὸν λέξειέ τις· ἢ εἰ ὑπὲρ τὸ Μονογενές ἐςιν, αὐτὸς ἂν εἴη ὁ Πατήρ· ὥσπερ γὰρ εἷς ἐςιν ὁ Πατὴρ, οὕτως ἓν καὶ τὸ ἐξ αὐτοῦ Μονογενές. Τί δὲ καὶ πλέον ὁ Λόγος ἔχει τοῦ ἀνθρώπου, εἴ γε οὐχ ὁ Λόγος Υἱός ἐςι; διὰ μὲν γὰρ Υἱοῦ καὶ τοῦ Λόγου ὁ κόσμος γεγενῆσθαι γέγραπται, καὶ κοινόν ἐςι τῷ τε Λόγῳ καὶ τῷ Υἱῷ τὸ δημιουργεῖν τὸν κόσμον, τὸ δὲ ὁρᾷν τὸν Πατέρα οὐκ ἔτι ἐν τῷ Λόγῳ γέγραπται, ἀλλ' ἐν τῷ Υἱῷ·

---

[1]) Ιωαν. 8. 58.

καὶ τὸ σώζειν τὸν κόσμον οὐκέτι διὰ τοῦ Λόγου ἐλέχθη, ἀλλὰ διὰ τοῦ μονογενοῦς Υἱοῦ. Εἶπε γάρ, φησίν, ὁ Ἰησοῦς· «τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με, Φίλιππε; ὁ ἑωρακὼς ἐμέ, ἑώρακε τὸν Πατέρα». Καὶ τὸν Πατέρα δὲ οὐχ ὁ Λόγος γέγραπται γινώσκειν, ἀλλ' ὁ Υἱός· ὁρᾶν δὲ τὸν Πατέρα οὐχ ὁ Λόγος εἴρηται, ἀλλ' ὁ μονογενὴς Υἱὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός.

21. Τί δὲ πλέον εἰς σωτηρίαν ἡμῶν ὁ Λόγος συμβάλλεται μᾶλλον τοῦ Υἱοῦ, εἴ γε κατ' αὐτοὺς ἄλλος ἐστὶν ὁ Υἱὸς, καὶ ἄλλος ὁ Λόγος; πιστεύειν γὰρ ἡμᾶς οὐκ εἰς τὸν Λόγον, ἀλλ' εἰς τὸν Υἱὸν πρόσταξίς ἐστι. Φησὶ γὰρ ὁ Ἰωάννης· «ὁ πιστεύων εἰς τὸν Υἱὸν ἔχει ζωὴν αἰώνιον· ὁ δὲ ἀπειθῶν τῷ Υἱῷ οὐκ ὄψεται ζωήν» [1]. Καὶ τὸ ἅγιον δὲ βάπτισμα, ἐν ᾧ πάσης πίστεως ἡμῶν ἡ σύστασις ὁρμεῖ, οὐκ εἰς Λόγον, ἀλλ' εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα δίδοται. Εἴπερ οὖν κατ' αὐτοὺς ἄλλος ἐστὶν ὁ Λόγος, καὶ ἄλλος ὁ Υἱὸς, καὶ οὐκ ἔστιν Υἱὸς ὁ Λόγος, οὐδὲν πρὸς τὸν Λόγον τὸ βάπτισμα. Πῶς οὖν σύνεστιν ὁ Λόγος κατ' αὐτοὺς τῷ Πατρὶ, οὐ συνὼν αὐτῷ ἐν τῇ τοῦ βαπτίσματος δόσει; ἀλλ' ἴσως ἂν εἴποιεν· ἐν τῷ τοῦ Πατρὸς ὀνόματι περιέχεται καὶ ὁ Λόγος. Διὰ τί οὖν οὐχὶ καὶ τὸ Πνεῦμα; ἢ ἐκτὸς τοῦ Πατρὸς τὸ Πνεῦμα; καὶ ἄνθρωπος μὲν, εἴπερ οὐκ ἔστιν Υἱὸς ὁ Λόγος, μετὰ τὸν Πατέρα ὀνομάζεται, τὸ δὲ Πνεῦμα μετὰ τὸν ἄνθρωπον· οὐκ ἔτι δὲ οὐδὲ εἰς τριάδα κατ' αὐτοὺς ἡ μονὰς πλατύνεται, ἀλλ' εἰς τετράδα, Πατέρα, καὶ Λόγον, καὶ Υἱὸν, καὶ Πνεῦμα ἅγιον. Ἐν τούτοις δὴ αἰσχυνόμενοι, εἰς ἕτερον καταφεύγουσι, καί φασι μὴ τὸν ἄνθρωπον καθ' ἑαυτὸν, ὃν ἐφόρεσεν ὁ Κύριος, ἀλλὰ τὸ συναμφότερον, τόν τε Λόγον καὶ τὸν ἄνθρωπον, εἶναι Υἱόν· συνημμένα γὰρ ἀμφότερα Υἱὸς, ὡς αὐτοὶ λέγουσιν, ὀνομάζεται. Τί τοίνυν τίνος αἴτιον, καὶ πότερος πότερον Υἱὸν κατεσκεύασεν; ἢ, ἵνα λευκότερον εἴποιμι, ἆρα διὰ τὴν σάρκα ὁ Λόγος Υἱός; ἢ διὰ τὸν Λόγον ἡ σὰρξ Υἱὸς λέγεται; ἢ οὐδ' ὁπότερον τούτων, ἀλλ' ἡ ἀμφοῖν σύνοδος; εἰ μὲν οὖν ὁ Λόγος διὰ τὴν σάρκα, ἀνάγκη τὴν σάρκα εἶναι Υἱὸν, καὶ ἀκολουθεῖ τὰ

---

[1]) Ιоан. 3. 36.

ἄτοπα, ὅσα προείρηται ἐκ τοῦ λέγειν τὸν ἄνθρωπον Υἱόν· εἰ δὲ διὰ τὸν Λόγον ἡ σὰρξ Υἱὸς λέγεται, καὶ πρὸ τῆς σαρκὸς πάντως ὁ Λόγος ὢν Υἱὸς ἦν. Πῶς γὰρ οἷόν τε υἱοποιεῖν τινα ἑτέρους, μὴ ὄντα αὐτὸν υἱόν, ὄντος μάλιςα πατρός; εἰ μὲν οὖν ἑαυτῷ υἱοποιεῖ, Πατὴρ αὐτὸς ἂν εἴη· εἰδὲ τῷ Πατρί, ἀνάγκη αὐτὸν εἶναι Υἱὸν, μᾶλλον δὲ αὐτὸν εἶναι τὸν Υἱὸν, δι' ὃν καὶ οἱ ἄλλοι υἱοποιοῦνται.

22. Ἐπεὶ εἰ, μὴ ὄντος αὐτοῦ Υἱοῦ, ἡμεῖς υἱοί ἐσμεν, ἡμῶν ἂν εἴη ὁ Θεὸς Πατὴρ, καὶ οὐκ αὐτοῦ. Πῶς οὖν ἰδιοποιεῖται μᾶλλον λέγων· «ὁ Πατήρ μου» [1]), καί· «Ἐγὼ ἐκ τοῦ Πατρός» [2]); εἰ γὰρ κοινὸς πάντων Πατὴρ, οὐ μόνου αὐτοῦ Πατὴρ, οὐδὲ μόνος αὐτὸς ἐξῆλθεν ἐκ τοῦ Πατρός. Λέγει δέ ποτε καὶ ἡμῶν αὐτὸν λέγεσθαι Πατέρα, διὰ τὸ αὐτὸν κεκοινωνηκέναι τῇ ἡμετέρᾳ σαρκί. Διὰ τοῦτο γὰρ γέγονεν ὁ Λόγος σὰρξ, ἵν', ἐπειδὴ ὁ Λόγος ἐςὶν Υἱὸς, διὰ τὸν ἐνοικοῦντα ἐν ἡμῖν Υἱὸν λέγηται καὶ ἡμῶν Πατήρ. «Ἀπέςειλε» γάρ, φησι, «τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ἡμῶν, κρᾶζον· Ἀββᾶ, ὁ Πατήρ» [3]). Οὐκοῦν ὁ ἐν ἡμῖν Υἱὸς, τὸν ἴδιον Πατέρα ἐπικαλούμενος, καὶ ἡμῶν αὐτῶν ποιεῖ Πατέρα λέγεσθαι. Ἀμέλει ὧν οὐκ ἔςιν εἰς τὰς καρδίας ὁ Υἱὸς, τούτων οὐδὲ Πατὴρ ὁ Θεὸς ἂν λεχθείη. Εἴπερ οὖν διὰ τὸν Λόγον ὁ ἄνθρωπος λέγεται Υἱὸς, ἀνάγκη πᾶσα, λεγομένων καὶ πρὸ τῆς ἐνανθρωπήσεως τῶν παλαιῶν υἱῶν, εἶναι καὶ πρὸ τῆς ἐπιδημίας τὸν Λόγον Υἱόν. «Υἱοὺς» γάρ, φησιν, «ἐγέννησα» [4])· καὶ ἐπὶ Νῶε· «ἰδόντες οἱ υἱοὶ τοῦ Θεοῦ» [5])· καὶ ἐν τῇ Ὠδῇ· «Οὐκ αὐτὸς οὗτός σου Πατήρ» [6]); οὐκοῦν ἦν καὶ ὁ ἀληθῶς Υἱός, δι' ὃν κἀκεῖνοι υἱοί. Εἰ δὲ κατ' ἐκείνους πάλιν οὐδ' ὁπότερον τούτων Υἱὸς, ἀλλὰ διὰ τὴν ἀμφοῖν σύνοδον, ἀνάγκη μηδ' ὁπότερον εἶναι Υἱόν· φημὶ δὴ, μήτε τὸν Λόγον, μήτε τὸν ἄνθρωπον, ἀλλά τινα αἰτίαν, δι' ἣν καὶ συνήφθησαν· καὶ οὕτω δὲ προηγήσεται ἡ αἰτία τῆς συνάψεως, ἥτις Υἱὸν ποιεῖ. Οὐκοῦν καὶ κατὰ τοῦτο πρὸ τῆς σαρκὸς προῆν ὁ Υἱός. Τούτων δὴ λεγομένων, εἰς ἕτερον καταφεύξονται, λέγοντες μὴ τὸν ἄνθρωπον εἶναι Υἱὸν, μηδὲ τὸ συναμφότερον, ἀλλὰ τὸν Λόγον ἐν ἀρ-

---

[1]) Іоан. 5. 17. [2]) Іоан. 16. 28. [3]) Гал. 4. 6. [4]) Исаія 1. 2. [5]) Быт. 6. 2. [6]) Втор. 32. 6.

χῇ μὲν εἶναι Λόγον ἁπλῶς· ὅτε δὲ ἐνηνθρώπησε, τότε ὠνομάσθαι Υἱόν· πρὸ γὰρ τῆς ἐπιφανείας μὴ εἶναι Υἱὸν, ἀλλὰ Λόγον μόνον· καὶ ὥσπερ ὁ Λόγος σὰρξ ἐγένετο, οὐκ ὢν πρότερον σὰρξ, οὕτως ὁ Λόγος Υἱὸς γέγονεν, οὐκ ὢν πρότερον Υἱός. Ταῦτα μὲν ἐκείνων τὰ φλυαρήματα· ἔχει δὲ τὸν ἔλεγχον ἐναργῆ.

23. Εἰ γὰρ ὅλως ἐνανθρωπήσας γέγονεν Υἱὸς, ἡ ἐνανθρώπησις *αἰτία*. Καὶ εἰ ὁ ἄνθρωπος αἴτιος τοῦ εἶναι αὐτὸν Υἱὸν, ἢ τὸ συναμφότερον, καὶ τὰ αὐτὰ ἄτοπα ἀπαντήσει. Ἔπειτα, εἰ πρῶτον Λόγος, καὶ ὕστερον Υἱὸς, φανήσεται ὕστερον ἐγνωκὼς τὸν Πατέρα, καὶ οὐ πρότερον. Οὐ γὰρ ἡ Λόγος γινώσκει, ἀλλ᾽ ἡ Υἱός· «οὐδεὶς γὰρ γινώσκει τὸν Πατέρα, εἰ μὴ ὁ Υἱὸς» [1]). Ἀπαντήσει δὲ καὶ τοῦτο, ὅτι ὕστερον ἐν κόλποις τοῦ Πατρὸς γέγονε, καὶ ὕστερον αὐτὸς καὶ ὁ Πατὴρ ἓν γεγόνασι, καὶ ὕστερον τὸ «ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα» [2])· Ταῦτα γὰρ πάντα ἐπὶ Υἱοῦ ἐλέχθη. Ἐκ δὴ τούτων ἀναγκασθήσονται εἰπεῖν· οὐδὲν ἦν ὁ Λόγος, ἀλλ᾽ ὄνομα μόνον. Οὔτε γὰρ ἐν ἡμῖν μετὰ τοῦ Πατρὸς, οὔτε ὁ τὸν Λόγον ἑωρακὼς ἔβλεπε τὸν Πατέρα, οὔτε ὅλως τινὶ ἐγνώσθη ὁ Πατήρ· διὰ γὰρ Υἱοῦ γινώσκεται ὁ Πατήρ· οὕτω γὰρ καὶ γέγραπται· «καὶ ᾧ ἂν ὁ Υἱὸς ἀποκαλύψῃ» [3]). Μήπω δὲ ὄντος τοῦ Λόγου Υἱοῦ, οὐδέπω τις ἐγίνωσκε τὸν Πατέρα. Πῶς οὖν Μωϋσεῖ, πῶς τοῖς πατράσιν ὤφθη; αὐτὸς γὰρ ἐν ταῖς Βασιλείαις φησίν· «ἀποκαλυφθεὶς ἀπεκαλύφθην πρὸς πάντας τοὺς πατέρας ὑμῶν» [4]). Εἰ δὲ ἀπεκαλύφθη Θεὸς, δῆλον ὅτι ἦν ὁ ἀποκαλύπτων Υἱὸς, ὡς αὐτός φησι· «καὶ ᾧ ἐὰν ὁ Υἱὸς ἀποκαλύψῃ». Ἀσεβὲς μὲν οὖν καὶ ἀνόητον τὸ λέγειν ἄλλον εἶναι τὸν Λόγον, καὶ ἄλλον εἶναι τὸν Υἱόν. Πόθεν δὲ ἄρα τὴν τοιαύτην ὑπόνοιαν ἐσχήκασιν, ἐρέσθαι καλόν. Φασὶ δὴ, διὰ τὸ μὴ εἰρῆσθαι ἐν τῇ Παλαιᾷ περὶ Υἱοῦ, ἀλλὰ περὶ Λόγου, καὶ διὰ τοῦτο νεώτερον ὑπονοεῖν τοῦ Λόγου τὸν Υἱὸν διαβεβαιοῦνται, ὅτι μὴ ἐν τῇ Παλαιᾷ, ἀλλ᾽ ἐν τῇ Καινῇ μόνῃ περὶ αὐτοῦ ἐλέχθη. Ταῦτ᾽ ἐκεῖνοι ἀσεβῶς φθέγγονται. Πρῶτον μὲν γὰρ διαιρεῖν τὰς Διαθήκας, καὶ μὴ τὴν ἑτέραν τῆς ἑτέρας ἔχεσθαι, Μανιχαίων [5])

[1]) Мат. 11. 27. [2]) Іоан. 14. 9. [3]) Мат. 11. 27. [4]) 1 Цар. 2. 27.

[5]) Манихеи, еретики 3-го вѣка, послѣдователи Манеса, который между прочимъ отвергалъ Ветхій Завѣтъ и ветхозавѣтныя книги св. Писанія. О нихъ см. въ Церк. Ист. Иннокентія.

καὶ Ἰουδαίων τὸ ἐπιτήδευμα, τῶν μὲν τῇ Παλαιᾷ, τῶν δὲ τῇ Νέᾳ ἀντιλεγόντων· ἔπειτα κατ' αὐτούς, εἰ τὰ ἐν τῇ Παλαιᾷ κείμενα προάγει τῷ χρόνῳ, τὰ δὲ ἐν τῇ Νέᾳ νεώτερά ἐςι, καὶ ἐκ τῶν γραμμάτων οἱ χρόνοι κρίνονται· ἀνάγκη πάλιν νεώτερα εἶναι τὸ «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν», τό τε «Μονογενής», καὶ τὸ «ὁ ἑωρακὼς ἐμέ, ἑώρακε τὸν Πατέρα»· οὐ γὰρ ἐκ τῆς Παλαιᾶς, ἀλλ' ἐν τῆς Καινῆς ταῦτα μαρτυρεῖται.

24. Οὐ μὴν δὲ, ἀλλ' ἀληθῶς καὶ ἐν τῇ Παλαιᾷ περὶ Υἱοῦ πολλὰ λέγεται· οἷον ἐν τῷ δευτέρῳ ψαλμῷ τὸ «Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε» [1]· καὶ ἐν τῷ ἐννάτῳ ἡ ἐπιγραφή· «εἰς τὸ τέλος ὑπὲρ τῶν κρυφίων τοῦ Υἱοῦ, ψαλμὸς τῷ Δαυΐδ»· καὶ ἐν τῷ τεσσαρακοςῷ τετάρτῳ· «εἰς τὸ τέλος ὑπὲρ τῶν ἀλλοιωθησομένων, τοῖς υἱοῖς Κορὲ, εἰς σύνεσιν, ᾠδὴ ὑπὲρ τοῦ ἀγαπητοῦ»· καὶ ἐν τῷ Ἡσαΐᾳ· «ᾄσω δὴ τῷ ἠγαπημένῳ ᾆσμα τοῦ ἀγαπητοῦ τῷ ἀμπελῶνί μου. Ἀμπελὼν ἐγενήθη τῷ ἠγαπημένῳ» [2]. Τὸ δὲ «ἀγαπητὸς» τίς ἂν εἴη ἢ Υἱὸς μονογενής; ὡς καὶ ἐν τῷ ἑκατοςῷ ἐννάτῳ· «ἐκ γαςρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε» [3], περὶ οὗ ὕςερον λεχθήσεται· καὶ ἐν Παροιμίαις δέ· «πρὸ δὲ πάντων τῶν βουνῶν γεννᾷ με» [4]· καὶ ἐν τῷ Δανιήλ· «καὶ ἡ ὅρασις τοῦ τετάρτου ὁμοία Υἱῷ Θεοῦ» [5], καὶ ἄλλα πλείονα. Εἰ τοίνυν ἐκ τῆς Παλαιᾶς ἡ ἀρχαιότης, ἀρχαῖος ἂν εἴη καὶ ὁ Υἱὸς, ὁ ἐν τῇ Παλαιᾷ ἐν πολλοῖς σαφηνιζόμενος. Ἀλλὰ καί, φασι, κεῖται μὲν, προφητικῶς δὲ ἔςω· οὐκοῦν καὶ περὶ τοῦ Λόγου προφητικῶς εἰρῆσθαι λεχθείη ἄν· οὐ γὰρ τὸ μὲν, τὸ δέ. Εἰ γὰρ τὸ «Υἱός μου εἶ σύ», ἐπὶ μέλλοντος, δῆλον ὅτι καὶ τὸ «τῷ Λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐςερεώθησαν» [6]. Οὐ γὰρ εἶπεν «ἐγένοντο», οὐδὲ «ἐποίησεν». Ὅτι δὲ τὸ «ἐςερέωσεν» ἐπὶ μέλλοντός, φησιν· «ὁ Κύριος ἐβασίλευσεν·» εἶτα· «καὶ γὰρ ἐςερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται» [7]. Καὶ εἰ τὸ ἐν τῷ τεσσαρακοςῷ τετάρτῳ «ὑπὲρ τοῦ ἀγαπητοῦ» ἐπὶ μέλλοντος, δῆλον ὅτι καὶ τὸ ἐπιφερόμενον τὸ «ἐξηρεύξατο ἡ καρδία μου Λόγον ἀγαθόν». Καὶ εἰ τὸ «ἐκ γαςρὸς» ἐπὶ ἀνθρώ-

---

[1] Пс. 2. 7. [2] Псаін 5. 1. [3] Пс. 109. 3. [4] Пр. 8. 5. [5] Дан. 3. 92. [6] Пс. 32. 6. [7] Пс. 92. 1.

που, ἄρα καὶ τὸ «ἐκ καρδίας». Εἰ γὰρ ἡ γαςὴρ ἀνθρώπινον, καὶ ἡ καρδία σωματικόν. Εἰ δὲ τὸ «ἐκ καρδίας», ἀΐδιον, καὶ τὸ «ἐκ γαςρὸς» ἀΐδιον· καὶ εἰ ὁ Μονογενὴς ἐν κόλποις, καὶ ὁ Ἀγαπητὸς ἐν κόλποις. Ταὐτὸν γὰρ ἐςι τό τε Μονογενὲς καὶ τὸ Ἀγαπητὸν, ὡς τό· «οὗτός ἐςιν ὁ Υἱός μου ὁ ἀγαπητός» [1]). Οὐ γὰρ δὴ τὴν εἰς αὐτὸν ἀγάπην σημᾶναι θέλων, εἶπε τὸ «ἀγαπητὸς,» ἵνα μὴ τοὺς ἄλλους μισεῖν δόξῃ· ἀλλὰ τὸ Μονογενὲς ἐδήλου, ἵνα τὸ μόνον ἐξ αὐτοῦ εἶναι αὐτὸν δείξῃ. Καὶ τῷ Ἀβραὰμ γοῦν σημᾶναι θέλων ὁ Λόγος τὸ μονογενὲς, φησί· «προσένεγκε τὸν υἱόν σου τὸν ἀγαπητόν» [2]). Παντὶ δὲ δῆλον, ἐκ τῆς Σάῤῥας μόνον εἶναι τὸν Ἰσαάκ. Ἔςιν ἄρα ὁ Λόγος Υἱὸς, οὐκ ἄρτι γεγονὼς ἢ ὀνομασθεὶς Υἱὸς, ἀλλ' ἀεὶ Υἱός. Εἰ γὰρ μὴ Υἱὸς, οὐδὲ Λόγος· καὶ εἰ μὴ Λόγος, οὐδὲ Υἱός. Τὸ γὰρ ἐκ τοῦ Πατρὸς Υἱός ἐςι. Τί δὲ ἐςιν ἐκ τοῦ Πατρὸς εἰ μὴ Λόγος, ὁ ἐκ καρδίας προελθὼν, καὶ ἐκ γαςρὸς γεννηθείς; οὐ γὰρ ὁ Πατὴρ Λόγος ἐςίν· οὐδὲ ὁ Λόγος Πατήρ ἐςιν· ἀλλ' ὁ μὲν Πατὴρ, ὁ δὲ Υἱός· καὶ ὁ μὲν γεννᾷ, ὁ δὲ γεννᾶται.

25. Μαίνεται μὲν οὖν Ἄρειος, ἐξ οὐκ ὄντων εἶναι λέγων τὸν Υἱὸν, καὶ ἦν ποτε, ὅτε οὐκ ἦν. Μαίνεται δὲ καὶ Σαβέλλιος, λέγων τὸν Πατέρα εἶναι Υἱὸν, καὶ ἔμπαλιν τὸν Υἱὸν εἶναι Πατέρα, ὑποςάσει μὲν ἓν, ὀνόματι δὲ δύο· μαίνεται δὲ καὶ παραδείγματι χρώμενος τῇ τοῦ Πνεύματος χάριτι· φησὶ γάρ· ὥσπερ «διαιρέσεις χαρισμάτων εἰσὶ, τὸ δὲ αὐτὸ Πνεῦμα» [3])· οὕτω καὶ ὁ Πατὴρ ὁ αὐτὸς μέν ἐςι, πλατύνεται δὲ εἰς Υἱὸν καὶ Πνεῦμα. Ἔςι δὲ τοῦτο μεςὸν ἀτοπίας. Εἰ γὰρ ὡς ἐπὶ τοῦ Πνεύματος, οὕτω καὶ ἐπὶ τοῦ Θεοῦ ἐςιν· ἔςαι ὁ Πατὴρ Λόγος καὶ Πνεῦμα ἅγιον, ᾧ μὲν γινόμενος Πατὴρ, ᾧ δὲ Λόγος, ᾧ δὲ Πνεῦμα πρὸς τὴν χρείαν ἑκάςου ἁρμοζόμενος· καὶ ὀνόματι μὲν Υἱὸς καὶ Πνεῦμα, τῷ δὲ ὄντι Πατὴρ μόνον· ἀρχὴν μὲν ἔχων τὸ γίνεσθαι Υἱὸς, παυόμενος δὲ τοῦ λέγεσθαι Πατήρ· καὶ ἐνανθρωπήσας μὲν ὀνόματι, τῇ δὲ ἀληθείᾳ μηδὲ ἐπιδημήσας· καὶ ψευδόμενος μὲν τῷ λέγειν «Ἐγὼ καὶ ὁ Πατὴρ», τῷ δὲ ὄντι αὐτὸς ὢν ὁ Πατήρ· καὶ ὅσα ἄλλα ἐπὶ Σαβελλίου ἄτοπα ἀπαντᾷ. Ἀνάγκη δὲ καὶ παυθήσεσθαι τὸ ὄνομα τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος, τῆς

---

[1]) Мат. 3. 17. [2]) Быт. 22. 2. [3]) 1 Кор. 12. 4.

χρείας πληρωθείσης· καὶ ἔςαι λοιπὸν ἄχρι παιδιᾶς τὰ γινόμενα, ὅτι μὴ ἀληθείᾳ, ἀλλ' ὀνόματι ἐπεδείχθη. Παυομένου δὲ τοῦ ὀνόματος τοῦ Υἱοῦ κατ' αὐτοὺς, παύσεται καὶ τοῦ βαπτίσματος ἡ χάρις· εἰς γὰρ Υἱὸν ἐδόθη. Καὶ τί ἀκολουθήσει ἢ ἀφανισμὸς τῆς κτίσεως; εἰ γὰρ, ἵνα ἡμεῖς κτισθῶμεν, προῆλθεν ὁ Λόγος, καὶ προελθόντος αὐτοῦ ἐσμεν· δῆλον ὅτι, ἀναχωροῦντος αὐτοῦ εἰς τὸν Πατέρα, ὥς φασιν, οὐκ ἔτι ἐσόμεθα. Οὕτω γὰρ ἔςαι, ὥσπερ ἦν· οὕτως οὐκ ἔτ' ἐσόμεθα, ὥσπερ οὖν οὐκ ἦμεν. Οὐκ ἔτι γὰρ προελθόντος, οὐκ ἔτι ἡ κτίσις ἔςαι.

26. Ἄτοπα μὲν οὖν ταῦτα. Ὅτι δὲ ὁ Υἱὸς οὐκ ἀρχὴν ἔχει τοῦ εἶναι, ἀλλ' ἀεὶ καὶ πρὸ τῆς ἐνανθρωπήσεως παρὰ τῷ Πατρί ἐςι, δηλοῖ ὁ Ἰωάννης ἐν τῇ πρώτῃ ἐπιςολῇ λέγων οὕτως· «ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, ὃ ἐθεασάμεθα, καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ Λόγου τῆς ζωῆς· καὶ ἡ ζωὴ ἐφανερώθη, καὶ ἑωράκαμεν, καὶ μαρτυροῦμεν, καὶ ἀπαγγέλλομεν ὑμῖν τὴν ζωὴν τὴν αἰώνιον, ἥτις ἦν πρὸς τὸν Πατέρα, καὶ ἐφανερώθη ἡμῖν» [1]). Ἐνταῦθα λέγων, ὅτι ἡ ζωὴ οὐ γέγονεν, ἀλλ' ἦν πρὸς τὸν Πατέρα, ἐν τῷ τέλει τῆς ἐπιςολῆς τὸν Υἱὸν εἶναί φησι τὴν ζωήν· γράφει δ' οὖν· «καί ἐσμεν ἐν τῷ ἀληθινῷ, ἐν τῷ Υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ. Οὗτός ἐςιν ὁ ἀληθινὸς Θεὸς, καὶ ζωὴ αἰώνιος» [2]). Εἰ δὲ ὁ Υἱός ἐςιν ἡ ζωὴ, καὶ αὕτη πρὸς τὸν Πατέρα, καὶ εἰ ὁ Υἱὸς ἦν πρὸς τὸν Πατέρα, λέγει δὲ ὁ αὐτός· «καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν»· ὁ Υἱὸς ἂν εἴη ὁ Λόγος ὁ ἀεὶ ὢν πρὸς τὸν Πατέρα. Ὥσπερ δὲ ὁ Υἱὸς Λόγος ἐςὶν, οὕτως ὁ Θεὸς ὁ αὐτὸς ἂν εἴη ὁ Πατήρ. Ὁ μέντοι Υἱὸς κατὰ τὸν Ἰωάννην Θεὸς οὐχ ἁπλῶς, ἀλλ' ἀληθινὸς Θεός ἐςι. Καὶ γὰρ κατὰ τὸν αὐτὸν τοῦτον· «καὶ Θεὸς ἦν ὁ Λόγος»· ἔλεγέ τε ὁ Υἱός· «Ἐγώ εἰμι ἡ ζωή» [3]). Οὐκοῦν ὁ Υἱὸς Λόγος ἐςὶ καὶ ζωὴ ἡ οὖσα παρὰ τῷ Πατρί. Πάλιν δὲ τὸ ἐν αὐτῷ τῷ Ἰωάννῃ εἰρημένον· «ὁ μονογενὴς Υἱὸς, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρὸς» [4]), δείκνυσι τὸν Υἱὸν ἀεὶ εἶναι. Ὃν γὰρ λέγει ὁ Ἰωάννης Υἱὸν, τοῦτον χεῖρα ὁ Δαβὶδ ψάλλει λέγων· «ἵνα τί ἀποςρέφεις τὴν χεῖρά σου καὶ τὴν δεξιάν σου ἐκ μέσου τοῦ κόλπου

---

[1]) 1 Іоан. 1. 1—2. [2]) 1 Іоан. 5. 20. [3]) Іоан. 14. 6. [4]) Іоан. 1. 18.

σου» [1]; Οὐκοῦν εἰ ἡ χεὶρ ἐν τῷ κόλπῳ, καὶ ὁ Υἱὸς ἐν κόλπῳ, ὁ Υἱὸς ἂν εἴη ἡ χείρ, καὶ ἡ χεὶρ ἂν εἴη ὁ Υἱὸς, δι' οὗ ἐποίησε τὰ πάντα ὁ Πατήρ. «Ἡ χεὶρ σου γάρ, φησιν, ἐποίησε ταῦτα πάντα» [2], καὶ «τῇ χειρὶ ἐξήγαγε τὸν λαόν» [3]· οὐκοῦν διὰ τοῦ Υἱοῦ. Εἰ δὲ καὶ «αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίςου» [4], καὶ πάλιν «εἰς τὸ τέλος, ὑπὲρ τῶν ἀλλοιωθησομένων, ᾠδὴ ὑπὲρ τοῦ ἀγαπητοῦ» [5]· ὁ ἀγαπητὸς ἄρα ἐςὶν ἡ χεὶρ ἀλλοιωθεῖσα, περὶ οὗ καὶ λέγει ἡ θεία φωνή· «οὗτός ἐςιν ὁ Υἱός μου ὁ ἀγαπητός». Ἴσον ἄρα ἐςὶν «αὕτη ἡ χείρ μου», τῷ· «οὗτος ὁ Υἱός μου».

27. Ἐπειδὴ δέ τινες τῶν ἀπαιδεύτων, ἀναιροῦντες τὸ εἶναι Υἱὸν, εὐτελίζουσι [6]) τὸ «ἐκ γαςρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε» [7], ὡς ἂν ἐπὶ τῆς Μαρίας ἁρμόζοντος τούτου, φάσκοντες πρὸ τοῦ ἑωθινοῦ ἀςέρος γεγεννῆσθαι αὐτὸν ἀπὸ Μαρίας· μὴ γὰρ ἂν ἐπὶ Θεοῦ ἁρμόζειν γαςέρα λέγειν· ὀλίγα εἰπεῖν ἀνάγκη. Εἰ μὲν οὖν, ὅτι ἡ γαςὴρ ἀνθρώπινόν ἐςι, διὰ τοῦτο ἀλλότριον Θεοῦ· δῆλον ὅτι καὶ ἡ καρδία ἀνθρώπινον ἔχει τὸ σημαινόμενον. Ἀκολουθεῖ γὰρ τὸν καρδίαν ἔχοντα ἔχειν καὶ γαςέρα. Ἀμφοτέρων δὴ ἀνθρωπίνων ὄντων, ἢ ἀναιρεῖν ἑκάτερον ἀνάγκη, ἢ ἀμφοτέρων τὴν διάνοιαν ζητεῖν χρή. Ὡς γὰρ ἐκ καρδίας Λόγος, οὕτως ἐκ γαςρὸς γέννημα. Καὶ ὥσπερ, καρδίας Θεοῦ λεγομένης, οὐκ ἀνθρωπίνην νοοῦμεν αὐτήν· οὕτως ἐὰν «ἐκ γαςρὸς» ἡ γραφὴ λέγῃ, οὐ σωματικὴν δεῖ ταύτην ἐκδέχεσθαι. Ἔθος γὰρ τῇ θείᾳ γραφῇ ἀνθρωπίνως τὰ ὑπὲρ ἄνθρωπον λαλεῖν καὶ σημαίνειν. Ἀμέλει περὶ τῆς κτίσεως διηγούμενός φησιν· «αἱ χεῖρές σου ἐποίησάν με, καὶ ἔπλασάν με» [8]· καὶ «ἡ χείρ μου ἐποίησε ταῦτα πάντα» [9]. καὶ «αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν» [10]. Ἁρμοζόντως ἄρα περὶ ἑκάςου σημαίνει, τοῦ μὲν Υἱοῦ τὸ ἴδιον καὶ τὸ γνήσιον, τῆς δὲ κτίσεως τὴν ἀρχὴν τοῦ εἶναι. Τὰ μὲν γὰρ ποιεῖ καὶ κτίζει, τὸν δὲ γεννᾷ ἐξ ἑαυτοῦ Λόγον, σοφίαν. Γαςὴρ γὰρ καὶ καρδία τὸ ἴδιον καὶ γνήσιον δηλοῦσι. Καὶ γὰρ καὶ ἡμεῖς τὸ μὲν γνήσιον ἐκ γαςρὸς ἔχομεν, τὰ δὲ ἔργα διὰ χειρὸς ποιοῦμεν.

28. Τί οὖν, φασι, καὶ τὸ «πρὸ τοῦ ἑωσφόρου»; Ἐγὼ δ' ἂν

---

[1]) Пс. 73. 11. [2]) Исаіи 41. 20. [3]) Вар. 2. 11. [4]) Пс. 76. 11. [5]) Пс. 44. 1.
[6]) Εὐτελίζω—дешево цѣню, не придаю надлежащаго значенія.
[7]) Пс. 109. 3. [8]) Пс. 118. 73. [9]) Исаіи 66. 2. [10]) Пс. 32. 9.

εἴποιμι· εἰ τὸ «πρὸ τοῦ ἑωσφόρου» τούτου θαυμαςὴν δείκνυσι τὴν ἐκ Μαρίας γέννησιν, πολλοὶ καὶ ἄλλοι πρὸ τῆς τοῦ ἀςέρος ἀνατολῆς ἐγεννήθησαν. Τί οὖν θαυμαςὸν ἐπὶ τούτου εἴρηται, ὅτι ὡς ἐξαιρέτου τινὸς αὐτοῦ μνημονεύει, κοινοῦ ὄντος καὶ ἐπὶ πολλῶν; ἔπειτα διαφέρει τὸ γεννῆσαι τοῦ ἐξαγαγεῖν. Τὸ μὲν γὰρ γεννῆσαι ἀρχὴν ἔχει καταβολῆς· τὸ δὲ ἐξαγαγεῖν οὐδὲν ἕτερόν ἐςιν ἢ τὸ ὑπάρχον προαγαγεῖν. Εἰ τοίνυν ἐπὶ τοῦ σώματος ἁρμόζει ἡ φωνή, ἰςέον, ὅτι οὐ τότε ἀρχὴν γενέσεως εἴληφεν, ὅτε τοῖς ποιμέσιν εὐηγγελίσθη νυκτός, ἀλλ' ὅτε ὁ ἄγγελος ἐλάλησε πρὸς τὴν παρθένον. Οὐκ ἦν δὲ τότε νύξ· οὐ γὰρ εἴρηται· νὺξ δὲ ἦν, ὅτε ἐξῆλθεν ἀπὸ τῆς γαςρός. Ταύτην τὴν διαφορὰν τίθησιν ἡ γραφή, καὶ τὸ μὲν γεγεννῆσθαι πρὸ ἑωσφόρου φησί· τὸ δὲ ἐκ γαςρὸς πρόοδον ὀνομάζει, ὡς ἐν εἰκοςῷ πρώτῳ ψαλμῷ· «Σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαςρός» [1]). Ἄλλως τε οὐκ εἶπε, πρὸ ἀνατολῆς ἑωσφόρου, ἀλλ' ἁπλῶς «πρὸ ἑωσφόρου». Εἰ τοίνυν ἐπὶ τοῦ σώματος ληπτέον τὸ ῥητόν, ἀνάγκη ἢ πρὸ τοῦ Ἀδὰμ εἶναι τὸ σῶμα· πρὸ τοῦ Ἀδὰμ γὰρ τὰ ἄςρα· ἢ ζητεῖν τὸν νοῦν τοῦ γράμματος, ὃ παρὰ Ἰωάννου ἐκλαβεῖν δυνατόν· ἐν γὰρ τῇ Ἀποκαλύψει φησίν· «Ἐγὼ τὸ Α, καὶ τὸ Ω, καὶ ὁ πρῶτος καὶ ὁ ἔσχατος, καὶ ἡ ἀρχὴ καὶ τὸ τέλος. Μακάριοι οἱ πλατύνοντες τὰς ςολὰς αὐτῶν, ἵνα ἔςαι ἡ ἐξουσία αὐτῶν ἐπὶ τοῦ ξύλου τῆς ζωῆς, καὶ τοῖς πυλῶσιν εἰσέλθωσιν εἰς τὴν πόλιν. Ἔξω οἱ κύνες, καὶ οἱ φαρμακοί, καὶ οἱ πόρνοι, καὶ οἱ φονεῖς, καὶ οἱ εἰδωλολάτραι, καὶ πᾶς ποιῶν καὶ φιλῶν ψεῦδος. Ἐγὼ Ἰησοῦς ἔπεμψα τὸν ἄγγελόν μου, μαρτυρῆσαι ὑμῖν ταῦτα ἐν ταῖς ἐκκλησίαις. Ἐγώ εἰμι ἡ ῥίζα καὶ τὸ γένος Δαβίδ, ὁ ἀςὴρ ὁ λαμπρός, ὁ πρωϊνός. Καὶ τὸ Πνεῦμα καὶ ἡ νύμφη λέγουσιν· ἔρχου· καὶ ὁ ἀκούων εἰπάτω· ἔρχου· καὶ ὁ διψῶν ἐρχέσθω· ὁ θέλων λαβέτω ὕδωρ ζωῆς δωρεάν» [2]). Εἰ τοίνυν τὸ γένος Δαβὶδ ἐςιν ὁ ἀςήρ, ὁ λαμπρός, ὁ πρωϊνός, δῆλόν ἐςι τὸ κατὰ σάρκα τοῦ Σωτῆρος ἑωσφόρον εἰρῆσθαι, οὗ προϋπῆρχε τὸ ἐκ τοῦ Θεοῦ γέννημα· ὡς εἶναι τοιοῦτον τὸ ἐν τῷ ψαλμῷ· ἐξ ἐμαυτοῦ σε γεγέννηκα πρὸ τῆς κατὰ σάρκα ἐπιφανείας. Τὸ γάρ, «πρὸ ἑωσφόρου» ἴσον ἐςὶ τῷ· πρὸ τῆς σαρκώσεως τοῦ Λόγου.

[1]) Пс. 21. 10. [2]) Апок. 22. 13—17.

29. Ἔστιν ἄρα καὶ ἐν τῇ Παλαιᾷ φανερῶς περὶ Υἱοῦ κείμενα, εἰ καὶ περιττόν ἐστι περὶ τούτων ἀμφισβητεῖν. Εἰ γὰρ τὰ μὴ κείμενα ἐν τῇ Παλαιᾷ νεώτερά ἐστι, λεγέτωσαν οἱ οὕτω φιλονεικοῦντες, ποῦ τῆς Παλαιᾶς περὶ τοῦ Παρακλήτου Πνεύματος εἴρηται; περὶ Πνεύματος μὲν γὰρ ἁγίου ἐλέχθη, περὶ Παρακλήτου δὲ οὐδαμῶς. Ἆρ᾽ οὖν ἕτερόν ἐστι τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ἕτερος ὁ Παράκλητος, καὶ νεώτερος ὁ Παράκλητος, ἐπεὶ μὴ ἐν Παλαιᾷ κεῖται; ἀλλὰ μὴ γένοιτο ἢ νεώτερον εἰπεῖν τὸ Πνεῦμα, ἢ διελεῖν καὶ ἕτερον εἰπεῖν τὸ ἅγιον Πνεῦμα, καὶ ἕτερον τὸν Παράκλητον. Ἓν γάρ καὶ ταυτόν ἐστι τὸ Πνεῦμα, καὶ τότε καὶ νῦν ἁγιάζον καὶ παρακαλοῦν τοὺς δεκτικοὺς αὐτοῦ· ὡς εἷς καὶ αὐτὸς Λόγος Υἱὸς εἰς υἱοθεσίαν ἄγων καὶ τότε τοὺς ἀξίους. Ἦσαν γὰρ καὶ ἐν τῇ Παλαιᾷ υἱοί, οὐ δι᾽ ἄλλου ἀλλ᾽ ἢ διὰ τοῦ Υἱοῦ τεκνοποιούμενοι. Εἰ γὰρ μὴ ἦν καὶ πρὸ τῆς Μαρίας Υἱὸς ὁ τοῦ Θεοῦ, πῶς πρὸ πάντων ἐστίν, ὄντων πρὸ αὐτοῦ υἱῶν; πῶς δὲ καὶ πρωτότοκος, δεύτερος μετὰ πολλοὺς εὑρισκόμενος; ἀλλ᾽ οὔτε δεύτερος ὁ Παράκλητος· πρὸ πάντων γὰρ ἦν· οὔτε νεώτερος ὁ Υἱός· «ἐν ἀρχῇ γὰρ ἦν ὁ Λόγος» [1]· καὶ ὡς ταυτὸν τὸ Πνεῦμα καὶ Παράκλητος, οὕτω ταυτὸν ὁ Υἱὸς καὶ Λόγος· καὶ ὥς φησιν ὁ Σωτὴρ περὶ τοῦ Πνεύματος· «ὁ δὲ Παράκλητος τὸ Πνεῦμα τὸ ἅγιον, ὃ πέμψει ὁ Πατὴρ ἐν τῷ ὀνόματί μου» [2], ταυτὸν λέγων καὶ οὐ διαιρῶν· οὕτως ὁ Ἰωάννης τὸ ὅμοιον διηγούμενος λέγει· «καὶ ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρός» [3]. Καὶ ἐνταῦθα γὰρ οὐ διεῖλεν, ἀλλὰ τὴν ταυτότητα ἀπήγγειλε. Καὶ οὐχ ὡς ἄλλος Παράκλητος, καὶ ἄλλο τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ᾽ ἓν καὶ ταυτόν· οὕτως οὐκ ἄλλος Λόγος, καὶ ἄλλος Υἱός, ἀλλ᾽ ὁ Λόγος Μονογενής ἐστι. Δόξαν γὰρ οὐκ αὐτῆς εἶπε τῆς σαρκός, ἀλλ᾽ αὐτοῦ Λόγου. Ὁ τοίνυν τολμῶν διαιρεῖν Λόγον καὶ Υἱὸν διαιρείτω καὶ Πνεῦμα καὶ Παράκλητον. Εἰ δὲ ἀδιαίρετον τὸ Πνεῦμα, ἀδιαίρετος καὶ ὁ Λόγος, ὁ αὐτὸς ὢν Υἱός, καὶ σοφία, καὶ δύναμις. Τὸ δὲ ἀγαπητὸν καὶ Ἕλληνες ἴσασιν οἱ δεινοὶ περὶ τὰς λέξεις, ὅτι ἴσον ἐστι τῷ εἰπεῖν Μονογενής. Φησὶ γὰρ Ὅμηρος ἐπὶ Τηλεμάχου,

---

[1]) Іоан. 1. 1. [2]) Іоан. 14. 26. [3]) Іоан. 1. 14.

τοῦ υἱοῦ 'Οδυσσέως μονογενοῦς ὄντος, ταῦτα ἐν τῇ δευτέρᾳ τῆς «'Οδυσσείας»·

«Τίπτε δέ τοι, φίλε τέκνον, ἐνὶ φρεσὶ τοῦτο νόημα
Ἔπλετο; πῇ δὲ θέλεις ἰέναι πολλὴν ἐπὶ γαῖαν,
Μοῦνος ἐὼν ἀγαπητός; ὁ δ' ὤλετο τηλόθι πάτρης
Διογενὴς 'Οδυσεύς, ἀλλογνώτων ἐνὶ δήμῳ» [1]).

'Ο ἄρα μόνος ὢν τῷ πατρὶ ἀγαπητὸς λέγεται.

30. Τινὲς τῶν ἀπὸ τοῦ Σαμοσατέως [2]), διαιροῦντες τὸν Λόγον ἀπὸ τοῦ Υἱοῦ, φάσκουσι τὸν μὲν Υἱὸν εἶναι τὸν Χριςόν, τὸν δὲ Λόγον ἄλλον εἶναι· καὶ τούτου πρόφασιν λαμβάνουσιν ἀπὸ τῶν Πράξεων, ὃ καλῶς μὲν ὁ Πέτρος εἶπεν, αὐτοὶ δὲ κακῶς ἐκδέχονται. Ἔςι δὲ τοῦτο· «τὸν Λόγον ἀπέςειλε τοῖς υἱοῖς 'Ισραὴλ, εὐαγγελιζόμενος εἰρήνην διὰ 'Ιησοῦ Χριςοῦ. Οὗτός ἐςι πάντων Κύριος» [3]). Φασὶ γάρ, ὡς τοῦ Λόγου διὰ Χριςοῦ λαλήσαντος, ὡς καὶ ἐπὶ τῶν προφητῶν· «τάδε λέγει Κύριος»· ἄλλος μὲν ἦν ὁ προφήτης, ἄλλος δὲ ὁ Κύριος. 'Αλλὰ πρὸς τοῦτο ὅμοιόν ἐςιν ἀντιτιθέναι τὸ ἐν τῇ πρώτῃ πρὸς Κορινθίους· «ἀπεκδεχομένους τὴν ἀποκάλυψιν τοῦ Κυρίου ἡμῶν 'Ιησοῦ Χριςοῦ· ὃς καὶ βεβαιώσει ὑμᾶς ἕως τέλους ἀνεγκλήτους ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν 'Ιησοῦ Χριςοῦ» [4]). 'Ως γὰρ οὐκ ἄλλος Χριςὸς ἑτέρου Χριςοῦ τὴν ἡμέραν βεβαιοῖ, ἀλλ' αὐτὸς ἐν τῇ ἑαυτοῦ ἡμέρᾳ βεβαιοῖ τοὺς ἀπεκδεχομένους· οὕτω τὸν Λόγον ἀπέςειλεν ὁ Πατὴρ σάρκα γενόμενον, ἵνα δι' ἑαυτοῦ ἄνθρωπος γενόμενος κηρύξῃ. Εὐθέως γοῦν ἐπάγει· «οὗτός ἐςι πάντων Κύριος»· Κύριος δὲ πάντων ὁ Λόγος ἐςί.

31. Καὶ εἶπε Μωϋσῆς πρὸς 'Ααρών· «πρόσελθε πρὸς τὸ θυσιαςήριον, καὶ ποίησον τὸ περὶ τῆς ἁμαρτίας σου, καὶ τὸ ὁλοκαύτωμά σου, καὶ ἐξίλασαι περὶ σεαυτοῦ καὶ τοῦ οἴκου σου, καὶ ποίησον τὰ δῶρα τοῦ λαοῦ, καὶ ἐξίλασαι περὶ αὐτῶν, καθάπερ ἐνετείλατο Κύριος τῷ Μωϋσεῖ» [5]). 'Ιδοὺ τοίνυν ἐνταῦθα, καίπερ ἑνὸς ὄντος τοῦ Μωϋσέως, ὡς περὶ ἑτέρου Μωϋσέως αὐτὸς Μωϋσῆς

---

[1]) Одис.—β. 363—366.

[2]) Послѣдователи Павла Самосатскаго, Епископа Антіохійскаго, еретика 3-го вѣка, отвергавшаго самостоятельность 2 и 3 Упостасей Божества. См. Церк. Ист. Иннокентія.

[3]) Дѣян. 10. 36. [4]) 1 Кор. 1. 7. [5]) Лев. 9. 7.

λέγων ἐςί· «καθάπερ ἐνετείλατο Κύριος τῷ Μωϋσεῖ». Οὕτω τοίνυν καὶ περὶ τοῦ θείου Λόγου, ἐὰν λέγῃ ὁ μακάριος Πέτρος, ἀποςαλέντος τοῖς υἱοῖς Ἰσραὴλ διὰ Ἰησοῦ Χριςοῦ, οὐ χρὴ ἕτερον μὲν τὸν Λόγον, ἕτερον δὲ Χριςὸν νοεῖν, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν διὰ τὴν ἕνωσιν τὴν πρὸς τὴν θείαν αὐτοῦ καὶ φιλάνθρωπον συγκατάβασίν τε καὶ ἐνανθρώπησιν. Εἰ δὲ καὶ νοοῖτο διχῶς, ἀλλ' οὐχ ὡς τοῦ Λόγου κεχωρισμένου, κατὰ τὸν θεσπέσιον Ἰωάννην, «καὶ ὁ Λόγος σὰρξ ἐγένετο», ειρηκότα, «καὶ ἐσκήνωσεν ἐν ἡμῖν» [1]). Τὸ ἄρα καλῶς καὶ ὀρθῶς εἰρημένον πρὸς τοῦ μακαρίου Πέτρου, κακῶς καὶ ςρεβλῶς νοοῦντες οἱ τοῦ Σαμοσατέως, ἐν τῇ ἀληθείᾳ οὐχ ἵςανται. Χριςὸς γὰρ τὸ συναμφότερον νοεῖται παρὰ τῇ θείᾳ γραφῇ, ὡς ὅταν λέγῃ· «Χριςὸς Θεοῦ δύναμις, καὶ Θεοῦ σοφία» [2]). Εἰ τοίνυν λέγει ὁ Πέτρος τὸν Λόγον διὰ Ἰησοῦ Χριςοῦ ἀπεςάλθαι τοῖς υἱοῖς Ἰσραὴλ, τοῦτο σημαίνων νοείσθω, τὸν Λόγον σαρκωθέντα τοῖς υἱοῖς Ἰσραὴλ πεφανερῶσθαι, ἵν' ᾖ συνᾴδων τῷ· «καὶ ὁ Λόγος σὰρξ ἐγένετο». Εἰ δὲ ἑτέρως ἐκεῖνο νοοῦσι, καὶ τὸν Λόγον μὲν, καθὼς καί ἐςι, θεῖον ὁμολογοῦντες, τὸν πρὸς αὐτοῦ ληφθέντα, ᾧ καὶ ἡνῶσθαι πιςεύεται, ἄνθρωπον ἀπ' αὐτοῦ χωρίζουσι, λέγοντες, διὰ Ἰησοῦ Χριςοῦ αὐτὸν ἀπεςάλθαι, ἑαυτοῖς ἐναντία φθεγγόμενοι οὐ νοοῦσιν. Οἱ γὰρ ἐνταῦθα χωρίζοντες τῆς θείας σαρκώσεως θεῖον [3]) νοοῦσι, σμικρύνουσιν ἄρα ἀκούοντες αὐτὸν σάρκα γεγενῆσθαι, καὶ τὰ Ἑλλήνων φρονοῦσιν, ὥσπερ οὖν καὶ φρονοῦσι, τροπὴν τοῦ Λόγου τὴν σάρκωσιν τὴν θείαν ὑπολαμβάνοντες.

32. Ἀλλ' οὐκ ἔςι τοῦτο, μὴ γένοιτο! Ὃν τρόπον γὰρ ἐνταῦθα τὴν ἀνέκφραςον ἕνωσιν ὁ Ἰωάννης κηρύσσει, καταποθέντος τοῦ θνητοῦ ὑπὸ τῆς ζωῆς, καὶ αὐτοζωῆς ὄντος, καθὰ πρὸς τὴν Μάρθαν ὁ Κύριος ἔφη· «Ἐγώ εἰμι ἡ ζωή» [4])· οὕτω καὶ ὅταν λέγῃ ὁ μακάριος Πέτρος τὸ «διὰ Ἰησοῦ Χριςοῦ ἀπεςάλθαι τὸν Λόγον», τὴν θείαν ἕνωσιν σημαίνει. Ὡς γὰρ ἀκούων τις τὸ «ὁ Λόγος σὰρξ ἐγένετο», οὐκ ἂν νομίσοι μηκέτι οὖν εἶναι Λόγον, ὅπερ ἄτοπον, ὡς προείρηται· οὕτω καὶ Λόγον ἀκούων τὸν συναφθέντα τῇ σαρκί, τὸ θεῖον ἓν καὶ ἁπλοῦν νοείτω μυςήριον. Σαφέςερον δὲ καὶ ἀναμφισβήτητον παντὸς λογισμοῦ. τὸ πρὸς αὐτὴν

---

[1]) Іоан. 1. 14. [2]) 1 Кор. 1. 24. [3]) т. е. Λόγον. [4]) Іоан. 11. 25.

τὴν Θεοτόκον πρὸς τοῦ ἀρχαγγέλου ῥηθὲν τὴν ἑνότητα τοῦ θείου Λόγου καὶ ἀνθρώπου δείξειε. Φησὶ γάρ· «Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπί σε, καὶ δύναμις Ὑψίςου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἅγιον κληθήσεται Υἱὸς Θεοῦ» [1]. Ἀφρόνως οὖν οἱ τοῦ Σαμοσατέως τὸν Λόγον χωρίζουσι, σαφῶς ἀποδειχθέντα ἡνῶσθαι τῷ ἐκ Μαρίας ἀνθρώπῳ. Οὐκ ἄρα ἀπεςάλη δι' αὐτοῦ· ἀπέςελλε δὲ ἐν αὐτῷ, λέγων· «πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη» [2].

33. Ἔθος δὲ τοῦτο τῇ γραφῇ ἀπεριέργως [3]) καὶ ἁπλῶς τὰς λέξεις ἐκφράζειν. Οὕτω γὰρ καὶ ἐν τοῖς Ἀριθμοῖς τις εὑρήσει· «εἶπε γάρ, φησι, Μωϋσῆς τῷ Ῥαγουὴλ τῷ Μαδιανίτῃ, γαμβρῷ Μωϋσῆ» [4]. Οὐ γὰρ ἄλλος Μωϋσῆς ὁ λέγων, καὶ ἄλλος οὗ ἦν γαμβρὸς ὁ Ῥαγουὴλ, ἀλλὰ εἷς ἦν ὁ Μωϋσῆς. Εἰ γὰρ ὁ Λόγος τοῦ Θεοῦ καὶ σοφία ὁμοίως χρηματίζει καὶ δύναμις, καὶ δεξιὰ, καὶ βραχίων, καὶ ὅσα τοιαῦτα· ἥνωται δὲ φιλανθρώπως ἡμῖν, τὴν ἀπαρχὴν ἡμῶν περιθέμενος καὶ ταύτῃ ἀνακραθείς· ἄρα αὐτὸς ὁ Λόγος καὶ τὰ λοιπὰ εἰκότως εἴληχεν ὀνόματα. Τὸ γὰρ εἰρηκέναι τὸν Ἰωάννην ἐν ἀρχῇ μὲν εἶναι τὸν Λόγον, καὶ τοῦτον πρὸς τὸν Θεὸν, καὶ αὐτὸν Θεὸν, καὶ πάντα δι' αὐτοῦ, καὶ χωρὶς αὐτοῦ γεγενῆσθαι μηδὲν, πλάσμα τοῦ Θεοῦ Λόγου σαφῶς καὶ τὸν ἄνθρωπον δείκνυσιν ὑπάρχειν. Εἰ τοίνυν, τοῦτον σαθρωθέντα εἰς ἑαυτὸν λαβόμενος, πάλιν ἀνακαινίζει διὰ τῆς βεβαίας αὐτοῦ ἀνανεώσεως πρὸς διαμονὴν ἀτελεύτητον, καὶ διὰ τοῦτο ἑνοῦται εἰς θειοτέραν ἀνάγων αὐτὸν λῆξιν, πῶς οἷόν τε λέγειν διὰ τοῦ ἐκ Μαρίας ἀνθρώπου τὸν Λόγον ἀπεςάλθαι, καὶ τοῖς λοιποῖς ἀποςόλοις, λέγω δὴ προφήταις, ἀποςαλεῖσι παρ' αὐτοῦ, συναριθμεῖν τὸν τῶν ἀποςόλων Κύριον; πῶς δὲ καὶ κληθείη Χριςὸς ψιλὸς ἄνθρωπος; ἡνωμένος δὲ τῷ Λόγῳ εἰκότως χρηματίζοι Χριςὸς καὶ Υἱὸς Θεοῦ, ἄνωθεν τοῦ προφήτου σαφῶς ἐκβοήσαντος τὴν πατρικὴν ὑπόςασιν περὶ αὐτοῦ, καὶ εἰπόντος· «καὶ ἀποςελῶ τὸν υἱόν μου τὸν Χριςόν» [5]· καὶ ἐν τῷ Ἰορδάνῃ· «οὗτός ἐςιν ὁ Υἱός μου ὁ ἀγαπητός» [6]. Ἐκπληρώσας γὰρ τὴν ὑπόσχεσιν, εἰκότως ὑπέδειξεν, ὡς οὗτός ἐςιν, ὃν εἶπεν ἀποςεῖλαι.

---

[1]) Лук. 1. 35. [2]) Мат. 28. 19.
[3]) Ἀπεριέργως—не со строгою точностію.
[4]) Чис. 10. 29. [5]) Пс. 2. 2, 7. 3 Ездр. 7. 28, 29. [6]) Мат. 3. 17.

34. Τὸ τοίνυν συναμφότερον νοῶμεν Χριστόν, Λόγον τὸν θεῖον ἡνωμένον τῷ ἐκ Μαρίας ἐν τῇ Μαρίᾳ. Ἐν γὰρ τῇ ταύτης νηδύϊ ὁ Λόγος ἑαυτῷ τὸν οἶκον διεπλάσατο, ὃν τρόπον ἐξ ἀρχῆς τὸν Ἀδὰμ ἐκ τῆς γῆς· μᾶλλον δὲ θειοτέρως, περὶ οὗ καὶ Σολομών φησι, τὸν Λόγον εἰδὼς καὶ σοφίαν χρηματίζουσαν φανερῶς· «ἡ Σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον» [1]· ὃν καὶ ὁ Ἀπόστολος ἑρμηνεύων λέγει· «οὗ οἶκός ἐσμεν ἡμεῖς» [2]· καὶ ἀλλαχοῦ δὲ «ναὸν» [3] προσαγορεύει, καθότι πρέπον Θεῷ ἐν ναῷ κατοικεῖν, οὗ καὶ εἰκόνα τὴν ἐκ λίθων τοῖς παλαιοῖς κτίζειν διὰ Σολομῶντος προσέταξεν· ὅθεν τῆς ἀληθείας φανείσης, πέπαυται ἡ εἰκών. Βουληθεῖσι γὰρ τοῖς ἀγνώμοσι τὴν εἰκόνα δεῖξαι ἀλήθειαν, τὴν δὲ ἀληθῆ οἴκησιν, ἣν καὶ ἕνωσιν σαφῶς πιστεύομεν, καθελεῖν, οὐκ ἠπείλησεν· ἀλλ' εἰδώς, ὡς αὐτοὶ καθ' ἑαυτῶν τολμῶσι, φησιν αὐτοῖς· «λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν» [4]· σαφῶς δεικνὺς ὁ ἡμέτερος Σωτήρ, ὡς τὰ πρὸς ἀνθρώπων σπουδαζόμενα αὐτόθεν ἔχει τὴν διάλυσιν. Ἐὰν γὰρ μὴ Κύριος οἰκοδομήσῃ οἶκον, καὶ φυλάξῃ πόλιν, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες, καὶ ἠγρύπνησαν οἱ φυλάσσοντες [5]. Τὰ τοίνυν τῶν Ἰουδαίων λέλυται· σκιὰ γὰρ ἦν· τὰ δὲ τῆς Ἐκκλησίας ἥδρασται· τεθεμελίωται γὰρ ἐπὶ τὴν πέτραν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. Ἐκείνων ἦν τὸ λέγειν· «πῶς σύ, ἄνθρωπος ὤν, ποιεῖς σεαυτὸν Θεόν» [6]; τούτων μαθητὴς ὁ Σαμοσατεὺς ὑπάρχει· ὅθεν εἰκότως τὰ παρ' αὐτοῦ τοῖς αὐτοῦ ἀπαγγέλλει. Ἀλλ' ἡμεῖς οὐχ οὕτως ἐμάθομεν τὸν Χριστόν, εἴγε αὐτὸν ἠκούσαμεν, καὶ παρ' αὐτοῦ ἐδιδάχθημεν, ἀποθέμενοι τὸν παλαιὸν ἄνθρωπον τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης, ἀναλαβόντες δὲ τὸν νέον τὸν κατὰ Θεὸν κτισθέντα ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀληθείας [7]. Χριστὸς τοιγαροῦν τὸ συναμφότερον εὐσεβῶς νοείσθω.

35. Εἰ δὲ καὶ τὸ σῶμα καλεῖ πολλαχοῦ ἡ γραφὴ Χριστόν, ὡς ὅταν λέγῃ ὁ μακάριος Πέτρος πρὸς Κορνήλιον, διδάσκων· «Ἰησοῦν τὸν ἀπὸ Ναζαρέτ, ὃν ἔχρισεν ὁ Θεὸς Πνεύματι ἁγίῳ» [8]· καὶ πάλιν πρὸς Ἰουδαίους· «Ἰησοῦν τὸν ἀπὸ Ναζαρέτ, ἄνδρα ἀπὸ τοῦ Θεοῦ ἀποδεδειγμένον εἰς ὑμᾶς» [9]· καὶ πάλιν ὁ μακάριος Παῦλος

---

[1]) Пр. 9. 1. [2]) Евр. 3. 6. [3]) 1 Кор. 3. 16. [4]) Іоан. 2. 19. [5]) Пс. 126. 6. [6]) Іоан. 10. 33. [7]) Еф. 4. 22—24. [8]) Дѣян. 10. 38. [9]) Дѣян. 2. 22.

πρὸς Ἀθηναίους· «ἐν ἀνδρί, ᾧ ὥρισε, πίςιν παρασχὼν πᾶσιν, ἀναςήσας αὐτὸν ἐκ νεκρῶν» [1]· ταυτὸν δὴ τῇ χρίσει πολλαχόσε τὴν ἀνάδειξιν καὶ τὴν ἀποςολὴν εὑρίσκομεν· ἐξ ὧν μανθάνειν ἔξεςι τῷ βουλομένῳ, ὡς οὐ διαφωνία τις ἐν τοῖς ῥήμασι τῶν ἁγίων, ἀλλὰ διαφόρως τὴν πρὸς τὸν ἐκ Μαρίας ἄνθρωπον τοῦ Θεοῦ Λόγου ἕνωσιν γενομένην ὀνομάζουσι, ποτὲ μὲν χρίσιν, ποτὲ δὲ ἀποςολὴν, ἄλλοτε δὲ ἀνάδειξιν. Τὸ τοίνυν λεγόμενον ὑπὸ τοῦ μακαρίου Πέτρου ὀρθὸν, καὶ εἰλικρινῆ τὴν θεότητα τοῦ Μονογενοῦς κηρύσσει, οὐ τὴν ὑπόςασιν χωρίζον τοῦ Θεοῦ Λόγου ἀπὸ τοῦ ἐκ Μαρίας ἀνθρώπου· μὴ γένοιτο! πῶς γὰρ ὁ ἀκούσας πολλαχῶς τὸ «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν», καὶ «ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα», δι' οὗ καὶ μετὰ τὴν ἀνάςασιν, τὸ αὐτὸ [2], κεκλεισμένων τῶν θυρῶν, εἰσερχόμενον πρὸς πᾶσαν τῶν ἀποςόλων τὴν ξυνωρίδα, καὶ εἴ τι παρῆν ἐκ τούτου δυσπειθὲς, διαλύσαντα τῷ εἰπεῖν· «ψηλαφήσατέ με, καὶ βλέπετε, ὅτι πνεῦμα σάρκα καὶ ὀςέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα» [3]; καὶ οὐκ εἶπε, τόνδε, ἢ τὸν ἄνθρωπόν μου, ὃν ἀνείληφα, ἀλλ' ἐμέ. Ὅθεν οὐδεμίαν συγγνώμην εὑρεῖν δυνήσεται ὁ Σαμοσατεὺς, ἐκ τοσούτων τὴν ἕνωσιν τοῦ Θεοῦ Λόγου διελεγχθεὶς, καὶ ἀπ' αὐτοῦ δὲ τοῦ Θεοῦ Λόγου, ἄρτι μὲν πρὸς πάντας τὴν πεῦσιν προσάγοντος, καὶ πληροφοριῶν ἀπό τε τοῦ φαγεῖν καὶ τὴν ψηλάφησιν ἐπιτρέψαι, ἢ δὴ καὶ γεγένηται· πάντως γὰρ ὁ διδοὺς τὴν τροφὴν, ἢ οἱ διδόντες ἥψαντο τῶν χειρῶν. «Ἐπέδωκαν» γάρ, φησιν, «αὐτῷ ἰχθύος ὀπτοῦ μέρος καὶ ἀπὸ μελισσίου κηρίου, καὶ φαγὼν ἐνώπιον αὐτῶν, λαβὼν τὰ ἐπίλοιπα, ἀπέδωκεν αὐτοῖς». Ἰδοὺ τοίνυν, εἰ καὶ οὐχ ὡς ὁ Θωμᾶς, ἀλλ' ὅμως δι' ἑτέρας μεθόδου τὴν πληροφορίαν αὐτοῖς παρέσχε ψηλαφηθείς. Εἰ δὲ καὶ τοὺς μώλωπας ἰδεῖν θέλοις, παρὰ Θωμᾶ μάθε. «Φέρε γάρ σου, φησι, τὴν χεῖρα καὶ βάλε εἰς τὴν πλευράν μου, καὶ φέρε τὸν δάκτυλόν σου, καὶ βλέπε τὰς χεῖράς μου» [4]· πλευρὰν ἰδίαν καὶ χεῖρας ὀνομάζων ὁ Θεὸς Λόγος, καὶ ὅλον αὐτὸν ἄνθρωπόν τε καὶ Θεὸν ὁμοῦ, ἄρτι μὲν τοῦ Λόγου καὶ τὴν αἴσθησιν τοῖς ἁγίοις διὰ σώματος, ὡς ἔςι νοεῖν, παρέχοντος τῷ εἰσελθεῖν τῶν θυρῶν

---

[1] Дѣян. 17. 31. [2] Въ томъ же тѣлѣ. [3] Лук. 24. 39. [4] Іоан. 2. 27.

κεκλεισμένων, παρευθὺ δὲ σὺν τῷ σώματι παρεςὼς, καὶ τὴν πληροφορίαν παρέχων. Ταῦτα τοῖς πιςοῖς εἰς βεβαίωσιν, καὶ τοῖς ἀπίςοις εἰς διόρθωσιν εἰρήσθω συμμέτρως.

36. Διορθούσθω τοιγαροῦν καὶ Παῦλος Σαμοσατεὺς, τῆς θείας κατήκοος γεγενημένος φωνῆς, «τὸ σῶμά μου», [1] λέγοντος, «καὶ οὐχὶ τὸν Χριςὸν ἕτερον παρ' ἐμὲ τὸν Λόγον, ἀλλὰ σὺν ἐμοὶ αὐτὸν, καὶ ἐμὲ σὺν αὐτῷ· τὸ γὰρ χρίσμα ἐγὼ ὁ Λόγος, τὸ δὲ χρισθὲν ὑπ' ἐμοῦ ὁ ἄνθρωπος· οὐ χωρὶς οὖν ἐμοῦ Χριςὸς κληθείη ἂν, ἀλλὰ σὺν ἐμοὶ ὢν καὶ ἐμοῦ [2] ἐν αὐτῷ». Τὸ τοίνυν ἀποςολὴν τοῦ Λόγου σημαίνεσθαι ἕνωσιν δηλοῖ τὴν πρὸς τὸν ἐκ Μαρίας Ἰησοῦν, ὃς ἑρμηνεύεται Σωτὴρ, οὐ δι' ἕτερόν τι, ἀλλ' ἢ διὰ τὸ τῷ Θεῷ Λόγῳ ἡνῶσθαι. Ταυτὸ σημαίνεται τὸ ῥητὸν τοῦτο τῷ· «ὁ πέμψας με Πατὴρ» [3] καὶ «ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα, ἀλλ' ὁ Πατήρ με ἀπέςειλε» [4]. Τὴν γὰρ πρὸς τὸν ἄνθρωπον ἕνωσιν, σὺν ᾧ γνωρισθῆναι ἀνθρώποις ἦν δυνατὸν τὴν ἀόρατον φύσιν διὰ τῆς ὁρωμένης, ἀποςολὴν ὠνόμασεν. Οὐ γὰρ δὴ Θεὸς τόπους ἀμείβει, καθ' ἡμᾶς τοὺς ἐν τόποις κρυπτομένους, τῷ τῆς μικρότητος ἡμῶν σχήματι τῆς ὑπάρξεως τῆς ἐν σαρκὶ ἐπιδεικνύμενος· πῶς γὰρ ὁ τὸν οὐρανὸν καὶ τὴν γῆν πληρῶν; ἀλλὰ τῆς ἐν σαρκὶ παρουσίας ἕνεκα τὴν ἀποςολὴν οἱ δίκαιοι ὠνόμασαν, εἶτα οὖν καὶ αὐτὸς ὁ Θεὸς Λόγος. Χριςὸς οὖν ὁ ἐκ Μαρίας Θεὸς ἄνθρωπος· οὐχ ἕτερός τις Χριςὸς, ἀλλ' εἷς καὶ ὁ αὐτός· οὗτος πρὸ αἰώνων ἐκ Πατρὸς, οὗτος ἐπ' ἐσχάτων ἐκ τῆς Παρθένου· ἀόρατος τὸ πρὶν καὶ ταῖς ἐν οὐρανῷ δυνάμεσιν ἁγίαις, ὁρατὸς νυνὶ διὰ τὴν πρὸς τὸν ὁρώμενον ἄνθρωπον ἕνωσιν· ὁρώμενος δὲ, φημι, οὐ τῇ ἀοράτῳ θεότητι, ἀλλὰ τῇ τῆς θεότητος ἐνεργείᾳ διὰ τοῦ ἀνθρωπίνου σώματος καὶ ὅλου ἀνθρώπου, ὃν ἀνεκαίνισε τῇ οἰκειώσει τῇ πρὸς ἑαυτόν. Αὐτῷ τὸ σέβας καὶ ἡ προσκύνησις, ὡς ἦν πρώην, καὶ νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

[1] Мат. 26. 26. [2] Т. е. ὄντος. [3] Іоан. 8. 17. [4] Іоан. 8. 42.

## 2.

# ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΑΘΑΝΑΣΙΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΔΡΑΚΟΝΤΙΟΝ [1].

## Глав. 1—10.

1. Ἀπορῶ τί γράφω. Ἆρα γὰρ ὡς παραιτούμενον μέμφομαί σε, ἢ ὡς τὸν καιρὸν [2]) ὁρῶντα καὶ κρυπτόμενον διὰ τὸν φόβον τῶν Ἰουδαίων; πλὴν εἴτε ἄλλως, εἴτε οὕτως, ἄξιον μέμψεως τὸ παρά σου γεγενημένον, ἀγαπητὲ Δρακόντιε. Οὐ γὰρ ἔπρεπε λαβόντα σε τὴν χάριν κρύπτεσθαι, οὐδὲ φρόνιμον ὄντα διδόναι τοῖς ἄλλοις προφάσεις φυγῆς. Πολλοὶ γὰρ ἀκούσαντες σκανδαλίζονται· οὐχ ὡς ἁπλῶς τοῦτό σου ποιοῦντος, ἀλλὰ συνορῶντος τὸν καιρὸν καὶ τὰς επικειμένας θλίψεις τῇ Ἐκκλησίᾳ. Καὶ φοβοῦμαι μὴ, διὰ σαυτὸν φεύγων, δι᾽ ἄλλους εὑρεθῇς κινδυνεύων παρὰ τῷ Κυρίῳ. Εἰ γὰρ «ὁ ἕνα τῶν μικρῶν σκανδαλίζων, ἕλοιτ᾽ ἂν μύλον ὀνικὸν περὶ τὸν τράχηλον αὐτοῦ κρεμασθῆναι, καὶ καταποντισθῆναι» [3])· τί ἂν πάθοις σὺ τοσούτοις γινόμενος σκάνδαλον; καὶ γὰρ ἡ ἐκ παραδόξου [4]) γενομένη συμφωνία ἐν τῇ Ἀλεξανδρέων χώρᾳ, ἐν τῇ σῇ καταστάσει, ἐξ ἀνάγκης σχισθήσεται διὰ τὴν σὴν ἀναχώρησιν· καὶ ἡ ἐπισκοπὴ δὲ τῆς χώρας αὐτῆς ὑπὸ πολλῶν ἁρπαγήσεται, καὶ πολλῶν οὐκ ὀρ-

---

[1]) Драконтій, монахъ и игуменъ, бывъ поставленъ въ Епископа г. Ермополя малаго, по совѣтамъ окружавшихъ его лицъ, скрылся въ пустынѣ; но по убѣжденію св. Аѳанасія въ настоящемъ письмѣ, писанномъ въ 354 или 355 г., возвратился и съ честію занималъ епископскую каѳедру.

[2]) Τὸν καιρὸν, т. е. обстоятельства своего времени, подобно современникамъ І. Христа, не признававшимъ Его Мессіею изъ страха предъ Іудеями. Іоан. 7. 13; 19. 38.

[3]) Мат. 18. 6.

[4]) Ἐκ παραδόξου—необыкновенно, неожиданно. Ἐκ съ прилагат. родит. падежа средняго рода употребляется вм. нарѣчія—παραδόξως, какъ у Гомера—Ω, 352. и у Геродота во многихъ мѣстахъ.

θῶν, ἀλλ' ὧν οἶδας καὶ αὐτός. Καὶ ἐθνικοὶ δὲ οἱ ἐπαγγελλόμενοι χριςιανοὶ γίνεσθαι ἐπὶ τῇ σῇ καταςάσει [1]), ἀπομενοῦσιν Ἕλληνες, τῆς σῆς εὐλαβείας ἐξουθενούσης τὴν δοθεῖσαν χάριν.

2. Ποία οὖν ἐπὶ τοῖς τοιούτοις ἀπολογία παρά σου δοθήσεται; ποίοις ἂν ἀπονίψασθαι καὶ ἀπομάξασθαι λόγοις τὰς τοιαύτας αἰτίας δυνήσῃ; πῶς θεραπεύσεις τοὺς διά σε πεσόντας καὶ σκανδαλιζομένους; ἢ πῶς, μετὰ τὸ σχισθῆναι τὴν εἰρήνην, συῤῥάψαι ταύτην δυνήσῃ; ὦ ἀγαπητὲ Δρακόντιε, ἀντὶ χαρᾶς λύπην ἡμῖν πεποίηκας, ἀντὶ παραμυθίας ςεναγμόν. Προσεδοκοῦμεν γὰρ παραμυθίαν ἔχειν σε μεθ' ἡμῶν, καὶ νῦν βλέπομεν φεύγοντά σε, καὶ ὁρῶμεν, ὅτι κρινόμενος μὲν ἐλεγχθήσῃ, κινδυνεύων δὲ μεταμεληθήσῃ. Καὶ τίς φείσεται, ὡς ὁ προφήτης εἴρηκεν, ἐπί σοι [2]); τίς ἀνακάμψει ἐπί σε εἰς εἰρήνην, ὁρῶν τοὺς ἀδελφοὺς, δι' οὓς Χριςὸς ἀπέθανε, βλαβέντας ἐπὶ τῇ σῇ φυγῇ; δεῖ γὰρ εἰδέναι σε καὶ μὴ ἀμφιβάλλειν, ὅτι πρὶν μὲν καταςαθῇς σαυτῷ ἔζης, καταςαθεὶς δὲ, οἷς κατεςάθης. Καὶ πρὶν μὲν λάβῃς τὴν τῆς ἐπισκοπῆς χάριν, οὐδεὶς ἐγίνωσκέ σε· γενόμενον δὲ λοιπὸν, οἱ λαοὶ προσδοκῶσι φέροντά σε τροφὴν αὐτοῖς, τὴν ἐκ τῶν γραφῶν διδασκαλίαν· ὅταν τοίνυν οἱ προσδοκῶντες λιμώττωσι, σὺ δὲ σαυτὸν μόνον τρέφῃς, καὶ ἔλθῃ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριςὸς, ἡμεῖς τε αὐτῷ παραςῶμεν, ποίαν σχοίης ἀπολογίαν, ὁρῶντος αὐτοῦ τὰ ἴδια πρόβατα λιμώττοντα; εἰ μὲν γὰρ μὴ εἰλήφεις τὰ δηνάρια, οὐκ ἂν ἐμέμψατό σε· λαβόντα δὲ καὶ χώσαντα καὶ κρύψαντα, μέμψαιτ' ἂν εἰκότως, λέγων ἐκεῖνα τὰ ῥήματα, ἃ μὴ γένοιτο κἂν ἀκοῦσαι τὴν σὴν εὐλάβειαν· «ἔδει σε βαλεῖν τὰ δηνάριά μου τοῖς τραπεζίταις, ἵνα ἐλθὼν κἀγὼ παρ' ἐκείνων ἀπαιτήσω» [3]).

3. Παρακαλῶ φεῖσαι σεαυτοῦ καὶ ἡμῶν· σαυτοῦ μὲν, ἵνα μὴ κινδυνεύσῃς· ἡμῶν δὲ, ἵνα μὴ λυπηθῶμεν ἐπί σοι. Φρόντιζε τῆς Ἐκκλησίας, ἵνα μὴ διά σε πολλοὶ τῶν μικρῶν βλαβῶσι, καὶ οἱ ἄλλοι δὲ πρόφασιν λάβωσιν εἰς τὸ ἀναχωρεῖν. Εἰ μὲν οὖν τὸν καιρὸν ἐφοβήθης, καὶ καταπτήξας τοῦτο ἐποίησας, οὐκ ἀνδρικὸν

---

[1]) Κατάςασις—посвященіе и вступленіе въ должность.

[2]) Іер. 15. 5. [3]) Мат. 25. 27.

τὸ φρόνημα· ἔδει γὰρ τὸν κατὰ Χριςὸν ζῆλον ἐν τοῖς τοιούτοις ἐπιδείκνυσθαι, καὶ μᾶλλον ἐν ταῖς περιςάσεσι παῤῥησιάζεσθαι, λέγειν τε τὰ τοῦ μακαρίου Παύλου ῥήματα· «ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν» [1])· καὶ μάλιςα, ὅτι οὐ πρέπει τῷ καιρῷ δουλεύειν, ἀλλὰ τῷ Κυρίῳ· εἰ δὲ τῶν ἐκκλησιῶν ἡ διάταξις οὐκ ἀρέσκει σοι, οὐδὲ νομίζεις τὸ τῆς ἐπισκοπῆς λειτούργημα μισθὸν ἔχειν, ἀλλὰ καταφρονεῖν τοῦ ταῦτα διαταξαμένου Σωτῆρος πεποίηκας σαυτόν· παρακαλῶ, μὴ τοιαῦτα λογίζου, μηδὲ ἀνέχου τῶν ταῦτα συμβουλευόντων· οὐ γὰρ ἄξια Δρακοντίου ταῦτα. Ἃ γὰρ ὁ Κύριος διὰ τῶν ἀποςόλων τετύπωκε, ταῦτα καλὰ καὶ βέβαια μένει· ἡ δὲ τῶν ἀδελφῶν δειλία παύσεται.

4. Εἰ γὰρ τὸν αὐτὸν νοῦν εἶχον πάντες, οἷον νῦν ἔχουσιν οἱ συμβουλεύοντές σοι, πῶς ἂν ἐγένου σὺ χριςιανὸς, ἐπισκόπων μὴ ὄντων; ἐὰν δὲ καὶ οἱ μεθ' ἡμᾶς ἀναλάβωσι τὸν τοιοῦτον νοῦν, πῶς ἂν συςῆναι δυνήσωνται αἱ ἐκκλησίαι; ἢ νομίζουσιν οἱ συμβουλεύοντές σοι μηδὲν εἰληφέναι σε, ὅτι καταφρονοῦσιν; ἀλλὰ καὶ τοῦτο ψευδῶς. Ὥρα γὰρ αὐτοὺς νομίζειν μηδὲν εἶναι μηδὲ τὴν τοῦ λουτροῦ [2]) χάριν, ἐάν τινες τούτου καταφρονῶσι. Ἀλλ' εἴληφας, ὦ ἀγαπητὲ Δρακόντιε· μὴ ἀνέχου τῶν συμβουλευόντων σοι, μηδὲ ἀπάτα σαυτόν. Ἀπαιτηθήσεται γὰρ τοῦτο παρὰ τοῦ δεδωκότος Θεοῦ. Ἢ οὐκ ἤκουσας τοῦ Ἀποςόλου λέγοντος· «μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος [3]); ἢ οὐκ ἀνέγνως, πῶς μὲν τὸν διπλάσαντα ἀποδέχεται, τὸν δὲ κρύψαντα κατεδίκασε; γένοιτο δὲ ταχέως ἐπανελθεῖν σε, ἵνα καὶ συ τῶν ἐπαινουμένων [4]) γένῃ. Ἢ εἰπὲ, τίνος σε θέλουσιν εἶναι μιμητὴν οἱ συμβουλεύοντές σοι; δεῖ γὰρ ἡμᾶς κατὰ σκοπὸν τῶν ἁγίων καὶ τῶν πατέρων πολιτεύεσθαι, καὶ τούτους μιμεῖσθαι· εἰδέναι δὲ, ὅτι, τούτων ἀφιςάμενοι, ἀλλότριοι καὶ τῆς τούτων κοινωνίας γενόμεθα. Τίνα μὲν μιμεῖσθαί σε θέλουσιν ἐκεῖνοι; τὸν διςάζοντα καὶ θέλοντα μὲν ἀκολουθῆσαι, ὑπερτιθέμενον δὲ καὶ συμβουλευόμενον διὰ τοὺς ἰδίους, ἢ τὸν μακάριον Παῦλον, τὸν ἅμα τῷ τὴν οἰκονομίαν ἐγχειρισθῆναι μὴ προσαναθέμενον σαρκὶ καὶ αἵματι [5]); εἰ γὰρ

---

[1]) Рим. 8. 37. [2]) Т. е. крещенія. [3]) 1 Тим. 4. 14.

[4]) Т. е. въ числѣ хвалимыхъ. Подраз. Ἐκ или Εἷς τῶν.

[5]) Гал. 1. 16.

καὶ ἔλεγεν· «οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόςολος» [1], ὅμως γινώσκων ὃ ἔλαβε, καὶ οὐκ ἀγνοῶν τὸν δεδωκότα, ἔγραφεν· «οὐαὶ γάρ μοί ἐςιν, ἐὰν μὴ εὐαγγελίζωμαι» [2]· ὥσπερ δὲ τὸ οὐαί μοι οὐκ εὐαγγελιζόμενος, οὕτως διδάσκων καὶ κηρύσσων τὸ Εὐαγγέλιον χαρὰν καὶ ςέφανον εἶχε τοὺς μαθητευομένους [3]· διὰ τοῦτο καὶ σπουδὴ τῶν ἁγίων μέχρι τοῦ Ἰλλυρικοῦ κηρύττειν, καὶ μὴ ὀκνεῖν μηδὲ εἰς τὴν Ῥώμην ἀπελθεῖν, μηδὲ εἰς τὰς Σπανίας ἀναβῆναι [4], ἵνα ὅσον κοπιᾷ, τοσοῦτον καὶ τοῦ κόπου τὸν μισθὸν μείζονα ἀπολάβῃ. Ἐκαυχᾶτο οὖν τὸν ἀγῶνα τὸν καλὸν ἀγωνισάμενος, καὶ ἐθάρρει τὸν μέγαν ςέφανον ἀποληψόμενος [5]. Οὐκοῦν, ἀγαπητὲ Δρακόντιε, τίνα μιμούμενος τοῦτο ποιεῖς; τοῦτον, ἢ τοὺς μὴ τοιούτους; ἐγὼ μὲν εὔχομαί σε καὶ ἐμαυτὸν πάντων τῶν ἁγίων μιμητὴν γενέσθαι.

5. Ἢ τάχα τινὲς οἱ διὰ τοῦτο συμβουλεύοντές σοι κρύπτεσθαι, ὡς λόγον καὶ ὅρκον σου δεδωκότος μὴ ςῆναι, ἐὰν καταςαθῇς; τοιαῦτα γὰρ αὐτοὺς ἀκούω περιβομβεῖν ταῖς ἀκοαῖς, καὶ δοκεῖν ἐν τούτοις εὐλαβεῖσθαι· ἀλλ' εἰ ἦσαν ἀληθῶς εὐλαβεῖς, ηὐλαβήθησαν ἂν μάλιςα τὸν ἐπιθέντα σοι Θεὸν τὸ λειτούργημα. Εἰ δὲ ἀναγνόντες ἦσαν τὰς θείας γραφάς, οὐκ ἂν παρὰ ταύτας συνεβούλευον. Ὥρα γὰρ αὐτοὺς καὶ τὸν Ἱερεμίαν καταμέμφεσθαι, καὶ τὸν μέγαν αἰτιᾶσθαι Μωϋσῆν, ὅτι τὴν τούτων συμβουλὴν οὐκ ἤκουσαν, ἀλλὰ τὸν Θεὸν φοβηθέντες, τὴν διακονίαν ἐτέλεσαν, καὶ προφητεύοντες ἐτελειώθησαν [6]. Καὶ γὰρ αὐτοὶ ἀποςαλέντες, καὶ λαβόντες ἤδη τὴν τῆς προφητείας χάριν, παρῃτήσαντο μέν, ἐφοβήθησαν δὲ μετὰ ταῦτα, καὶ οὐκ ἐξουδένωσαν τὸν ἀποςείλαντα. Εἴτε τοίνυν ἰσχνόφωνος εἶ καὶ βραδύγλωσσος [7], ἀλλὰ φοβήθητι τὸν πλάσαντά σε Θεόν· εἴτε νεώτερον σαυτὸν λέγεις πρὸς τὸ κήρυγμα, ἀλλ' εὐλαβοῦ τὸν γινώσκοντά σε πρὸ τοῦ πλασθῆναι [8]· εἴτε λόγον δέδωκας (ὁ δὲ λόγος τοῖς ἁγίοις ὡς ὅρκος ἦν), ἀλλὰ ἀνάγνωθι τὸν Ἱερεμίαν, πῶς καὶ αὐτὸς εἰρηκὼς «οὐ μὴ

---

[1] 1 Кор. 15. 9. [2] 1 Кор. 9. 16. [3] Фил. 4. 1. [4] Рим. 15. 12—28. [5] 2 Тим. 4. 7, 8.

[6] Изъ синонимическихъ глаголовъ τελέω и τελειόω первый означаетъ: совершаю, исполняю; а вторый: исполняю въ совершенствѣ (въ дѣйств. залогѣ) и до конца жизни (въ страдат. залогѣ).

[7] Исх. 4. 10. [8] Iер. 1. 5.

ὀνομάσω τὸ ὄνομα Κυρίου» [1]), ὕστερον δὲ φοβηθεὶς τὸ ἐν αὐτῷ πῦρ γενόμενον, οὐκέτι ὡς εἴρηκε, πεποίηκεν, οὐδὲ ὡς προληφθεὶς τῷ ὅρκῳ ἐκρύβη· ἀλλὰ τὸν ἐγχειρίσαντα εὐλαβούμενος, τετελείωκε τὴν προφητείαν. Ἢ οὐκ οἶδας, ἀγαπητὲ, ὅτι καὶ Ἰωνᾶς φεύγων, γέγονε μὲν, ὡς γέγονε [2]), μετὰ δὲ ταῦτα πάλιν προεφήτευσεν;

6. Μὴ τοίνυν ἄλλα παρὰ ταῦτα συμβουλεύου. Μᾶλλον γὰρ ἡμῶν οἶδεν ὁ Κύριος τὰ ἡμῶν, καὶ οἶδε τίσιν ἐγχειρίζει τὰς ἑαυτοῦ ἐκκλησίας. Κἂν γὰρ μὴ ἄξιός τις τυγχάνῃ, ἀλλὰ μὴ πρὸς τὸν πρότερον βίον ἀποβλεπέτω, ἀλλὰ τὴν διακονίαν ἐκτελείτω, ἵνα μὴ πρὸς τῷ βίῳ καὶ τὴν ἐκ τῆς ἀμελείας κατάραν ἀπενέγκηται. Ἆρα γάρ; ἀγαπητὲ Δρακόντιε, ταῦτα γινώσκων καὶ συνετὸς τυγχάνων, οὐ κατανύττῃ τὴν ψυχήν; οὐ φροντίζεις, μὴ ἀπόληταί τις τῶν ἐγχειρισθέντων σοι; οὐ φλέγῃ ὡς ἀπὸ πυρὸς τοῦ συνειδότος; οὐ φοβῇ τὴν ἡμέραν τῆς κρίσεως, ἐν ᾗ οὐδεὶς τῶν συμβουλευόντων νῦν ἐκεῖ γενήσεται βοηθός; ἕκαστος γὰρ τῶν ἐγχειρισθέντων αὐτῷ καὶ λόγον ἀποδώσει [3]). Τί γὰρ ὤνησε τὸν κρύψαντα τὸ δηνάριον ἡ πρόφασις; ἢ τί ὠφέλησε τὸν Ἀδὰμ εἰρηκότα· «ἡ γυνή με ἠπάτησεν» [4]); ἀγαπητὲ Δρακόντιε, εἰ καὶ ἀληθῶς ἀσθενὴς τυγχάνεις, ἀλλὰ ἀναλαβεῖν σε τὴν φροντίδα πρέπει, ἵνα μὴ, τῆς Ἐκκλησίας ἐρήμου τυγχανούσης, οἱ ἐχθροὶ ταύτην βλάψωσι, πρόφασιν εὑρόντες τὴν σὴν φυγήν. Πρέπει σε ἀναζώσασθαι [5]), ἵνα μὴ μόνους ἡμᾶς ἀφῇς ἐν τῷ ἀγῶνι· πρέπει σε συγκαμεῖν, ἵνα μετὰ πάντων καὶ τὸν μισθὸν ἀπολάβῃς.

7. Σπεῦδε τοιγαροῦν, ἀγαπητὲ, μηκέτι βραδύνων, μηδὲ ἀνέχου τῶν σε κωλυόντων, ἀλλὰ τοῦ δεδωκότος μνήσθητι· καὶ δεῦρο πρὸς ἡμᾶς τοὺς ἀγαπῶντάς σε, τοὺς συμβουλεύοντάς σοι τὰ τῶν γραφῶν, ἵνα καὶ παρ' ἡμῶν προπεμφθῇς, καὶ λειτουργῶν ἐν ταῖς ἐκκλησίαις μνημονεύσῃς καὶ ὑπὲρ ἡμῶν. Οὐ γὰρ σὺ μόνος ἐκ μοναχῶν κατεστάθης, οὐδὲ σὺ μόνος προέστης μοναστη-

---

[1]) Iер. 20. 9.

[2]) Съ пророкомъ Іоною случилось то, что случилось.

[3]) Λόγον ἀποδιδόναι—давать отчетъ—тоже, что εὐθύνας διδόναι.

[4]) Быт. 3. 12.

[5]) Изъ ἀνὰ и ζώννυμαι—опоясываюсь—въ смыслѣ приготовленія къ борьбѣ или подвигу (ἀγών).

ρίου, ἢ μόνος ὑπὸ μοναχῶν ἠγαπήθης· ἀλλ' οἶδας, ὅτι καὶ Σεραπίων μοναχός ἐςι [1]· καὶ τόσων μοναχῶν προέςη· οὐκ ἔλαθέ σε, πόσων μοναχῶν πατὴρ γέγονεν Ἀπολλώς [2]. Οἶδας Ἀγάθωνα [3], καὶ οὐκ ἀγνοεῖς Ἀρίςωνα [4]· μνημονεύεις Ἀμμωνίου, τοῦ μετὰ Σεραπίωνος ἀποδημήσαντος [5]· ἴσως δὲ ἤκουσας καὶ περὶ Μουΐτου ἐν τῇ ἄνω Θηβαΐδι [6], καὶ δύνασαι μαθεῖν περὶ Παύλου τοῦ ἐν τῷ Λατῷ [7], καὶ περὶ ἄλλων πολλῶν. Καὶ ὅμως οὗτοι, καταςαθέντες, οὐκ ἀντειρήκασιν, ἀλλ' ἔχοντες τύπον τὸν Ἐλισσαῖον, καὶ εἰδότες τὰ κατὰ Ἠλίαν, μαθόντες τε τὰ κατὰ τοὺς μαθητὰς καὶ ἀποςόλους, ἀντελάβοντο τῆς φροντίδος, καὶ οὐ κατεφρόνησαν τῆς λειτουργίας, καὶ οὔτε χείρους ἑαυτῶν γεγόνασιν, ἀλλὰ καὶ μᾶλλον τοῦ καμάτου τὸν μισθὸν προσδοκῶσι, προκόπτοντες καὶ προκόπτειν ἄλλους νουθετοῦντες. Πόσους ἀπὸ τῶν εἰδώλων ἐπέςρεψαν; πόσους ἀπὸ τῆς δαιμονιώδους συνηθείας ἔπαυσαν νουθετοῦντες; πόσους παρέςησαν τῷ Κυρίῳ δούλους, ὥςε καὶ τοὺς ὁρῶντας τὰ σημεῖα ταῦτα βλέποντας θαυμάζειν; ἢ οὐχὶ μέγα σημεῖον κόρην ποιῆσαι παρθενεύειν, καὶ νεώτερον ἐγκρατεύεσθαι, καὶ εἰδωλολάτρην ἐπιγνῶναι τὸν Χριςόν;

8. Μὴ τοίνυν κωλυέτωσάν σε μοναχοί, ὡς μόνον ἐκ μονα-

---

[1] Серапіонъ Епископъ Тмуитскій († около 366 г.), исповѣдникъ и церковный писатель, къ которому св. Аѳанасій написалъ четыре посланія о Сынѣ Божіемъ и св. Духѣ и письмо о смерти Арія.

[2] Аполлосъ, одинъ изъ египетскихъ Епископовъ, бывшій на Тирскомъ Соборѣ (335 г.) и присутствовавшій на Сардикійскомъ соборѣ (347 г.), но неизвѣстно, въ какомъ мѣстѣ епископствовавшій.

[3] Агаѳонъ, вѣроятно тотъ, который присутствовалъ на Соборѣ Александрійскомъ (362 г.) и подписался: «Епископъ Флагона и части Елеархіи Египетской».

[4] Аристонъ, одинъ изъ египетскихъ Епископовъ, бывшій на Тирскомъ Соборѣ (335 г.), но неизвѣстно, въ какомъ городѣ епископствовавшій.

[5] Аммоній, вѣроятно тотъ, который присутствовалъ на Александрійскомъ Соборѣ (362 г.) и подписался: «епископъ Пахнемуна и остальной части Елеархіи».

[6] Муитъ, Епископъ верхней Ѳиваиды, котораго обстоятельства жизни остались неизвѣстными.

[7] Павелъ, жившій ли прежде епископства въ селеніи Латѣ (или Латополѣ, какъ полагаютъ), или епископствовавшій въ этомъ мѣстѣ, неизвѣстно

χῶν καταςαθέντα, μηδὲ σὺ προφασίζου ὡς χείρων σεαυτοῦ ἐσόμενος· δύνασαι γὰρ καὶ καλλίων γενέσθαι μιμούμενος τὸν Παῦλον, ζηλῶν τῶν ἁγίων τὰς πράξεις. Οἶδας γάρ, ὅτι οἱ τοιοῦτοι, οἰκονόμοι τῶν μυςηρίων καταςαθέντες, μᾶλλον κατὰ σκοπὸν [1]) ἐδίωκον εἰς τὸ βραβεῖον τῆς ἄνω κλήσεως [2]). Πότε Παῦλος ἐμαρτύρησε, καὶ τὸν ςέφανον λαβεῖν προσεδόκησεν, εἰ μὴ ὅτε ἀπεςάλη διδάσκειν; πότε Πέτρος ὡμολόγησεν, εἰ μὴ ὅτε εὐηγγελίζετο, καὶ ἁλιεὺς ἀνθρώπων γέγονε; πότε Ἡλίας ἀνελήφθη, εἰ μὴ ὅτε πᾶσαν τὴν προφητείαν ἐπλήρωσε; πότε Ἐλισσαῖος ἐν πνεύματι ἔσχε διπλᾶ, εἰ μὴ ὅτε πάντα καταλιπὼν ἠκολούθησε τῷ Ἡλίᾳ; διὰ τί δὲ καὶ ἐξελέξατο μαθητὰς ὁ Σωτήρ, εἰ μὴ ἵνα καὶ ἀποςείλῃ;

9. Ὅθεν, τούτους ἔχων τύπον, ἀγαπητὲ Δρακόντιε, μὴ λέγε, μηδὲ πείθου τοῖς λέγουσιν ἁμαρτίας εἶναι πρόφασιν τὴν ἐπισκοπήν, μηδὲ ὅτι ἐκ ταύτης ἀφορμὴ τοῦ ἁμαρτάνειν ἐςίν. Ἔξεςι γὰρ καὶ ἐπίσκοπον ὄντα σε πεινᾶν καὶ διψῆν, ὡς ὁ Παῦλος· δύνασαι μὴ πιεῖν οἶνον, ὡς ὁ Τιμόθεος· καὶ νηςεύειν καὶ αὐτὸς συνεχῶς, ὡς ὁ Παῦλος ἐποίει, ἵνα κατ' ἐκεῖνον οὕτως νηςεύων, χορτάζῃς ἄλλους ἐν τοῖς λόγοις, καὶ διψῶν ἐν τῷ μὴ πιεῖν, ποτίζῃς ἄλλους διδάσκων. Μὴ οὖν ταῦτα προβαλλέτωσαν οἱ συμβουλεύοντές σοι. Οἴδαμεν γὰρ καὶ ἐπισκόπους νηςεύοντας, καὶ μοναχοὺς ἐσθίοντας. Οἴδαμεν καὶ ἐπισκόπους μὴ πίνοντας οἶνον, μοναχοὺς δὲ πίνοντας· οἴδαμεν καὶ σημεῖα ποιοῦντας ἐπισκόπους, μοναχοὺς δὲ μὴ ποιοῦντας. Πολλοὶ δὲ τῶν ἐπισκόπων οὐδὲ γεγαμήκασι, μοναχοὶ δὲ πατέρες τέκνων γεγόνασιν· ὥσπερ καὶ ἐπισκόπους πατέρας τέκνων, καὶ μοναχοὺς ἐξ ὁλοκλήρου [3]) γένους τυγχάνοντας. Καὶ πάλιν οἴδαμεν κληρικοὺς πεινῶντας [4]), μοναχοὺς δὲ νηςεύοντας. Ἔξεςι γὰρ καὶ οὕτως, καὶ ἐκείνως οὐ κεκώλυται. Ἀλλὰ πανταχοῦ τις ἀγωνιζέσθω· καὶ γὰρ ὁ ςέφανος οὐ κατὰ τόπον, ἀλλὰ κατὰ τὴν πρᾶξιν ἀποδίδοται.

---

[1]) Κατὰ σκοπὸν—цѣлесообразно, успѣшно.

[2]) Фил. 3. 14.

[3]) Ὁλόκληρος—единственный представитель своего рода, не вступавшій въ бракъ, не имѣющій дѣтей.

[4]) Нѣкоторые читаютъ: πίνοντας, на основаніи контекста рѣчи.

10. Οὐκοῦν μὴ ἀνέχου τῶν ἕτερα παρὰ ταῦτα συμβουλευόντων. ἀλλὰ μᾶλλον ἐπείγου, καὶ μὴ μέλλε· μάλιςα ὅτι καὶ ἡ ἁγία ἑορτὴ ἐγγίζει, ἵνα μὴ χωρίς σου οἱ λαοὶ τὴν ἑορτὴν ποιήσωσι, καὶ μέγαν κίνδυνον ἐπισπάσῃ κατὰ σαυτοῦ. Τίς γὰρ αὐτοῖς εὐαγγελίσεται τὸ Πάσχα, μὴ παρόντος σου; τίς αὐτοῖς τὴν ἡμέραν ἀναγγελεῖ τῆς ἀναςάσεως, κρυπτομένου σου; τίς αὐτοῖς συμβουλεύσει δεόντως ἑορτάζειν, φεύγοντός σου; ὦ πόσοι μὲν ὠφεληθήσονται παραγενομένου σου, πόσοι δὲ βλαβήσονται φεύγοντός σου! Καὶ τίς ἐπὶ τούτοις ἀποδέξεταί σε; καὶ διὰ τί συμβουλεύουσί σοι μὴ ἀντιλαμβάνεσθαί σε τῆς ἐπισκοπῆς, αὐτοὶ θέλοντες ἔχειν πρεσβυτέρους; εἰ γὰρ φαῦλος τυγχάνεις, μὴ συνέςωσάν σοι· εἰ δὲ ἐπιτήδειον εἶναί σε ἐπιγινώσκουσι, μὴ φθονείτωσαν τοῖς ἄλλοις· εἰ γὰρ τὸ διδάσκειν καὶ προΐςασθαι πρόφασίς ἐςιν ἁμαρτίας κατ' ἐκείνους, μὴ διδασκέσθωσαν αὐτοί, μηδὲ πρεσβυτέρους ἐχέτωσαν, ἵνα μὴ χείρους ἑαυτῶν γένωνται αὐτοί τε καὶ οἱ διδάσκοντες αὐτούς. Ἀλλὰ μὴ πρόσεχε τούτοις τοῖς ἀνθρωπίνοις ῥήμασι, μηδὲ ἀνέχου τῶν ταῦτα συμβουλευόντων, καθὰ πολλάκις προεῖπον· σπεῦδε δὲ μᾶλλον καὶ ἐπίςρεφε πρὸς τὸν Κύριον, ἵνα, τῶν προβάτων αὐτοῦ φροντίζων, μνημονεύσῃς καὶ ἡμῶν. Τούτου δὲ χάριν προετρεψάμην ἐλθεῖν τοὺς ἀγαπητοὺς ἡμῶν Ἱέρακα τὸν πρεσβύτερον καὶ Μάξιμον τὸν ἀναγνώςην, ἵνα καὶ διὰ λόγων σε προτρέψωνται, καὶ μαθεῖν δυνηθῇς ἐκ τούτου τήν τε διάθεσιν ἣν ἔχων ἔγραψα, καὶ τὸν ἐκ τοῦ ἀντιλέγειν τῇ ἐκκλησιαςικῇ διατάξει κίνδυνον.

## VIII.

# СВ. КИРИЛЛЪ АРХІЕПИСКОПЪ ІЕРУСАЛИМСКІЙ.

Св. Кириллъ, сынъ православныхъ и благочестивыхъ родителей, родился около 315 года и получилъ воспитаніе въ Іерусалимѣ, состоявшее преимущественно въ изученіи св. Писанія и твореній предшествовавшихъ Отцевъ Церкви и всего, относящагося къ служенію христіанской Церкви, къ которому онъ по видимому приготовлялся съ юнаго возраста. Проводя жизнь отшельника и подвижника и сдѣлавшись извѣстнымъ правителямъ мѣстной церкви по своимъ познаніямъ въ христіанскомъ ученіи и искреннему благочестію, онъ былъ принятъ въ клиръ и посвященъ сначала въ діакона, а потомъ въ пресвитера около 346 года Епископомъ Іерусалимскимъ Максимомъ, который вмѣстѣ съ тѣмъ избралъ его въ учителя готовящихся къ крещенію и новокрещенныхъ. Необыкновенно тщательное и въ высшей степени плодотворное исполненіе этой священной обязанности было причиною того, что св. Кириллъ вскорѣ —въ 350 году,— по смерти своего Епископа, былъ посвященъ въ санъ архипастыря Іерусалимскаго. Съ этого времени началась для него жизнь, сколько съ одной стороны ознаменованная полезными трудами для ввѣренной ему паствы, столько же съ другой стороны исполненная огорченій отъ внѣшнихъ неблагопріятныхъ отношеній къ другимъ церковнымъ правителямъ, большею частію аріанствовавшимъ, и отъ смутныхъ обстоятельствъ

того времени, производимыхъ послѣдователями Арія. Три раза Святитель Іерусалимскій за свою твердость въ православіи и за охраненіе своей паствы отъ враговъ православія подвергался лишенію своей епископской каѳедры и изгнанію изъ Іерусалима по опредѣленію аріанскихъ соборовъ, именно въ 358, 360 и 367-мъ годахъ, и столько же разъ былъ возвращаемъ на свою каѳедру вслѣдствіе перемѣны обстоятельствъ Церкви и римскаго государства. Возвращенный въ послѣдній разъ въ 378 году Императоромъ Ѳеодосіемъ великимъ, св. Кириллъ нашелъ въ церкви Іерусалимской несогласія и нестроенія, произведенныя вторгавшимися въ нее незаконными и неправославными правителями, и употребилъ всѣ богодарованныя ему силы и средства для умиротворенія и исправленія своихъ пасомыхъ и для уничтоженія ересей. Въ послѣдующій за тѣмъ періодъ жизни, проведенной въ многосторонней пастырской дѣятельности, онъ оказалъ заслуги не только своей мѣстной церкви, но и всей Церкви Христовой, бывши вмѣстѣ съ другими 150 православными епископами на 2 Вселенскомъ Константинопольскомъ Соборѣ въ 381 году, гдѣ и подписалъ осужденіе еретикамъ, не признававшимъ Божескаго достоинства вмѣстѣ съ Сыномъ Божіимъ и во Св. Духѣ. Возвратившись въ Іерусалимъ и доживъ до глубокой старости, пользуясь великимъ уваженіемъ какъ своей, такъ и другихъ православныхъ церквей, Святитель Кириллъ въ 386 году мирно скончался, какъ «мужъ святой жизни» и «защитникъ апостольскаго ученія», по выраженію церковныхъ писателей (Ѳеодор. Ц. Ист. 2. 26. Ѳеофан. Chronogr. p. 47. 58. Максим. Испов. Dogmat. T. 2. p. 88.). Притомъ время жизни этого Святителя ознаменовалось двумя важными событіями въ Іерусалимѣ, какъ то: а) явленіемъ крестнаго знаменія, сіявшаго на небѣ въ продолженіи

нѣсколькихъ часовъ дня не менѣе солнечнаго свѣта и простиравшагося отъ Голгоѳы до Елеона; объ этомъ явленіи, бывшемъ 7-го Мая 351 года, Святитель немедленно написалъ и отправилъ подробное извѣстіе къ Императору Констанцію; б) предпріятіемъ Іудеевъ— возстановить древній храмъ Іерусалимскій, начатымъ по желанію богоотступника Юліана въ 363 году и вскорѣ окончившимся по предсказанію св. Кирилла, указывавшаго на пророчества Даніила (9. 26, 27) и Спасителя (Матѳ. 24. 2), чудеснымъ разрушеніемъ начатой постройки и погибелью строителей. Оба эти событія послужили къ утѣшенію благочестиваго архипастыря Іерусалимской церкви и къ укрѣпленію паствы его въ православной Вѣрѣ.—Память его совершается 18 Марта (См. Учен. объ Отцахъ Ц. Т. 2. стр. 68—71).

Письменныя творенія св. Кирилла, дошедшія до насъ, почти всѣ относятся къ раннему періоду его жизни и служенія въ санѣ пресвитера и въ качествѣ катихизатора Іерусалимской церкви. Поэтому они состоятъ главнымъ образомъ изъ катихизическихъ поученій. Изъ нихъ 18-ть *огласительныхъ* поученій сказаны были къ готовящимся ко просвѣщенію (крещенію) и 5-ть *тайноводственныхъ*—къ новопросвѣщеннымъ (крещеннымъ), и всѣ вмѣстѣ составляютъ драгоцѣнные образцы древняго проповѣдничества, приспособленнаго къ состоянію юныхъ христіанъ, и весьма важный памятникъ святоотеческой письменности, такъ какъ они содержатъ въ себѣ изложеніе догматическаго ученія цѣлаго христіанскаго символа и вмѣстѣ объясненіе таинствъ и обрядовъ съ внутренней и внѣшней стороны ихъ, совершавшихся въ древности и въ старѣйшей апостольской церкви, тѣмъ болѣе, что они вообще написаны Святителемъ съ простотою и ясностію, свойственными мужамъ апостольскимъ. Кромѣ того сохранились до нашего времени въ цѣлости при-

надлежащія ему и написанныя въ томъ же духѣ благочестія и назиданія а) Бесѣда о разслабленномъ и в) Письмо къ Императору Констанцію о явленіи крестнаго знаменія въ Іерусалимѣ.

Это письмо помѣщается въ настоящемъ сборникѣ, какъ единственное описаніе замѣчательнаго явленія, составленное ближайшимъ и достовѣрнымъ свидѣтелемъ событія, вмѣстѣ съ 5-ю тайноводственными поученіями, какъ весьма полезными и достойными изученія произведеніями Іерусалимскаго Святителя.

Лучшія и новѣйшія изданія твореній св. Кирилла Іерусалимскаго суть:

1. S. Cyrilli Hier. opera omnia. Cura Ant. Aug. Tuttei. Paris. 1720. Edit. 2. Weuet. 1763.

2. Patrologiae Curs. Complet. Edit. I. P. Migue. T. XXXIII. Paris. 1857.

3. S. Cyrilli Hierosolymorum Archiepiscopi opera omnia. Wol. I. Edit. S. Car. Reischl. Monaci. 1848. Wol. II. Ed. Jos. Rupp. Monaci. 1860.

Текстъ статей изъ твореній св. Кирилла заимствованъ изъ послѣдняго изданія.

# 1.

## ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΥΡΙΛΛΟΥ

## ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ

## ΚΑΤΗΧΗΤΙΚΟΙ ΛΟΓΟΙ ΠΡΟΣ ΤΟΥΣ ΝΕΟΦΩΤΙΣΤΟΥΣ

## ΠΕΝΤΕ.

### Μυσταγωγικὴ [1]) πρώτη κατήχησις [2]).

### Глав. 1—11.

Πρὸς τοὺς νεοφωτίστους [3]), καὶ ἀνάγνωσις ἐκ τῆς Πέτρου καθολικῆς πρώτης ἐπιστολῆς ἀπὸ τοῦ «νήψατε, γρηγορήσατε» [4]), ἕως τέλους τῆς ἐπιστολῆς.

1. Ἐπόθουν ὑμῖν καὶ πάλαι, ὦ γνήσια καὶ περιπόθητα τῆς ἐκκλησίας τέκνα, περὶ τῶν πνευματικῶν τούτων καὶ ἐπουρανίων διαλεχθῆναι μυστηρίων· ἀλλ᾽ ἐπειδὴ σαφῶς ἠπιστάμην, ὄψιν ἀκοῆς πολλῷ πιστοτέραν εἶναι, ἀνέμενον τὸν παρόντα καιρὸν, ἵνα εὐπροσαγωγοτέρους ὑμᾶς περὶ τῶν λεγομένων ἐκ ταύτης λαβὼν τῆς πείρας εἰς τὸν φωτεινότερον καὶ εὐωδέστερον λειμῶνα τοῦδε τοῦ παραδείσου χειραγωγήσω· ἄλλως τε καὶ χωρητικοὶ [5]) τῶν θειοτέρων κατέστητε μυστηρίων, θείου καὶ ζωοποιοῦ βαπτίσματος ἀξι-

---

[1]) Изъ μυστήριον и ἄγω составленное слово μυσταγωγος—вводящій въ таинство, преподающій ученіе о таинствѣ; отсюда μυσταγωγικὸς—руководящій къ познанію таинства.

[2]) Κατηχέω (изъ κατὰ и ἦχος)—оглашаю, проповѣдаю; въ частности: преподаю первоначальное наставленіе приготовляющимся къ принятію таинства (κατηχουμένοις).

[3]) Φωτισμός—просвѣщеніе. Въ древней христ. Церкви такъ называлось таинство св. крещенія. Νεοφώτιστος—недавно просвѣщенный, новокрещенный.

[4]) 1 Пет. 5. 8.

[5]) Вы сдѣлались способными къ принятію ученія о божественныхъ таинствахъ.

ωθέντες. Ἐπεὶ τοίνυν λοιπὸν τῶν ἐντελεςέρων [1]) ὑμῖν δεῖ μαθημάτων παρατιθέναι τράπεζαν, φέρε ταῦτα ὑμᾶς ἀκριβῶς παιδεύσωμεν, ἵνα εἰδῆτε τὴν ἔμφασιν [2]) τὴν πρὸς ὑμᾶς κατ' ἐκείνην γεγενημένην τοῦ βαπτίσματος τὴν ἑσπέραν.

2. Εἰσῄειτε πρῶτον εἰς τὸν προαύλιον τοῦ βαπτιςηρίου οἶκον [3]), καὶ πρὸς τὰς δυσμὰς ἑςῶτες ἠκούσατε, καὶ προσετάττεσθε ἐκτείνειν τὴν χεῖρα, καὶ ὡς παρόντι ἀπετάττεσθε τῷ σατανᾷ. Χρὴ δὲ τοῦτο ὑμᾶς εἰδέναι, ὅτι ἐν παλαιᾷ ἱςορίᾳ οὗτος κεῖται ὁ τύπος· ὅτε γὰρ Φαραὼ ὁ πικρότατος καὶ ὠμότατος τύραννος κατέθλιβε τῶν Ἑβραίων τὸν ἐλεύθερον λαὸν καὶ εὐγενῆ, ὁ Θεὸς ἀπέςειλε τὸν Μωϋσῆν ἐξάγειν αὐτοὺς ἐκ τῆς πονηρᾶς τῶν Αἰγυπτίων δουλείας· καὶ αἵματι μὲν ἀμνοῦ ἐχρίοντο αἱ φλιαί, ἵνα φύγῃ ὁ ὀλοθρεύων τοὺς τὸ σημεῖον ἔχοντας τοῦ αἵματος οἴκους [4]). παραδόξως δὲ ἠλευθεροῦτο ὁ τῶν Ἑβραίων λαός· ἐπειδὴ δὲ καὶ ἐλευθερωθέντας ὁ ἐχθρὸς κατεδίωξε καὶ παραδόξως εἶδε τὴν θάλασσαν αὐτοῖς τεμνομένην, ὅμως ἐχώρει, ἴχνη ἴχνεσι συμβάλλων, καὶ παραχρῆμα ὑποβρύχιος ἐγένετο καταποντούμενος ἐν θαλάσσῃ ἐρυθρᾷ.

3. Μετάβηθί μοι λοιπὸν ἀπὸ τῶν παλαιῶν ἐπὶ τὰ νέα, ἀπὸ τοῦ τύπου ἐπὶ τὴν ἀλήθειαν· ἐκεῖ Μωϋσῆς εἰς Αἴγυπτον ἀπὸ τοῦ Θεοῦ πεμπόμενος, ἐνταῦθα Χριςὸς ἐκ τοῦ πατρὸς εἰς τὸν κόσμον ἀποςελλόμενος· ἐκεῖ, ἵνα ἐξαγάγῃ λαὸν ἐξ Αἰγύπτου θλιβόμενον, ὧδε Χριςός, ἵνα ῥύσηται τοὺς ἐν τῷ κόσμῳ ὑπὸ τῆς ἁμαρτίας καταπονουμένους· ἐκεῖ αἷμα ἀμνοῦ ὀλοθρευτοῦ ἦν ἀποτρόπαιον, ἐνταῦθα τοῦ ἀμνοῦ τοῦ ἀμώμου Ἰησοῦ Χριςοῦ τὸ αἷμα δαιμόνων καθέςηκε φυγαδευτήριον [5])· ἐκεῖνος ὁ τύραννος κατε-

---

[1]) Совершеннѣйшаго (ἐντελεςέρων) ученія въ сравненіи съ огласительнымъ, преподаннымъ имъ прежде принятія крещенія.

[2]) Ἔμφασις (отъ ἐμφαίνω)—объясненіе, значеніе, сила.

[3]) Преддверіе крещальни: св. Кириллъ изображаетъ крещальню какъ особое зданіе, имѣющее προαύλιον οἶκον, т. е. преддверіе или портикъ, и ἐσώτερον οἶκον—внутреннюю часть. См. ниже Тайнов. 2. 1. Bingham. Orig. Eccles. Wol. III. p. 253.

[4]) Исх. 12. 22—28.

[5]) Φυγαδευτήριον—въ смыслѣ средства для обращенія въ бѣгство, или какъ прилагат. имя (обращающій въ бѣгство), согласованное съ сущест. αἷμα.

δίωκεν ἕως θαλάσσης τὸν παλαιὸν ἐκεῖνον λαὸν, καὶ σοὶ ὁ ἰταμὸς, ὁ ἀναίσχυντος καὶ ἀρχέκακος οὗτος δαίμων ἕως αὐτῶν ἠκολούθει τῶν σωτηρίων ναμάτων· ἐκεῖνος ὑποβρύχιος γέγονεν ἐν θαλάσσῃ, καὶ οὗτος ἐν τῷ σωτηρίῳ ὕδατι ἀφανίζεται.

4. Ἀλλ᾿ ὅμως ἀκούεις τεταμένῃ τῇ χειρὶ ὡς πρὸς παρόντα εἰπεῖν· ἀποτάσσομαί σοι, σατανᾶ. Βούλομαι, καὶ τίνος ἕνεκεν ἵςασθε πρὸς δυσμὰς, εἰπεῖν· ἀναγκαῖον γὰρ, ἐπειδὴ τοῦ φαινομένου σκότους τόπος αἱ δυσμαὶ, ἐκεῖνος δὲ σκότος τυγχάνων ἐν σκότῳ ἔχει καὶ τὸ κράτος, τούτου χάριν συμβολικῶς πρὸς δυσμὰς ἀποβλέποντες ἀποτάσσεσθε τῷ σκοτεινῷ ἐκείνῳ καὶ ζοφερῷ ἄρχοντι. Τί οὖν ὑμῶν ἕκαςος ἑςὼς ἔλεγεν; ἀποτάσσομαί σοι, σατανᾶ, σοὶ τῷ πονηρῷ καὶ ὠμοτάτῳ τυράννῳ, οὐκέτι σου δέδοικα, λέγων, τὴν ἰσχύν· κατέλυσε γὰρ ταύτην Χριςὸς, αἵματός μοι καὶ σαρκὸς κοινωνήσας, ἵνα διὰ τούτων καταργήσῃ θανάτῳ τὸν θάνατον, ὅπως μὴ διὰ παντὸς ἔνοχος γένωμαι δουλείας [1])· ἀποτάσσομαί σοι τῷ δολερῷ καὶ πανουργοτάτῳ ὄφει· ἀποτάσσομαί σοι ἐπιβούλῳ ὄντι καὶ προσποιήσει φιλίας πράξαντι πᾶσαν παρανομίαν καὶ ἐμποιήσαντι τοῖς ἡμετέροις προγόνοις ἀποςασίαν· ἀποτάσσομαί σοι, σατανᾶ, τῷ πάσης κακίας δημιουργῷ καὶ συνεργῷ.

5. Εἶτα ἐν δευτέρᾳ λέξει μανθάνεις λέγειν· καὶ πᾶσι τοῖς ἔργοις σου. Ἔργα δὲ τοῦ σατανᾶ πᾶσά ἐςιν ἡ ἁμαρτία, ᾗ καὶ ἀποτάσσεσθαι ἀναγκαῖον, ὡσεὶ καὶ τύραννόν τις ἀποφυγὼν πάντως που καὶ τὰ τούτου ὅπλα ἀπέφυγε· πᾶσα οὖν κατ᾿ εἶδος [2]) ἁμαρτία ἐγκατείλεκται τοῖς τοῦ διαβόλου ἔργοις. Πλὴν τοῦτο ἴσθι, ὅτι ὅσα λέγεις μάλιςα κατ᾿ ἐκείνην τὴν φρικωδεςάτην ὥραν, ἔγγραφά ἐςιν ἐν τοῖς τοῦ Θεοῦ βιβλίοις [3])· ἐπειδὰν τοίνυν ἐναντίον τι διαπραττόμενος τούτοις ᾖς, ὡς παραβάτης κριθήσῃ· ἀποτάσσῃ τοίνυν τοῖς ἔργοις τοῦ σατανᾶ, πάσαις φημὶ πράξεσι καὶ ἐννοίαις παρὰ λόγον [4]) γινομέναις.

---

[1]) Евр. 11. 14.

[2]) Κατ᾿ εἶδος—въ частности; выраженіе противоположное γενικῶς (вообще). Иначе сказать: πᾶν εἶδος τῆς ἁμαρτίας.

[3]) Въ нѣкоторыхъ спискахъ читается: ἐν ἀοράτοις βιβλίοις, т. е. въ тѣхъ книгахъ, о которыхъ говорится въ Апокалипсисѣ—20. 12.

[4]) Παρὰ λόγον—вопреки Слову Божію.

6. Εἶτα λέγεις· *καὶ πάσῃ τῇ πομπῇ αὐτοῦ*. Πομπὴ δὲ διαβόλου ἐςὶ θεατρομανίαι καὶ ἱπποδρομίαι, κυνηγεσία καὶ πᾶσα τοιαύτη ματαιότης, ἧς εὐχόμενος ἐλευθερωθῆναι ὁ ἅγιος τῷ Θεῷ λέγει· «ἀπόςρεψον τοὺς ὀφθαλμούς μου τοῦ μὴ ἰδεῖν ματαιότητα» [1]). Μὴ περισπούδαςός σοι ἔςω ἡ θεατρομανία, ἔνθα τὰς ἀσελγείας τῶν μίμων ὄψῃ ὕβρεσι πεπραγμένας καὶ πάσῃ ἀσχημοσύνῃ, ἐκτεθηλυσμένων τε ἀνδρῶν ἐμμανεῖς ὀρχήσεις, μήτε ἡ [2]) τῶν ἐν κυνηγίοις ἑαυτοὺς θηρίοις ἐκδιδόντων, ἵνα τὴν ἀθλίαν κολακεύσωσι γαςέρα· οἵ, ἵνα κοιλίαν τροφαῖς θεραπεύσωσιν, αὐτοὶ γαςρὸς ἀπιθάσσων ἀληθῶς τροφὴ γίνονται θηρίων, ἵνα δὲ δικαίως εἴπω, ὑπὲρ οἰκείου θεοῦ τῆς κοιλίας (τὴν ἑαυτῶν ζωὴν κατὰ κρημνῶν) μονομαχοῦσι [3]). Φεῦγε καὶ τὰς ἱπποδρομίας, τὸ ἐμμανὲς θέαμα καὶ ψυχὰς ἐκτραχηλίζον. Ταῦτα γὰρ πάντα πομπή ἐςι τοῦ διαβόλου.

7. Ἀλλὰ καὶ τὰ ἐν εἰδωλικαῖς πανηγύρεσι κρεμώμενα ἐσθ' ὅτε κρέα ἢ ἄρτοι ἢ ἄλλα τοιαῦτα, μιανθέντα τῇ τῶν παμμιάρων ἐπικλήσει δαιμόνων, τῇ τοῦ διαβόλου πομπῇ ἐγκαταλέγεται· ὥσπερ γὰρ ὁ ἄρτος καὶ ὁ οἶνος τῆς εὐχαριςίας πρὸ τῆς ἐπικλήσεως τῆς ἁγίας καὶ προσκυνητῆς Τριάδος ἄρτος ἦν καὶ οἶνος λιτὸς, ἐπικλήσεως δὲ γενομένης ὁ μὲν ἄρτος γίνεται σῶμα Χριςοῦ, ὁ δὲ οἶνος αἷμα Χριςοῦ, τὸν αὐτὸν δὴ τρόπον τὰ τοιαῦτα βρώματα τῆς πομπῆς τοῦ σατανᾶ, τῇ ἰδίᾳ φύσει λιτὰ ὄντα, τῇ ἐπικλήσει τῶν δαιμόνων βέβηλα γίνεται.

8. Μετὰ ταῦτα λέγεις· *καὶ πάσῃ τῇ λατρείᾳ σου*. Λατρεία δέ ἐςι διαβόλου ἡ ἐν εἰδωλείοις εὐχὴ, τὰ πρὸς τιμὴν γινόμενα ἀψύχων εἰδώλων, τὸ ἅπτειν λύχνους ἢ θυμιᾶν παρὰ πηγὰς ἢ ποταμοὺς, ὥς τινες ἀπ' ὀνειράτων ἢ ἐκ δαιμόνων ἀπατηθέντες ἐπὶ τοῦτο διέβησαν, οἰόμενοι καὶ σωματικῶν παθῶν τὴν ἴασιν εὑρήσειν, ἢ τοιαῦτα. Μὴ τοίνυν αὐτὰ μετέλθῃς· οἰωνοσκοπία, μαντεία, κληδονισμοὶ, ἢ περιάμματα [4]) ἢ ἐν πετάλοις ἐπιγραφαὶ [5]),

---

[1]) **Пс. 118. 37.** [2]) т. е. μανια.

[3]) **Филип. 3. 19.** Κατὰ κρημνῶν—т. е. κατακρημνῶντες.

[4]) Περιάμματα—**привѣски, носимыя на шеѣ или другой части тѣла съ суевѣрною цѣлію, амулеты.**

[5]) Ἐν πετάλοις ἐπιγραφαὶ—**листья или пластонки изъ метала, камня или дерева (laminae), съ суевѣрными надписями.**

μαγεῖαι ἢ ἄλλαι κακοτεχνίαι, καὶ ὅσα τοιαῦτα, λατρεῖαί εἰσι διαβόλου. Φεῦγε οὖν ταῦτα· ἐὰν γὰρ τούτοις ὑποπέσῃς μετὰ τὴν ἀπόταξιν τοῦ σατανᾶ καὶ τὴν πρὸς τὸν Χριστὸν σύνταξιν [1]), πικροτέρου πειρασθήσῃ τοῦ τυράννου, ἴσως ὡς οἰκεῖον περιέποντος πάλαι καὶ τῆς πικρᾶς ἀνιέντος σε δουλείας, νῦν δὲ σφόδρα παρά σου καταπικρανθέντος· καὶ τοῦ Χριστοῦ στερηθήσῃ, κἀκείνου πειρασθήσῃ. Οὐκ ἤκουσας παλαιᾶς ἱστορίας τὰ περὶ τοῦ Λὼτ ἡμῖν καὶ τῶν τούτου θυγατέρων διηγουμένης [2]); οὐχὶ αὐτὸς μὲν σέσωσται μετὰ τῶν θυγατέρων, ἐπειδὴ τὸ ὄρος κατείληφεν, ἡ δὲ τούτου γυνὴ στήλη γέγονεν ἁλὸς, ἐστηλιτευμένη δι᾽ αἰῶνος [3]), ἔχουσα τῆς πονηρᾶς προαιρέσεως καὶ ὑποστροφῆς τὴν μνήμην; πρόσεχε τοίνυν σεαυτῷ, καὶ μὴ στρέφου πάλιν εἰς τὰ ὀπίσω, βαλὼν τὴν χεῖρα ἐπ᾽ ἄροτρον [4]) καὶ στρέφων πάλιν εἰς τὴν ἁλμυρὰν τοῦ βίου τούτου πρᾶξιν, ἀλλὰ φεῦγε εἰς τὸ ὄρος πρὸς Ἰησοῦν Χριστὸν, τὸν τμηθέντα λίθον ἄνευ χειρῶν καὶ τὴν οἰκουμένην πληρώσαντα [5]).

**9.** Ὅτε οὖν τῷ σατανᾷ ἀποτάττῃ, πᾶσαν τὴν πρὸς αὐτὸν πάντως διαθήκην λύσας, τὰς παλαιὰς πρὸς τὸν ᾅδην συνθήκας, ἀνοίγεταί σοι ὁ παράδεισος τοῦ Θεοῦ, ὃν ἐφύτευσε κατὰ ἀνατολὰς, ὅθεν διὰ τὴν παράβασιν ἐξόριστος γέγονεν ὁ ἡμέτερος προπάτωρ· καὶ τούτου σύμβολον τὸ στραφῆναί σε ἀπὸ δυσμῶν πρὸς ἀνατολὴν, τοῦ φωτὸς τὸ χωρίον. Τότε σοι ἐλέγετο εἰπεῖν· πιστεύω εἰς τὸν Πατέρα καὶ εἰς τὸν Υἱὸν καὶ εἰς τὸ ἅγιον Πνεῦμα καὶ εἰς ἓν βάπτισμα μετανοίας· περὶ ὧν ἐν ταῖς προτέραις κατηχήσεσιν, ὡς ἡ τοῦ Θεοῦ χάρις ἔδωκεν, ἐν πλάτει σοι εἴρηται [6]).

**10.** Τούτοις οὖν ἀσφαλιζόμενος τοῖς λόγοις νῆφε· ὁ γὰρ

---

[1]) Συντάσσομαι собственно значитъ становлюсь въ одинъ рядъ съ кѣмъ-нибудь, въ противоположность съ ἀποτάσσομαι—выхожу изъ ряда. Отсюда происходящія существительныя имѣютъ такія же значенія. Ср. на стр. 102. Пр. 5.

[2]) Быт. 19. 15—30.

[3]) Указывается на соляной столпъ, долго сохранявшійся на томъ мѣстѣ, гдѣ произошло извѣстное событіе съ женою Лота, по свидѣтельству Отцевъ Церкви. Ср. Климента Римскаго 1 Посл. къ Коринѳ. гл. 11.

[4]) Лук. 9. 62. [5]) Дан. 11. 45.

[6]) Т. е. въ огласительныхъ поученіяхъ, преподанныхъ слушателямъ прежде ихъ крещенія.

ἀντίδικος ἡμῶν διάβολος, καθὼς ἀρτίως ἀνέγνωσαι, «ὡς λέων ὠρυόμενος περιπατεῖ, ζητῶν τίνα καταπίῃ» [1]), ἀλλ᾽ ἐν μὲν τοῖς πρὸ τούτου χρόνοις κατέπιεν ὁ θάνατος ἰσχύσας [2]), ἐπὶ δὲ τοῦ ἁγίου τῆς παλιγγενεσίας λουτροῦ ἀφεῖλεν ὁ Θεὸς πᾶν δάκρυον ἀπὸ παντὸς προσώπου· οὐκ ἔτι γὰρ πενθήσεις, ἐκδεδυμένος τὸν παλαιὸν ἄνθρωπον. ἀλλὰ πανηγυρίσεις, ἐνδεδυμένος τὸ ἱμάτιον σωτηρίου, Ἰησοῦν Χριστόν [3]).

11. Καὶ ταῦτα ἐν τῷ ἐξωτέρῳ ἐγίνετο οἴκῳ· Θεοῦ δὲ θέλοντος, ὅταν ἐν ταῖς ἑξῆς μυσταγωγίαις εἰς τὰ ἅγια τῶν ἁγίων εἰσέλθωμεν, ἐκεῖ εἰσόμεθα τῶν αὐτόθι ἐπιτελουμένων τὰ σύμβολα. Τῷ δὲ Θεῷ Πατρὶ ἡ δόξα, κράτος, μεγαλωσύνη, σὺν Υἱῷ καὶ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

---

Κατήχησις μυσταγωγικὴ δευτέρα.

## Глав. 1—8.

Περὶ βαπτίσματος.

Καὶ ἀνάγνωσις ἐκ τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς, ἀπὸ τοῦ «ἢ ἀγνοεῖτε ὅτι, ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν»; ἕως τοῦ «οὐ γάρ ἐστε ὑπὸ νόμον, ἀλλ᾽ ὑπὸ χάριν» [4]).

1. Χρήσιμαι ἡμῖν αἱ καθ᾽ ἡμέραν μυσταγωγίαι καὶ διδασκαλίαι καινότεραι, καινοτέρων οὖσαι πραγμάτων ἀπαγγελτικαί, καὶ μάλιστα ὑμῖν τοῖς ἀνακαινισθεῖσιν ἀπὸ παλαιότητος εἰς καινότητα· διὰ τοῦτο ἀναγκαίως ὑμῖν παραθήσομαι τὰ ἑξῆς τῆς χθεσινῆς μυσταγωγίας, ἵνα μάθητε, τίνων ἦν σύμβολα τὰ ὑφ᾽ ὑμῶν ἐν τῷ ἐσωτέρῳ οἴκῳ γενόμενα.

2. Εὐθὺς οὖν εἰσελθόντες ἀπεδύεσθε τὸν χιτῶνα, καὶ τοῦτο ἦν εἰκὼν τοῦ τὸν παλαιὸν ἄνθρωπον ἀποδύεσθαι σὺν ταῖς πράξεσιν [5])· ἀποδυθέντες γυμνοὶ ἦτε, μιμούμενοι καὶ ἐν τούτῳ τὸν ἐπὶ σταυροῦ γυμνωθέντα Χριστόν, καὶ τῇ γυμνότητι ἀπεκδυσάμενον τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, καὶ μετὰ παρρησίας ἐν τῷ ξύλῳ

---

[1]) 1 Петр. 5. 8. [2]) Иса. 25 8. [3]) Рим. 13. 14. [4]) Рим. 6. 3—14. [5]) Кол. 3. 9.

θριαμβεύσαντα [1]· ἐπειδὴ γὰρ τοῖς μέλεσι τοῖς ὑμετέροις ἐνεφώλευον αἱ ἀντικείμεναι δυνάμεις, οὐκέτι φορεῖν ὑμῖν ἔξεςι τὸν παλαιὸν ἐκεῖνον χιτῶνα· οὐ τοῦτον πάντως λέγω τὸν αἰσθητὸν, ἀλλὰ τὸν παλαιὸν ἄνθρωπον τὸν φθειρόμενον ἐν ταῖς ἐπιθυμίαις τῆς ἀπάτης [2], ὃν μὴ εἴη πάλιν ἐνδύσασθαι τῇ ἅπαξ τοῦτον ἀποδυσαμένῃ ψυχῇ, ἀλλὰ λέγειν κατὰ τὴν ἐν τῷ ᾄσματι τῶν ᾀσμάτων τοῦ Χριςοῦ νύμφην· «ἐξεδυσάμην τὸν χιτῶνά μου, πῶς ἐνδύσομαι αὐτόν» [3]; ὢ θαυμασίου πράγματος! γυμνοὶ ἦτε ἐν ὄψεσι πάντων καὶ οὐκ ᾐσχύνεσθε· ἀληθῶς γὰρ μίμημα ἐφέρετε τοῦ πρωτοπλάςου Ἀδὰμ, ὃς ἐν τῷ παραδείσῳ γυμνὸς ἦν καὶ οὐκ ᾐσχύνετο.

3. Εἶτα ἀποδυθέντες ἐλαίῳ ἠλείφεσθε ἐπορκιςῷ [4] ἀπ' ἄκρων τριχῶν κορυφῆς ἕως τῶν κάτω, καὶ κοινωνοὶ ἐγίνεσθε τῆς καλλιελαίου Ἰησοῦ Χριςοῦ· ἐκκοπέντες γὰρ ἐκ τῆς ἀγριελαίου ἐνεκεντρίζεσθε εἰς τὴν καλλιέλαιον, καὶ κοινωνοὶ ἐγίνεσθε τῆς πιότητος τῆς ἀληθινῆς ἐλαίας. Τὸ οὖν ἐπορκιςὸν ἔλαιον σύμβολον ἦν τῆς κοινωνίας τῆς πιότητος τοῦ Χριςοῦ, φυγαδευτήριον τυγχάνον παντὸς ἴχνους ἀντικειμένης ἐνεργείας· ὥσπερ γὰρ τὰ ἐμφυσήματα τῶν ἁγίων καὶ ἡ τοῦ ὀνόματος τοῦ Θεοῦ ἐπίκλησις ὥσπερ σφοδροτάτη φλὸξ καίει καὶ ἐκδιώκει δαίμονας, οὕτω καὶ τὸ ἐπορκιςὸν τοῦτο ἔλαιον ἐπικλήσει Θεοῦ καὶ εὐχῇ δύναμιν τηλικαύτην λαμβάνει, ὥςε οὐ μόνον καῖον τὰ ἴχνη τῶν ἁμαρτημάτων ἀποκαθαίρειν, ἀλλὰ καὶ πάσας ἀοράτους τοῦ πονηροῦ ἐκδιώκειν τὰς δυνάμεις.

4. Μετὰ ταῦτα ἐπὶ τὴν ἁγίαν τοῦ θείου βαπτίσματος ἐχειραγωγεῖσθε κολυμβήθραν, ὡς ὁ Χριςὸς ἀπὸ τοῦ ςαυροῦ ἐπὶ τὸ προκείμενον μνῆμα· καὶ ἠρωτᾶτο ἕκαςος, εἰ πιςεύει εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος· καὶ ὡμολογήσατε τὴν σωτήριον ὁμολογίαν, καὶ κατεδύετε τρίτον εἰς τὸ ὕδωρ καὶ ἀνεδύετε πάλιν, καὶ ἐνταῦθα διὰ συμβόλου τὴν τριήμερον τοῦ Χριςοῦ αἰνιττόμενοι ταφήν. Καθάπερ γὰρ ὁ σωτὴρ ἡμῶν τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας ἐν τῇ κοιλίᾳ τῆς γῆς ἐποίησεν, οὕτω

---

[1] Кол. 2. 15. [2] Ефес. 4. 22. [3] Пѣсн. пѣсн. 5. 3.

[4] Ἐπορκιςὸς или ἐφορκιςὸς—тотъ, надъ которымъ совершены заклинательныя или освятительныя молитвы. Объ освященіи елея для крещенія говорится въ Постан. Апост. 7. 42.

καὶ ὑμεῖς ἐν τῇ πρώτῃ ἀναδύσει τὴν πρώτην ἐμιμεῖσθε τοῦ Χριςοῦ ἐν τῇ γῇ ἡμέραν καὶ τῇ καταδύσει τὴν νύκτα· ὥσπερ γὰρ ὁ ἐν νυκτὶ οὐκέτι βλέπει, ὁ δὲ ἐν ἡμέρᾳ ἐν φωτὶ διάγει, οὕτως ἐν τῇ καταδύσει ὡς ἐν νυκτὶ οὐδὲν ἑωρᾶτε, ἐν δὲ τῇ ἀναδύσει ὡς ἐν ἡμέρᾳ ἐτυγχάνετε ὄντες. Καὶ ἐν τῷ αὐτῷ ἀπεθνήσκετε καὶ ἐγεννᾶσθε, καὶ τὸ σωτήριον ἐκεῖνο ὕδωρ καὶ τάφος ὑμῖν ἐγίνετο καὶ μήτηρ· καὶ ὅπερ Σολομῶν ἐπὶ ἄλλων εἴρηκε, τοῦτο ἁρμόσαι ἂν ὑμῖν· ἐκεῖ μὲν γὰρ ἔλεγε· «καιρὸς τοῦ τεκεῖν, καὶ καιρὸς τοῦ ἀποθανεῖν» [1]), ἐφ' ὑμῖν δὲ τὸ ἀνάπαλιν· καιρὸς τοῦ ἀποθανεῖν, καὶ καιρὸς τοῦ γεννηθῆναι· καὶ εἷς καιρὸς ἀμφοτέρων τούτων ποιητικὸς, καὶ σύνδρομος ἐγίνετο τῷ θανάτῳ ἡ γέννησις ἡ ὑμετέρα.

5. Ὢ ξένου καὶ παραδόξου πράγματος! οὐκ ἀληθῶς ἀπεθάνομεν, οὐδ' ἀληθῶς ἐτάφημεν, οὐδ' ἀληθῶς ςαυρωθέντες ἀνέςημεν, ἀλλ' ἐν εἰκόνι ἡ μίμησις, ἐν ἀληθείᾳ δὲ ἡ σωτηρία. Χριςὸς ὄντως ἐςαυρώθη καὶ ὄντως ἐτάφη καὶ ἀληθῶς ἀνέςη, καὶ πάντα ἡμῖν ταῦτα κεχάριςαι, ἵνα τῇ μιμήσει τῶν παθημάτων αὐτοῦ κοινωνήσαντες ἀληθείᾳ τὴν σωτηρίαν κερδήσωμεν. Ὢ φιλανθρωπίας ὑπερβαλλούσης! Χριςὸς ἐδέξατο ἐπὶ τῶν ἀχράντων αὐτοῦ χειρῶν καὶ ποδῶν ἥλους καὶ ἤλγησεν, κἀμοὶ ἀναλγητὶ καὶ ἀπονητὶ διὰ τῆς τοῦ ἄλγους κοινωνίας χαρίζεται τὴν σωτηρίαν.

6. Μηδεὶς οὖν νομιζέτω τὸ βάπτισμα ἀφέσεως ἁμαρτιῶν μόνον, ἀλλὰ καὶ υἱοθεσίας χάριν τυγχάνειν, ὡς τὸ Ἰωάννου ἐτύγχανε βάπτισμα μόνης ἀφέσεως ἁμαρτιῶν παρεκτικόν· ἀλλ' ἀκριβῶς εἰδότων ἡμῶν, ὅτι ὡς ἐςὶν ἁμαρτημάτων καθαρτήριον καὶ Πνεύματος ἁγίου δωρεᾶς πρόξενον, οὕτω καὶ τῶν τοῦ Χριςοῦ παθημάτων ἀντίτυπον· διὰ τοῦτο γὰρ καὶ Παῦλος ἀρτίως βοῶν ἔλεγεν· «ἢ ἀγνοεῖτε, ὅτι ὅσοι ἐβαπτίσθημεν εἰς Χριςὸν Ἰησοῦν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν; συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον» [2]). Ταῦτα ἔλεγε πρὸς διατεθέντας, ὡς ἀφέσεως ἁμαρτημάτων καὶ υἱοθεσίας προξενητικὸν τὸ βάπτισμα, οὐκ ἔτι δὲ καὶ τῶν ἀληθινῶν τοῦ Χριςοῦ παθημάτων ἐν μιμήσει ἔχει τὴν κοινωνίαν.

---

[1]) Еккл. 3. 2. [2]) Рим. 6. 3, 4.

7. Ἵνα οὖν μάθωμεν, ὅτι ὅσα ὁ Χριςὸς ὑπέμεινε, δι' ἡμᾶς καὶ τὴν ἡμετέραν σωτηρίαν ἐν ἀληθείᾳ καὶ οὐκ ἐν δοκήσει ταῦτα πέπονθε καὶ ἡμεῖς κοινωνοὶ αὐτοῦ τῶν παθημάτων γινόμεθα, μετὰ πάσης ἐβόα Παῦλος τῆς ἀκριβείας· «εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναςάσεως ἐσόμεθα» [1]· καλῶς δὲ καὶ τὸ σύμφυτοι· ἐπειδὴ γὰρ ἐνταῦθα [2]) πεφύτευται ἡ ἄμπελος ἡ ἀληθινὴ, καὶ ἡμεῖς κοινωνίᾳ τοῦ βαπτίσματος τοῦ θανάτου σύμφυτοι αὐτοῦ γεγόναμεν. Ἐπίςησον δὲ μετὰ πολλῆς προσοχῆς τὸν νοῦν τοῖς τοῦ ἀποςόλου λόγοις· οὐκ εἶπεν, εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ θανάτῳ, ἀλλὰ «τῷ ὁμοιώματι τοῦ θανάτου»· ἀληθῶς γὰρ ἐπὶ Χριςοῦ θάνατος, ἀληθῶς γὰρ ἐχωρίζετο τοῦ σώματος ἡ ψυχὴ, καὶ ἀληθινὴ ταφὴ, ἐν σινδόνι γὰρ καθαρᾷ τὸ ἅγιον αὐτοῦ σῶμα εἱλεῖτο, καὶ πάντα ἀληθῶς ἐν αὐτῷ συνέβαινεν· ἐπὶ δὲ ὑμῶν θανάτου μὲν καὶ παθημάτων ὁμοίωμα, σωτηρίας δὲ οὐχ ὁμοίωμα, ἀλλὰ ἀλήθεια.

8. Ταῦτα διδαχθέντες αὐτάρκως κατέχετε διὰ τῆς μνήμης παρακαλῶ, ἵνα κἀγὼ ὁ ἀνάξιος ἐπὶ ὑμῶν λέγω· ἀγαπῶ δὲ ὑμᾶς, ὅτι πάντοτέ μου μέμνησθε, καὶ τὰς παραδόσεις ἃς παρέδωκα ὑμῖν κατέχετε [3]). Δυνατὸς δέ ἐςιν ὁ Θεὸς, ὁ παραςήσας ὑμᾶς ὡς ἐκ νεκρῶν ζῶντας, δοῦναι ὑμῖν ἐν καινότητι ζωῆς περιπατεῖν [4])· ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ εἰς τοὺ αἰῶνας, ἀμήν.

---

## Κατήχησις μυσταγωγικὴ τρίτη.

## Глав. 1—7.

### Περὶ χρίσματος.

Καὶ ἀνάγνωσις ἐκ τῆς Ἰωάννου καθολικῆς πρώτης ἐπιςολῆς ἀπὸ τοῦ «καὶ ὑμεῖς χρῖσμα ἔχετε ἀπὸ τοῦ Θεοῦ καὶ οἴδατε πάντα», ἕως τοῦ «καὶ μὴ αἰσχυνθῶμεν ἀπ' αὐτοῦ ἐπὶ τῇ παρουσίᾳ αὐτοῦ» [5]).

1. Εἰς Χριςὸν βεβαπτισμένοι καὶ Χριςὸν ἐνδυσάμενοι σύμμορφοι γεγόνατε τοῦ Υἱοῦ τοῦ Θεοῦ [6])· προορίσας γὰρ ἡμᾶς ὁ

---

[1]) Рим. 6. 5.

[2]) Словомъ ἐνταῦθα, вѣроятно, указывается на Гробъ Господень, предъ которымъ св. Кириллъ говорилъ свои поученія въ храмѣ Іерусалимскомъ.

[3]) 1 Кор. 11. 2. [4]) Римл. 6. 13. [5]) 1 Іоан. 2. 20—28. [6]) Рим. 8. 29.

Θεὸς εἰς υἱοθεσίαν συμμόρφους ἐποίησε τοῦ σώματος τῆς δόξης τοῦ Χριςοῦ [1]). Μέτοχοι οὖν τοῦ Χριςοῦ γενόμενοι χριςοὶ εἰκότως καλεῖσθε, καὶ περὶ ὑμῶν ἔλεγεν ὁ Θεός· «μὴ ἅψασθε τῶν χριςῶν μου» [2])· χριςοὶ δὲ γεγόνατε τοῦ ἁγίου Πνεύματος τὸ ἀντίτυπον δεξάμενοι, καὶ πάντα εἰκονικῶς ἐφ' ὑμῶν γεγένηται, ἐπειδὴ εἰκόνες ἐςὲ Χριςοῦ. Κἀκεῖνος μὲν ἐν Ἰορδάνῃ λουσάμενος ποταμῷ καὶ τῶν χρώτων [3]) τῆς θεότητος μεταδοὺς τοῖς ὕδασιν ἀνέβαινεν ἐκ τούτων, καὶ Πνεύματος ἁγίου οὐσιώδης ἐπιφοίτησις αὐτῷ ἐγίνετο, τῷ ὁμοίῳ ἐπαναπαυομένου τοῦ ὁμοίου· καὶ ὑμῖν ὁμοίως ἀναβεβηκόσιν ἐκ τῆς κολυμβήθρας τῶν ἱερῶν ναμάτων ἐδόθη χρῖσμα, τὸ ἀντίτυπον οὗ ἐχρίσθη Χριςός. Τοῦτο δὲ ἐςι τὸ ἅγιον Πνεῦμα, περὶ οὗ καὶ ὁ μακάριος Ἡσαΐας ἐν τῇ κατ' αὐτὸν προφητείᾳ ἐκ προσώπου τοῦ Κυρίου ἔλεγε· «πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέςαλκέ με» [4]).

2. Ἐλαίῳ γὰρ ἢ μύρῳ σωματικῷ Χριςὸς ὑπ' ἀνθρώπων οὐκ ἐχρίσθη, ἀλλ' ὁ Πατὴρ αὐτὸν σωτῆρα προχειρισάμενος τοῦ παντὸς κόσμου Πνεύματι ἔχρισεν ἁγίῳ, ὡς Πέτρος φησίν· «Ἰησοῦν τὸν ἀπὸ Ναζαρὲτ, ὃν ἔχρισεν ὁ Θεὸς Πνεύματι ἁγίῳ» [5])· καὶ ὁ Δαβὶδ ὁ προφήτης ἐβόα λέγων· «ὁ θρόνος σου, ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου· ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀδικίαν· διὰ τοῦτο ἔχρισέ σε, ὁ Θεὸς, ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου» [6]). Καὶ ὥσπερ ὁ Χριςὸς ἀληθῶς ἐςαυροῦτο καὶ ἐθάπτετο καὶ ἠγείρετο, ὑμεῖς δὲ κατὰ τὸ βάπτισμα ἐν ὁμοιώματι καὶ συςαυρωθῆναι καὶ συνταφῆναι καὶ συναναςῆναι αὐτῷ καταξιοῦσθε, οὕτω καὶ ἐπὶ τοῦ χρίσματος· ἐκεῖνος ἐλαίῳ νοητῷ ἀγαλλιάσεως ἐχρίετο, τουτέςι Πνεύματι ἁγίῳ, ἀγαλλιάσεως καλουμένῳ ἐλαίῳ διὰ τὸ αἴτιον αὐτὸ τῆς πνευματικῆς τυγχάνειν ἀγαλλιάσεως, ὑμεῖς δὲ μύρῳ ἐχρίσθητε, κοινωνοὶ καὶ μέτοχοι τοῦ Χριςοῦ γενόμενοι.

3. Ἀλλ' ὅρα, μὴ ὑπονοήσῃς ἐκεῖνο τὸ μύρον ψιλὸν εἶναι· ὥσπερ γὰρ ὁ ἄρτος τῆς εὐχαριςίας μετὰ τὴν ἐπίκλησιν τοῦ ἁγίου Πνεύματος οὐκ ἔτι ἄρτος λιτὸς, ἀλλὰ σῶμα Χριςοῦ, οὕτω καὶ τὸ

---

[1]) **Филип. 3. 21.** [2]) **Пс. 104. 15.** [3]) Τὰ χρῶτα, **благовонія.** [4]) **Иса. 61. 1.** [5]) **Дѣян. 10. 38.** [6]) **Пс. 44. 7. 8.**

ἅγιον τοῦτο μύρον οὐκ ἔτι ψιλὸν, οὐδ' ὡς ἂν εἴποι τις κοινὸν μετ' ἐπίκλησιν, ἀλλὰ Χριςοῦ χάρισμα καὶ Πνεύματος ἁγίου παρουσίᾳ τῆς αὐτοῦ θεότητος ἐνεργητικὸν γινόμενον, ὅπερ συμβολικῶς ἐπὶ μετώπου καὶ τῶν ἄλλων σου χρίεται αἰσθητηρίων· καὶ τῷ μὲν φαινομένῳ μύρῳ τὸ σῶμα χρίεται, τῷ δὲ ἁγίῳ καὶ ζωοποιῷ Πνεύματι ἡ ψυχὴ ἁγιάζεται.

4. Καὶ πρῶτον ἐχρίεσθε ἐπὶ τὸ μέτωπον, ἵνα ἀπαλλαγῆτε τῆς αἰσχύνης, ἣν ὁ πρῶτος παραβάτης ἄνθρωπος πανταχοῦ περιέφερε, καὶ ἵνα ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτρίζησθε [1]· εἶτα ἐπὶ τὰ ὦτα, ἵνα προσλάβητε τὰ ἀκουςικὰ τῶν θείων μυςηρίων ὦτα, περὶ ὧν Ἡσαΐας ἔλεγε· «καὶ προσέθηκέ μοι Κύριος ὠτίον τοῦ ἀκούειν» [2], καὶ ὁ Κύριος Ἰησοῦς ἐν εὐαγγελίοις· «ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω» [3]· εἶτα ἐπὶ τὴν ὄσφρησιν, ὅπως τοῦ θείου ἀντιλαμβανόμενοι μύρου λέγητε· «Χριςοῦ εὐωδία ἐσμὲν τῷ Θεῷ ἐν τοῖς σωζομένοις» [4]· μετὰ ταῦτα ἐπὶ τὰ ςήθη, ἵνα ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης ςῆτε πρὸς τὰς μεθοδείας τοῦ διαβόλου [5]· ὥσπερ γὰρ ὁ Χριςὸς μετὰ τὸ βάπτισμα καὶ τὴν τοῦ ἁγίου Πνεύματος ἐπιφοίτησιν ἐξελθὼν κατηγωνίσατο τὸν ἀντικείμενον, οὕτω καὶ ὑμεῖς μετὰ τὸ ἱερὸν βάπτισμα καὶ τὸ μυςικὸν χρῖσμα ἐνδεδυμένοι τὴν πανοπλίαν τοῦ ἁγίου Πνεύματος ἵςασθε πρὸς τὴν ἀντικειμένην δύναμιν καὶ ταύτην καταγωνίζεσθε, λέγοντες· «πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριςῷ» [6].

5. Τούτου τοῦ ἁγίου χρίσματος καταξιωθέντες καλεῖσθε χριςιανοί, ἐπαληθεύοντες [7] τῇ ἀναγεννήσει καὶ τὸ ὄνομα· πρὸ γὰρ τοῦ καταξιωθῆναι ὑμᾶς ταύτης τῆς χάριτος ταύτης τῆς προσηγορίας κυρίως οὐκ ἦτε ἄξιοι, ἀλλ' ὁδεύοντες προεβαίνετε εἰς τὸ εἶναι χριςιανοί.

6. Εἰδέναι δὲ ὑμᾶς ἀναγκαῖον, ὅτι τοῦ χρίσματος τούτου ἐν τῇ παλαιᾷ γραφῇ τὸ σύμβολον κεῖται. Καὶ γὰρ ὁπηνίκα τὸ τοῦ Θεοῦ πρόσταγμα Μωϋσῆς τῷ ἀδελφῷ μετεδίδου, ἀρχιερέα καθιςῶν τοῦτον, μετὰ τὸ ἐν ὕδατι λούσασθαι ἔχρισεν, καὶ ἐκαλεῖτο χρι-

---

[1]) 2 Кор. 3. 18. [2]) Иса. 50. 4. [3]) Мат. 11. 15. [4]) 2 Кор. 2. 15. [5]) Еф. 6. 14. [6]) Фил. 4. 13.

[7]) Изъ ἐπὶ и ἀληθὴς глаголъ, имѣющій значеніе: дѣлать истиннымъ или дѣйствительнымъ, оправдывать.

ςὸς [1]) ἐκ τοῦ χρίσματος δηλαδὴ τοῦ τυπικοῦ· οὕτω καὶ τὸν Σολομῶνα προάγων εἰς βασιλέα, ἔχρισεν αὐτὸν μετὰ τὸ λούσασθαι ἐν τῷ Γειὼν ὁ ἀρχιερεύς [2]). Ἀλλὰ ταῦτα μὲν ἐκείνοις συνέβαινε τυπικῶς [3]), ὑμῖν δὲ οὐ τυπικῶς, ἀλλ᾽ ἀληθῶς, ἐπειδὴ ἀπὸ τοῦ ἁγίου Πνεύματος ἐχρίεσθε ἀληθῶς· ἡ ἀρχὴ τῆς ὑμετέρας σωτηρίας ὁ Χριςός· ἐκεῖνος γὰρ ἀληθῶς ἀπαρχὴ, καὶ ὑμεῖς τὸ φύραμα· εἰ δὲ ἡ ἀπαρχὴ ἁγία, δῆλον ὅτι μεταβήσεται ἐπὶ τὸ φύραμα ἡ ἁγιότης [4]).

7. Τοῦτο φυλάξατε ἄσπιλον· πάντων γὰρ ἔςαι τοῦτο διδακτικὸν, εἰ ἐν ὑμῖν μένοι, καθὼς ἀρτίως ἠκούσατε τοῦ μακαρίου Ἰωάννου λέγοντος καὶ πολλὰ περὶ τοῦ χρίσματος φιλοσοφοῦντος· ἔςι γὰρ τοῦτο τὸ ἅγιον πνευματικὸν σώματος φυλακτήριον καὶ ψυχῆς σωτήριον. Τοῦτο ἐκ παλαιῶν χρόνων ὁ μακάριος Ἡσαΐας προφητεύων ἔλεγεν· «καὶ ποιήσει Κύριος πᾶσιν ἔθνεσιν, ἐπὶ τὸ ὄρος τοῦτο (ὄρος δὲ καλεῖ τὴν ἐκκλησίαν, καὶ ἀλλαχοῦ, ὡς ὅταν λέγῃ, καὶ ἔςαι ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος Κυρίου) πίονται οἶνον, πίονται εὐφροσύνην, χρίσονται μύρον» [5])· καὶ ἵνα ἀσφαλίσηταί σε, ἄκουε ἃ περὶ τούτου τοῦ μύρου ὡς μυςικοῦ φησι· «παράδος ταῦτα πάντα τοῖς ἔθνεσιν· ἡ γὰρ βουλὴ τοῦ Κυρίου ἐπὶ πάντα τὰ ἔθνη» [6]). Τούτῳ οὖν χρισθέντες τῷ ἁγίῳ μύρῳ τηρήσατε αὐτὸ ἄσπιλον καὶ ἄμωμον ἐν ὑμῖν, δι᾽ ἔργων ἀγαθῶν προκόπτοντες, καὶ εὐάρεςοι γινόμενοι τῷ ἀρχηγῷ τῆς σωτηρίας ὑμῶν Χριςῷ Ἰησοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

---

## Κατήχησις μυσταγωγικὴ τετάρτη.

## Глав. 1—9.

### Περὶ σώματος καὶ αἵματος τοῦ Χριςοῦ.

Καὶ ἀνάγνωσις ἐκ τῆς πρὸς Κορινθίους Παύλου ἐπιςολῆς· «ἐγὼ γὰρ παρέλαβον ἀπὸ τοῦ Κυρίου, ὃ καὶ παρέδωκα ὑμῖν», καὶ τὰ ἑξῆς [7]).

1. Καὶ αὕτη τοῦ μακαρίου Παύλου ἡ διδασκαλία ἱκανὴ καθέςηκε πληροφορῆσαι ὑμᾶς περὶ τῶν θείων μυςηρίων, ὧν κατα-

---

[1]) Лев. 4. 5; 8. 6—18. [2]) 3 Цар. 1. 39. [3]) 1 Кор. 10. 11. [4]) Рим. 11. 16. [5]) Иса. 2. 2; 25. 6. [6]) Иса, 25. 7. [7]) 1 Кор. 11. 23.

ξιωθέντες σύσσωμοι καὶ σύναιμοι τοῦ Χριςοῦ γεγόνατε· αὐτὸς γὰρ ἀρτίως ἐβόα, ὅτι «ἐν τῇ νυκτί, ᾗ παρεδίδοτο ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριςός, λαβὼν ἄρτον καὶ εὐχαριςήσας ἔκλασε καὶ ἔδωκε τοῖς ἑαυτοῦ μαθηταῖς λέγων· λάβετε, φάγετε, τοῦτό μού ἐςι τὸ σῶμα· καὶ λαβὼν τὸ ποτήριον καὶ εὐχαριςήσας εἶπε· λάβετε, πίετε, τοῦτό μού ἐςι τὸ αἷμα» [1]. Αὐτοῦ οὖν ἀποφηναμένου καὶ εἰπόντος περὶ τοῦ ἄρτου «τοῦτό μού ἐςι τὸ σῶμα», τίς τολμήσει ἀμφιβάλλειν λοιπόν; καὶ αὐτοῦ βεβαιωσαμένου καὶ εἰρηκότος «τοῦτό μού ἐςι τὸ αἷμα», τίς ἐνδοιάσει ποτὲ λέγων μὴ εἶναι αὐτοῦ τὸ αἷμα;

2. Τὸ ὕδωρ ποτὲ εἰς οἶνον οἰκείῳ νεύματι μεταβέβληκεν ἐν Κανᾷ τῆς Γαλιλαίας, καὶ οὐκ ἀξιόπιςός ἐςιν οἶνον εἰς αἷμα μεταβαλών; εἰς γάμον σωματικὸν κληθεὶς ταύτην ἐθαυματούργησε τὴν παραδοξοποιΐαν, καὶ τοῖς υἱοῖς τοῦ νυμφῶνος [2]) οὐ πολλῷ μᾶλλον τὴν ἀπόλαυσιν τοῦ σώματος αὐτοῦ καὶ τοῦ αἵματος δωρησάμενος ὁμολογηθήσεται;

3. Ὥςε μετὰ πάσης πληροφορίας ὡς σώματος καὶ αἵματος μεταλαμβάνωμεν Χριςοῦ· ἐν τύπῳ γὰρ ἄρτου δίδοταί σοι τὸ σῶμα, καὶ ἐν τύπῳ οἴνου δίδοταί σοι τὸ αἷμα, ἵνα γένῃ μεταλαβὼν σώματος καὶ αἵματος Χριςοῦ σύσσωμος καὶ σύναιμος αὐτοῦ. Οὕτω γὰρ καὶ χριςοφόροι γινόμεθα, τοῦ σώματος αὐτοῦ καὶ τοῦ αἵματος εἰς τὰ ἡμέτερα ἀναδιδομένου μέλη· οὕτω, κατὰ τὸν μακάριον Πέτρον, θείας κοινωνοὶ φύσεως γινόμεθα [3]).

4. Ποτὲ Χριςὸς τοῖς Ἰουδαίοις διαλεγόμενος ἔλεγεν· «ἐὰν μὴ φάγητέ μου τὴν σάρκα καὶ πίητέ μου τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς» [4])· ἐκεῖνοι, μὴ ἀκηκοότες πνευματικῶς τῶν λεγομένων, σκανδαλισθέντες ἀπῆλθον εἰς τὰ ὀπίσω, νομίζοντες, ὅτι ἐπὶ σαρκοφαγίαν αὐτοὺς προτρέπεται.

5. Ἦσαν καὶ ἐν παλαιᾷ διαθήκῃ ἄρτοι προθέσεως, ἀλλ' ἐκεῖνοι παλαιᾶς ὄντες διαθήκης τέλος εἰλήφασιν· ἐν δὲ τῇ καινῇ διαθήκῃ ἄρτος οὐράνιος καὶ ποτήριον σωτηρίου [5]), ψυχὴν καὶ σῶμα

---

[1]) 1 Кор. 11. 23—25. [2]) Іоан. 2. 1—10. Мат. 9. 15. [3]) 2 Петр. 1. 4. [4]) Іоан. 6. 53. [5]) Пс. 115. 4.

ἁγιάζοντα· ὥσπερ γὰρ ὁ ἄρτος σώματι κατάλληλος, οὕτω καὶ ὁ Λόγος [1]) τῇ ψυχῇ ἁρμόδιος.

6. Μὴ πρόσεχε οὖν ὡς ψιλοῖς τῷ ἄρτῳ καὶ τῷ οἴνῳ· σῶμα γὰρ καὶ αἷμα Χριςοῦ κατὰ τὴν δεσποτικὴν τυγχάνει ἀπόφασιν. Εἰ γὰρ καὶ ἡ αἴσθησίς σοι τοῦτο ὑποβάλλει, ἀλλὰ ἡ πίςις σε βεβαιούτω· μὴ ἀπὸ τῆς γεύσεως κρίνῃς τὸ πρᾶγμα, ἀλλ᾽ ἀπὸ τῆς πίςεως πληροφοροῦ ἀνενδοιάςως σώματος καὶ αἵματος Χριςοῦ καταξιωθείς.

7. Καὶ ὑπαγορεύει σοι Δαβὶδ ὁ μακάριος τὴν δύναμιν, λέγων· «ἡτοίμασας ἐνώπιόν μου τράπεζαν ἐξεναντίας τῶν θλιβόντων με» [2])· ὃ δὲ λέγει, τοιοῦτόν ἐςι· πρὸ τῆς σῆς παρουσίας τράπεζαν οἱ δαίμονες τοῖς ἀνθρώποις ἡτοίμασαν, ἠλισγημένην [3]) καὶ μεμιασμένην καὶ διαβολικῆς πεπληρωμένην δυνάμεως, ἀλλὰ μετὰ τὴν σὴν παρουσίαν, ὦ δέσποτα, ἡτοίμασας ἐνώπιόν μου τράπεζαν. Ὅταν ὁ ἄνθρωπος λέγῃ Θεῷ «ἡτοίμασας ἐνώπιόν μου τράπεζαν», τί ἄλλο σημαίνει ἢ τὴν μυςικὴν καὶ νοητὴν τράπεζαν, ἣν ὁ Θεὸς ἡμῖν ἡτοίμασεν ἐξεναντίας, ἀντὶ τοῦ ἐκ τοῦ ἐναντίου [4]), καὶ ἀντικειμένως τοῖς δαίμοσιν; καὶ μάλα εἰκότως· ἐκείνη μὲν γὰρ κοινωνίαν ἔσχε δαιμόνων, αὕτη δὲ κοινωνίαν Θεοῦ. «Ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου»· ἐλαίῳ ἐλίπανέ σου τὴν κεφαλὴν ἐπὶ μετώπου διὰ τὴν σφραγῖδα ἣν ἔχεις τοῦ Θεοῦ, ἵνα γένῃ ἐκτύπωμα σφραγῖδος, ἁγίασμα Θεοῦ [5]). «Καὶ τὸ ποτήριόν σου μεθύσκον με ὡσεὶ κράτιςον»· ὁρᾷς ἐνταῦθα ποτήριον λεγόμενον, ὃ λαβὼν Ἰησοῦς μετὰ χεῖρας καὶ εὐχαριςήσας εἶπε· «τοῦτό μού ἐςι τὸ αἷμα τὸ ὑπὲρ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν» [6]);

8. Διὰ τοῦτο καὶ ὁ Σολομὼν ταύτην αἰνιττόμενος τὴν χάριν ἐν τῷ Ἐκκλησιαστῇ λέγει· «δεῦρο, φάγε ἐν εὐφροσύνῃ τὸν ἄρτον σου»—τὸν πνευματικὸν ἄρτον· «δεῦρο»· καλεῖ τὴν σωτήριον καὶ μακαριοποιὸν κλῆσιν· «καὶ πίε τὸν οἶνόν σου

---

[1]) Ὁ λόγος—т. е. Слово Божіе, Сынъ Божій, І. Христосъ, чрезъ свое тѣло и свою кровь. [2]) Пс. 22. 5.

[3]) Ἀλισγέω—дѣлаю нечистымъ, оскверняю. Встрѣчается у пророка Малахіи 1. 7.

[4]) Ὁ ἐνάντιος—противный, противуположный.

[5]) Исх. 28. 36. [6]) Мат. 26. 28.

ἐν καρδίᾳ ἀγαθῇ» —τὸν πνευματικὸν οἶνον· «καὶ ἔλαιον ὑπὲρ κεφαλῆς σου ἐκχείσθω» —ὁρᾷς αὐτὸν καὶ τὸ μυστικὸν αἰνιττόμενον χρῖσμα; «καὶ διαπαντὸς ἔστω σου τὰ ἱμάτια λευκά, ὅτι εὐδόκησε Κύριος τὰ ποιήματά σου» [1]· πρὶν γὰρ προσέλθῃς τῇ χάριτι, ματαιότης ματαιοτήτων ἦν τὰ ποιήματά σου. Ἀποδυσάμενον δὲ τὰ παλαιὰ ἱμάτια καὶ ἐνδυσάμενον τὰ πνευματικῶς λευκὰ χρὴ λευχειμονεῖν διαπαντός. Οὐ πάντως τοῦτο λέγομεν, ὅτι σε δεῖ λευκὰ ἱμάτια περιβεβλῆσθαι ἀεί, ἀλλὰ τὰ ὄντως λευκὰ καὶ λαμπρὰ καὶ πνευματικὰ ἀναγκαῖόν ἐστι περιβεβλῆσθαι, ἵνα λέγῃς κατὰ τὸν μακάριον Ἡσαΐαν· «ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ· ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου καὶ χιτῶνα εὐφροσύνης περιέθηκέ μοι» [2].

9. Ταῦτα μαθὼν καὶ πληροφορηθείς, ὡς ὁ φαινόμενος ἄρτος οὐκ ἄρτος ἐστίν, εἰ καὶ τῇ γεύσει αἰσθητός, ἀλλὰ σῶμα Χριστοῦ, καὶ ὁ φαινόμενος οἶνος οὐκ οἶνός ἐστιν, εἰ καὶ ἡ γεῦσις τοῦτο βούλεται, ἀλλὰ αἷμα Χριστοῦ, καὶ ὅτι περὶ τούτου ἔλεγε πάλαι ὁ Δαβὶδ ψάλλων· «καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει, τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ» [3], στήριζου τὴν καρδίαν, μεταλαμβάνων αὐτοῦ ὡς πνευματικοῦ, καὶ ἱλάρυνον τὸ τῆς ψυχῆς σου πρόσωπον, ὃ γένοιτό σε ἀνακεκαλυμμένον ἔχοντα ἐν καθαρᾷ συνειδήσει, τὴν δόξαν Κυρίου κατοπτριζόμενον, ἔρχεσθαι ἀπὸ δόξης εἰς δόξαν [4], ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ τιμὴ καὶ κράτος καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

---

## Κατήχησις μυσταγωγικὴ πέμπτη.

## Глав. 1—23.

Ἐκ τῆς Πέτρου καθολικῆς ἐπιστολῆς· «διὸ ἀποθέμενοι πᾶσαν ῥυπαρίαν καὶ πάντα δόλον καὶ καταλαλιάν», καὶ τὰ ἑξῆς [5].

1. Τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ ἐν ταῖς προλαβούσαις συνάξεσιν ἀρκούντως ἀκηκόατε περί τε βαπτίσματος καὶ χρίσματος

[1]) Екк. 9. 7, 8. [2]) Иса. 61. 10. [3]) Пс. 103. 15 [4]) 2 Кор. 3. 18. [5]) 1 Петр. 2. 1.

καὶ μεταλήψεως σώματος καὶ αἵματος Χριςοῦ· νῦν δὲ ἐπὶ τὰ ἑξῆς μεταβαίνειν ἀναγκαῖον, σήμερον τὴν ςεφάνην ἐπιθήσοντας τῇ πνευματικῇ ὑμῶν τῆς ὠφελείας οἰκοδομῇ.

2. Ἑωράκατε τοίνυν τὸν διάκονον τὸν νίψασθαι διδόντα τῷ ἱερεῖ καὶ τοῖς κυκλοῦσι τὸ θυσιαςήριον τοῦ Θεοῦ πρεσβυτέροις· οὐ πάντως δὲ ἐδίδου διὰ τὸν σωματικὸν ῥύπον· οὐκ ἐςι τοῦτο· οὐδὲ γὰρ ῥύπον σώματος ἔχοντες τὴν ἀρχὴν [1]) εἰσῄειμεν εἰς τὴν ἐκκλησίαν, ἀλλὰ σύμβολόν ἐςι τοῦ δεῖν ὑμᾶς καθαρεύειν πάντων ἁμαρτημάτων καὶ ἀνομημάτων τὸ νίψασθαι. Ἐπειδὴ γὰρ αἱ χεῖρες σύμβολον πράξεως, τῷ νίψασθαι ταύτας τὸ καθαρὸν δηλονότι καὶ ἄμωμον τῶν πράξεων αἰνιττόμεθα· οὐκ ἤκουσας τοῦ μακαρίου Δαβὶδ αὐτὸ τοῦτο μυςαγωγοῦντος καὶ λέγοντος· «νίψομαι ἐν ἀθώοις τὰς χεῖράς μου καὶ κυκλώσω τὸ θυσιαςήριόν σου, Κύριε» [2]); οὐκοῦν τὸ νίψασθαι τὰς χεῖρας τοῦ ἀνυπεύθυνον εἶναι ἁμαρτημάτων σύμβολόν ἐςιν.

3. Εἶτα βοᾷ ὁ διάκονος· ἀ λ λ ή λ ο υ ς ἀ π ο λ ά β ε τ ε, κ α ὶ ἀ λ λ ή λ ο υ ς ἀ σ π α ζ ώ μ ε θ α. Μὴ ὑπολάβῃς τὸ φίλημα ἐκεῖνο σύνηθες εἶναι τοῖς ἐπ' ἀγορᾶς γινομένοις ὑπὸ τῶν κοινῶν φίλων· οὐκ ἐςι τοίνυν τοιοῦτον τὸ φίλημα· ἀνακίρνησι τὰς ψυχὰς ἀλλήλαις καὶ πᾶσαν ἀμνησικακίαν αὐταῖς μνηςεύεται [3]). Σημεῖον τοίνυν ἐςὶ τὸ φίλημα τοῦ ἀνακραθῆναι τὰς ψυχὰς καὶ πᾶσαν ἐξορίζειν μνησικακίαν· διὰ τοῦτο ὁ Χριςὸς ἔλεγεν· «ἐὰν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαςήριον καὶ ἐκεῖ μνησθῇς, ὅτι ὁ ἀδελφός σου ἔχει τι κατά σου, ἄφες τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαςήριον καὶ ὕπαγε πρῶτον καὶ διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε προσελθὼν πρόσφερε τὸ δῶρόν σου» [4]). Οὐκοῦν τὸ φίλημα διαλλαγή ἐςι, καὶ διὰ τοῦτο ἅγιον, ὥς που ὁ μακάριος Παῦλος ἐβόα λέγων· «ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ» [5])· καὶ Πέτρος· «ἐν φιλήματι ἀγάπης» [6]).

---

[1]) Τὴν ἀρχὴν (подр. κατά)—въ началѣ. при самомъ вступленіи въ храмъ.

[2]) Пс. 25. 6.

[3]) Μνηςεύεται—въ смыслѣ: способствуетъ къ достиженію. Въ другихъ спискахъ: μνημονεύεται.

[4]) Мат. 5. 23, 24. [5]) 1 Кор. 16. 20. [6]) 1 Петр. 5. 14.

4. Μετὰ τοῦτο βοᾷ ὁ ἱερεύς· ἄνω τὰς καρδίας. Ἀληθῶς γὰρ κατ' ἐκείνην τὴν φρικωδεστάτην ὥραν δεῖ ἄνω ἔχειν τὴν καρδίαν πρὸς τὸν Θεόν, καὶ μὴ κάτω περὶ τὴν γῆν καὶ τὰ γήινα πράγματα. Δυνάμει [1]) τοίνυν ὁ ἱερεὺς προστάττει κατ' ἐκείνην τὴν ὥραν πάντας ἀφιέναι φροντίδας βιωτικάς, μερίμνας τὰς κατ' οἶκον, καὶ ἔχειν ἐν οὐρανῷ τὴν καρδίαν πρὸς τὸν φιλάνθρωπον Θεόν. Εἶτα ἀποκρίνεσθε· «ἔχομεν πρὸς τὸν Κύριον», τούτῳ συγκατατιθέμενοι δι' ὧν ὁμολογεῖτε. Μηδεὶς δὲ τοιοῦτος παρέστω, ὡς στόματι μὲν λέγειν «ἔχομεν πρὸς τὸν Κύριον», τῇ δὲ διανοίᾳ περὶ τὰς βιωτικὰς ἔχειν τὸν νοῦν φροντίδας. Πάντοτε μὲν οὖν Θεοῦ μνημονευτέον· εἰ δὲ τοῦτο διὰ τὴν ἀσθένειαν τὴν ἀνθρωπίνην ἀδύνατον, κατ' ἐκείνην μάλιστα τὴν ὥραν τοῦτο φιλοτιμητέον.

5. Εἶτα ὁ ἱερεὺς λέγει· εὐχαριστήσωμεν τῷ Κυρίῳ. Ὄντως γὰρ εὐχαριστεῖν ὀφείλομεν, ὅτι ἀναξίους ὄντας ἡμᾶς ἐκάλεσεν εἰς τὴν τηλικαύτην χάριν, ὅτι ἐχθροὺς ὄντας ἡμᾶς κατήλλαξεν, ὅτι πνεύματος υἱοθεσίας κατηξίωσεν [2]). Εἶτα λέγετε· ἄξιον καὶ δίκαιον· εὐχαριστοῦντες γὰρ ἡμεῖς ἄξιον ποιοῦμεν πρᾶγμα καὶ δίκαιον, αὐτὸς δὲ οὐ δίκαιον, ἀλλ' ὑπὲρ τὸ δίκαιον ποιῶν ἡμᾶς εὐηργέτησε καὶ τηλικούτων ἠξίωσεν ἀγαθῶν.

6. Μετὰ ταῦτα μνημονεύομεν οὐρανοῦ καὶ γῆς καὶ θαλάσσης, ἡλίου καὶ σελήνης, ἄστρων καὶ πάσης τῆς κτίσεως λογικῆς τε καὶ ἀλόγου, ὁρατῆς τε καὶ ἀοράτου, ἀγγέλων, ἀρχαγγέλων, δυνάμεων, κυριοτήτων, ἀρχῶν, ἐξουσιῶν, θρόνων, τῶν χερουβὶμ τῶν πολυπροσώπων, δυνάμει λέγοντες τὸ τοῦ Δαβίδ· «μεγαλύνατε τὸν Κύριον σὺν ἐμοί» [3])· μνημονεύομεν καὶ τῶν σεραφίμ, ἃ ἐν Πνεύματι ἁγίῳ ἐθεάσατο Ἡσαΐας παρεστηκότα κύκλῳ τοῦ θρόνου τοῦ Θεοῦ, καὶ ταῖς μὲν δυσὶ πτέρυξι κατακαλύπτοντα τὸ πρόσωπον, ταῖς δὲ δυσὶ τοὺς πόδας, καὶ ταῖς δυσὶ πετόμενα, καὶ λέγοντα· ἅγιος ἅγιος ἅγιος Κύριος σαβαώθ [4])· διὰ τοῦτο γὰρ τὴν παραδοθεῖσαν ἡμῖν ἐκ τῶν σεραφὶμ θεολογίαν ταύτην λέγομεν, ὅπως κοινωνοὶ τῆς ὑμνῳδίας ταῖς ὑπερκοσμίοις γενώμεθα στρατιαῖς.

7. Εἶτα ἁγιάσαντες ἑαυτοὺς διὰ τῶν πνευματικῶν τούτων

---

[1]) По смыслу сказанныхъ словъ, какъ бы.
[2]) Рим. 5. 10; 8. 15. [3]) Пс. 33. 4. [4]) Иса. 6. 2.

ὕμνων παρακαλοῦμεν τὸν φιλάνθρωπον Θεὸν τὸ ἅγιον Πνεῦμα ἐξαποςεῖλαι ἐπὶ τὰ προκείμενα, ἵνα ποιήσῃ τὸν μὲν ἄρτον σῶμα Χριςοῦ, τὸν δὲ οἶνον αἷμα Χριςοῦ· πάντως γὰρ οὗ ἂν ἐφάψηται τὸ ἅγιον Πνεῦμα, τοῦτο ἡγίαςαι καὶ μεταβέβληται.

8. Εἶτα μετὰ τὸ ἀπαρτισθῆναι τὴν πνευματικὴν θυσίαν, τὴν ἀναίμακτον λατρείαν, ἐπὶ τῆς θυσίας ἐκείνης τοῦ ἱλασμοῦ παρακαλοῦμεν τὸν Θεὸν ὑπὲρ κοινῆς τῶν ἐκκλησιῶν εἰρήνης, ὑπὲρ τῆς τοῦ κόσμου εὐςαθείας, ὑπὲρ βασιλέων, ὑπὲρ ςρατιωτῶν καὶ συμμάχων, ὑπὲρ τῶν ἐν ἀσθενείαις, ὑπὲρ τῶν κατοπονουμένων, καὶ ἁπαξαπλῶς ὑπὲρ πάντων βοηθείας δεομένων δεόμεθα πάντες ἡμεῖς καὶ ταύτην προσφέρομεν τὴν θυσίαν.

9. Εἶτα μνημονεύομεν καὶ τῶν προκεκοιμημένων, πρῶτον, πατριαρχῶν, προφητῶν, ἀποςόλων, μαρτύρων, ὅπως ὁ Θεὸς ταῖς εὐχαῖς αὐτῶν καὶ πρεσβείαις προσδέξηται ἡμῶν τὴν δέησιν· εἶτα καὶ ὑπὲρ τῶν προκεκοιμημένων ἁγίων πατέρων καὶ ἐπισκόπων καὶ πάντων ἁπλῶς τῶν ἐν ἡμῖν προκεκοιμημένων, μεγίςην ὄνησιν πιςεύοντες ἔσεσθαι ταῖς ψυχαῖς, ὑπὲρ ὧν ἡ δέησις ἀναφέρεται τῆς ἁγίας καὶ φρικωδεςάτης προκειμένης θυσίας.

10. Καὶ βούλομαι ὑμᾶς ἀπὸ ὑποδείγματος πεῖσαι. Οἶδα γὰρ πολλοὺς τοῦτο λέγοντας· τί ὠφελεῖται ψυχὴ μετὰ ἁμαρτημάτων ἀπαλλασσομένη τοῦδε τοῦ κόσμου ἢ οὐ μεθ' ἁμαρτημάτων, ἐὰν ἐπὶ τῆς προσευχῆς μνημονεύηται; ἆρα γὰρ εἴ τις βασιλεὺς προσκεκρουκότας αὐτῷ ἐξορίςους ποιήσειεν, εἶτα οἱ τούτοις διαφέροντες [1]), ςέφανον πλέξαντες, ὑπὲρ τῶν ἐν τιμωρίαις αὐτῷ τοῦτον προσενέγκοιεν, οὐκ ἂν αὐτοῖς ἄνεσιν δῴη τῶν κολάσεων; τὸν αὐτὸν τρόπον καὶ ἡμεῖς ὑπὲρ τῶν κεκοιμημένων αὐτῷ τὰς δεήσεις προσφέροντες, κἂν ἁμαρτωλοὶ ὦσιν, οὐ ςέφανον πλέκομεν, ἀλλὰ Χριςὸν ἐσφαγιασμένον ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων προσφέρομεν, ἐξιλεούμενοι ὑπὲρ αὐτῶν τε καὶ ἡμῶν τὸν φιλάνθρωπον Θεόν.

11. Εἶτα μετὰ ταῦτα τὴν εὐχὴν λέγομεν ἐκείνην, ἣν ὁ σωτὴρ παρέδωκε τοῖς οἰκείοις αὐτοῦ μαθηταῖς, μετὰ καθαρᾶς συνειδήσεως πατέρα ἐπιγραφόμενοι τὸν Θεὸν καὶ λέγοντες· π ά τ ε ρ

---

[1]) Διαφέρειν τινὶ употребляется въ смыслѣ: принимать участіе въ комъ-нибудь, желать пользы кому-нибудь, вм. συμφέρειν.

ἡ μ ῶ ν ὁ ἐ ν τ ο ῖ ς ο ὐ ρ α ν ο ῖ ς. Ὢ τῆς μεγίςης τοῦ Θεοῦ φιλανθρωπίας! τοῖς ἀποπηδήσασιν αὐτοῦ καὶ ἐν ἐσχάτοις γενομένοις κακοῖς τοσαύτην δεδώρηται κακῶν ἀμνηςίαν καὶ χάριτος μετουσίαν, ὡς καὶ πατέρα ἐπικαλεῖσθαι· πάτερ ἡμῶν ὁ ἐ ν τ ο ῖ ς ο ὐ ρ α ν ο ῖ ς. Οὐρανοὶ δὲ εἶεν ἂν καὶ οἱ τὴν τοῦ ἐπουρανίου φοροῦντες εἰκόνα [1]), ἐν οἷς ἐςὶ Θεὸς ἐνοικῶν καὶ ἐμπεριπατῶν [2]).

12. Ἁ γ ι α σ θ ή τ ω τ ὸ ὄ ν ο μ ά σ ο υ. Ἅγιόν ἐςι τῇ φύσει τὸ τοῦ Θεοῦ ὄνομα, κἂν λέγωμεν, κἂν μὴ λέγωμεν· ἐπεὶ δὲ καὶ ἐν τοῖς ἁμαρτάνουσιν ἔσθ' ὅτε βεβηλοῦται κατὰ τὸ «δι' ὑμᾶς τὸ ὄνομα μου διὰ παντὸς βλασφημεῖται ἐν τοῖς ἔθνεσιν» [3]), εὐχόμεθα ἐν ἡμῖν ἁγιασθῆναι τὸ ὄνομα τοῦ Θεοῦ· οὐχ ὅτι ἐκ τοῦ μὴ εἶναι ἅγιον ἐπὶ τὸ εἶναι ἔρχεται, ἀλλ' ὅτι ἐν ἡμῖν ἅγιον γίνεται ἁγιαζομένοις καὶ ἄξια τοῦ ἁγιασμοῦ ποιοῦσιν.

13. Ἐ λ θ έ τ ω ἡ β α σ ι λ ε ί α σ ο υ. Καθαρᾶς ψυχῆς ἐςι τὸ σὺν παῤῥησίᾳ φάναι· ἐλθέτω ἡ βασιλεία σου. Ὁ γὰρ ἀκούσας Παύλου λέγοντος· «μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν σώματι» [4]), ἀλλὰ καθάρας ἑαυτὸν πράξει καὶ ἐννοίᾳ καὶ λόγῳ, ἐρεῖ τῷ Θεῷ· ἐλθέτω ἡ βασιλεία σου.

14. Γ ε ν η θ ή τ ω τ ὸ θ έ λ η μ ά σ ο υ, ὡ ς ἐ ν ο ὐ ρ α ν ῷ, κ α ὶ ἐ π ὶ τ ῆ ς γ ῆ ς. Οἱ θεῖοι καὶ μακάριοι τοῦ Θεοῦ ἄγγελοι τὸ τοῦ Θεοῦ θέλημα ποιοῦσι, καθὼς Δαβὶδ ψάλλων ἔλεγεν· «εὐλογεῖτε τὸν Κύριον πάντες οἱ ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὰ θελήματα αὐτοῦ» [5])· δυνάμει τοίνυν εὐχόμενος τοῦτο λέγεις· ὡς ἐν ἀγγέλοις γίνεταί σου τὸ θέλημα, οὕτω καὶ ἐπὶ τῆς γῆς ἐν ἐμοὶ γένοιτο, δέσποτα.

15. Τ ὸ ν ἄ ρ τ ο ν ἡ μ ῶ ν τ ὸ ν ἐ π ι ο ύ σ ι ο ν δ ὸ ς ἡ μ ῖ ν σ ή μ ε ρ ο ν. Ὁ ἄρτος οὗτος ὁ κοινὸς οὐκ ἔςιν ἐπιούσιος, ἄρτος δὲ οὗτος ὁ ἅγιος ἐπιούσιός ἐςιν, ἀντὶ τοῦ—ἐπὶ τὴν οὐσίαν τῆς ψυχῆς κατατασσόμενος· οὗτος ὁ ἄρτος οὐκ εἰς κοιλίαν χωρεῖ καὶ εἰς ἀφεδρῶνα ἐκβάλλεται, ἀλλ' εἰς πᾶσάν σου τὴν σύςασιν ἀναδίδοται εἰς ὠφέλειαν σώματος καὶ ψυχῆς. Τὸ δὲ σ ή μ ε ρ ο ν ἀντὶ τοῦ κ α θ' ἡ μ έ ρ α ν λέγει, ὡς καὶ ὁ Παῦλος ἔλεγεν: «ἄχρις οὗ τὸ σήμερον καλεῖται» [6]).

---

[1]) 1 Кор. 15. 49. [2]) 2 Кор. 6. 16. [3]) Исаі. 52. 5. [4]) Рим. 6. 12. [5]) Пс. 102. 20, 21. [6]) Евр. 3. 13.

16. Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Πολλὰ γὰρ ἔχομεν ἁμαρτήματα· πταίομεν γὰρ καὶ ἐν λόγῳ καὶ ἐν διανοίᾳ καὶ πλεῖϛα καταγνώσεως ἄξια ποιοῦμεν, καὶ «ἐὰν εἴπωμεν, ὅτι ἁμαρτίαν οὐκ ἔχομεν, ψευδόμεθα», ὡς λέγει Ἰωάννης [1]). Καὶ πρὸς τὸν Θεὸν τιθέμεθα συνθήκας, συγχωρῆσαι ἡμῖν παρακαλοῦντες τὰ ἁμαρτήματα, ὡς καὶ ἡμεῖς τοῖς πέλας τα ὀφειλήματα· ἐννοοῦντες τοίνυν ἀνθ᾽ οἵων οἷα λαμβάνομεν, μὴ ἀναμείνωμεν μηδὲ ὑπερτιθώμεθα συγχωρεῖν ἀλλήλοις· τὰ πταίσματα τὰ γινόμενα εἰς ἡμᾶς μικρά ἐϛι καὶ εὐτελῆ καὶ εὐδιάλυτα, τὰ δὲ εἰς Θεὸν ὑφ᾽ ἡμῶν γενόμενα μεγάλα ἐϛί, τῆς αὐτοῦ μόνης δεόμενα φιλανθρωπίας. Πρόσεχε οὖν, μὴ διὰ τὰ μικρὰ καὶ εὐτελῆ εἰς σὲ ἁμαρτήματα ἀποκλείσῃς σεαυτῷ τῶν βαρυτάτων ἁμαρτημάτων τὴν παρὰ Θεοῦ συγχώρησιν.

17. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, Κύριε. Ἆρα τοῦτο διδάσκει εὔχεσθαι ἡμᾶς, μηδόλως πειρασθῆναι, ὁ Κύριος; καὶ πῶς εἴρηται ἀλλαχοῦ· «ἀνὴρ ἀπείραϛος ἀδόκιμος» [2]), καὶ πάλιν· «πᾶσαν χαρὰν ἡγήσασθε, ἀδελφοί μου, ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις» [3]); ἀλλὰ μήποτε τὸ εἰσελθεῖν ἐϛιν εἰς πειρασμὸν τὸ καταβαπτισθῆναι ὑπὸ τοῦ πειρασμοῦ· ἔοικε γὰρ ὁ πειρασμὸς ὥσπερ χειμάρρῳ τινὶ δυσκόλῳ πρὸς διάβασιν· οἱ μὲν οὖν ἐν πειρασμοῖς μὴ καταβαπτιζόμενοι διαβαίνουσιν, ἄριϛοί τινες κολυμβηταὶ γινόμενοι καὶ μηδόλως ὑπ᾽ αὐτῶν κατασυρόμενοι· οἱ δὲ μὴ τοιοῦτοι εἰσιόντες καταβαπτίζονται· οἷον ὡς ἐπὶ παραδείγματος Ἰούδας εἰσελθὼν εἰς τὸν τῆς φιλοχρηματίας πειρασμὸν οὐ διενήξατο, ἀλλὰ καταβαπτισθεὶς καὶ σωματικῶς καὶ πνευματικῶς ἀπεπνίγη· Πέτρος εἰσῆλθεν εἰς τὸν τῆς ἀρνήσεως πειρασμόν, ἀλλὰ εἰσελθὼν οὐκ ἐβαπτίσθη, ἀλλὰ γενναίως διανηξάμενος ἐρρύσθη ἀπὸ τοῦ πειρασμοῦ. Ἄκουε πάλιν ἀλλαχοῦ ὁλοκλήρων ἁγίων χοροῦ εὐχαριϛοῦντος ἐπὶ τῷ ἐξαιρεθῆναι τοῦ πειρασμοῦ· «ἐδοκίμασας ἡμᾶς, ὁ Θεός, ἐπύρωσας ἡμᾶς ὡς πυροῦται τὸ ἀργύριον, εἰσήγαγες ἡμᾶς εἰς τὴν παγίδα, ἔθου θλίψεις ἐπὶ τὸν νῶτον ἡμῶν, ἐπεβί-

[1]) 1 Іоан. 1. 8. [2]) Сир. 34. 10. [3]) Іак. 1. 2.

βασας ἀνθρώπους ἐπὶ τὰς κεφαλὰς ἡμῶν· διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν» [1]). Ὁρᾷς αὐτοὺς παῤῥησιαζομένους ἐπὶ τῷ διελθεῖν καὶ μὴ ἐμπαρῆναι. Καὶ ἐξήγαγες ἡμᾶς, φησιν, εἰς ἀναψυχήν· τὸ εἰς ἀναψυχὴν ἐλθεῖν αὐτοὺς ἐςι τὸ ἀπὸ πειρασμοῦ ῥυσθῆναι.

18. Ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. Εἰ ἦν τὸ «μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν» τοῦ μηδόλως πειρασθῆναι παραςατικὸν [2]), οὐκ ἂν ἔλεγεν· ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. Πονηρὸς δὲ ὁ ἀντικείμενος δαίμων, ἀφ᾽ οὗ ῥυσθῆναι εὐχόμεθα. Εἶτα μετὰ πλήρωσιν τῆς εὐχῆς λέγεις ἀμήν, ἐπισφραγίζων διὰ τοῦ ἀμὴν, ὃ σημαίνει «γένοιτο», τὰ ἐν τῇ θεοδιδάκτῳ εὐχῇ.

19. Μετὰ ταῦτα λέγει ὁ ἱερεύς· τὰ ἅγια τοῖς ἁγίοις. Ἅγια τὰ προκείμενα, ἐπιφοίτησιν δεξάμενα ἁγίου Πνεύματος· ἅγιοι καὶ ὑμεῖς, Πνεύματος ἁγίου καταξιωθέντες· τὰ ἅγια οὖν τοῖς ἁγίοις κατάλληλα. Εἶτα ὑμεῖς λέγετε· εἷς ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριςός· ἀληθῶς γὰρ εἷς ἅγιος, φύσει ἅγιος· ἡμεῖς δὲ καὶ ἅγιοι, ἀλλ᾽ οὐ φύσει, ἀλλὰ μετοχῇ καὶ ἀσκήσει καὶ εὐχῇ.

20. Μετὰ ταῦτα ἀκούετε τοῦ ψάλλοντος μετὰ μέλους θείου προτρεπομένου ὑμᾶς εἰς τὴν κοινωνίαν τῶν ἁγίων μυςηρίων καὶ λέγοντος· γεύσασθε καὶ ἴδετε, ὅτι χρηςὸς ὁ Κύριος [3])· μὴ τῷ λάρυγγι τῷ σωματικῷ ἐπιτρέπητε τὸ κριτικὸν [4]), οὐχὶ, ἀλλὰ τῇ ἀνενδοιάςῳ πίςει· γευόμενοι γὰρ οὐκ ἄρτου καὶ οἴνου κελεύονται γεύσασθαι, ἀλλὰ ἀντιτύπου σώματος καὶ αἵματος τοῦ Χριςοῦ.

21. Προσιὼν οὖν μὴ τεταμένοις τοῖς τῶν χειρῶν καρποῖς προσέρχου, μηδὲ διῃρημένοις τοῖς δακτύλοις, ἀλλὰ τὴν ἀριςερὰν θρόνον ποιήσας τῇ δεξιᾷ ὡς μελλούσῃ βασιλέα ὑποδέχεσθαι. Καὶ κοιλάνας τὴν παλάμην δέχου τὸ σῶμα τοῦ Χριςοῦ, ἐπιλέγων

---

[1]) Пс. 68. 3. 15.

[2]) Παραςατικὸς—представительствующій, замѣняющій, равнозначительный.

[3]) Пс. 33. 9.

[4]) Τὸ κριτικόν. т. е. πρᾶγμα. Иначе: τὸ κρίνειν.

τὸ ἀμήν. Μετ' ἀσφαλείας οὖν ἁγιάσας τοὺς ὀφθαλμοὺς τῇ ἐπαφῇ τοῦ ἁγίου σώματος μεταλάμβανε, προσέχων, μή παραπολέσῃς τι ἐκ τούτου αὐτοῦ· ὅπερ γὰρ ἐὰν ἀπολέσῃς, τούτῳ ὡς ἀπὸ οἰκείου δηλονότι ἐζημιώθης μέλους. Εἰπὲ γάρ μοι, εἴ τίς σοι ἔδωκε ψήγματα χρυσίου, οὐκ ἂν μετὰ πάσης ἀσφαλείας ἐκράτεις, φυλαττόμενος μή τι αὐτῶν παραπολέσῃς καὶ ζημίαν ὑποςῇς; οὐ πολλῷ οὖν μᾶλλον ἀσφαλέςερον τοῦ χρυσίου καὶ λίθων τιμίων τιμιωτέρου διασκοπήσεις ὑπὲρ τοῦ μὴ ψίχαν σοι ἐκπεσεῖν;

22. Εἶτα μετὰ τὸ κοινωνῆσαί σε τοῦ σώματος Χριςοῦ προσέρχου καὶ τῷ ποτηρίῳ τοῦ αἵματος, μὴ ἀνατείνων τὰς χεῖρας, ἀλλὰ κύπτων καὶ τρόπῳ προσκυνήσεως καὶ σεβάσματος λέγων τὸ ἀμὴν ἁγιάζου καὶ ἐκ τοῦ αἵματος μεταλαμβάνων Χριςοῦ. Ἔτι δὲ τῆς νοτίδος ἐνούσης τοῖς χείλεσί σου χερσὶν ἐπαφώμενος καὶ ὀφθαλμοὺς καὶ μέτωπον καὶ τὰ λοιπὰ ἁγίαζε αἰσθητήρια· εἶτα ἀναμείνας τὴν εὐχὴν εὐχαρίςει τῷ Θεῷ τῷ καταξιώσαντί σε τῶν τηλικούτων μυςηρίων.

23. Κατέχετε ταύτας τὰς παραδόσεις ἀσπίλους, καὶ ἀπροσκόπους ἑαυτοὺς διαφυλάξατε· τῆς κοινωνίας ἑαυτοὺς μὴ ἀποῤῥήξητε, μὴ διὰ μολυσμὸν ἁμαρτιῶν τῶν ἱερῶν τούτων καὶ πνευματικῶν ἑαυτοὺς ἀποςερήσητε μυςηρίων. Ὁ δὲ Θεὸς τῆς εἰρήνης ἁγιάσαι ὑμᾶς ὁλοτελεῖς, καὶ ὁλόκληρον ὑμῶν τὸ σῶμα καὶ ἡ ψυχὴ καὶ τὸ πνεῦμα ἐν τῇ παρουσίᾳ Κυρίου ἡμῶν Ἰησοῦ Χριςοῦ διατηρηθείη [1]), ᾧ ἡ δόξα, τιμὴ καὶ κράτος σὺν Πατρὶ καὶ ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

---

[1]) 1 Θεσ. 5. 23.

## 2.

## ΜΗΝΙ ΜΑΙΩ, ΕΒΔΟΜΗ ἩΜΕΡΑ [1]).

## ΤΟΥ ΑΓΙΟΥ ΚΥΡΙΛΛΟΥ

## ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ,

ἐπιςολὴ πρὸς Κωνστάντιον, τὸν εὐσεβέςατον βασιλέα, περὶ τοῦ ἐν οὐρανοῖς φανέντος σημείου τοῦ ςαυροῦ ἐκ φωτὸς, ἐν Ἱεροσολύμοις ὀφθέντος.

---

Βασιλεῖ θεοφιλεςάτῳ καὶ εὐσεβεςάτῳ Κωνσταντίῳ Αὐγούςῳ Κύριλλος ὁ ἐν Ἱεροσολύμοις ἐπίσκοπος ἐν Κυρίῳ χαίρειν.

### Глав. 1—8.

**1.** Πρώτας ταύτας ἐξ Ἱεροσολύμων πρὸς τὴν θεοφιλῆ σου βασιλείαν ἀποςέλλω γραμμάτων ἀπαρχὰς, σοί τε πρεπούσας ἀποδέξασθαι κἀμοὶ παρασχεῖν, οὐ λόγων κολακείας πεπληρωμένας, ἀλλ' ἐπουρανίων μηνυτικὰς θεοπτίας, οὐδὲ συνθέτους λόγων ῥητορικῶν πιθανότητας περιεχούσας, ἀλλ' ἁγίων σοι εὐαγγελίων προρρήσεσι διὰ τῆς τῶν πραγμάτων ἐκβάσεως μαρτυρούσας τὴν ἀλήθειαν.

**2.** Ἕτεροι μὲν γὰρ ἀφ' ὧν ἔχουσι τὴν τιμίαν σου πολλάκις ςεφανοῦσι κεφαλὴν, χρυσοκολλήτους ςεφάνους λίθοις διαυγεςάτοις πεποικιλμένους προσκομίζοντες· ἡμεῖς δὲ οὐ τοῖς ἀπὸ γῆς σε ςεφανοῦμεν (τὰ γὰρ ἀπὸ τῆς γῆς δωρούμενα τέλος ἔχει τὴν γῆν), ἀλλ' ἐπουρανίων πραγμάτων θεϊκὴν ἐνέργειαν ἐν τοῖς τῆς θεοφιλοῦς σου βασιλείας καιροῖς τελεσθεῖσαν τῇ σῇ εὐσεβείᾳ μετὰ

---

[1]) О дѣйствительности этого событія, кромѣ Автора письма, свидѣтельствуютъ блажен. Іеронимъ (въ продолж. Хроники Евсевія, подъ 17 годомъ Царст. Констанція), Филосторгій (Цер. Ист. 3. 26), Сократъ (Цер. Ист. 2. 28.), Созоменъ (Церк. Ист. 4. 5) и др. О самомъ письмѣ св. Кирилла упоминаетъ Созоменъ и другіе позднѣйшіе. Воспоминаніе объ этомъ явленіи празднуется православною Церковію 7 Мая.

σπουδῆς ἄγομεν εἰς γνῶσιν, οὐχ ἵνα νῦν πρῶτον ἐξ ἀγνοίας ἔλθῃς εἰς θεογνωσίαν (φθάνεις γὰρ καὶ ἑτέρους διδάσκων δι' ὧν εὐσεβεῖς), ἀλλ' ἵνα, ἅπερ ᾔδεις, ταῦτα [1]) καὶ βεβαιωθῇς, καὶ τὸν τῆς βασιλείας προγονικὸν ὑποδεξάμενος κλῆρον, μείζοσι θεόθεν ςεφάνοις ἐπουρανίοις τετιμῆσθαι μαθὼν, μᾶλλον Θεῷ μὲν τῷ παμβασιλεῖ καὶ νῦν τὴν πρέπουσαν ἀποδῷς εὐχαριςίαν, μείζονος δὲ τοῦ κατὰ τῶν ἐχθρῶν θάρσους πληρωθῇς, ἔργῳ τὴν σὴν βασιλείαν ἀγαπᾶσθαι πρὸς Θεοῦ δι' ὧν ἐπι σου θαυματουργεῖ καταλαβών.

3. Ἐπὶ μὲν γὰρ τοῦ θεοφιλεςάτου καὶ τῆς μακαρίας μνήμης Κωνσταντίνου τοῦ σοῦ πατρὸς τὸ σωτήριον τοῦ ςαυροῦ ξύλον ἐν Ἱεροσολύμοις ηὕρηται, τῆς θείας χάριτος τῷ καλῶς ζητοῦντι τὴν εὐσέβειαν τῶν ἀποκεκρυμμένων ἁγίων τόπων παρασχούσης τὴν εὕρεσιν· ἐπὶ δέ σου, δέσποτα, πανευσεβέςατε βασιλεῦ, προγονικὴν εὐσέβειαν μείζονι τῇ πρὸς Θεὸν εὐλαβείᾳ νικῶντος, οὐκ ἀπὸ γῆς λοιπὸν, ἀλλ' ἐξ οὐρανῶν τὰ θαυματουργήματα· καὶ τοῦ Κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριςοῦ, τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ, τὸ τῆς κατὰ τοῦ θανάτου νίκης τρόπαιον, ὁ μακάριος λέγω ςαυρὸς, φωτὸς μαρμαρυγαῖς ἀπαςράπτων ἐν Ἱεροσολύμοις ὤφθη.

4. Ἐν γὰρ ταῖς ἁγίαις ταύταις ἡμέραις τῆς ἁγίας πεντηκοςῆς [2]), νόνναις μαίαις [3]), περὶ τρίτην ὥραν, παμμεγέθης ςαυρὸς ἐκ φωτὸς κατεσκευασμένος ἐν οὐρανῷ ὑπεράνω τοῦ ἁγίου Γολγοθᾶ καὶ μέχρι τοῦ ἁγίου ὄρους τῶν Ἐλαιῶν ἐκτεταμένος ἐφαίνετο, οὐχ ἑνὶ καὶ δευτέρῳ μόνον φανεὶς, ἀλλὰ παντὶ τῷ τῆς πόλεως πλήθει φανερώτατα δειχθείς· οὐχ ὡς ἄν τις νοήσειεν ὀξέως κατὰ φαντασίαν [4]) παραδραμὼν, ἀλλ' ἐπὶ πλείοσιν ὥραις ὑπὲρ γῆν ὀφθαλμοφανῶς θεωρούμενος, καὶ ταῖς ἀπαςραπτούσαις μαρμαρυγαῖς τὰς ἡλιακὰς ἀκτῖνας νικήσας. Ἤ γὰρ ἂν ὑπ' αὐτῶν νικώμενος ἐκαλύπτετο, εἰ μὴ δυνατωτέρας ἡλίου τοῖς ὁρῶσι παρεῖχε τὰς λαμπηδόνας, ὡς ἅπαν μὲν ἀθρόως ἐξαυτῆς εἰς τὴν ἁγίαν ἐκκλησίαν ἐπιδραμεῖν τὸ τῆς πόλεως πλῆθος, τῷ τῆς θεοπ-

---

[1]) Κατὰ ταῦτα—въ этомъ.

[2]) Подъ Пятдесятницею здѣсь разумѣется пятидесятидневное время отъ Пасхи до дня Пятидесятницы.

[3]) Ноны Майскія по Римскому времясчисленію—7-й день Мая.

[4]) Не воображаемое быстролетное привидѣніе.

τίας φόβῳ μετ' εὐφροσύνης κατασχεθὲν, νέων ἅμα καὶ πρεσβυτέρων, ἀνδρῶν τε καὶ γυναικῶν καὶ πάσης ἡλικίας, καὶ μέχρις αὐτῶν ἤδη τῶν κατ' οἴκους θαλαμευομένων κορῶν, ἐντοπίων τε καὶ ξένων, χριςιανῶν τε ἅμα καὶ τῶν ἀλλαχόθεν ἐπιδημούντων ἐθνικῶν, ὁμοθυμαδὸν δὲ πάντων ὡς ἐξ ἑνὸς ςόματος Χριςὸν Ἰησοῦν τὸν Κύριον ἡμῶν, τὸν υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν θαυματοποιὸν, ἀνυμνούντων, ἔργῳ τε καὶ πείρᾳ παραλαβόντων, ὅτι χριςιανῶν τὸ δόγμα τὸ πανευσεβὲς οὐκ ἐν πειθοῖς σοφίας ἐςὶ λόγοις, ἀλλ' ἐν ἀποδείξει πνεύματος καὶ δυνάμεως, οὐχ ὑπ' ἀνθρώπων μόνον καταγγελλόμενον, ἀλλ' ἐξ οὐρανῶν θεόθεν μαρτυρούμενον.

5. Ἐπεὶ τοίνυν ἡμεῖς οἱ τῆς Ἱερουσαλὴμ οἰκήτορες τὸ τοῦ θαύματος παράδοξον αὐταῖς ὄψεσι παραλαβόντες Θεῷ μὲν τῷ παμβασιλεῖ καὶ υἱῷ τῷ μονογενεῖ τοῦ Θεοῦ τὴν πρέπουσαν μετ' εὐχαριςίας προσκύνησιν ἀπεδώκαμέν τε καὶ ἀποδώσομεν, εὐχὰς ἐκτενεῖς καὶ ὑπὲρ τοῦ θεοφιλοῦς σου κράτους ἐν τοῖς ἁγίοις τόποις πεποιημένοι τε καὶ ποιησόμενοι, ἔδει δὲ τὰς ἐπουρανίους ταύτας θεοπτίας μὴ παραδοῦναι σιωπῇ, ἀλλ' εὐαγγελίσασθαί σου τὴν ἔνθεον εὐσέβειαν ἐξαυτῆς [1]) διὰ τούτων ἐσπουδάσαμεν τῶν γραμμάτων, ἵνα ἀγαθῷ θεμελίῳ τῆς παρά σοι προϋπαρχούσης πίςεως τὴν ἐν τῶν προσφάτως θεόθεν ἐπιδειχθέντων γνῶσιν ἐποικοδομήσας βεβαιότερον μὲν τὸ εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριςὸν ἀναλάβοις θάρσος, ὁμοῦ δὲ και πάσης ἀνδρείας συνήθους πεπληρωμένος, ὡς ἂν αὐτὸν ἔχων Θεὸν σύμμαχον, τὸ τοῦ ςαυροῦ τρόπαιον ἑτοιμότατα προσφέρῃς, καύχημα καυχημάτων τὸ δειχθὲν ἐν οὐρανῷ σημεῖον ἐπαγόμενος [2]), οὗ καὶ τὸ σχῆμα δείξας ἀνθρώποις ὁ οὐρανὸς μειζόνως ἐκαυχήσατο.

6. Τὸ μέντοι θαυματούργημα τοῦτο, βασιλεῦ θεοφιλέςατε, προφητῶν μαρτυρίαις καὶ Χριςοῦ φωναῖς ἁγίαις ἐν εὐαγγελίοις ἐγκειμέναις ἀκολούθως ἐτελέσθη τε νῦν καὶ πάλιν μειζόνως τελεσθήσεται· ἐν γὰρ τῷ κατὰ Ματθαῖον εὐαγγελίῳ μελλόντων πραγμάτων γνῶσιν ὁ σωτὴρ τοῖς μακαρίοις ἀποςόλοις αὐτοῦ δωρού-

---

[1]) Изъ ἐξ и αὐτῆς—т. е. ὥρας, тотчасъ, немедленно. Посланіе написано въ тотъ же самый день, въ который случилось явленіе св. Креста, т. е. 7 Мая 351 года.

[2]) Ἐπάγομαι—усвояю себѣ, считаю, представляю.

μενος καὶ δι' ἐκείνων τοῖς μετ' αὐτοὺς ὁμιλῶν λευκότατα προαναφωνῶν ἔλεγε· «καὶ τότε φανήσεται τὸ σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ» [1]· ἥντινα τῶν εὐαγγελίων θείαν βίβλον συνήθως εἰς χεῖρας ἀναλαβὼν τὰς περὶ τούτου κειμένας προαγγελτικὰς μαρτυρίας ἐγγράφους εὑρήσεις, ὧν μάλιςά σε, δέσποτα, πυκνοτέρᾳ τῇ μελέτῃ προσέχειν παρακαλῶ, διὰ τὰ λοιπὰ τῶν κατὰ τὴν αὐτόθι γεγραμμένων ἀκολουθίαν, τῶν πραγμάτων ὑπὸ τοῦ σωτῆρος ἡμῶν προαναφωνηθέντων πολλῆς μετ' εὐλαβείας δεομένων τῆς παρατηρήσεως πρὸς τὸ μηδεμίαν ἐξ ἀντικειμένης ἐνεργείας ὑπομεῖναι τὴν βλάβην.

7. Ταύτας σοι τῶν ἡμετέρων λόγων, βασιλεῦ θεοφιλέςατε, προσφέρω τὰς ἀπαρχάς, ταύτας ἐξ Ἱεροσολύμων πρώτας ἀποφθέγγομαι τὰς φωνάς σοι τῷ γνησιωτάτῳ καὶ πανευσεβεῖ μεθ' ἡμῶν Χριςοῦ προσκυνητῇ, τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν, τοῦ τὴν οἰκουμενικὴν κατὰ τὰς θείας γραφὰς ἐν Ἱεροσολύμοις τελέσαντος σωτηρίαν, τοῦ πατήσαντος μὲν ἐνταῦθα τὸν θάνατον, οἰκείοις δὲ τιμίοις αἵμασι τὰς ἀνθρώπων ἁμαρτίας ἐξαλείψαντος, ζωήν τε καὶ ἀφθαρσίαν καὶ πνευματικὴν ἐπουράνιον χάριν τοῖς πιςεύουσιν ἅπασι παρασχόντος· οὗ τῇ δυνάμει καὶ τῇ χάριτί σε εὐφραινόμενον καὶ φρουρούμενον λαμπροτέροις τε καὶ μείζοσιν εὐσεβείας ἐμπρέποντα κατορθώμασιν, υἱῶν τε γνησίων βασιλικοῖς ἐναβρυνόμενον βλαςήμασιν, αὐτὸς ὁ παμβασιλεὺς Θεὸς ὁ πάσης ἀγαθωσύνης πάροχος πολλαῖς ἐτῶν εἰρηνικῶν περιόδοις καύχημα χριςιανοῖς καὶ κόσμῳ σύμπαντι φυλάξῃ πανέσιον [2]).

8. Ἐρρωμένον σε καὶ πάσῃ κεκοσμημένον ἀρετῇ καὶ τὴν συνήθη τῶν τε ἁγίων ἐκκλησιῶν καὶ τῆς Ῥωμαίων ἀρχῆς κηδεμονίαν ἐπιδεικνύμενον καὶ μείζοσιν εὐσεβείας βραβείοις λαμπρυνόμενον πολλαῖς εἰρηνικαῖς ἐτῶν περιόδοις ὁ τῶν ὅλων Θεὸς ἡμῖν χαρίσηται πανέσιον, Αὔγουςε βασιλεῦ θεοφιλέςατε, δοξάζοντα ἀεὶ τὴν ἁγίαν καὶ ὁμοούσιον τριάδα, τὸν ἀληθινὸν Θεὸν ἡμῶν, ᾧ πρέπει πᾶσα δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

---

1) Мат. 24. 30.

2) Изъ πᾶς и ἑςια—со всѣмъ домомъ или семействомъ.

# IX.

## СВ. ВАСИЛІЙ ВЕЛИКІЙ АРХІЕПИСКОПЪ КЕСАРІЙСКІЙ.

Св. Василій былъ великимъ свѣтиломъ христіанской Церкви въ 4-мъ вѣкѣ и такимъ же свѣтиломъ остался для ней на вѣки своими святоотеческими дѣяніями и необыкновенно высокими твореніями своего богопросвѣщеннаго ума. Онъ родился въ 329 году въ семействѣ, отличавшемся какъ значительнымъ положеніемъ въ обществѣ, такъ и христіанскими добродѣтелями, и проживавшемъ то въ Кесаріи Каппадокійской, то въ Неокесаріи Понтійской; первое религіозное воспитаніе получилъ отъ своей бабки Макрины, свято хранившей наставленія св. Григорія Чудотворца, Епископа Неокесарійскаго, и отъ матери своей Еммеліи, а первое научное образованіе—отъ своего отца Василія, славившагося въ Неокесаріи краснорѣчіемъ ритора и искуствомъ адвоката. Для дальнѣйшаго образованія даровитый юноша посѣщалъ лучшія школы въ Кесаріи, Константинополѣ и наконецъ—въ Аѳинахъ, гдѣ въ теченіи пятилѣтняго пребыванія, вмѣстѣ съ св. Григоріемъ Назіанзеномъ и между прочими съ будущимъ Императоромъ Юліаномъ, пріобрѣлъ обширныя познанія въ наукахъ, сохранивъ во всей цѣлости чистоту души и благочестивое направленіе ума и сердца.

По возвращеніи на родину въ 355 году св. Василій въ теченіи нѣкотораго времени прилагалъ свои ученыя познанія къ дѣлу преподаванія словеснаго искуства и къ защитѣ угнетаемыхъ согражданъ въ суди-

лицахъ; но вскорѣ, по влеченію своего духа, отказался отъ свѣтскаго поприща и рѣшился посвятить себя духовно-созерцательной жизни, принявъ св. крещеніе и званіе церковнаго чтеца при Епископѣ Діаніѣ (въ 356 или 357 году), и потомъ предпринявъ путешествіе по пустынножительскимъ мѣстамъ Сиріи, Месопотаміи, Палестины и Египта, послѣ котораго и самъ поселился для уединенія въ окрестности Неокесаріи близъ того мѣста, гдѣ мать его Еммелія и старшая сестра Макрина уже вели монашескій образъ жизни. Между тѣмъ Промыслъ Божій открылъ для св. Василія путь къ славному служенію, для котораго онъ былъ вполнѣ приготовленъ двойнымъ воспитаніемъ, съ одной стороны въ христіанскомъ семействѣ, въ православныхъ обителяхъ пустынь и въ собственномъ уединеніи, проведенномъ въ изученіи Св. Писанія и твореній предшествовавшихъ Отцевъ и Учителей Церкви, а съ другой стороны въ школахъ грамматиковъ, риторовъ и философовъ. Незадолго до смерти Епископа Діанія бывъ вызванъ изъ своего уединенія въ Кесарію, и по вступленіи на епископскую каѳедру Евсевія, бывъ посвященъ въ санъ сначала діакона, а потомъ пресвитера (въ 364 году). св. Василій сдѣлался дѣятельнымъ помощникомъ Кесарійскаго Епископа въ управленіи церковными дѣлами и въ теченіи шести лѣтъ,—за исключеніемъ нѣкотораго времени, проведеннаго опять въ Понтійскомъ уединеніи,—своею мудрою распорядительностію, краснорѣчивыми поученіями и благочестивою жизнію заслужилъ такое уваженіе отъ своихъ согражданъ, что по смерти Евсевія въ 370 году былъ избранъ на его каѳедру. Чѣмъ выше сдѣлалось положеніе св. Василія, какъ Архіепископа Кесарійскаго и Митрополита Каппадокійскаго и Экзарха Понтійской области, тѣмъ съ бо́льшимъ достоинствомъ и съ бо́льшею ревностію онъ во всю остальную жизнь

трудился ко благу не только своей мѣстной, но и всей вселенской Церкви. Слава святой жизни и душевныхъ достоинствъ началась для св. Василія съ ранняго его возраста; еще учась въ Кесаріи и Аѳинахъ онъ былъ уже извѣстенъ многимъ какъ человѣкъ необыкновенный и высоко цѣнимый всѣми и сверстниками и наставниками и другими лицами; восходя же по степенямъ церковной Іерархіи, онъ тѣмъ болѣе пріобрѣталъ и постоянно умножалъ славу истинно превосходнаго и святаго мужа; а къ концу своей жизни, послѣ великаго Аѳанасія Александрійскаго, сдѣлался средоточіемъ для всѣхъ православныхъ пастырей востока по своей неусыпной попечительности о благосостояніи христіанской Церкви и по обширному вліянію на ея дѣла и дѣятелей. Названія *свѣтила вселенной, опоры истины* и *великаго* святителя, данныя ему историками и вселенскою Церковію, ясно выражаютъ значеніе его для христіанской Церкви и человѣчества и свидѣтельствуютъ о необыкновенныхъ его заслугахъ для нихъ. Онъ великъ во многихъ отношеніяхъ, какъ аскетъ и устроитель монашеской жизни, какъ мудрый и неустрашимый архипастырь, возстановлявшій согласіе между тогдашними пастырями и ихъ церквами, какъ досточтимый исправитель христіанскаго богослуженія, какъ милосердый попечитель бѣдныхъ, питавшій ихъ въ своихъ монастыряхъ и учредившій въ Кесаріи обширную лечебницу, названную его именемъ, какъ вдохновенный и краснорѣчивый проповѣдникъ, побѣдоносно ниспровергавшій неправославныя мнѣнія современныхъ мыслителей и утверждавшій добрую нравственность въ своихъ пасомыхъ, и наконецъ какъ церковный писатель, пріобрѣтшій всеобщее удивленіе своими произведеніями. Всѣ эти разностороннія дарованія и заслуги его достойно изображены въ похвальныхъ словахъ, написанныхъ въ честь его св. Ефре-

момъ Сириномъ, св. Григоріемъ Назіанзеномъ и св. Григоріемъ Нисскимъ, вскорѣ послѣ смерти великаго Святителя (См. Учен. объ Отц. Церк. Филарета Черн. Т. 2. стр. 96—119).

Подвиги аскетитесской жизни, продолжавшіеся съ юности до конца жизни, и неутомимые труды архипастырскаго служенія преждевременно изнурили тѣлесныя силы св. Василія, и послѣ продолжительной болѣзни ко всеобщему сожалѣнію онъ скончался 1-го Января 379 года, 50 лѣтъ отъ роду (память его совершается православною Церковію 1-го и 30 Января). Но важнѣйшіе плоды умственной дѣятельности его сохранились до нашего времени въ многочисленныхъ его твореніяхъ, которыя всегда считались и считаются достойными столь же великаго уваженія, сколь великую они доставляютъ пользу читающимъ. Св. Василій, по словамъ опытнаго цѣнителя патріарха Фотія (Bibl. cod. CXLI), во всѣхъ сочиненіяхъ своихъ превосходенъ (ἄριςος); онъ умѣетъ говорить рѣчью чистою, убѣдительною и точною, по стройности же и свѣтлости мыслей является первымъ, а не вторымъ послѣ когонибудь; слова его пріятны и ясны и текутъ, какъ потокъ изъ самороднаго источника, такъ что, если бы кто-нибудь взялъ себѣ рѣчи его за образецъ политической рѣчи и изучилъ ихъ, то не сталъ бы нуждаться ни въ комъ другомъ, ни въ Платонѣ, ни въ Димосѳенѣ». Съ такими литературными, а еще болѣе съ евангельскими и богословскими достоинствами дошли до насъ несомнѣнно подлинныя творенія св. Василія

1. Догматико-полемическія, какъ-то: 3 книги «противъ (аріанина) Евномія», «о Святомъ Духѣ (въ 30 главахъ)», и нѣкоторыя другія, краткія.

2) Экзегетическія, къ которымъ относятся: 9 бесѣдъ «на шестодневъ», 13 бесѣдъ «на псалмы», толкованія на 16 первыхъ главъ «пророка Исаіи».

3. Проповѣдническія, именно: 25 «бесѣдъ», изъ которыхъ однѣ догматическаго содержанія, другія нравственнаго, третьи похвальныя въ честь св. мучениковъ, и одна (22-я) подъ заглавіемъ: «рѣчь къ юношамъ, какъ имъ пользоваться языческими сочиненіями».

4. Аскетическія, въ которыхъ излагаются преимущественно «правила» монашеской и монастырской жизни, въ пространномъ и краткомъ видѣ, и преподаются разнообразныя нравственныя наставленія, руководствующія всѣхъ христіанъ къ благочестивой жизни.

5. Относящіяся къ церковному богослуженію, какъ-то: «литургія», извѣстная подъ именемъ св. Василія, «молитвы» для утренняго и вечерняго богослуженія, предъ причащеніемъ и по причащеніи, и нѣкоторыя другія.

6. Письма, принадлежащія ко всѣмъ эпохамъ жизни и дѣятельности Святителя, какъ до епископства, такъ и въ санѣ Епископа, числомъ до 367, изъ которыхъ 319 считаются несомнѣнно подлинными произведеніями св. Василія.

Въ настоящемъ сборникѣ предлагаются для чтенія: 1) Двѣ первыя изъ 9-ти бесѣдъ на шестодневъ, въ которыхъ святитель Василій своею ученостію, назидательностію и красотою рѣчи превзошелъ всѣ предшествовавшіе опыты толкованій на книгу Бытія и послужилъ образцомъ для послѣдующихъ толкователей, воздававшихъ ему величайшія похвалы за это произведеніе; 2) Рѣчь къ юношамъ, какъ имъ пользоваться языческими сочиненіями, представляющая замѣчательный взглядъ великаго учителя Церкви на языческую литературу и изученіе ея съ пользою, имѣющій важное значеніе какъ для тогдашняго времени, когда юноши получали на половину христіанское и

на половину языческое воспитаніе, такъ и для послѣдующихъ временъ, которыя также нуждаются въ общечеловѣческихъ познаніяхъ для лучшаго уразумѣнія христіанскихъ истинъ и для отраженія вредныхъ для христіанства человѣческихъ заблужденій; и 3) нѣсколько писемъ Святителя изъ обильнаго количества этихъ произведеній, составляющихъ самую живую часть письменныхъ трудовъ его, такъ какъ одни изъ нихъ служатъ вѣрнымъ изображеніемъ тогдашняго гражданскаго и церковнаго состоянія общества, другія превосходно характеризуютъ личность самаго Святителя и, касаясь важныхъ религіозныхъ вопросовъ того вѣка, представляютъ во всемъ свѣтѣ благотворную дѣятельность его ко благу Христовой Церкви и всего человѣчества, отличаясь притомъ замѣчательнымъ изяществомъ рѣчи и образцовою формою изложенія.

Лучшія и новѣйшія изданія твореній святителя Василія великаго извѣстны:

1. S. Patris nostri Basilii, Caesareae Cappadociae Archiepiscopi, opera omnia. Ed. Iul. Garnier et Prud. Maranus., въ улучшенномъ изданіи L. Sinner. Paris. 1839—40. 3 Tom.

2. Patrologiae Curs. Compl. Ed. I. P. Migne. T. XXIX—XXXII. Paris. 1857.

Изъ неполныхъ изданій:

3. S. Basilii magni opera dogmatica, съ предисловіемъ Thilo. Ed. Goldhorn. Lips. 1854.

4. Les pères de l' Église grècque; recueil de discours, de lettres et de poësies. Ed. M. E. Fialon. Paris. 1876.

Текстъ избраннымъ статей св. Василія заимствованъ частію изъ изданія Migne, частію изъ изданія Fialon.

1.

# ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΒΑΣΙΛΕΙΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΑΙΣΑΡΕΙΑΣ ΚΑΠΠΑΔΟΚΙΑΣ ΟΜΙΛΙΑΙ ΕΙΣ ΤΗΝ ΕΞΑΗΜΕΡΟΝ [1]).

## ΟΜΙΛΙΑ Α'.

## Глав. 1—11.

Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν [2]).

1. Πρέπουσα ἀρχὴ τῷ περὶ τῆς τοῦ κόσμου συστάσεως μέλλοντι διηγεῖσθαι ἀρχὴν τῆς τῶν ὁρωμένων διακοσμήσεως προθεῖναι τοῦ λόγου. Οὐρανοῦ γὰρ καὶ γῆς ποίησις παραδίδοσθαι μέλλει, οὐκ αὐτομάτως συνενεχθεῖσα, ὥς τινες ἐφαντάσθησαν, παρὰ δὲ τοῦ Θεοῦ τὴν αἰτίαν λαβοῦσα. Ποία ἀκοὴ τοῦ μεγέθους τῶν λεγομένων ἀξία; πῶς παρεσκευασμένην ψυχὴν πρὸς τὴν τῶν τηλικούτων ἀκρόασιν προσῆκεν ἀπαντᾶν; καθαρεύουσαν τῶν παθῶν τῆς σαρκὸς, ἀνεπισκότητον μερίμναις βιωτικαῖς, φιλόπονον, ἐξεταστικὴν, πάντοθεν περισκοποῦσαν, εἴ ποθεν λάβοι ἀξίαν ἔννοιαν τοῦ Θεοῦ. Ἀλλὰ πρὶν ἐξετάσαι τὴν ἐν τοῖς ῥήμασιν ἀκρίβειαν καὶ διερευνήσασθαι, ἡλίκα τῶν μικρῶν φωνῶν τούτων ἐστὶ τὰ σημαινόμενα, ἐνθυμηθῶμεν τίς ὁ διαλεγόμενος ἡμῖν. Διότι κἂν τῆς βαθείας καρδίας τοῦ συγγραφέως μὴ ἐφικώμεθα διὰ τὸ τῆς διανοίας ἡμῶν ἀσθενὲς, ἀλλὰ τῇ γε ἀξιοπιστίᾳ προσέχοντες τοῦ λέγοντος, αὐτομάτως εἰς συγκατάθεσιν τῶν εἰρημένων ἐναχθησόμεθα. Μωϋσῆς τοίνυν ἐστὶν ὁ τὴν συγγραφὴν ταύτην καταβαλλόμενος· Μωϋσῆς ὁ ἐκεῖνος μαρτυρηθεὶς ἀστεῖος εἶναι παρὰ τῷ Θεῷ [3]), ἔτι ὑπομάζιος ὤν· ὃν εἰσεποιήσατο μὲν ἡ θυγάτηρ τοῦ Φαραὼ, ἐξέτρεφε δὲ βασιλικῶς, τοὺς σοφοὺς τῶν Αἰγυπτίων διδασκάλους αὐτῷ τῆς παιδεύσεως ἐπιστήσασα· ὃς, τὸν ὄγκον τῆς τυραννίδος

[1]) О словѣ Ἑξαήμερον см. выше, на стр. 75. прим. 3.
[2]) Быт. 1. 1. [3]) Дѣян. 7. 20.

μισήσας καὶ πρὸς τὸ ταπεινὸν τῶν ὁμοφύλων ἀναδραμὼν, εἵλετο συγκακουχεῖσθαι τῷ λαῷ τοῦ Θεοῦ, ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν [1]· ὁ τὴν πρὸς τὸ δίκαιον φιλίαν ἐξ αὐτῆς τῆς φύσεως κεκτημένος, ὅπου γε, καὶ πρὶν ἐπιτραπῆναι αὐτῷ τοῦ λαοῦ τὴν ἀρχὴν, φαίνεται διὰ τὸ τῆς φύσεως μισοπόνηρον μέχρι θανάτου τοὺς κακοὺς ἀμυνόμενος· ὁ φυγαδευθεὶς παρὰ τῶν εὐεργετηθέντων, καὶ ἀσμένως μὲν τοὺς αἰγυπτιακοὺς θορύβους ἀπολιπὼν, τὴν δὲ Αἰθιοπίαν καταλαβὼν, κἀκεῖ πᾶσαν σχολὴν ἀπὸ τῶν ἄλλων ἄγων, καὶ ἐν τεσσαράκοντα ὅλοις ἔτεσι τῇ θεωρίᾳ τῶν ὄντων ἀποσχολάσας· ὃς, ὀγδοηκοςὸν ἤδη γεγονὼς ἔτος, εἶδε Θεὸν ὡς ἀνθρώπῳ ἰδεῖν δυνατὸν, μᾶλλον δὲ ὡς οὐδενὶ τῶν ἄλλων ὑπῆρξε κατὰ τὴν μαρτυρίαν αὐτὴν τοῦ Θεοῦ, ὅτι «ἐὰν γένηται προφήτης ὑμῶν τῷ Κυρίῳ, ἐν ὁράματι αὐτῷ γνωσθήσομαι, καὶ ἐν ὕπνῳ λαλήσω αὐτῷ· οὐχ οὕτως, ὡς ὁ θεράπων μου Μωϋσῆς, ἐν ὅλῳ τῷ οἴκῳ μου πιςὸς ἐςι· ςόμα κατὰ ςόμα λαλήσω αὐτῷ, ἐν εἴδει, καὶ οὐ δι' αἰνιγμάτων» [2]). Οὗτος τοίνυν ὁ τῆς αὐτοπροσώπου θέας τοῦ Θεοῦ ἐξίσου τοῖς ἀγγέλοις ἀξιωθεὶς, ἐξ ὧν ἤκουσε παρὰ τοῦ Θεοῦ διαλέγεται ἡμῖν. Ἀκούσωμεν τοίνυν ἀληθείας ῥημάτων οὐκ ἐν πειθοῖς σοφίας ἀνθρωπίνης, ἀλλ' ἐν διδακτοῖς Πνεύματος λαληθέντων [3])· ὧν τὸ τέλος οὐχ ὁ τῶν ἀκουόντων ἔπαινος, ἀλλ' ἡ σωτηρία τῶν διδασκομένων.

2. «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν». Ἵςησί μου τὸν λόγον τὸ θαῦμα τῆς διανοίας. Τί πρῶτον εἴπω; πόθεν ἄρξομαι τῆς ἐξηγήσεως; ἐλέγξω τῶν ἔξω [4]) τὴν ματαιότητα; ἢ ἀνυμνήσω τὴν ἡμετέραν ἀλήθειαν; πολλὰ περὶ φύσεως ἐπραγματεύσαντο οἱ τῶν Ἑλλήνων σοφοὶ, καὶ οὐδὲ εἷς παρ' αὐτοῖς λόγος ἔςηκεν ἀκίνητος καὶ ἀσάλευτος, ἀεὶ τοῦ δευτέρου τὸν πρὸ αὐτοῦ καταβάλλοντος· ὥςε ἡμῖν μηδὲν ἔργον εἶναι τὰ ἐκείνων ἐλέγχειν· ἀρκοῦσι γὰρ ἀλλήλοις πρὸς τὴν οἰκείαν ἀνατροπήν. Οἱ γὰρ Θεὸν ἀγνοήσαντες αἰτίαν ἔμφρονα προεςάναι τῆς γενέσεως τῶν ὅλων οὐ συνεχώρησαν, ἀλλ' οἰκείως τῇ ἐξ ἀρχῆς ἀγνοίᾳ

---

[1]) Евр. 11. 25. [2]) Числ. 12. 6—8. [3]) 1 Кор. 2. 4, 13.

[4]) Οἱ ἔξω—внѣшніе: обыкновенное у св. Отцевъ названіе мыслителей и писателей, не принадлежащихъ къ христіанской Церкви, языческихъ. Ср. 1 Кор. 5. 12. Кол. 4. 5.

τὰ ἐφεξῆς συνεπέραναν. Διὰ τοῦτο οἱ μὲν ἐπὶ τὰς ὑλικὰς ὑποθέσεις κατέφυγον, τοῖς τοῦ κόσμου ϛοιχείοις τὴν αἰτίαν τοῦ παντὸς ἀναθέντες· οἱ δὲ ἄτομα καὶ ἀμερῆ σώματα, καὶ ὄγκους καὶ πόρους [1]), συνέχειν τὴν φύσιν τῶν ὁρατῶν ἐφαντάσθησαν· νῦν μὲν γὰρ συνιόντων ἀλλήλοις τῶν ἀμερῶν σωμάτων, νῦν δὲ μετασυγκρινομένων, τὰς γενέσεις καὶ τὰς φθορὰς ἐπιγίνεσθαι· καὶ τῶν διαρκεϛέρων σωμάτων τὴν ἰσχυροτέραν τῶν ἀτόμων ἀντεμπλοκὴν τῆς διαμονῆς τὴν αἰτίαν παρέχειν. Ὄντως ἰϛὸν ἀράχνης ὑφαίνουσιν [2]) οἱ ταῦτα γράφοντες, οἱ οὕτω λεπτὰς καὶ ἀνυποϛάτους ἀρχὰς οὐρανοῦ καὶ γῆς καὶ θαλάσσης ὑποτιθέμενοι. Οὐ γὰρ ᾔδεσαν εἰπεῖν· «ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν». Διὰ τοῦτο ἀκυβέρνητα καὶ ἀδιοίκητα εἶναι τὰ σύμπαντα, ὡς ἂν τύχῃ φερόμενα, ὑπὸ τῆς ἐνοικούσης αὐτοῖς ἀθεότητος ἠπατήθησαν. Ὅπερ ἵνα μὴ πάθωμεν ἡμεῖς, ὁ τὴν κοσμοποιΐαν συγγράφων εὐθὺς ἐν τοῖς πρώτοις ῥήμασι τῷ ὀνόματι τοῦ Θεοῦ τὴν διάνοιαν ἡμῶν κατεφώτισεν, εἰπών· «ἐν ἀρχῇ ἐποίησεν ὁ Θεός». Τί καλὴ ἡ τάξις! ἀρχὴν πρῶτον ἐπέθηκεν, ἵνα μὴ ἄναρχον αὐτὸν [3]) οἰηθῶσί τινες· εἶτα ἐπήγαγε τὸ «ἐποίησεν», ἵνα δειχθῇ, ὅτι ἐλάχιϛον μέρος τῆς τοῦ δημιουργοῦ δυνάμεώς ἐϛι τὸ ποιηθέν. Ὡς γὰρ ὁ κεραμεὺς, ἀπὸ τῆς αὐτῆς τέχνης μυρία διαπλάσας σκεύη, οὔτε τὴν τέχνην οὔτε τὴν δύναμιν ἐξανάλωσεν· οὕτω καὶ ὁ τοῦ παντὸς τούτου δημιουργὸς, οὐχ ἑνὶ κόσμῳ σύμμετρον τὴν ποιητικὴν ἔχων δύναμιν, ἀλλ' εἰς τὸ ἀπειροπλάσιον ὑπερβαίνουσαν, τῇ ῥοπῇ τοῦ θελήματος μόνῃ εἰς τὸ εἶναι παρήγαγε τὰ μεγέθη τῶν ὁρωμένων. Εἰ οὖν καὶ ἀρχὴν ἔχει ὁ κόσμος καὶ πεποίηται, ζήτει, τίς ὁ τὴν ἀρχὴν αὐτῷ δοὺς καὶ τίς ὁ ποιητής. Μᾶλλον δὲ, ἵνα μὴ ἀνθρωπίνοις λογισμοῖς ἐκζητῶν παρατραπῇς που τῆς ἀληθείας, προέφθασε τῇ διδασκαλίᾳ, οἱονεὶ σφραγῖδα καὶ φυλακτήριον ταῖς ψυχαῖς ἡμῶν ἐμβαλὼν τὸ πολυτίμητον ὄνομα τοῦ Θεοῦ, εἰπών· «ἐν ἀρχῇ ἐποίησεν ὁ Θεός».

---

[1]) Ὄγκοι—названіе матеріальныхъ недѣлимыхъ частицъ у древнихъ Атомистовъ; а πόροι—названіе скважинъ или промежутковъ между этими частицами.

[2]) Ἱϛὸν ἀράχνης ὑφαίνειν—прясть ткань паука—греческая пословица, означающая: дѣлать непрочныя вещи, заниматься безполезнымъ дѣломъ.

[3]) Т. е. κόσμον, міръ.

῾Η μακαρία φύσις, ἡ ἄφθονος ἀγαθότης, τὸ ἀγαπητὸν πᾶσι τοῖς λόγου μετειληφόσι, τὸ πολυπόθητον κάλλος, ἡ ἀρχὴ τῶν ὄντων, ἡ πηγὴ τῆς ζωῆς, τὸ νοερὸν φῶς, ἡ ἀπρόσιτος σοφία, οὗτος «ἐποίησεν ἐν ἀρχῇ τὸν οὐρανὸν καὶ τὴν γῆν».

3. Μὴ οὖν ἄναρχα φαντάζου, ἄνθρωπε, τὰ ὁρώμενα, μηδὲ, ἐπειδὴ κυκλόσε περιτρέχει τὰ κατ' οὐρανὸν κινούμενα, ἡ δὲ τοῦ κύκλου ἀρχὴ τῇ προχείρῳ αἰσθήσει ἡμῶν οὐκ εὔληπτος, ἄναρχον εἶναι νομίσῃς τῶν κυκλοφορικῶν σωμάτων τὴν φύσιν. Οὐδὲ γὰρ ὁ κύκλος οὗτος, τὸ ἐπίπεδον λέγω σχῆμα τὸ ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον, ἐπειδὴ διαφεύγει τὴν ἡμετέραν αἴσθησιν, καὶ οὔτε ὅθεν ἤρξατο ἐξευρεῖν δυνάμεθα, οὔτε εἰς ὃ κατέληξεν, ἤδη καὶ ἄναρχον αὐτὸν ὀφείλομεν ὑποτίθεσθαι. ᾿Αλλὰ κἂν τὴν αἴσθησιν διαφεύγῃ, τῇ γε ἀληθείᾳ πάντως ἀπό τινος ἤρξατο ὁ κέντρῳ καὶ διαστήματί τινι περιγράψας αὐτόν. Οὕτω καὶ σὺ μὴ, ἐπειδὴ εἰς ἑαυτὰ συννεύει τὰ κύκλῳ κινούμενα, τὸ τῆς κινήσεως αὐτῶν ὁμαλὸν καὶ μηδενὶ μέσῳ διακοπτόμενον, τὴν τοῦ ἄναρχον τὸν κόσμον καὶ ἀτελεύτητον εἶναί σοι πλάνην ἐγκαταλίπῃ. «Παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου» [1]· καὶ «ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται» [2]. Προαναφώνησις τῶν περὶ συντελείας δογμάτων καὶ περὶ τῆς τοῦ κόσμου μεταποιήσεως, τὰ νῦν ἐν βραχέσι κατὰ τὴν στοιχείωσιν τῆς θεοπνεύστου διδασκαλίας παραδιδόμενα. «᾿Εν ἀρχῇ ἐποίησεν ὁ Θεός». Τὰ ἀπὸ χρόνου ἀρξάμενα πᾶσα ἀνάγκη καὶ ἐν χρόνῳ συντελεσθῆναι. Εἰ ἀρχὴν ἔχει χρονικὴν, μὴ ἀμφιβάλῃς περὶ τοῦ τέλους. Γεωμετρίαι γὰρ καὶ ἀριθμητικαὶ μέθοδοι, καὶ αἱ περὶ τῶν στερεῶν πραγματεῖαι, καὶ ἡ πολυθρύλλητος ἀστρονομία, ἡ πολυάσχολος ματαιότης, πρὸς ποῖον καταστρέφουσι τέλος; εἴπερ οἱ περὶ ταῦτα ἐσπουδακότες συναΐδιον εἶναι τῷ κτίστῃ τῶν ὅλων Θεῷ καὶ τὸν ὁρώμενον τοῦτον κόσμον διενοήθησαν, πρὸς τὴν αὐτὴν δόξαν ἀγαγόντες τὸν περιγεγραμμένον καὶ σῶμα ἔχοντα ὑλικὸν τῇ ἀπεριλήπτῳ καὶ ἀοράτῳ φύσει, μηδὲ τοσοῦτον δυνηθέντες ἐννοηθῆναι, ὅτι οὗ τὰ μέρη φθοραῖς καὶ ἀλλοιώσεσιν ὑπόκειται, τούτου καὶ τὸ ὅλον ἀνάγκη ποτε τὰ αὐτὰ παθήματα τοῖς οἰκείοις μέρεσιν ὑποστῆναι. ᾿Αλλὰ το-

[1] 1 Κορ. 7. 31. [2] Ματ. 24. 35.

σοῦτον «ἐματαιώθησαν τοῖς διαλογισμοῖς αὐτῶν, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία, καὶ φάσκοντες εἶναι σοφοὶ ἐμωράνθησαν» [1], ὥςε οἱ μὲν συνυπάρχειν ἐξ ἀϊδίου τῷ Θεῷ τὸν οὐρανὸν ἀπεφήναντο, οἱ δὲ αὐτὸν εἶναι Θεὸν ἄναρχόν τε καὶ ἀτελεύτητον, καὶ τῆς τῶν κατὰ μέρος οἰκονομίας αἴτιον.

4. Ἦπου αὐτοῖς ἡ περιουσία τῆς τοῦ κόσμου σοφίας προσθήκην οἴσει ποτὲ τῆς χαλεπῆς κατακρίσεως, ὅτι οὕτως ὀξὺ περὶ τὰ μάταια βλέποντες, ἑκόντες πρὸς τὴν σύνεσιν τῆς ἀληθείας ἀπετυφλώθησαν. Ἀλλ' οἱ τῶν ἄςρων τὰ διαςήματα καταμετροῦντες, καὶ τοὺς ἀειφανεῖς αὐτῶν καὶ ἀρκτῴους ἀπογραφόμενοι, καὶ ὅσοι περὶ τὸν νότιον πόλον κείμενοι τοῖς μὲν εἰσι φανεροὶ, ἡμῖν δὲ ἄγνωςοι, καὶ βόρειον πλάτος καὶ ζωδιακὸν κύκλον μυρίοις διαςήμασι διαιροῦντες, καὶ ἐπαναφορὰς ἄςρων, καὶ ςηριγμοὺς, καὶ ἀποκλίσεις, καὶ πάντων τὴν ἐπὶ τὰ προηγούμενα [2]) κίνησιν δι' ἀκριβείας τηρήσαντες, καὶ διὰ πόσου χρόνου τῶν πλανωμένων ἕκαςος τὴν ἑαυτοῦ περίοδον ἐκπληροῖ· μίαν τῶν πασῶν μηχανὴν οὐκ ἐξεῦρον πρὸς τὸ τὸν Θεὸν ἐννοῆσαι ποιητὴν τοῦ παντὸς καὶ κριτὴν δίκαιον, τὴν ἀξίαν ἀντίδοσιν τοῖς βεβιωμένοις ἐπάγοντα· οὐδὲ τῷ περὶ τῆς κρίσεως λόγῳ τὴν ἀκόλουθον τῆς συντελείας ἔννοιαν ἐπιγνῶναι, ὅτι ἀνάγκη μεταποιηθῆναι τὸν κόσμον, εἰ μέλλοι καὶ ἡ τῶν ψυχῶν κατάςασις πρὸς ἕτερον εἶδος ζωῆς μεταβάλλειν. Ὥσπερ γὰρ ἡ παροῦσα ζωὴ συγγενῆ ἔσχε τοῦ κόσμου τούτου τὴν φύσιν, οὕτω καὶ ἡ μέλλουσα τῶν ψυχῶν ἡμῶν διαγωγὴ οἰκείαν τῇ καταςάσει ὑποδέξεται τὴν λῆξιν. Οἱ δὲ τοσοῦτον ἀπέχουσιν ὡς ἀληθέσι τούτοις προσέχειν, ὥςε καὶ πλατὺν γέλωτα καταχέουσιν ἡμῶν περὶ συντελείας τοῦ κόσμου τούτου καὶ παλιγγενεσίας αἰῶνος ἀπαγγελλόντων. Ἐπειδὴ δὲ ἡ ἀρχὴ κατὰ φύσιν προτέτακται τῶν ἀπ' αὐτῆς, ἀναγκαίως περὶ τῶν ἀπὸ χρόνου τὸ εἶναι ἐχόντων διαλεγόμενος, ταύτην ἁπάντων προέταξε τὴν φωνὴν, εἰπών· «ἐν ἀρχῇ ἐποίησεν».

5. Ἦν γάρ τι, ὡς ἔοικε, καὶ πρὸ τοῦ κόσμου τούτου, ὃ τῇ μὲν διανοίᾳ ἡμῶν ἐςι θεωρητὸν, ἀνιςόρητον δὲ κατελείφθη

---

[1]) Рим. 1. 21, 22.

[2]) Т. е. χωρία, на прежнія мѣста, въ прежнее положеніе.

διὰ τὸ τοῖς εἰσαγομένοις ἔτι καὶ νηπίοις κατὰ τὴν γνῶσιν ἀνεπιτήδειον. Ἦν τις πρεσβυτέρα τῆς τοῦ κόσμου γενέσεως κατάςασις ταῖς ὑπερκοσμίοις δυνάμεσι πρέπουσα, ἡ ὑπέρχρονος, ἡ αἰωνία, ἡ ἀΐδιος. Δημιουργήματα δὲ ἐν αὐτῇ ὁ τῶν ὅλων κτίςης καὶ δημιουργὸς ἀπετέλεσε, φῶς νοητὸν πρέπον τῇ μακαριότητι τῶν φιλούντων τὸν Κύριον, τὰς λογικὰς καὶ ἀοράτους φύσεις, καὶ πᾶσαν τὴν τῶν νοητῶν διακόσμησιν, ὅσα τὴν ἡμετέραν διάνοιαν ὑπερβαίνει, ὧν οὐδὲ τὰς ὀνομασίας ἐξευρεῖν δυνατόν. Ταῦτα τοῦ ἀοράτου κόσμου συμπληροῖ τὴν οὐσίαν, ὡς διδάσκει ἡμᾶς ὁ Παῦλος, λέγων· «ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα, εἴτε ὁρατά, εἴτε ἀόρατα, εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαί, εἴτε ἐξουσίαι, εἴτε δυνάμεις» [1]), εἴτε ἀγγέλων ςρατιαί, εἴτε ἀρχαγγέλων ἐπιςασίαι· ὅτε δὲ ἔδει λοιπὸν καὶ τὸν κόσμον τοῦτον ἐπεισαχθῆναι τοῖς οὖσι, προηγουμένως μὲν διδασκαλεῖον καὶ παιδευτήριον τῶν ἀνθρωπίνων ψυχῶν, ἔπειτα μέντοι καὶ ἁπαξαπλῶς πάντων τῶν ἐν γενέσει καὶ φθορᾷ ἐπιτήδειον ἐνδιαίτημα· συμφυὴς ἄρα τῷ κόσμῳ καὶ τοῖς ἐν αὐτῷ ζώοις τε καὶ φυτοῖς ἡ τοῦ χρόνου διέξοδος ὑπέςη, ἐπειγομένη ἀεὶ καὶ παραρρέουσα, καὶ μηδαμοῦ παυομένη τοῦ δρόμου. Ἢ οὐχὶ τοιοῦτος ὁ χρόνος, οὗ τὸ μὲν παρελθὸν ἠφανίςθη, τὸ δὲ μέλλον οὔπω πάρεςι, τὸ δὲ παρὸν πρὶν γνωσθῆναι διαδιδράσκει τὴν αἴσθησιν; τοιαύτη δέ τις καὶ τῶν γινομένων ἡ φύσις, ἢ αὐξανομένη πάντως, ἢ φθίνουσα, τὸ δὲ ἱδρομένον καὶ ςάσιμον οὐκ ἐπίδηλον ἔχουσα. Ἔπρεπεν οὖν τοῖς ζώων τε καὶ φυτῶν σώμασιν, οἱονεὶ ρεύματί τινι πρὸς ἀνάγκην ἐνδεδεμένοις, καὶ τῇ πρὸς γένεσιν ἢ φθορὰν ἀγούσῃ κινήσει συνεχομένοις, ὑπὸ τῆς τοῦ χρόνου φύσεως περιέχεσθαι, συγγενῆ τοῖς ἀλλοιουμένοις κεκτημένου τὴν ἰδιότητα. Ἐντεῦθεν οἰκείως ἐπέβαλε τῷ περὶ αὐτὸν λόγῳ ὁ σοφῶς ἡμᾶς τοῦ κόσμου τὴν γένεσιν ἐκδιδάσκων, εἰπών· «ἐν ἀρχῇ ἐποίησε»· τουτέςιν, ἐν ἀρχῇ ταύτῃ τῇ κατὰ χρόνον. Οὐ γὰρ δὴ κατὰ πρεσβυγένειαν πάντων τῶν γενομένων προέχειν αὐτὸν μαρτυρῶν λέγει ἐν ἀρχῇ γεγονέναι, ἀλλὰ μετὰ τὰ ἀόρατα καὶ νοούμενα τῶν ὁρατῶν τούτων καὶ αἰσθήσει ληπτῶν τὴν ἀρχὴν τῆς ὑπάρξεως διηγεῖται.

---

[1]) Κολ. 1. 16.

Λέγεται μὲν οὖν ἀρχὴ καὶ ἡ πρώτη κίνησις· ὡς, «ἀρχὴ ὁδοῦ ἀγαθῆς τὸ ποιεῖν δίκαια» [1]· ἀπὸ γὰρ τῶν δικαίων πράξεων πρῶτον κινούμεθα πρὸς τὸν μακάριον βίον· λέγεται δὲ ἀρχὴ καὶ ὅθεν γίνεταί τι, τοῦ ἐνυπάρχοντος αὐτῷ ἑτέρου, ὡς ἐπὶ οἰκίας θεμέλιος, καὶ ἐπὶ πλοίου ἡ τρόπις, καθὸ εἴρηται· «ἀρχὴ σοφίας φόβος Κυρίου» [2]· οἷον γὰρ κρηπὶς καὶ βάθρον πρὸς τὴν τελείωσιν ἡ εὐλάβεια. Ἀρχὴ δὲ καὶ τῶν τεχνικῶν ἔργων ἡ τέχνη· ὡς ἡ σοφία Βεσελεὴλ, τοῦ περὶ τὴν σκηνὴν κόσμου [3]. Ἀρχὴ δὲ πράξεων πολλάκις καὶ τὸ εὔχρηστον τέλος τῶν γινομένων· ὡς τῆς ἐλεημοσύνης ἡ παρὰ Θεοῦ ἀποδοχὴ, καὶ πάσης τῆς κατ' ἀρετὴν ἐνεργείας τὸ ἐν ἐπαγγελίαις ἀποκείμενον τέλος.

6. Τοσαυταχῶς οὖν λεγομένης τῆς ἀρχῆς, σκόπει εἰ μὴ πᾶσι τοῖς σημαινομένοις ἡ παροῦσα φωνὴ ἐφαρμόσει. Καὶ γὰρ ἀφ' οὗ χρόνου ἤρξατο ἡ τοῦ κόσμου τούτου σύστασις, δυνατόν σοι μαθεῖν, ἐάν γε, ἐκ τοῦ παρόντος εἰς τὸ κατόπιν ἀναποδίζων, φιλονεικήσῃς εὑρεῖν τὴν πρώτην ἡμέραν τῆς τοῦ κόσμου γενέσεως. Εὑρήσεις γὰρ οὕτως, πόθεν τῷ χρόνῳ ἡ πρώτη κίνησις· ἔπειτα, ὅτι καὶ οἱονεὶ θεμέλιοί τινες καὶ κρηπῖδες προκατεβλήθησαν ὁ οὐρανὸς καὶ ἡ γῆ· εἶτα, ὅτι ἐστί τις τεχνικὸς λόγος ὁ καθηγησάμενος τῆς τῶν ὁρωμένων διακοσμήσεως, ὡς ἐνδείκνυταί σοι ἡ φωνὴ τῆς ἀρχῆς· καὶ τὸ μὴ εἰκῆ μηδὲ μάτην, ἀλλὰ πρός τι τέλος ὠφέλιμον καὶ μεγάλην χρείαν τοῖς οὖσι συνεισφερόμενον ἐπινενοῆσθαι τὸν κόσμον, εἴπερ τῷ ὄντι ψυχῶν λογικῶν διδασκαλεῖον καὶ θεογνωσίας ἐστὶ παιδευτήριον, διὰ τῶν ὁρωμένων καὶ αἰσθητῶν χειραγωγίαν τῷ νῷ παρεχόμενος πρὸς τὴν θεωρίαν τῶν ἀοράτων, καθά φησιν ὁ Ἀπόστολος, ὅτι «τὰ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται» [4]. Ἢ τάχα διὰ τὸ ἀκαριαῖον καὶ ἄχρονον τῆς δημιουργίας εἴρηται τὸ «ἐν ἀρχῇ ἐποίησεν», ἐπειδὴ ἀμερές τι καὶ ἀδιάστατον ἡ ἀρχή. Ὡς γὰρ ἡ ἀρχὴ τῆς ὁδοῦ οὔπω ὁδὸς, καὶ ἡ ἀρχὴ τῆς οἰκίας οὐκ οἰκία, οὕτω καὶ ἡ τοῦ χρόνου ἀρχὴ οὔπω χρόνος, ἀλλ' οὐδὲ μέρος αὐτοῦ τὸ ἐλάχιστον. Εἰ δὲ φιλονεικῶν τις χρόνον εἶναι λέγοι τὴν ἀρχὴν, γινωσκέτω, ὅτι διαιρήσει αὐτὴν εἰς τὰ τοῦ χρόνου

---

[1]) Прит. 16. 5. [2]) Прич. 1. 7. [3]) Исх. 35. 30, 31. [4]) Римл. 1. 20.

μέρη· ταῦτα δέ ἐςιν ἀρχὴ, καὶ μέσα, καὶ τελευτή. Ἀρχὴν δὲ ἀρχῆς ἐπινοεῖν παντελῶς καταγέλαςον· καὶ ὁ διχοτομῶν τὴν ἀρχὴν δύο ποιήσει ἀντὶ μιᾶς, μᾶλλον δὲ πολλὰς καὶ ἀπείρους, τοῦ διαιρεθέντος ἀεὶ εἰς ἕτερα τεμνομένου. Ἵνα τοίνυν διδαχθῶμεν ὁμοῦ τῇ βουλήσει τοῦ Θεοῦ ἀχρόνως συνυφεςάναι τὸν κόσμον, εἴρηται τὸ «ἐν ἀρχῇ ἐποίησεν». Ὅπερ ἕτεροι τῶν ἑρμηνευτῶν [1]), σαφέςερον τὸν νοῦν ἐκδιδόντες, εἰρήκασιν· «ἐν κεφαλαίῳ ἐποίησεν ὁ Θεός», τουτέςιν, ἀθρόως καὶ ἐν ὀλίγῳ. Τὰ μὲν οὖν περὶ ἀρχῆς, ὡς ὀλίγα ἀπὸ πολλῶν εἰπεῖν, ἐπὶ τοσοῦτον.

7. Ἐπειδὴ δὲ καὶ τῶν τεχνῶν αἱ μὲν ποιητικαὶ λέγονται, αἱ δὲ πρακτικαὶ, αἱ δὲ θεωρητικαί· καὶ τῶν μὲν θεωρητικῶν τέλος ἐςὶν ἡ κατὰ νοῦν ἐνέργεια, τῶν δὲ πρακτικῶν αὐτὴ ἡ τοῦ σώματος κίνησις, ἧς παυσαμένης οὐδὲν ὑπέςη οὐδὲ παρέμεινε τοῖς ὁρῶσιν· ὀρχήσεως γὰρ καὶ αὐλητικῆς τέλος οὐδὲν, ἀλλ' αὐτὴ εἰς ἑαυτὴν ἡ ἐνέργεια καταλήγει· ἐπὶ δὲ τῶν ποιητικῶν τεχνῶν, καὶ παυσαμένης τῆς ἐνεργείας, προκείμενόν ἐςι τὸ ἔργον· ὡς οἰκοδομικῆς καὶ τεκτονικῆς καὶ χαλκευτικῆς καὶ ὑφαντικῆς, καὶ ὅσαι τοιαῦται, αἳ, κἂν μὴ παρῇ ὁ τεχνίτης, ἱκανῶς ἐν ἑαυταῖς τοὺς τεχνικοὺς λόγους ἐμφαίνουσι, καὶ ἔξεςί σοι θαυμάσαι τὸν οἰκοδόμον ἀπὸ τοῦ ἔργου, καὶ τὸν χαλκέα καὶ τὸν ὑφάντην [2]). Ἵνα οὖν δειχθῇ, ὅτι ὁ κόσμος τεχνικόν ἐςι κατασκεύασμα, προκείμενον πᾶσιν εἰς θεωρίαν, ὥςε δι' αὐτοῦ τὴν τοῦ ποιήσαντος αὐτὸν σοφίαν ἐπιγινώσκεσθαι, οὐκ ἄλλῃ τινὶ φωνῇ ἐχρήσατο ὁ σοφὸς Μωϋσῆς περὶ αὐτοῦ, ἀλλ' εἶπεν· «ἐν ἀρχῇ ἐποίησεν»· οὐχὶ ἐνήργησεν, οὐδὲ ὑπέςησεν, ἀλλὰ «ἐποίησεν». Καὶ καθότι πολλοὶ τῶν φαντασθέντων συνυπάρχειν ἐξ ἀϊδίου τῷ Θεῷ τὸν κόσμον, οὐχὶ γεγενῆσθαι παρ' αὐτοῦ συνεχώρησαν, ἀλλ' οἱονεὶ ἀποσκίασμα τῆς δυνάμεως αὐτοῦ ὄντα αὐτομάτως παρυποςῆναι· καὶ αἴτιον μὲν αὐτοῦ ὁμολογοῦσι τὸν Θεὸν, αἴτιον δὲ ἀπροαιρέτως, ὡς τῆς σκιᾶς τὸ σῶμα καὶ τῆς λαμπηδόνος τὸ ἀπαυγάζον·

---

[1]) Именно Аквила, Іудейскій прозелитъ, родомъ изъ Синопа, жившій въ 2 вѣкѣ по Р. Хр. и переведшій книги св. Писанія ветхаго завѣта на греческій языкъ. См. Іеронима, Epist. ad Pammach, c. II.

[2]) Глаголы ποιέω (творю) и πράττω (дѣлаю) и происходящія отъ нихъ прилагательныя здѣсь различаются только по ихъ послѣдствіямъ и притомъ въ отношеніи къ искуствамъ.

τὴν οὖν τοιαύτην ἀπάτην ἐπανορθούμενος ὁ προφήτης, τῇ ἀκριβείᾳ ταύτῃ τῶν ῥημάτων ἐχρήσατο εἰπών· «ἐν ἀρχῇ ἐποίησεν ὁ Θεός». Οὐχὶ αὐτὸ τοῦτο [1]) τὴν αἰτίαν τοῦ εἶναι παρέσχεν, ἀλλ' ἐποίησεν ὡς ἀγαθὸς τὸ χρήσιμον, ὡς σοφὸς τὸ κάλλιςον, ὡς δυνατὸς τὸ μέγιςον. Μόνον γὰρ οὐχὶ τεχνίτην σοι ἔδειξεν ἐμβεβηκότα τῇ οὐσίᾳ τῶν ὅλων, καὶ τὰ καθ' ἕκαςον μέρη πρὸς ἄλληλα συναρμόζοντα, καὶ τὸ πᾶν ὁμόλογον ἑαυτῷ καὶ σύμφωνον καὶ ἐναρμονίως ἔχον ἀποτελοῦντα. «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν». Ἐκ δύο τῶν ἄκρων τοῦ παντὸς τὴν ὕπαρξιν παρῃνίξατο, τῷ μὲν οὐρανῷ τὰ πρεσβεῖα τῆς γενέσεως ἀποδούς, τὴν δὲ γῆν δευτερεύειν φάμενος τῇ ὑπάρξει. Πάντως δὲ καὶ εἴ τι τούτων μέσον, συναπεγενήθη τοῖς πέρασιν. Ὥςε κἂν μηδὲν εἴπῃ περὶ τῶν ςοιχείων, πυρός, καὶ ὕδατος, καὶ ἀέρος, ἀλλὰ σὺ τῇ παρὰ σαυτοῦ συνέσει νόει, πρῶτον μὲν ὅτι πάντα ἐν πᾶσι μέμικται, καὶ ἐν γῇ εὑρήσεις καὶ ὕδωρ, καὶ ἀέρα, καὶ πῦρ, εἴγε ἐκ λίθων μὲν πῦρ ἐξάλλεται, ἐκ σιδήρου δέ, ὃς καὶ αὐτὸς ἀπὸ γῆς ἔχει τὴν γένεσιν, πῦρ ἄφθονον ἐν ταῖς παρατρίψεσι πέφυκεν ἀπολάμπειν. Ὃ καὶ θαυμάσαι ἄξιον, πῶς ἐν μὲν τοῖς σώμασιν ὑπάρχον τὸ πῦρ ἀβλαβῶς ἐμφωλεύει· προκληθὲν δὲ ἐπὶ τὸ ἔξω δαπανητικόν ἐςι τῶν φυλασσόντων τέως. Τὴν δὲ τοῦ ὕδατος φύσιν ἐνυπάρχουσαν τῇ γῇ οἱ φρεωρύχοι δεικνύουσι· καὶ τὴν τοῦ ἀέρος οἱ ἀπὸ νενοτισμένης αὐτῆς ἀτμοὶ ὑπὸ ἡλίου θαλφθείσης ἀναπεμπόμενοι. Ἔπειτα μέντοι καὶ εἰ φύσει τὸν ἄνω τόπον ὁ οὐρανὸς ἐπέχει, ἡ δὲ γῆ τὸ κατώτατόν ἐςι· διότι ἐπὶ μὲν τὸν οὐρανὸν τὰ κοῦφα φέρεται, ἐπὶ δὲ τὴν γῆν τὰ βαρέα πέφυκε καταῤῥέπειν, ἐναντιώτατα δὲ ἀλλήλοις τὸ ἄνω καὶ τὸ κάτω· ὁ τῶν πλεῖςον διεςώτων κατὰ τὴν φύσιν ἐπιμνησθείς, καὶ τὰ τὴν μέσην τούτοις ἐκπληροῦντα χώραν συνεκδοχικῶς παρεσήμανεν. Ὥςε μὴ ζήτει τὴν τῶν καθ' ἕκαςον ἐπεξήγησιν, ἀλλὰ τὰ σιωπηθέντα νόει διὰ τῶν δηλωθέντων.

8. «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν». Ἡ περὶ τῆς οὐσίας ἔρευνα ἑκάςου τῶν ὄντων, ἢ τῶν κατὰ θε-

---

[1]) Οὐχὶ αὐτὸ τοῦτο;—выражается то, что Богъ былъ для міра не причиною только бытія, подобно вышесказаннымъ причинамъ тѣни и сіянія.

ωρίαν ὑποπιπτόντων ἡμῖν, ἢ τῶν προκειμένων ἡμῶν τῇ αἰσθήσει, μακρὸν καὶ ἀπηρτημένον λόγον ἐπεισάγει τῇ ἐξηγήσει, ὡς πλείονας ἐν τῇ περὶ τοῦ προβλήματος [1]) τούτου σκέψει καταναλίσκεσθαι λόγους τῶν λοιπῶν, ὅσα ἐνδέχεται ῥηθῆναι περὶ ἑκάστου τῶν ζητουμένων· πρὸς τὸ, μηδὲ προὔργου τι εἶναι εἰς τὴν τῆς Ἐκκλησίας οἰκοδομὴν τὸ περὶ ταῦτα κατασχολεῖσθαι. Ἀλλὰ περὶ μὲν τῆς οὐσίας τοῦ οὐρανοῦ ἀρκούμεθα τοῖς παρὰ τοῦ Ἡσαΐου εἰρημένοις, ὃς ἐν ἰδιωτικοῖς ῥήμασιν ἱκανὴν ἡμῖν τῆς φύσεως αὐτοῦ τὴν διάνοιαν ἐνεποίησεν, εἰπών· «ὁ στερεώσας τὸν οὐρανὸν ὡσεὶ καπνὸν» [2])· τουτέστι, λεπτὴν φύσιν καὶ οὐ στερεὰν οὐδὲ παχεῖαν εἰς τὴν τοῦ οὐρανοῦ σύστασιν οὐσιώσας. Καὶ περὶ τοῦ σχήματος δὲ ἱκανὰ ἡμῖν τὰ παρ' αὐτοῦ, εἰπόντος ἐν δοξολογίᾳ Θεοῦ· «ὁ στήσας τὸν οὐρανὸν ὡσεὶ καμάραν» [3]). Τὰ αὐτὰ δὲ ταῦτα καὶ περὶ τῆς γῆς συμβουλεύωμεν ἑαυτοῖς, μὴ πολυπραγμονεῖν αὐτῆς τὴν οὐσίαν ἥτις ποτέ ἐστι, μηδὲ κατατρίβεσθαι τοῖς λογισμοῖς αὐτὸ τὸ ὑποκείμενον ἐκζητοῦντας, μηδὲ ζητεῖν τινα φύσιν ἔρημον ποιοτήτων, ἄποιον ὑπάρχουσαν τῷ ἑαυτῆς λόγῳ, ἀλλ' εὖ εἰδέναι, ὅτι πάντα τὰ περὶ αὐτὴν θεωρούμενα εἰς τὸν τοῦ εἶναι κατατέτακται λόγον, συμπληρωτικὰ τῆς οὐσίας ὑπάρχοντα. Εἰς οὐδὲν γὰρ καταλήξεις, ἑκάστην τῶν ἐνυπαρχουσῶν αὐτῇ ποιοτήτων ὑπεξαιρεῖσθαι τῷ λόγῳ πειρώμενος. Ἐὰν γὰρ ἀποστήσῃς τὸ μέλαν, τὸ ψυχρὸν, τὸ βαρὺ, τὸ πυκνὸν, τὰς κατὰ γεῦσιν ἐνυπαρχούσας αὐτῇ ποιότητας, ἢ εἴ τινες ἄλλαι περὶ αὐτὴν θεωροῦνται, οὐδὲν ἔσται τὸ ὑποκείμενον. Ταῦτά τε οὖν καταλιπόντα σε, μηδὲ ἐκεῖνο ζητεῖν παραινῶ, ἐπὶ τίνος ἕστηκεν. Ἰλιγγιάσει γὰρ καὶ οὕτως ἡ διάνοια, πρὸς οὐδὲν ὁμολογούμενον πέρας διεξιόντος τοῦ λογισμοῦ. Ἐάν τε γὰρ ἀέρα φῇς ὑπεστρῶσθαι πλάτει τῆς γῆς, ἀπορήσεις, πῶς ἡ μαλθακὴ καὶ πολύκενος φύσις ἀντέχει ὑπὸ τοσούτου βάρους συνθλιβομένη, ἀλλ' οὐχὶ διολισθαίνει πάντοθεν τὴν συνίζησιν ὑποφεύγουσα, καὶ ἀεὶ πρὸς τὸ ἄνω ὑπερχεομένη τοῦ συμπιέζοντος. Πάλιν, ἐὰν ὑποθῇς ἑαυτῷ ὕδωρ εἶναι τὸ ὑποβεβλημένον τῇ γῇ, καὶ οὕτως ἐπιζητήσεις, πῶς τὸ βαρὺ καὶ πυκνὸν οὐ διαδύνει

---

[1]) Πρόβλημα, problema; задача для рѣшенія, предметъ подлежащій изслѣдованію.

[2]) Иса. 51. 6. [3]) Иса. 40. 22.

τοῦ ὕδατος, ἀλλ᾽ ὑπὸ τῆς ἀσθενεστέρας φύσεως τὸ τοσοῦτον ὑπερφέρον τῷ βάρει κρατεῖται· πρὸς τὸ, καὶ αὐτοῦ τοῦ ὕδατος τὴν ἕδραν ἐπιζητεῖν καὶ πάλιν διαπορεῖν, τίνι στεγανῷ καὶ ἀντερείδοντι ὁ τελευταῖος αὐτοῦ πυθμὴν ἐπιβαίνει.

9. Ἐὰν δὲ ἕτερον σῶμα τῆς γῆς ἐμβριθέστερον ὑποθῇ κωλύειν τὴν γῆν πρὸς τὸ κάτω χωρεῖν, ἐνθυμηθήσῃ κἀκεῖνο ὁμοίου τινὸς δεῖσθαι τοῦ στέγοντος καὶ μὴ ἐῶντος αὐτὸ καταπίπτειν. Κἂν τι δυνηθῶμεν ἐκείνῳ συμπλάσαντες ὑποθεῖναι, τὸ ἐκείνου πάλιν ἀντέρεισμα ὁ νοῦς ἡμῶν ἐπιζητήσει, καὶ οὕτως εἰς ἄπειρον ἐκπεσούμεθα, τοῖς ἀεὶ εὑρισκομένοις βάθροις ἕτερα πάλιν ἐπινοοῦντες. Καὶ ὅσῳ ἐπὶ πλεῖον τῷ λόγῳ προΐεμεν, τοσούτῳ μείζονα τὴν συνερειστικὴν ἀναγκαζόμεθα δύναμιν ὑπεισάγειν, ἢ πρὸς ὅλον ὁμοῦ δυνήσεται τὸ ὑπερκείμενον ἀντιβαίνειν. Διὰ τοῦτο ὅρους ἐπίθες τῇ διανοίᾳ, μήποτέ σου τῆς πολυπραγμοσύνης ὁ τοῦ Ἰὼβ λόγος καθάψηται περισκοποῦντας τὰ ἀκατάληπτα, καὶ ἐρωτηθῇς παρ᾽ αὐτοῦ καὶ σύ· «ἐπὶ τίνος οἱ κρίκοι αὐτῆς πεπήγασιν» [1]). Ἀλλὰ κἂν ποτε ἐν ψαλμοῖς ἀκούσῃς· «Ἐγὼ ἐστερέωσα τοὺς στύλους αὐτῆς» [2]), τὴν συνεκτικὴν αὐτῆς δύναμιν στύλους εἰρῆσθαι νόμισον. Τὸ γὰρ «ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτήν» [3]), τί δηλοῖ, ἢ τὸ πάντοθεν περικεχύσθαι τῇ γῇ τὴν τοῦ ὕδατος φύσιν; πῶς οὖν ῥυτὸν ὑπάρχον τὸ ὕδωρ καὶ ἐπὶ τὸ πρανὲς πεφυκὸς καταπίπτειν, μένει ἀπαιωρούμενον καὶ οὐδαμοῦ ἀποῤῥέον; σὺ δὲ οὐ λογίζῃ, ὅτι τὴν αὐτὴν ἢ καὶ ἔτι πλείονα ἀπορίαν τῷ λόγῳ παρέχει ἡ γῆ καθ᾽ ἑαυτὴν κρεμαμένη, βαρυτέρα τὴν φύσιν οὖσα. Ἀλλὰ ἀνάγκη, κἂν γῆν καθ᾽ ἑαυτὴν εἶναι δῶμεν, κἂν ἐπὶ τοῦ ὕδατος αὐτὴν ἀποσαλεύειν εἴπωμεν, μηδαμοῦ ἀναχωρεῖν τῆς εὐσεβοῦς διανοίας, ἀλλὰ πάντα ὁμοῦ συγκρατεῖσθαι ὁμολογεῖν τῇ δυνάμει τοῦ κτίσαντος. Ταῦτα οὖν χρὴ ἑαυτοῖς τε λέγειν καὶ τοῖς διερωτῶσιν ἡμᾶς, ἐπὶ τίνος τὸ ἄπλετον τοῦτο καὶ ἀφόρητον τῆς γῆς ἐρήρεισται βάρος, ὅτι «ἐν τῇ χειρὶ τοῦ Θεοῦ τὰ πέρατα τῆς γῆς» [4]). Τοῦτο ἀσφαλέστατον ἡμῖν πρὸς νόησιν καὶ ὠφέλιμον τοῖς ἀκούουσιν.

10. Ἤδη δέ τινες τῶν φυσικῶν καὶ τοιαύταις αἰτίαις τὴν

---

[1]) Іов. 38. 6. [2]) Пс. 74. 4. [3]) Пс. 23. 2. [4]) Пс. 94. 4.

γῆν ἀκίνητον μένειν καταχομψεύονται. Ὡς ἄρα διὰ τὸ τὴν μέσην τοῦ παντὸς εἰληφέναι χώραν, καὶ διὰ τὴν ἴσην πάντοθεν πρὸς τὸ ἄκρον ἀπόςασιν, οὐ ἔχουσαν ὅπου μᾶλλον ἀποκλιθῇ, ἀναγκαίως μένειν ἐφ' εαυτῆς, ἀδύνατον αὐτῇ παντελῶς τὴν ἐπί τι ῥοπὴν τῆς πανταχόθεν περικειμένης ὁμοιότητος ἐμποιούσης. Τὴν δὲ μέσην χώραν μὴ ἀποκληρωτικῶς τὴν γῆν, μηδὲ ἐκ τοῦ αὐτομάτου λαχεῖν, ἀλλὰ φυσικὴν εἶναι ταύτην τῇ γῇ καὶ ἀναγκαίαν τὴν θέσιν. Τοῦ γὰρ οὐρανίου σώτατος τὴν ἐσχάτην χώραν ὡς πρὸς τὸ ἄνω κατέχοντος, ἅπερ ἂν, φησιν, ὑποθώμεθα βάρη ἐκπίπτειν ἀπὸ τῶν ἄνω, ταῦτα πανταχόθεν ἐπὶ τὸ μέσον συνενεχθήσεται. Ἐφ' ὅπερ δ' ἂν τὰ μέρη φέρηται, ἐπὶ τοῦτο καὶ τὸ ὅλον συνωσθήσεται δηλονότι. Εἰ δὲ λίθοι και ξύλα καὶ τὰ γεηρὰ πάντα φέρεται πρὸς τὸ κάτω, αὕτη ἂν εἴη καὶ τῇ ὅλῃ γῇ οἰκεία καὶ προσήκουσα θέσις· κἂν τι τῶν κούφων φέρηται ἀπὸ τοῦ μέσου, δηλονότι πρὸς τὸ ἀνώτατον κινηθήσεται. Ὥςε οἰκεία φορὰ τοῖς βαρυτάτοις ἡ πρὸς τὸ κάτω· κάτω δὲ ὁ λόγος μέσον ἔδειξε. Μὴ οὖν θαυμάσῃς, εἰ μηδαμοῦ ἐκπίπτει ἡ γῆ, τὴν κατὰ φύσιν χώραν τὸ μέσον ἔχουσα. Πᾶσα γὰρ ἀνάγκη μένειν αὐτὴν κατὰ χώραν, ἢ παρὰ φύσιν κινουμένην τῆς οἰκείας ἕδρας ἐξίςασθαι. Τούτων δ' ἄν σοι δοκῇ τι πιθανὸν εἶναι τῶν εἰρημένων, ἐπὶ τὴν οὕτω ταῦτα διαταξαμένην τοῦ Θεοῦ σοφίαν μετάθες τὸ θαῦμα. Οὐ γὰρ ἐλαττοῦται ἡ ἐπὶ τοῖς μεγίςοις ἔκπληξις, ἐπειδὰν ὁ τρόπος καθ' ὃν γίνεταί τι τῶν παραδόξων ἐξευρεθῇ· εἰ δὲ μη, ἀλλὰ τό γε ἁπλοῦν τῆς πίςεως ἰσχυρότερον ἔςω τῶν λογικῶν ἀποδείξεων.

11. Τὰ αὐτὰ δὲ ταῦτα καὶ περὶ οὐρανοῦ εἴποιμεν, ὅτι πολυφωνόταται πραγματεῖαι τοῖς σοφοῖς τοῦ κόσμου περὶ τῆς οὐρανίου φύσεως καταβέβληνται. Καὶ οἱ μὲν σύνθετον αὐτὸν ἐκ τῶν τεσσάρων ςοιχείων εἰρήκασιν, ὡς ἁπτὸν ὄντα καὶ ὁρατὸν, καὶ μετέχοντα γῆς μὲν διὰ τὴν ἀντιτυπίαν, πυρὸς δὲ διὰ τὸ καθορᾶσθαι, τῶν δὲ λοιπῶν διὰ τὴν μῖξιν· οἱ δὲ τοῦτον ὡς ἀπίθανον παρωσάμενοι τὸν λόγον, πέμπτην τινὰ σώματος φύσιν εἰς οὐρανοῦ σύςασιν οἴκοθεν καὶ παρ' εαυτῶν ἀποσχεδιάσαντες ἐπεισήγαγον. Καὶ ἔςι τι παρ' αὐτοῖς τὸ αἰθέριον σῶμα, ὃ μήτε πῦρ, φασι, μήτε ἀὴρ, μήτε γῆ, μήτε ὕδωρ, μήτε ὅλως ὅπερ ἓν τῶν ἁπλῶν·

διότι τοῖς μὲν ἁπλοῖν οἰκεία κίνησις ἡ ἐπ' εὐθείας, τῶν μὲν κούφων ἐπὶ τὸ ἄνω φερομένων, τῶν δὲ βαρέων ἐπὶ τὸ κάτω· οὔτε δὲ τὸ ἄνω καὶ τὸ κάτω τῇ κυκλικῇ περιδινήσει ταὐτό [1]· καὶ ὅλως τὴν εὐθείαν πρὸς τὴν ἐν τῷ κύκλῳ περιφορὰν πλείστην ἀπόστασιν ἔχειν· ὧν δὲ αἱ κατὰ φύσιν κινήσεις παρηλλαγμέναι τυγχάνουσι, τούτων ἀνάγκη, φασί, παρηλλάχθαι καὶ τὰς οὐσίας. Ἀλλὰ μὴν οὐδὲ ἐκ τῶν πρώτων σωμάτων, ἃ δὴ στοιχεῖα καλοῦμεν, σύνθετον εἶναι δυνατὸν ἡμῖν ὑποθέσθαι τὸν οὐρανὸν, τῷ τὰ ἐκ διαφόρων συγκείμενα μὴ δύνασθαι ὁμαλὴν καὶ ἀβίαστον ἔχειν τὴν κίνησιν, ἑκάστου τῶν ἐνυπαρχόντων ἁπλῶν τοῖς συνθέτοις ἄλλην καὶ ἄλλην ὁρμὴν παρὰ τῆς φύσεως ἔχοντος. Διὸ πρῶτον μὲν καμάτῳ συνέχεται ἐν τῇ συνεχεῖ κινήσει τὰ σύνθετα, διὰ τὸ μίαν κίνησιν μὴ δύνασθαι πᾶσιν εὐάρμοστον εἶναι καὶ φίλην τοῖς ἐναντίοις, ἀλλὰ τὴν τῷ κούφῳ οἰκείαν πολεμίαν εἶναι τῷ βαρυτάτῳ. Ὅταν μὲν γὰρ πρὸς τὰ ἄνω κινώμεθα, βαρυνόμεθα τῷ γεώδει· ὅταν δὲ πρὸς τὰ κάτω φερώμεθα, βιαζόμεθα τὸ πυρῶδες, παρὰ φύσιν αὐτὸ πρὸς τὸ κάτω καθέλκοντες. Ἡ δὲ πρὸς τὰ ἐναντία διολκὴ τῶν στοιχείων διαπτώσεώς ἐστιν ἀφορμή. Τὸ γὰρ ἠναγκασμένον καὶ παρὰ φύσιν, ἐπ' ὀλίγον ἀντισχὸν, καὶ τοῦτο βιαίως καὶ μόλις, ταχὺ διελύθη εἰς τὰ ἐξ ὧν συνετέθη, ἑκάστου τῶν συνελθόντων πρὸς τὴν οἰκείαν χώραν ἐπανιόντος. Διὰ μὲν δὴ ταύτας, ὥς φασι, τῶν λογισμῶν τὰς ἀνάγκας, τοὺς τῶν προαγόντων ἀθετήσαντες λόγους, οἰκείας ὑποθέσεως ἐδεήθησαν οἱ πέμπτην σώματος φύσιν εἰς τὴν οὐρανοῦ καὶ τῶν κατ' αὐτὸν ἀστέρων γένεσιν ὑποτιθέμενοι. Ἄλλος δέ τις τῶν σφριγώντων κατὰ πιθανολογίαν ἐπαναστὰς πάλιν τούτοις, ταῦτα μὲν διέχεε καὶ διέλυσεν, οἰκείαν δὲ παρ' ἑαυτοῦ ἀντεισήγαγε δόξαν. Περὶ ὧν νῦν λέγειν ἐπιχειροῦντες, εἰς τὴν ὁμοίαν αὐτοῖς ἀδολεσχίαν ἐμπεσούμεθα. Ἀλλ' ἡμεῖς ἐκείνους ὑπ' ἀλλήλων ἐάσαντες καταβάλλεσθαι, αὐτοὶ τοῦ περὶ τῆς οὐσίας ἀφέμενοι λόγου, πεισθέντες Μωϋσεῖ, ὅτι «ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν», τὸν ἀριστοτέχνην τῶν σοφῶς καὶ ἐντέχνως γενομένων δοξάσωμεν, καὶ ἐκ τοῦ κάλλους τῶν ὁρωμένων τὸν ὑπέρκαλον ἐννοώμεθα, καὶ ἐκ τοῦ

---

[1]) Οὔτε ταὐτό, τ. ε. εἶναι.

μεγέθους τῶν αἰσθητῶν τούτων καὶ περιγραπτῶν σωμάτων ἀναλογιζώμεθα τὸν ἄπειρον καὶ ὑπερμεγέθη καὶ πᾶσαν διάνοιαν ἐν τῷ πλήθει τῆς ἑαυτοῦ δυνάμεως ὑπερβαίνοντα. Καὶ γὰρ εἰ καὶ τὴν φύσιν ἀγνοοῦμεν τῶν γενομένων, ἀλλὰ τό γε ὁλοσχερῶς ὑποπῖπτον ἡμῶν τῇ αἰσθήσει τοσοῦτον ἔχει τὸ θαῦμα, ὥςε καὶ τὸν ἐντρεχέςατον νοῦν ἐλάττονα ἀναφανῆναι τοῦ ἐλαχίςου τῶν ἐν τῷ κόσμῳ, πρὸς τὸ ἢ δυνηθῆναι αὐτὸ κατ᾽ ἀξίαν ἐπεξελθεῖν, ἢ τὸν ὀφειλόμενον ἔπαινον ἀποπληρῶσαι τῷ κτίσαντι· ᾧ πᾶσα δόξα, τιμὴ καὶ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

## ΟΜΙΛΙΑ Β'.

## Глав. 1—8.

Ἀόρατος ἦν ἡ γῆ καὶ ἀκατασκεύαςος [1]).

1. Μικροῖς ἕωθεν [2]) ἐνδιατρίψαντες ῥήμασι, τοσοῦτον ἀποκεκρυμμένον τὸ βάθος τῆς διανοίας εὕρομεν, ὥςε τῶν ἐφεξῆς παντελῶς ἀπογνῶναι. Εἰ γὰρ τὰ προαύλια τῶν ἁγίων τοιαῦτα, καὶ τὰ προπύλαια τοῦ ναοῦ οὕτω σεμνὰ καὶ ὑπέρογκα τῇ ὑπερβολῇ τοῦ κάλλους τοὺς ὀφθαλμοὺς τῆς διανοίας ἡμῶν περιαςράπτοντα, ποταπὰ τὰ Ἅγια τῶν ἁγίων; καὶ τίς ἱκανὸς κατατολμῆσαι τῶν ἀδύτων; ἢ τίς ἐπόψεται τὰ ἀπόρρητα; ἀπρόσιτος μὲν γὰρ αὐτῶν καὶ ἡ θέα, δυσερμήνευτος δὲ παντελῶς τῶν νοηθέντων ὁ λόγος. Πλὴν ἀλλ᾽ ἐπειδὴ παρὰ τῷ δικαίῳ κριτῇ, καὶ ὑπὲρ μόνου τοῦ προελέσθαι τὰ δέοντα, οὐκ εὐκαταφρόνητοί εἰσιν ἀφωρισμένοι μισθοί, μὴ ἀποκνήσωμεν πρὸς τὴν ἔρευναν. Εἰ γὰρ καὶ τῆς ἀξίας ἀπολειπόμεθα, ἀλλ᾽ ἐὰν τοῦ βουλήματος τῆς γραφῆς μὴ ἐκπέσωμεν τῇ βοηθείᾳ τοῦ Πνεύματος, καὶ αὐτοὶ οὐκ ἀπό-

---

[1]) Быт. 1. 2.

[2]) Ἕωθεν—поутру—выражаетъ то, что св. Василій говорилъ обѣ бесѣды въ одинъ день, первую утромъ, а вторую вечеромъ. Это было въ св. четыредесятницу, а въ которомъ году, неизвѣстно.

βλητοι παντελῶς χρῃσόμεθα, καὶ τῇ συνεργίᾳ τῆς χάριτος οἰκοδομήν τινα τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ παρεξόμεθα. «Ἡ δὲ γῆ ἦν, φησιν, «ἀόρατος καὶ ἀκατασκεύαστος». Πῶς ἀμφοτέρων ὁμοτίμως γενομένων οὐρανοῦ καὶ γῆς, ὁ μὲν οὐρανὸς ἀπηρτίσθη, ἡ δὲ γῆ ἔτι ἀτελής ἐστι καὶ ἀνεξέργαστος; ἢ ὅλως, τί τὸ ἀκατάσκευον τῆς γῆς; καὶ διὰ ποίαν αἰτίαν ἀόρατος ἦν; ἔστι μὲν οὖν τελεία κατασκευὴ γῆς ἡ ἀπ᾽ αὐτῆς εὐθηνία· φυτῶν παντοδαπῶν βλαστήσεις· δένδρων ὑψηλοτάτων προβολαὶ καρπίμων τε καὶ ἀκάρπων· ἀνθῶν εὔχροιαι καὶ εὐωδίαι· καὶ ὅσα μικρὸν ὕστερον μέλλει τῷ προστάγματι τοῦ Θεοῦ ἐπανατείλαντα τῇ γῇ τὴν γεννησαμένην κατακοσμεῖν. Ὧν ἐπειδὴ οὐδὲν οὔπω ἦν, ἀκατάσκευον αὐτὴν εἰκότως ὁ λόγος ὠνόμασε. Τὰ αὐτὰ δὲ ταῦτα καὶ περὶ οὐρανοῦ εἴποιμεν· ὅτι οὐκ ἐξείργαστο οὔπω οὐδὲ αὐτὸς, οὐδὲ τὸν οἰκεῖον ἀπειλήφει κόσμον, ἅτε μήπω σελήνῃ μήτε ἡλίῳ περιλαμπόμενος, μηδὲ τοῖς χοροῖς τῶν ἄστρων κατεστεμμένος. Οὔπω γὰρ ταῦτα ἐγεγόνει. Ὥστε οὐχ ἁμαρτήσεις τῆς ἀληθείας, κἂν τὸν οὐρανὸν ἀκατάσκευον εἴπῃς. Ἀόρατον δὲ τὴν γῆν προσεῖπε διὰ δύο αἰτίας· ἢ ὅτι οὔπω ἦν αὐτῆς ὁ θεατὴς ἄνθρωπος, ἢ ὅτι ὑποβρύχιος οὖσα ἐκ τοῦ ἐπιπολάζοντος τῇ ἐπιφανείᾳ ὕδατος οὐκ ἠδύνατο καθορᾶσθαι. Οὔπω γὰρ ἦν συναχθέντα τὰ ὕδατα εἰς τὰ οἰκεῖα συστήματα, ἅπερ ὕστερον ὁ Θεὸς συναγαγὼν προσηγόρευσε θαλάσσας. Ἀόρατον οὖν τί ἐστι; τὸ μὲν, ὃ μὴ πέφυκεν ὀφθαλμοῖς σαρκὸς καθορᾶσθαι, ὡς ὁ νοῦς ὁ ἡμέτερος· τὸ δὲ, ὃ τῇ φύσει ὁρατὸν ὑπάρχον, διὰ τὴν ἐπιπρόσθεσιν τοῦ ἐπικειμένου αὐτῷ σώματος ἀποκρύπτεται, ὡς ὁ ἐν τῷ βυθῷ σίδηρος. Καθ᾽ ὃ σημαινόμενον νῦν ἀόρατον ἡγούμεθα προσειρῆσθαι τὴν γῆν καλυπτομένην ὑπὸ τοῦ ὕδατος. Ἔπειτα μέντοι, καὶ μήπω τοῦ φωτὸς γενηθέντος, οὐδὲν ἦν θαυμαστὸν τὴν ἐν σκότῳ κειμένην, διὰ τὸ ἀφώτιστον εἶναι τὸν ὑπὲρ αὐτῆς ἀέρα, ἀόρατον καὶ κατὰ τοῦτο παρὰ τῆς γραφῆς προσειρῆσθαι.

2. Ἀλλ᾽ οἱ παραχαράκται τῆς ἀληθείας, οἱ οὐχὶ τῇ γραφῇ τὸν ἑαυτῶν νοῦν ἀκολουθεῖν ἐκδιδάσκοντες, ἀλλὰ πρὸς τὸ οἰκεῖον βούλημα τὴν διάνοιαν τῶν γραφῶν διαστρέφοντες, τὴν ὕλην φασὶ διὰ τῶν λέξεων τούτων παραδηλοῦσθαι. Αὕτη γάρ, φασι, καὶ ἀόρατος τῇ φύσει καὶ ἀκατασκεύαστος, ἄποιος οὖσα τῷ ἑαυτῆς

λόγῳ [1]), καὶ παντὸς εἴδους καὶ σχήματος κεχωρισμένη, ἣν παραλαβὼν ὁ τεχνίτης τῇ ἑαυτοῦ σοφίᾳ ἐμόρφωσε καὶ εἰς τάξιν ἤγαγε, καὶ οὕτω δι' αὐτῆς οὐσίωσε τὰ ὁρώμενα. Εἰ μὲν οὖν ἀγέννητος αὕτη, πρῶτον μὲν ὁμότιμος τῷ Θεῷ, τῶν αὐτῶν πρεσβείων ἀξιουμένη. Οὗ τί ἂν γένοιτο ἀσεβέςερον, τὴν ἄποιον, τὴν ἀνείδεον, τὴν ἐσχάτην ἀμορφίαν, τὸ ἀδιατύπωτον αἶσχος (τοῖς γὰρ αὐτῶν ἐκείνων προσρήμασι κέχρημαι) τῆς αὐτῆς προεδρίας ἀξιοῦσθαι τῷ σοφῷ καὶ δυνατῷ καὶ παγκάλῳ δημιουργῷ καὶ κτιςῇ τῶν ὅλων; ἔπειτα εἰ μὲν τοσαύτη ἐςίν, ὥςε ὅλην ὑποδέχεσθαι τοῦ Θεοῦ τὴν ἐπιςήμην, καὶ οὕτω, τρόπον τινὰ, τῇ ἀνεξιχνιάςῳ τοῦ Θεοῦ δυνάμει ἀντιπαρεξάγουσιν αὐτῆς τὴν ὑπόςασιν, εἴπερ ἐξαρκεῖ ὅλην τοῦ Θεοῦ τὴν σύνεσιν δι' ἑαυτῆς ἐκμετρεῖν· εἰ δὲ ἐλάττων ἡ ὕλη τῆς τοῦ Θεοῦ ἐνεργείας, καὶ οὕτως εἰς ἀτοπωτέραν βλασφημίαν αὐτοῖς ὁ λόγος περιτραπήσεται, δι' ἔνδειαν ὕλης ἄπρακτον καὶ ἀνενέργητον τῶν οἰκείων ἔργων τὸν Θεὸν κατεχόντων. Ἀλλ' ἐξηπάτησε γὰρ αὐτοὺς τῆς ἀνθρωπίνης φύσεως ἡ πενία. Καὶ ἐπειδὴ παρ' ἡμῖν ἑκάςη τέχνη περί τινα ὕλην ἀφωρισμένως ἠσχόληται, οἷον χαλκευτικὴ μὲν περὶ τὸν σίδηρον, τεκτονικὴ δὲ περὶ τὰ ξύλα· καὶ ἐν τούτοις ἄλλο μέν τί ἐςι τὸ ὑποκείμενον, ἄλλο δὲ τὸ εἶδος, ἄλλο δὲ τὸ ἐκ τοῦ εἴδους ἀποτελούμενον· καὶ ἔςιν ἡ μὲν ὕλη ἔξωθεν παραλαμβανομένη, τὸ δὲ εἶδος παρὰ τῆς τέχνης ἐφαρμοζόμενον, ἀποτέλεσμα δὲ τὸ ἐξ ἀμφοῖν συντιθέμενον ἔκ τε τοῦ εἴδους καὶ τῆς ὕλης· οὕτως οἴονται καὶ ἐπὶ τῆς θείας δημιουργίας, τὸ μὲν σχῆμα τοῦ κόσμου παρὰ τῆς σοφίας ἐπῆχθαι τοῦ ποιητοῦ τῶν ὅλων, τὴν δὲ ὕλην ἔξωθεν ὑποβεβλῆσθαι τῷ κτίσαντι, καὶ γεγενῆσθαι τὸν κόσμον σύνθετον, τὸ μὲν ὑποκείμενον καὶ τὴν οὐσίαν ἑτέρωθεν ἔχοντα, τὸ δὲ σχῆμα καὶ τὴν μορφὴν παρὰ Θεοῦ προσλαβόντα. Ἐκ δὲ τούτου αὐτοῖς ὑπάρχει ἀρνεῖσθαι μὲν τὸν μέγαν Θεὸν τῆς συςάσεως τῶν ὄντων προεςηκέναι, οἷον δὲ ἐράνου τινὸς πληρωτὴν, ὀλίγην τινὰ μοῖραν εἰς τὴν τῶν ὄντων γένεσιν παρ' ἑαυτοῦ συμβεβλῆσθαι· οὐ δυνηθέντες διὰ λογισμῶν ταπεινότητα πρὸς τὸ

---

[1]) Τῷ ἑαυτῆς λόγῳ—**въ отношеніи къ себѣ, въ собственномъ своемъ состояніи, сама по себѣ.**

ὕψος ἀπιδεῖν τῆς ἀληθείας· ὅτι ἐνταῦθα μὲν αἱ τέχναι τῶν ὑλῶν ὕςεραι, διὰ τὸ ἀναγκαῖον τῆς χρείας παρεισαχθεῖσαι τῷ βίῳ. Τὸ μὲν γὰρ ἔριον προϋπῆρχεν, ἡ δὲ ὑφαντικὴ ἐπεγένετο, τὸ τῆς φύσεως ἐνδέον παρ' ἑαυτῆς ἐκπληροῦσα. Καὶ τὸ μὲν ξύλον ἦν, τεκτονικὴ δὲ παραλαβοῦσα, πρὸς τὴν ἐπιζητουμένην ἑκάςοτε χρείαν διαμορφοῦσα τὴν ὕλην, τὴν εὐχρηςίαν ἡμῖν τῶν ξύλων ὑπέδειξε, κώπην μὲν ναύταις, γεωργοῖς δὲ πτύον, ὁπλίταις δὲ δόρυ παρεχομένη. Ὁ δὲ Θεός, πρίν τι τῶν νῦν ὁρωμένων γενέσθαι, εἰς νοῦν βαλόμενος καὶ ὁρμήσας ἀγαγεῖν εἰς γένεσιν τὰ μὴ ὄντα, ὁμοῦ τε ἐνόησεν ὁποῖόν τινα χρὴ τὸν κόσμον εἶναι, καὶ τῷ εἴδει αὐτοῦ τὴν ἁρμόζουσαν ὕλην συναπεγέννησε. Καὶ οὐρανῷ μὲν ἀφώρισε τὴν οὐρανῷ πρέπουσαν φύσιν· τῷ δὲ τῆς γῆς σχήματι τὴν οἰκείαν αὐτῇ καὶ ὀφειλομένην οὐσίαν ὑπέβαλε. Πῦρ δὲ καὶ ὕδωρ καὶ ἀέρα διεσχημάτισέ τε ὡς ἐβούλετο, καὶ εἰς οὐσίαν ἤγαγεν ὡς ὁ ἑκάςου λόγος τῶν γινομένων ἀπῄτει. Ὅλον δὲ τὸν κόσμον ἀνομοιομερῆ τυγχάνοντα ἀρρήκτῳ τινὶ φιλίας δεσμῷ εἰς μίαν κοινωνίαν καὶ ἁρμονίαν συνέδησεν· ὥςε καὶ τὰ πλεῖςον ἀλλήλων τῇ θέσει διεςηκότα ἡνῶσθαι δοκεῖν διὰ τῆς συμπαθείας. Παυσάσθωσαν οὖν μυθικῶν πλασμάτων, ἐν τῇ ἀσθενείᾳ τῶν οἰκείων λογισμῶν τὴν ἀκατάληπτον διανοίᾳ καὶ ἄφατον παντελῶς ἀνθρωπίνῃ φωνῇ δύναμιν ἐκμετροῦντες.

3. «Ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν»· οὐκ ἐξ ἡμισείας ἑκάτερον, ἀλλ' ὅλον οὐρανὸν καὶ ὅλην γῆν, αὐτὴν τὴν οὐσίαν τῷ εἴδει συνειλημμένην. Οὐχὶ γὰρ σχημάτων ἐςὶν εὑρέτης, ἀλλ' αὐτῆς τῆς φύσεως τῶν ὄντων δημιουργός. Ἐπεὶ ἀποκρινέσθωσαν ἡμῖν, πῶς ἀλλήλοις συνέτυχον ἥ τε δραςικὴ τοῦ Θεοῦ δύναμις καὶ ἡ παθητικὴ φύσις τῆς ὕλης· ἡ μὲν τὸ ὑποκείμενον παρεχομένη χωρὶς μορφῆς, ὁ δὲ τῶν σχημάτων τὴν ἐπιςήμην ἔχων ἄνευ τῆς ὕλης, ἵν' ἑκατέρῳ τὸ ἐνδέον παρὰ θατέρου γένηται, τῷ μὲν δημιουργῷ τὸ ἔχειν ὅπου τὴν τέχνην ἐνεπιδείξηται, τῇ δὲ ὕλῃ τὸ ἀποθέσθαι τὴν ἀμορφίαν καὶ τοῦ εἴδους τὴν ςέρησιν. Ἀλλὰ περὶ μὲν τούτων ἐπὶ τοσοῦτον· πρὸς δὲ τὸ ἐξ ἀρχῆς ἐπανίωμεν. «Ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαςος». Εἰπών, «ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν», πολλὰ ἀπεσιώπησεν, ὕδωρ, ἀέρα, πῦρ, τὰ ἐκ τούτων ἀπογεννώμενα

πάθη [1]· ἃ πάντα μὲν ὡς συμπληρωτικὰ τοῦ κόσμου συνυπέςη τῷ παντὶ δηλονότι· παρέλιπε δὲ ἡ ἱςορία, τὸν ἡμέτερον νοῦν γυμνάζουσα πρὸς ἐντρέχειαν, ἐξ ὀλίγων ἀφορμῶν παρεχομένη ἐπιλογίζεσθαι τὰ λειπόμενα. Ἐπεὶ οὖν οὐκ εἴρηται περὶ τοῦ ὕδατος, ὅτι ἐποίησεν ὁ Θεός, εἴρηται δέ, ὅτι ἀόρατος ἦν ἡ γῆ· σκόπει σὺ κατὰ σεαυτὸν τίνι παραπετάσματι καλυπτομένη οὐκ ἐξεφαίνετο. Οὔτε οὖν πῦρ αὐτὴν καλύπτειν ἠδύνατο· φωτιςικὸν γὰρ καὶ καταφάνειαν παρέχον οἷς ἂν προσγένηται μᾶλλον ἢ σκοτῶδες τὸ πῦρ. Οὐ μὴν οὐδὲ ἀὴρ προκάλυμμα ἦν τότε τῆς γῆς· ἀραιὰ γὰρ καὶ διαφανὴς τοῦ ἀέρος ἡ φύσις, πάντα τὰ εἴδη τῶν ὁρατῶν δεχομένη καὶ ταῖς τῶν ὁρώντων ὄψεσι παραπέμπουσα. Λειπόμενον τοίνυν ἐςὶ νοεῖν ἡμᾶς ὕδωρ ἐπιπολάζειν τῇ ἐπιφανείᾳ τῆς γῆς, οὔπω πρὸς τὴν οἰκείαν λῆξιν τῆς ὑγρᾶς οὐσίας ἀποκριθείσης. Ἐκ δὲ τούτου οὐ μόνον ἀόρατος ἦν ἡ γῆ, ἀλλὰ καὶ ἀκατασκεύαςος. Ἡ γὰρ τοῦ ὑγροῦ πλεονεξία ἔτι καὶ νῦν ἐμπόδιόν ἐςι πρὸς καρπογονίαν τῇ γῇ. Ἡ οὖν αὐτὴ αἰτία καὶ τοῦ μὴ ὁρᾶσθαι, καὶ τοῦ ἀκατασκεύαςον εἶναι· εἴπερ κατασκευὴ γῆς ὁ οἰκεῖος αὐτῇ καὶ κατὰ φύσιν κόσμος, λήϊα μὲν ταῖς κοιλότησιν ἐγκυμαίνοντα, λειμῶνες χλοάζοντες καὶ ποικίλοις ἄνθεσι βρύοντες, νάπαι εὐθαλεῖς, καὶ ὀρῶν κορυφαὶ ταῖς ὕλαις κατάσκιοι, ὧν οὐδὲν εἶχεν οὐδέπω· ὠδίνουσα μὲν τὴν πάντων γένησιν διὰ τὴν ἐναποτεθεῖσαν αὐτῇ παρὰ τοῦ δημιουργοῦ δύναμιν, ἀναμένουσα δὲ τοὺς καθήκοντας χρόνους, ἵνα τῷ θείῳ κελεύσματι προαγάγῃ ἑαυτῆς εἰς φανερὸν τὰ κυήματα.

4. «Ἀλλὰ καὶ σκότος», φησὶν, «ἐπάνω τῆς ἀβύσσου» [2]. Πάλιν ἄλλαι μύθων ἀφορμαὶ, καὶ πλασμάτων δυσσεβεςέρων ἀρχαὶ πρὸς τὰς ἰδίας ὑπονοίας παρατρεπόντων τὰ ῥήματα. Τὸ γὰρ σκότος οὐχ, ὡς πέφυκεν, ἐξηγοῦνται ἀέρα τινὰ ἀφώτιςον, ἢ τόπον ἐξ ἀντιφράξεως σώματος σκιαζόμενον, ἢ ὅλως καθ' ὁποιανοῦν αἰτίαν τόπον φωτὸς ἐςερημένον, ἀλλὰ δύναμιν κακὴν, μᾶλλον δὲ αὐτὸ τὸ κακὸν, παρ' ἑαυτοῦ τὴν ἀρχὴν ἔχον, ἀντικείμενον καὶ ἐναντίον τῇ ἀγαθότητι τοῦ Θεοῦ ἐξηγοῦνται τὸ σκότος. Εἰ γὰρ ὁ

---

[1]) Πάθη—въ смыслѣ естественныхъ видоизмѣненій, происходящихъ на землѣ отъ воды, воздуха и огня.

[2]) Быт. 1. 2.

Θεὸς φῶς ἐςι [1]), δηλονότι ἡ ἀντιςρατευομένη αὐτῷ δύναμις σκότος ἂν εἴη, φασὶ, κατὰ τὸ τῆς διανοίας ἀκόλουθον. Σκότος, οὐ παρ' ἑτέρου τὸ εἶναι ἔχον, ἀλλὰ κακὸν αὐτογέννητον· σκότος πολέμιον ψυχῶν, θανάτου ποιητικὸν, ἀρετῆς ἐναντίωσις· ὅπερ καὶ ὑφεςάναι καὶ μὴ παρὰ Θεοῦ γεγενῆσθαι, ὑπ' αὐτῶν μηνύεσθαι τῶν τοῦ προφήτου λόγων ἐξαπατῶνται. Ἐκ δὴ τούτου τί οὐχὶ συνεπλάσθη τῶν πονηρῶν καὶ ἀθέων δογμάτων; ποῖοι «λύκοι βαρεῖς» [2]), διασπῶντες τὸ ποίμνιον τοῦ Θεοῦ, οὐχὶ, ἀπὸ τῆς μικρᾶς ταύτης φωνῆς [3]) τὴν ἀρχὴν λαβόντες, ἐπεπόλασαν ταῖς ψυχαῖς; οὐχὶ Μαρκίωνες, οὐχὶ Οὐαλεντῖνοι ἐντεῦθεν; οὐχ ἡ βδελυκτὴ τῶν Μανιχαίων αἵρεσις, ἣν σηπεδόνα τις τῶν ἐκκλησιῶν προσειπὼν οὐχ ἁμαρτήσεται τοῦ προσήκοντος; τί μακρὰν ἀποτρέχεις τῆς ἀληθείας, ἄνθρωπε, ἀφορμὰς σεαυτῷ τῆς ἀπωλείας ἐπινοῶν; ἁπλοῦς ὁ λόγος, καὶ πᾶσιν εὔληπτος. «Ἀόρατος ἦν ἡ γῆ», φησι. Τίς ἡ αἰτία; ἐπειδὴ ἄβυσσον εἶχεν ἐπιπολάζουσαν ἑαυτῇ. Ἀβύσσου δὲ ἔννοια τίς; ὕδωρ πολὺ δυσέφικτον ἔχον ἑαυτοῦ τὸ πέρας ἐπὶ τὸ κάτω. Ἀλλ' ἔγνωμεν πολλὰ τῶν σωμάτων καὶ δι' ὕδατος λεπτοτέρου καὶ διαυγοῦς πολλάκις διαφαινόμενα. Πῶς οὖν οὐδὲν μέρος τῆς γῆς διὰ τῶν ὑδάτων ἐδείκνυτο; ὅτι ἀλαμπὴς ἔτι καὶ ἐσκοτισμένος ἦν ὁ ὑπὲρ αὐτοῦ κεχυμένος ἀήρ. Ἀκτὶς μὲν γὰρ ἡλίου, δι' ὑδάτων διικνουμένη, δείκνυσι πολλάκις τὰς ἐν τῷ βάθει ψηφῖδας· ἐν νυκτὶ δέ τις βαθείᾳ οὐδενὶ ἂν τρόπῳ τὰ ὑπὸ τὸ ὕδωρ κατίδοι. Ὥςε τοῦ ἀόρατον εἶναι τὴν γῆν κατασκευαςικὸν ἐςι τὸ ἐπαγόμενον, ὅτι καὶ ἄβυσσος ἦν ἡ ἐπέχουσα, καὶ αὕτη ἐσκοτισμένη. Οὔτε οὖν ἄβυσσος δυνάμεων πλῆθος ἀντικειμένων, ὡς τινες ἐφαντάσθησαν, οὔτε σκότος ἀρχική τις καὶ πονηρὰ δύναμις ἀντεξαγομένη τῷ ἀγαθῷ. Δύο γὰρ ἐξισάζοντα ἀλλήλοις κατ' ἐναντίωσιν φθαρτικὰ ἔςαι πάντως τῆς ἀλλήλων συςάσεως· καὶ πράγματα ἕξει διηνεκῶς καὶ παρέξει ἀπαύςως πρὸς ἄλληλα συνεχόμενα τῷ πολέμῳ. Κἂν ὑπερβάλλῃ δυνάμει τῶν ἀντικειμένων τὸ ἕτερον, δαπανητικὸν ἐξ ἅπαντος τοῦ κρατηθέντος γίνεται. Ὥςε εἰ μὲν ἰσόρροπον λέγουσι τοῦ κακοῦ

---

[1]) 1 Іоан. 1. 5. [2]) Дѣян. 20. 29.
[3]) Т. е. отъ слова: σκότος, тьма.

τὴν πρὸς τὸ ἀγαθὸν ἐναντίωσιν, ἄπαυςον εἰσάγουσι πόλεμον καὶ διηνεκῆ τὴν φθορὰν, κρατούντων ἐν μέρει καὶ κρατουμένων· εἰ δὲ ὑπερέχει δυνάμει τὸ ἀγαθὸν, τίς ἡ αἰτία τοῦ τὴν φύσιν τοῦ κακοῦ μὴ παντελῶς ἀνῃρῆσθαι; εἰ δὲ, ὃ μὴ θέμις εἰπεῖν [1]), θαυμάζω, πῶς οὐχὶ φεύγουσιν αὐτοὶ ἑαυτοὺς πρὸς οὕτως ἀθεμίτους βλασφημίας ὑποφερόμενοι. Οὐ μὴν οὐδὲ παρὰ Θεοῦ τὸ κακὸν τὴν γένεσιν ἔχειν εὐσεβές ἐςι λέγειν, διὰ τὸ μηδὲν τῶν ἐναντίων παρὰ τοῦ ἐναντίου γίνεσθαι. Οὔτε γὰρ ἡ ζωὴ θάνατον γεννᾷ, οὔτε τὸ σκότος φωτός ἐςιν ἀρχὴ, οὔτε ἡ νόσος ὑγιείας δημιουργὸς, ἀλλ᾽ ἐν μὲν ταῖς μεταβολαῖς τῶν διαθέσεων ἐκ τῶν ἐναντίων πρὸς τὰ ἐναντία αἱ μεταςάσεις· ἐν δὲ ταῖς γενέσεσιν οὐκ ἐκ τῶν ἐναντίων, ἀλλ᾽ ἐκ τῶν ὁμογενῶν ἕκαςον τῶν γινομένων προέρχεται. Εἰ τοίνυν, φησὶ, μήτε ἀγέννητον, μήτε παρὰ Θεοῦ γεγονὸς, πόθεν ἔχει τὴν φύσιν; τὸ γὰρ εἶναι τὰ κακὰ οὐδεὶς ἀντερεῖ τῶν μετεχόντων τοῦ βίου. Τί οὖν φαμεν; ὅτι τὸ κακόν ἐςιν οὐχὶ οὐσία ζῶσα καὶ ἔμψυχος, ἀλλὰ διάθεσις ἐν ψυχῇ ἐναντίως ἔχουσα πρὸς ἀρετὴν, διὰ τὴν ἀπὸ τοῦ καλοῦ ἀπόπτωσιν τοῖς ῥαθύμοις ἐγγινομένη.

5. Μὴ τοίνυν ἔξωθεν τὸ κακὸν περισκόπει, μηδὲ ἀρχέγονόν τινα φύσιν πονηρίας φαντάζου· ἀλλὰ τῆς ἐν ἑαυτῷ κακίας ἕκαςος ἑαυτὸν ἀρχηγὸν γνωριζέτω. Ἀεὶ γὰρ τῶν γινομένων τὰ μὲν ἐκ φύσεως ἡμῖν ἐπιγίνεται, οἷον γῆρας καὶ ἀσθένειαι, τὰ δὲ ἀπὸ ταυτομάτου, οἷον αἱ ἄλογοι περιπτώσεις ἀλλοτρίαις ἀρχαῖς ἐπισυμβαίνουσαι, σκυθρωπῶν τινων πολλάκις ἢ καὶ τῶν φαιδροτέρων· ὡς τῷ φρέαρ ὀρύσσοντι ἡ τοῦ θησαυροῦ εὕρεσις, ἢ τῷ πρὸς τὴν ἀγορὰν ὡρμημένῳ ἡ τοῦ λυσσῶντος κυνὸς ἔντευξις· τὰ δὲ ἐφ᾽ ἡμῖν τυγχάνει, ὡς τὸ κρατῆσαι τῶν ἐπιθυμιῶν, ἢ μὴ κολάσαι τὰς ἡδονάς· ὡς τὸ κατασχεῖν ὀργῆς, ἢ χεῖρας ἐπαφεῖναι τῷ παροξύναντι· ἀληθεύειν, ἢ ψεύδεσθαι· ἐπιεικῆ τὸ ἦθος εἶναι καὶ μέτριον, ἢ ὑπέρογκον καὶ ἀλαζονείαις ὑπεραιρόμενον. Ὧν τοίνυν αὐτὸς εἶ κύριος, τούτων τὰς ἀρχὰς μὴ ζητήσῃς ἑτέρωθεν, ἀλλὰ γνώριζε τὸ κυρίως κακὸν ἐκ τῶν προαιρετικῶν ἀποπτωμάτων τὴν

---

[1]) Не досказана мысль, вѣроятно, слѣдующая: если же зло сильнѣе добра.

ἀρχὴν εἰληφός. Οὐ γὰρ ἄν, εἴπερ ἀκούσιον ἦν καὶ μὴ ἐφ' ἡμῖν, τοσοῦτος μὲν ἐκ τῶν νόμων ὁ φόβος τοῖς ἀδικοῦσιν ἐπήρτητο, οὕτω δὲ ἀπαραίτητοι τῶν δικαστηρίων αἱ κολάσεις, τὸ πρὸς ἀξίαν τοῖς κακούργοις ἀντιμετροῦσαι. Ταῦτα δέ μοι εἰρήσθω περὶ τοῦ κυρίως κακοῦ. Νόσον γὰρ καὶ πενίαν καὶ ἀδοξίαν καὶ θάνατον, καὶ ὅσα λυπηρά τοῖς ἀνθρώποις, οὔπω καὶ ἐν τῇ μοίρᾳ τῶν κακῶν καταλογίζεσθαι ἄξιον, διὰ τὸ μηδὲ τὰ ἀντικείμενα τούτοις ἐν τοῖς μεγίστοις ἡμᾶς τῶν ἀγαθῶν ἀριθμεῖν· ὧν τὰ μὲν ἐκ φύσεώς ἐστι, τὰ δὲ καὶ συμφερόντως πολλοῖς ἀπαντήσαντα φαίνεται. Πᾶσαν οὖν τροπικὴν καὶ δι' ὑπονοίας ἐξήγησιν ἔν γε τῷ παρόντι κατασιγάσαντες, τοῦ σκότους τὴν ἔννοιαν ἁπλῶς καὶ ἀπεριεργάστως, ἑπόμενοι τῷ βουλήματι τῆς γραφῆς, ἐκδεξώμεθα. Ἐπιζητεῖ δὲ ὁ λόγος, εἰ συγκατεσκευάσθη τῷ κόσμῳ τὸ σκότος, καὶ εἰ ἀρχαιότερον τοῦ φωτός, καὶ διὰ τί τὸ χεῖρον πρεσβύτερον. Λέγομεν τοίνυν καὶ τοῦτο τὸ σκότος μὴ κατ' οὐσίαν ὑφεστηκέναι, ἀλλὰ πάθος εἶναι περὶ τὸν ἀέρα στερήσει φωτὸς ἐπιγινόμενον. Ποίου τοίνυν φωτὸς ἄμοιρος αἰφνιδίως ὁ ἐν τῷ κόσμῳ τόπος εὑρέθη, ὥστε τὸ σκότος ἐπάνω εἶναι τοῦ ὕδατος; λογιζόμεθα τοίνυν ὅτι, εἴπερ τι ἦν πρὸ τῆς τοῦ αἰσθητοῦ τούτου καὶ φθαρτοῦ κόσμου συστάσεως, ἐν φωτὶ ἂν ἦν δηλονότι. Οὔτε γὰρ αἱ τῶν ἀγγέλων ἀξίαι, οὔτε πᾶσαι αἱ ἐπουράνιοι στρατιαί, οὔτε ὅλως εἴ τί ἐστιν ὠνομασμένον ἢ ἀκατονόμαστον τῶν λογικῶν φύσεων καὶ τῶν λειτουργικῶν πνευμάτων, ἐν σκότῳ διῆγεν, ἀλλ' ἐν φωτὶ καὶ πάσῃ εὐφροσύνῃ πνευματικῇ τὴν πρέπουσαν ἑαυτοῖς κατάστασιν εἶχε. Καὶ τούτοις οὐδεὶς ἀντερεῖ, οὔκουν ὅστις γε τὸ ὑπερουράνιον φῶς ἐν ταῖς τῶν ἀγαθῶν ἐπαγγελίαις ἐκδέχεται, περὶ οὗ Σολομών φησιν· «φῶς δικαίοις διὰ παντός» [1]· καὶ ὁ Ἀπόστολος· «εὐχαριστοῦντες τῷ Θεῷ καὶ Πατρὶ τῷ ἱκανώσαντι ἡμᾶς ἐν τῇ μερίδι τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί» [2]. Εἰ γὰρ οἱ καταδικαζόμενοι πέμπονται «εἰς τὸ ἐξώτερον» [3], δηλονότι οἱ τὰ τῆς ἀποδοχῆς ἄξια εἰργασμένοι ἐν τῷ ὑπερκοσμίῳ φωτὶ τὴν ἀνάπαυσιν ἔχουσιν. Ἐπεὶ οὖν ἐγένετο ὁ οὐρανὸς προστάγματι Θεοῦ ἀθρόως περιταθεὶς τοῖς ἐντὸς ὑπὸ τῆς οἰκείας αὐτοῦ περιφερείας ἀπειλημμένοις, σῶμα

---

[1] Прит. 13. 9. [2] Кол. 1. 12. [3] Мат. 22. 13.

έχων συνεχὲς, ἱκανὸν τῶν ἔξω διαςῆσαι τὰ ἔνδον, ἀναγκαίως τὸν ἐναπολειφθέντα αὐτῷ τόπον ἀφεγγῆ κατέςησε, τὴν ἔξωθεν αὐγὴν διακόψας. Τρία γὰρ δεῖ συνδραμεῖν ἐπὶ τῆς σκιᾶς, τὸ φῶς, τὸ σῶμα, τὸν ἀλαμπῆ τόπον. Τὸ τοίνυν ἐγκόσμιον σκότος τῇ σκιᾷ τοῦ οὐρανίου σώματος παρυπέςη. Νόησον δέ μοι ἀπὸ παραδείγματος ἐναργοῦς τὸ λεγόμενον, ἐν ςαθηρᾷ [1]) μεσημβρίᾳ σκηνήν τινα ἐκ πυκνῆς καὶ ςεγανῆς ὕλης ἑαυτῷ περιςήσαντα, καὶ ἐν σκότῳ αὐτοσχεδίῳ ἑαυτὸν καθειργνύντα. Τοιοῦτον οὖν κἀκεῖνο τὸ σκότος ὑπόθου, οὐ προηγουμένως ὑφεςηκὸς, ἀλλ' ἐπακολουθῆσαν ἑτέροις. Τοῦτο δὴ τὸ σκότος καὶ ἐπιβαίνειν λέγεται τῇ ἀβύσσῳ, ἐπειδὴ τὰ ἔσχατα τοῦ ἀέρος πέφυκε ταῖς ἐπιφανείαις τῶν σωμάτων συνάπτεσθαι. Τότε δὲ ὕδωρ ἦν τοῖς πᾶσιν ἐπιπολάζον. Διόπερ ἀναγκαίως τὸ σκότος ἐπάνω ὑπάρχειν εἴρηται τῆς ἀβύσσου.

6. «Καὶ πνεῦμα Θεοῦ, φησιν, ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος» [2]). Εἴτε τοῦτο λέγει τὸ πνεῦμα τοῦ ἀέρος τὴν χύσιν, δέξαι τὰ μέρη τοῦ κόσμου καταριθμοῦντά σοι τὸν συγγραφέα, ὅτι ἐποίησεν ὁ Θεὸς οὐρανὸν, γῆν, ὕδωρ, ἀέρα, καὶ τοῦτον χεόμενον ἤδη καὶ ῥέοντα· εἴτε, ὃ καὶ μᾶλλον ἀληθέςερόν ἐςι καὶ τοῖς πρὸ ἡμῶν ἐγκριθὲν, Πνεῦμα Θεοῦ τὸ ἅγιον εἴρηται· διὰ τὸ τετηρῆσθαι, τοῦτο ἰδιαζόντως καὶ ἐξαιρέτως τῆς τοιαύτης μνήμης ὑπὸ τῆς γραφῆς ἀξιοῦσθαι, καὶ μηδὲν ἄλλο Πνεῦμα Θεοῦ, ἢ τὸ ἅγιον τὸ τῆς θείας καὶ μακαρίας Τριάδος συμπληρωτικὸν ὀνομάζεσθαι. Καὶ ταύτην προσδεξάμενος τὴν διάνοιαν, μείζονα τὴν ἀπ' αὐτῆς ὠφέλειαν εὑρήσεις. Πῶς οὖν ἐπεφέρετο τοῦτο ἐπάνω τοῦ ὕδατος; ἐρῶ σοι οὐκ ἐμαυτοῦ λόγον, ἀλλὰ Σύρου ἀνδρὸς σοφίας κοσμικῆς τοσοῦτον ἀφεςηκότος, ὅσον ἐγγὺς ἦν τῆς τῶν ἀληθινῶν ἐπιςήμης [3]). Ἔλεγε τοίνυν τὴν τῶν Σύρων φωνὴν ἐμφατικωτέραν τε εἶναι, καὶ διὰ τὴν πρὸς τὴν Ἑβραΐδα γειτνίασιν

---

[1]) Σταθηρὰ или ςαθερὰ μεσημβρία—полдень, въ который солнце находится надъ головами людей, какъ употребляется это слово и у Платона въ Федрѣ, 19.

[2]) Быт. 1. 2.

[3]) Подъ Сирійцемъ, вѣроятно, разумѣется св. Ефремъ Сирянинъ, діаконъ Едесскій, знаменитый учитель Церкви, современный св Аѳанасію Александрійскому и св. Василію великому († 372 г,), написавшій между прочимъ толкованіе на пятокнижіе Моисеево на Сирскомъ языкѣ.

μᾶλλόν πως τῇ ἐννοίᾳ τῶν γραφῶν προσεγγίζειν. Εἶναι οὖν τὴν διάνοιαν τοῦ ῥητοῦ τοιαύτην· τὸ «ἐπεφέρετο», φησιν, ἐξηγοῦνται ἀντὶ τοῦ «συνέθαλπε», καὶ ἐζωογόνει τὴν τῶν ὑδάτων φύσιν, κατὰ τὴν εἰκόνα τῆς ἐπωαζούσης ὄρνιθος καὶ ζωτικήν τινα δύναμιν ἐνείσης τοῖς ὑποθαλπομένοις. Τοιοῦτόν τινά φασιν ὑπὸ τῆς φωνῆς ταύτης παραδηλοῦσθαι τὸν νοῦν, ὡς «ἐπιφερομένου τοῦ πνεύματος», τουτέςι, πρὸς ζωογονίαν τὴν τοῦ ὕδατος φύσιν παρασκευάζοντος· ὥςε ἱκανῶς ἐκ τούτου τὸ παρά τινων ἐπιζητούμενον δείκνυσθαι, ὅτι οὐδὲ τῆς δημιουργικῆς ἐνεργείας τὸ Πνεῦμα τὸ ἅγιον ἀπολείπεται.

7. «Καὶ εἶπεν ὁ Θεός· γενηθήτω φῶς» [1]). Πρώτη φωνὴ Θεοῦ φωτὸς φύσιν ἐδημιούργησε, τὸ σκότος ἠφάνισε, τὴν κατήφειαν διέλυσε, τὸν κόσμον ἐφαίδρυνε, πᾶσιν ἀθρόως χαρίεσσαν ὄψιν καὶ ἡδεῖαν ἐπήγαγεν. Οὐρανός τε γὰρ ἐξεφάνη κεκαλυμμένος τέως τῷ σκότῳ, καὶ τὸ ἀπ᾿ αὐτοῦ κάλλος τοσοῦτον, ὅσον ἔτι καὶ νῦν ὀφθαλμοὶ μαρτυροῦσι. Περιελάμπετο δὲ ἀὴρ, μᾶλλον δὲ ἐγκεκραμένον ἑαυτῷ ὅλον διόλου εἶχε τὸ φῶς, ὀξείας τὰς διαδόσεις τῆς αὐγῆς ἐπὶ τὰ ὅρια ἑαυτοῦ πανταχοῦ παραπέμπων. Ἄνω μὲν γὰρ μέχρι πρὸς αὐτὸν αἰθέρα καὶ οὐρανὸν ἔφθανεν· ἐν δὲ τῷ πλάτει πάντα τὰ μέρη τοῦ κόσμου, βόρειά τε καὶ νότια καὶ τὰ ἑῷα καὶ τὰ ἑσπέρια, ἐν ὀξείᾳ καιροῦ ῥοπῇ κατεφώτιζε. Τοιαύτη γὰρ αὐτοῦ ἡ φύσις, λεπτὴ καὶ διαφανὴς, ὥςε μηδεμιᾶς παρατάσεως χρονικῆς προσδεῖσθαι τὸ φῶς δι᾿ αὐτοῦ πορευόμενον. Ὥσπερ γὰρ τὰς ὄψεις ἡμῶν ἀχρόνως παραπέμπει πρὸς τὰ ὁρώμενα, οὕτω καὶ τὰς τοῦ φωτὸς προσβολὰς ἀκαριαίως, καὶ ὡς οὐδ᾿ ἂν ἐπινοήσειέ τις ἐλάττονα χρόνου ῥοπὴν, ἐπὶ πάντα ἑαυτοῦ τὰ πέρατα ὑποδέχεται. Καὶ αἰθὴρ ἡδίων μετὰ τὸ φῶς· καὶ ὕδατα φανότερα, οὐ μόνον δεχόμενα τὴν αὐγὴν, ἀλλὰ καὶ παρ᾿ ἑαυτῶν ἀντιπέμποντα κατὰ τὴν ἀνάκλασιν τοῦ φωτὸς, μαρμαρυγῶν πανταχόθεν ἀποπαλλομένων τοῦ ὕδατος. Πάντα ἡ θεία φωνὴ πρὸς τὸ ἥδιςον καὶ τιμιώτατον μετεσκεύασεν. Ὥσπερ γὰρ οἱ ἐν τῷ βυθῷ ἐνιέντες τὸ ἔλαιον καταφάνειάν ἐμποιοῦσι τῷ τόπῳ, οὕτως ὁ ποιητὴς τῶν ὅλων, ἐμφθεγξάμενος, τῷ κόσμῳ τὴν τοῦ φωτὸς

---

[1]) Быт. 1, 3.

χάριν ἀθρόως ἐνέθηκε. «Γενηθήτω φῶς». Καὶ τὸ πρόσταγμα ἔργον ἦν· καὶ φύσις ἐγένετο, ἧς οὐδὲ ἐπινοῆσαί τι τερπνότερον εἰς ἀπόλαυσιν δυνατόν ἐςι λογισμοῖς ἀνθρωπίνοις. Ὅταν δὲ φωνὴν ἐπὶ Θεοῦ καὶ ῥῆμα καὶ πρόσταγμα λέγωμεν, οὐ διὰ φωνητικῶν οργάνων ἐκπεμπόμενον ψόφον, οὐδὲ ἀέρα διὰ γλώσσης τυπούμενον, τὸν θεῖον λόγον νοοῦμεν, ἀλλὰ τὴν ἐν τῷ θελήματι ῥοπὴν διὰ τὸ τοῖς διδασκομένοις εὐσύνοπτον ἡγούμεθα ἐν εἴδει προστάγματος σχηματίζεσθαι. «Καὶ εἶδεν ὁ Θεὸς τὸ φῶς, ὅτι καλόν» [1]. Τίνα ἂν εἴποιμεν ἡμεῖς τοῦ φωτὸς ἄξιον ἔπαινον, ὃ προλαβὸν τὴν παρὰ τοῦ κτίσαντος μαρτυρίαν ἔχει, ὅτι καλόν; καὶ παρ᾽ ἡμῖν δὲ ὁ λόγος τοῖς ὀφθαλμοῖς παραπέμπει τὴν κρίσιν, οὕτως οὐδὲν ἔχων εἰπεῖν τοσοῦτον, ὅσον ἡ αἴσθησις μαρτυρεῖ προλαβοῦσα. Εἰ δὲ τὸ ἐν τῷ σώματι καλὸν ἐκ τῆς πρὸς ἄλληλα τῶν μερῶν συμμετρίας, καὶ τῆς ἐπιφαινομένης εὐχροίας, τὸ εἶναι ἔχει, πῶς ἐπὶ τοῦ φωτὸς, ἁπλοῦ τὴν φύσιν ὄντος καὶ ὁμοιομεροῦς, ὁ τοῦ καλοῦ διασώζεται λόγος; ἢ ὅτι τῷ φωτὶ τὸ σύμμετρον οὐκ ἐν τοῖς ἰδίοις αὐτοῦ μέρεσιν, ἀλλ᾽ ἐν τῷ πρὸς τὴν ὄψιν ἀλύπῳ καὶ προσηνεῖ μαρτυρεῖται; οὕτω γὰρ καὶ χρυσὸς καλὸς οὐκ ἐκ τῆς τῶν μερῶν συμμετρίας, ἀλλ᾽ ἐκ τῆς εὐχροίας μόνης, τὸ ἐπαγωγὸν πρὸς τὴν ὄψιν καὶ τὸ τερπνὸν κεκτημένος. Καὶ Ἕσπερος [2]) ἀςέρων κάλλιςος οὐ διὰ τὸ ἀναλογοῦντα ἔχειν τὰ μέρη, ἐξ ὧν συνέςηκεν, ἀλλὰ διὰ τὸ ἄλυπόν τινα καὶ ἡδεῖαν τὴν ἀπ᾽ αὐτοῦ αὐγὴν ἐμπίπτειν τοῖς ὄμμασιν. Ἔπειτα νῦν ἡ τοῦ Θεοῦ κρίσις περὶ τοῦ καλοῦ, οὐ πάντως πρὸς τὸ ἐν ὄψει τερπνὸν ἀποβλέποντος, ἀλλὰ καὶ πρὸς τὴν εἰς ὕςερον ἀπ᾽ αὐτοῦ ὠφέλειαν προορωμένου γεγένηται. Ὀφθαλμοὶ γὰρ οὔπω ἦσαν κριτικοὶ τοῦ ἐν φωτὶ κάλλους. «Καὶ διεχώρισεν ὁ Θεὸς ἀνὰ μέσον τοῦ φωτὸς, καὶ ἀνὰ μέσον τοῦ σκότους» [3]). Τουτέςιν, ἄμικτον αὐτῶν τὴν φύσιν καὶ κατ᾽ ἐναντίωσιν ἀντικειμένην ὁ Θεὸς κατεσκεύασε. Πλείςῳ γὰρ τῷ μέσῳ διέςηκεν ἀπ᾽ ἀλλήλων αὐτὰ καὶ διώρισεν.

8. «Καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ φῶς ἡμέραν, καὶ τὸ σκότος

---

[1]) Быт. 1. 4.

[2]) Ἕσπερος или φωσφόρος, или ἑωσφόρος, утренняя звѣзда, предшествующая появленію солнца и являющаяся на западной части неба.

[3]) Быт. 1. 4.

ʼκάλεσε νύκτα» [1]). Νῦν μὲν λοιπὸν μετὰ τὴν ἡλίου γένεσιν ἡμέρα ἐςὶν ὁ ὑπὸ ἡλίου πεφωτισμένος ἀὴρ, ἐν τῷ ὑπὲρ γῆν ἡμισφαιρίῳ λάμποντος, καὶ νὺξ σκίασμα γῆς, ἀποκρυπτομένου ἡλίου, γινόμενον. Τότε δὲ οὐ κατα κίνησιν ἡλιακὴν, ἀλλʼ ἀναχεομένου τοῦ πρωτογόνου φωτὸς ἐκείνου, καὶ πάλιν συςελλομένου κατὰ τὸ ὁρισθὲν μέτρον παρὰ Θεοῦ, ἡμέρα ἐγένετο, καὶ νὺξ ἀντεπῄει. «Καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωῒ, ἡμέρα μία» [2]). Ἑσπέρα μὲν οὖν ἐςι κοινὸς ὅρος ἡμέρας καὶ νυκτός· καὶ πρωΐα ὁμοίως ἡ γειτονία νυκτὸς πρὸς ἡμέραν. Ἵνα τοίνυν τὰ πρεσβεῖα τῆς γενέσεως ἀποδῷ τῇ ἡμέρᾳ, πρότερον εἶπε τὸ πέρας τῆς ἡμέρας, εἶτα τὸ τῆς νυκτὸς, ὡς ἐφεπομένης τῆς νυκτὸς τῇ ἡμέρᾳ. Ἡ γὰρ πρὸ τῆς γενέσεως τοῦ φωτὸς ἐν τῷ κόσμῳ κατάςασις οὐχὶ νὺξ ἦν, ἀλλὰ σκότος· τὸ μέντοι ἀντιδιαςαλὲν πρὸς τὴν ἡμέραν, τοῦτο νὺξ ὠνομάσθη, ὅπερ νεωτερας καὶ τῆς προσηγορίας μετὰ τὴν ἡμέραν τετύχηκεν. «Ἐγένετο οὖν ἑσπέρα, καὶ ἐγένετο πρωΐ». Τὸ ἡμερονύκτιον λέγει. Καὶ οὐκέτι προσηγόρευσεν, «ἡμέρα καὶ νὺξ», ἀλλὰ τῷ ἐπικρατοῦντι τὴν πᾶσαν προσηγορίαν ἀπένειμε. Ταύτην ἂν καὶ ἐν πάσῃ τῇ γραφῇ τὴν συνήθειαν εὕροις, ἐν τῇ τοῦ χρόνου μετρήσει ἡμέρας ἀριθμουμένας, οὐχὶ δὲ καὶ νύκτας μετὰ τῶν ἡμερῶν. «Αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν» [3]), ὁ Ψαλμῳδός φησι. Καὶ πάλιν ὁ Ἰακώβ· «αἱ ἡμέραι τῆς ζωῆς μου μικραὶ καὶ πονηραὶ» [4]). Καὶ πάλιν· «πάσας τὰς ἡμέρας τῆς ζωῆς μου» [5]). Ὥςε τὰ νῦν ἐν ἱςορίας εἴδει παραδοθέντα νομοθεσία ἐςὶ πρὸς τὰ ἑξῆς. «Καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωῒ, ἡμέρα μία». Τίνος ἕνεκεν οὐκ εἶπε πρώτην, ἀλλὰ μίαν; καίτοιγε ἀκολουθότερον ἦν τὸν μέλλοντα ἐπάγειν δευτέραν, καὶ τρίτην, καὶ τετάρτην ἡμέραν, τὴν κατάρχουσαν τῶν ἐφεξῆς πρώτην προσαγορεῦσαι. Ἀλλὰ μίαν εἶπεν, ἤτοι τὸ μέτρον ἡμέρας καὶ νυκτὸς περιορίζων, καὶ συνάπτων τοῦ ἡμερονυκτίου τὸν χρόνον. ὡς τῶν εἰκοσιτεσσάρων ὡρῶν μιᾶς ἡμέρας ἐκπληρουσῶν διάςημα, συνυπακουομένης δηλονότι τῇ ἡμέρᾳ καὶ τῆς νυκτὸς, ὥςε κἂν ἐν ταῖς τροπαῖς τοῦ ἡλίου συμβαίνῃ τὴν ἑτέραν αὐτῶν ὑπερβάλλειν, ἀλλὰ τῷ γε ἀφωρισμένῳ χρόνῳ ἐμπεριγράφεσθαι πάντως ἀμφοτέρων τὰ δια-

---

[1]) Быт. 1. 5. [2]) Быт. 1. 5. [3]) Псал. 89. 10. [4]) Быт. 47. 9. [5]) Псал. 22. 6

ςήματα· ὡσανεὶ ἔλεγε, τὸ τῶν τεσσάρων καὶ εἴκοσιν ὡρῶν μέτρον μιᾶς ἐςιν ἡμέρας διάςημα· ἢ, ἡ τοῦ οὐρανοῦ ἀπὸ τοῦ αὐτοῦ σημείου ἐπὶ τὸ αὐτὸ πάλιν ἀποκατάςασις ἐν μιᾷ ἡμέρᾳ γίνεται· ὥςε ὁσάκις ἂν ἑσπέρα καὶ πρωΐα κατὰ τὴν τοῦ ἡλίου περιφορὰν ἐπιλαμβάνῃ τὸν κόσμον, μὴ ἐν πλείονι χρόνῳ, ἀλλ' ἐν μιᾶς ἡμέρας διαςήματι τὴν περίοδον ἐκπληροῦσθαι· ἢ κυριώτερος ὁ ἐν ἀπορῥήτοις παραδιδόμενος λόγος, ὡς ἄρα ὁ τὴν τοῦ χρόνου φύσιν κατασκευάσας Θεὸς, μέτρα αὐτῷ καὶ σημεῖα τὰ τῶν ἡμερῶν ἐπέβαλε διαςήματα, καὶ ἑβδομάδι αὐτὸν ἐκμετρῶν, ἀεὶ τὴν ἑβδομάδα εἰς ἑαυτὴν ἀνακυκλοῦσθαι κελεύει, ἐξαριθμοῦσαν τοῦ χρόνου τὴν κίνησιν· τὴν ἑβδομάδα δὲ πάλιν ἐκπληροῦν τὴν ἡμέραν μίαν, ἑπτάκις αὐτὴν εἰς ἑαυτὴν ἀναςρέφουσαν. Τοῦτο δὲ κυκλικόν ἐςι τὸ σχῆμα, ἀφ' ἑαυτοῦ ἄρχεσθαι, καὶ εἰς ἑαυτὸ καταλήγειν. Ὃ δὴ καὶ τοῦ αἰῶνος ἴδιον, εἰς ἑαυτὸν ἀναςρέφειν καὶ μηδαμοῦ περατοῦσθαι. Διὰ τοῦτο τὴν κεφαλὴν τοῦ χρόνου οὐχὶ πρώτην ἡμέραν, ἀλλὰ μίαν ὠνόμασεν, ἵνα καὶ ἐκ τῆς προσηγορίας τὸ συγγενὲς ἔχῃ πρὸς τὸν αἰῶνα. Τοῦ γὰρ μοναχοῦ καὶ ἀκοινωνήτου πρὸς ἕτερον ἡ τὸν χαρακτῆρα δεικνύουσα οἰκείως καὶ προσφυῶς προσηγορεύθη μία. Εἰ δὲ πολλοὺς ἡμῖν αἰῶνας παρίςησιν ἡ γραφὴ, «αἰῶνα αἰῶνος», καὶ «αἰῶνας αἰώνων» πολλαχοῦ λέγουσα, ἀλλ' οὖν κἀκεῖ οὐχὶ πρῶτος, οὐδὲ δεύτερος, οὐδὲ τρίτος ἡμῖν αἰὼν ἀπηρίθμηται· ὥςε μᾶλλον καταςάσεων ἡμῖν καὶ πραγμάτων ποικίλων διαφορὰς, ἀλλ' οὐχὶ περιγραφὰς καὶ πέρατα καὶ διαδοχὰς αἰώνων ἐκ τούτου δείκνυσθαι [1]). «Ἡμέρα γὰρ Κυρίου», φησὶ, μεγάλη καὶ ἐπιφανής» [2])· καὶ πάλιν· «ἵνα τί ὑμῖν ζητεῖν τὴν ἡμέραν τοῦ Κυρίου; καὶ αὕτη ἐςὶ σκότος, καὶ οὐ φῶς» [3]). Σκότος δὲ, δηλονότι τοῖς ἀξίοις τοῦ σκότους. Ἐπεὶ ἀνέσπερον καὶ ἀδιάδοχον καὶ ἀτελεύτητον τὴν ἡμέραν ἐκείνην οἶδεν ὁ λόγος, ἣν καὶ ὀγδόην ὁ Ψαλμῳδὸς προσηγόρευσε [4]), διὰ τὸ ἔξω κεῖσθαι τοῦ ἑβδομαδικοῦ τούτου χρόνου. Ὥςε κἂν ἡμέραν εἴπῃς, κἂν αἰῶνα, τὴν αὐτὴν ἐρεῖς ἔννοιαν. Εἴτε οὖν ἡμέρα ἡ κατάςασις ἐκείνη λέγοιτο, μία ἐςὶ καὶ οὐ πολλαί· εἴτε αἰὼν προσαγορεύοιτο,

---

[1]) Αἰών значитъ: вѣкъ, или продолжительно-неопредѣленное время, или вѣчность.

[2]) Іоил. 2. 11. [3]) Амос. 5. 18. [4]) Пс. 6. 1.

μοναχὸς ἂν εἴη καὶ οὐ πολλοςός. Ἵνα οὖν πρὸς τὴν μέλλουσαν ζωὴν τὴν ἔννοιαν ἀπαγάγῃ, μίαν ὠνόμασε τοῦ αἰῶνος τὴν εἰκόνα, τὴν ἀπαρχὴν τῶν ἡμερῶν, τὴν ὁμήλικα τοῦ φωτὸς, τὴν ἁγίαν Κυριακὴν, τὴν τῇ ἀναςάσει τοῦ Κυρίου τετιμημένην. «Ἐγένετο οὖν ἑσπέρα», φησὶ, «καὶ ἐγένετο πρωῒ, ἡμέρα μία». Ἀλλὰ γὰρ καὶ οἱ περὶ τῆς ἑσπέρας ἐκείνης λόγοι ὑπὸ τῆς παρούσης ἑσπέρας καταληφθέντες ἐνταῦθα ἡμῖν τὸν λόγον ὁρίζουσιν. Ὁ δὲ Πατὴρ τοῦ ἀληθινοῦ φωτὸς, ὁ τὴν ἡμέραν κοσμήσας τῷ οὐρανίῳ φωτὶ, ὁ τὴν νύκτα φαιδρύνας ταῖς αὐγαῖς τοῦ πυρὸς, ὁ τοῦ μέλλοντος αἰῶνος τὴν ἀνάπαυσιν εὐτρεπίσας τῷ νοερῷ καὶ ἀπαύςῳ φωτὶ, φωτίσειεν ὑμῶν τὰς καρδίας ἐν ἐπιγνώσει τῆς ἀληθείας, καὶ ἀπρόσκοπον ὑμῶν διατηρήσειε τὴν ζωὴν, παρεχόμενος ὑμῖν ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατεῖν, ἵνα ἐκλάμψητε ὡς ὁ ἥλιος ἐν τῇ λαμπρότητι τῶν ἁγίων, εἰς καύχημα ἐμοὶ, εἰς ἡμέραν Χριςοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

## 2.

## ΤΟΥ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΕΙΟΥ

## ΛΟΓΟΣ ΠΡΟΣ ΤΟΥΣ ΝΕΟΥΣ [1]),

ὅπως ἂν ἐξ ἑλληνικῶν ὠφελοῖντο λόγων.

## Глав. 1—8.

1. Πολλά με τὰ παρακαλοῦντά ἐςι ξυμβουλεῦσαι ὑμῖν, ὦ παῖδες, ἃ βέλτιςα εἶναι κρίνω, καὶ ἃ ξυνοίσειν ὑμῖν ἑλομένοις πεπίςευκα. Τό τε γὰρ ἡλικίας οὕτως ἔχειν [2]), καὶ τὸ διὰ πολλῶν ἤδη γεγυμνάσθαι πραγμάτων, καὶ μὴν καὶ τὸ τῆς πάντα παιδε-

---

[1]) Ὁ νέος—тоже, что νεανίας.

[2]) Выраженіе одинаковое съ слѣдующимъ: τὸ εἶναι ἐν ταύτῃ ἡλικίᾳ, настоящій возрастъ.

ούσης ἐπ' ἄμφω [1]) μεταβολῆς ἱκανῶς μετασχεῖν, ἔμπειρόν με εἶναι τῶν ἀνθρωπίνων πεποίηκεν, ὥςτε τοῖς ἄρτι καθιςαμένοις τὸν βίον ἔχειν ὥσπερ ὁδῶν τὴν ἀσφαλεςάτην ὑποδεικνύναι. Τῇ τε παρὰ τῆς φύσεως οἰκειότητι εὐθὺς μετὰ τοὺς γονέας ὑμῖν τυγχάνω, ὥςτε μήτε αὐτὸς ἔλαττόν τι πατέρων εὐνοίας νέμειν ὑμῖν, ὑμᾶς δὲ νομίζω, εἰ μή τι ὑμῶν διαμαρτάνω τῆς γνώμης, μὴ ποθεῖν τοὺς τεκόντας, πρὸς ἐμὲ βλέποντας. Εἰ μὲν οὖν προθύμως δέχοισθε τὰ λεγόμενα, τῆς δευτέρας τῶν ἐπαινουμένων ἔσεσθε παρ' Ἡσιόδῳ τάξεως· εἰ δὲ μή, ἐγὼ μὲν οὐδὲν ἂν εἴποιμι δυσχερές, αὐτοὶ δὲ μέμνησθε τῶν ἐπῶν δηλονότι, ἐν οἷς ἐκεῖνός φησι· ἄριςον μὲν εἶναι τὸν παρ' ἑαυτοῦ τὰ δέοντα ξυνορῶντα, ἐσθλὸν δὲ κἀκεῖνον τὸν τοῖς παρ' ἑτέρων ὑποδειχθεῖσιν ἑπόμενον, τὸν δὲ πρὸς οὐδέτερον ἐπιτήδειον ἀχρεῖον εἶναι πρὸς ἅπαντα [2]).

2. Μὴ θαυμάζετε δέ, εἰ καὶ καθ' ἑκάςην ἡμέραν εἰς διδασκάλους φοιτῶσι, καὶ τοῖς ἐλλογίμοις τῶν παλαιῶν ἀνδρῶν, δι' ὧν καταλελοίπασι λόγων, συγγινομένοις ὑμῖν, αὐτός τι παρ' ἐμαυτοῦ λυσιτελέςερον ἐξευρηκέναι φημί. Τοῦτο μὲν οὖν αὐτὸ καὶ ξυμβουλεύσων ἥκω, τὸ μὴ δεῖν εἰς ἅπαξ τοῖς ἀνδράσι τούτοις, ὥσπερ πλοίου τὰ πηδάλια τῆς διανοίας ὑμῶν παραδόντας, ᾗπερ ἂν ἄγωσι, ταύτῃ συνέπεσθαι· ἀλλ' ὅσον ἐςὶ χρήσιμον αὐτῶν δεχομένους, εἰδέναι τί χρὴ καὶ παριδεῖν. Τίνα οὖν ἐςι ταῦτα, καὶ ὅπως διακρινοῦμεν, τοῦτο δὴ καὶ διδάξω, ἔνθεν ἑλών. Ἡμεῖς, ὦ παῖδες, οὐδὲν εἶναι χρῆμα παντάπασι τὸν ἀνθρώπινον βίον τοῦτον ὑπολαμβάνομεν, οὔτ' ἀγαθόν τι νομίζομεν ὅλως, οὔτ' ὀνομάζομεν, ὃ τὴν συντέλειαν ἡμῖν ἄχρι τούτου [3]) παρέχεται. Οὔκουν προγόνων περιφάνειαν, οὐκ ἰσχὺν σώματος, οὐ κάλλος, οὐ μέγεθος, οὐ τὰς παρὰ πάντων ἀνθρώπων τιμάς, οὐ βασιλείαν αὐτήν, οὐχ ὅ τι ἂν εἴποι τις τῶν ἀνθρωπίνων, μέγα, ἀλλ' οὐδὲ εὐχῆς ἄξιον κρίνομεν, ἢ τοὺς ἔχοντας ἀποβλέπομεν· ἀλλ' ἐπὶ μακρότερον πρόϊμεν ταῖς ἐλπίσι, καὶ πρὸς ἑτέρου βίου παρασκευὴν ἅπαντα πράττομεν. Ἃ μὲν οὖν ἂν συντελῇ πρὸς τοῦτον ἡμῖν, ἀγαπᾶν τε καὶ διώκειν παντὶ σθένει χρῆναί φαμεν· τὰ δὲ

---

[1]) Ἐπ' ἄμφω, къ счастію и несчастію, къ радости и печали.

[2]) Ἔργ. καὶ ἡμ. ст. 291—295. О Гезіодѣ см. на стр. 76. Прим. I.

[3]) Ἄχρι τούτου, только для настоящей жизни.

οὐκ ἐξικνούμενα πρὸς ἐκεῖνον, ὡς οὐδενὸς ἄξια παρορᾶν. Τίς δὴ οὖν οὗτος ὁ βίος, καὶ ὅπῃ καὶ ὅπως αὐτὸν βιωσόμεθα, μακρότερον μὲν ἢ κατὰ τὴν παροῦσαν ὁρμὴν ἐφικέσθαι, μειζόνων δὲ ἢ καθ' ὑμᾶς ἀκροατῶν ἀκοῦσαι. Τοσοῦτόν γε μὴν εἰπὼν, ἱκανῶς ἂν ἴσως ὑμῖν ἐνδειξαίμην, ὅτι πᾶσαν ὁμοῦ τὴν ἀφ' οὗ γεγόνασιν ἄνθρωποι τῷ λόγῳ τις συλλαβὼν καὶ εἰς ἓν ἀθροίσας εὐδαιμονίαν, οὐδὲ πολλοςῷ μέρει τῶν ἀγαθῶν ἐκείνων εὑρήσει παρισουμένην, ἀλλὰ πλεῖον τοῦ ἐν ἐκείνοις ἐλαχίςου τὰ σύμπαντα τῶν τῇδε καλῶν κατὰ τὴν ἀξίαν ἀφεςηκότα, ἢ καθ' ὅσον σκιὰ καὶ ὄναρ τῶν ἀληθῶν ἀπολείπεται. Μᾶλλον δὲ, ἵν' οἰκειοτέρῳ χρήσωμαι παραδείγματι, ὅσῳ ψυχὴ τοῖς πᾶσι τιμιωτέρα σώματος, τοσοῦτο καὶ τῶν βίων εκατέρων ἐςὶ τὸ διάφορον. Εἰς δὴ τοῦτον ἄγουσι μὲν ἱεροὶ λόγοι, δι' ἀπορρήτων [1]) ἡμᾶς ἐκπαιδεύοντες· ἕως γε μὴν ὑπὸ τῆς ἡλικίας ἐπακούειν τοῦ βάθους τῆς διανοίας αὐτῶν οὐχ οἷόν τε, ἐν ἑτέροις οὐ πάντῃ διεςηκόσιν, ὥσπερ ἐν σκιαῖς τισι καὶ κατόπτροις, τῷ τῆς ψυχῆς ὄμματι τέως προγυμναζώμεθα, τοὺς ἐν τοῖς τακτικοῖς τὰς μελέτας ποιουμένους μιμούμενοι· οἵ γε, ἐν χειρονομίαις καὶ ὀρχήσεσι τὴν ἐμπειρίαν κτησάμενοι, ἐπὶ τῶν ἀγώνων τοῦ ἐκ τῆς παιδιᾶς ἀπολαύουσι κέρδους. Καὶ ἡμῖν δὴ οὖν ἀγῶνα προκεῖσθαι πάντων ἀγώνων μέγιςον νομίζειν χρεὼν, ὑπὲρ οὗ πάντα ποιητέον ἡμῖν καὶ πονητέον εἰς δύναμιν ἐπὶ τὴν τούτου παρασκευὴν, καὶ ποιηταῖς, καὶ λογοποιοῖς, καὶ ῥήτορσι, καὶ πᾶσιν ἀνθρώποις ὁμιλητέον, ὅθεν ἂν μέλλῃ πρὸς τὴν τῆς ψυχῆς ἐπιμέλειαν ὠφέλειά τις ἔσεσθαι. Ὥσπερ οὖν οἱ δευσοποιοὶ, παρασκευάσαντες πρότερον θεραπείαις τισὶν ὅ τί ποτ' ἂν ᾖ τὸ δεξόμενον τὴν βαφὴν, οὕτω τὸ ἄνθος ἐπάγουσιν, ἄν τε ἁλουργὸν, ἄν τε τι ἕτερον ᾖ· τὸν αὐτὸν δὴ καὶ ἡμεῖς τρόπον, εἰ μέλλοι ἀνέκπλυτος ἡμῖν ἅπαντα τὸν χρόνον ἡ τοῦ καλοῦ παραμένειν δόξα [2]), τοῖς ἔξω δὴ τούτοις προτελεσθέντες, τηνικαῦτα τῶν ἱερῶν καὶ ἀπορρήτων ἐπακουσόμεθα παιδευμάτων· καὶ, οἷον ἐν ὕδατι τὸν ἥλιον ὁρᾶν ἐθισθέντες, οὕτως αὐτῷ προσβαλοῦμεν τῷ φωτὶ τὰς ὄψεις. Εἰ μὲν οὖν ἐςί τις οἰκειότης πρὸς

---

[1]) Τὰ ἀπόρρητα—таинственное ученіе, доступное только для лицъ, посвященныхъ въ таинства.

[2]) Η' τοῦ καλοῦ δόξα, доброе мнѣніе.

ἀλλήλους τοῖς λόγοις, προὔργου ἂν [1]) ἡμῖν αὐτῶν ἡ γνῶσις γένοιτο· εἰ δὲ μή, ἀλλά τό γε, παράλληλα θέντας, καταμαθεῖν τὸ διάφορον, οὐ μικρὸν εἰς βεβαίωσιν τοῦ βελτίονος. Τίνι μέντοι καὶ παρεικάσας τῶν παιδεύσεων ἑκατέραν, τῆς εἰκόνος ἂν τύχοις; ἤπου καθάπερ φυτοῦ οἰκεία μὲν ἀρετὴ τῷ καρπῷ βρύειν ὡραίῳ, φέρει δέ τινα κόσμον καὶ φύλλα τοῖς κλάδοις περισειόμενα· οὕτω δὴ καὶ ψυχῇ προηγουμένως μὲν καρπὸς ἡ ἀλήθεια, οὐκ ἄχαρί γε μὴν οὐδὲ τὴν θύραθεν [2]) σοφίαν περιβεβλῆσθαι, οἷόν τινα φύλλα σκέπην τε τῷ καρπῷ καὶ ὄψιν οὐκ ἄωρον παρεχόμενα. Λέγεται τοίνυν καὶ Μωϋσῆς ἐκεῖνος ὁ πάνυ, οὗ μέγιςόν ἐςιν ἐπὶ σοφίᾳ παρὰ πᾶσιν ἀνθρώποις ὄνομα, τοῖς Αἰγυπτίων μαθήμασιν ἐγγυμνασάμενος τὴν διάνοιαν [3]), οὕτω προσελθεῖν τῇ θεωρίᾳ «τοῦ ὄντος». Παραπλησίως δὲ τούτῳ, κἂν τοῖς κάτω χρόνοις, τὸν σοφὸν Δανιὴλ ἐπὶ Βαβυλῶνός φασι τὴν σοφίαν Χαλδαίων καταμαθόντα [4]), τότε τῶν θείων ἅψασθαι παιδευμάτων. Ἀλλ' ὅτι μὲν οὐκ ἄχρηςον ψυχαῖς μαθήματα τὰ ἔξωθεν δὴ ταῦτα, ἱκανῶς εἴρηται· ὅπως γε μὴν αὐτῶν μεθεκτέον ὑμῖν, ἑξῆς ἂν εἴη λέγειν. Πρῶτον μὲν οὖν τοῖς παρὰ τῶν ποιητῶν (ἵν' ἐντεῦθεν ἄρξωμαι), ἐπεὶ παντοδαποί τινές εἰσι κατὰ τοὺς λόγους [5]), μὴ πᾶσιν ἐφεξῆς [6]) προσέχειν τὸν νοῦν· ἀλλ' ὅταν μὲν τὰς τῶν ἀγαθῶν ἀνδρῶν πράξεις ἢ λόγους ὑμῖν διεξίωσιν, ἀγαπᾶν τε καὶ ζηλοῦν, καὶ ὅτι μάλιςα πειρᾶσθαι τοιούτους εἶναι· ὅταν δὲ ἐπὶ μοχθηροὺς ἄνδρας ἔλθωσι τῇ μιμήσει, ταῦτα δεῖ φεύγειν, ἐπιφρασσομένους τὰ ὦτα οὐχ ἧττον, ἢ τὸν Ὀδυσσέα, φασὶν ἐκεῖνοι, τὰ τῶν Σειρήνων μέλη [7]). Ἡ γὰρ πρὸς τοὺς φαύλους τῶν λόγων συνήθεια ὁδός τίς ἐςιν ἐπὶ τὰ πράγματα. Διὸ δὴ πάσῃ φυλακῇ τὴν ψυχὴν τηρητέον, μὴ διὰ τῆς τῶν λόγων ἡδονῆς παραδεξάμενοί τι λάθωμεν τῶν χειρόνων, ὥσπερ οἱ τὰ δηλητήρια μετὰ τοῦ μέλιτος προσιέμενοι. Οὐ τοίνυν ἐπαινεσόμεθα τοὺς ποιητάς,

---

[1]) Προὔργου (вм. πρὸ ἔργου), къ дѣлу, цѣлесообразно, полезно, необходимо; иногда съ прибавленіемъ: πρός τι, или εἴς τι.

[2]) Ἡ θύραθεν—тоже, что ἡ ἔξω, нехристіанская, язычеcкая.

[3]) Дѣян. 7. 22. [4]) Дан. 1. 4.

[5]) Иначе сказать: οἱ λόγοι αὐτῶν εἰσι παντοδαποί.

[6]) Ἐφεξῆς, по порядку, безразлично.

[7]) Одисс.—μ. ст. 173—176.

οὐ λοιδορουμένους, οὐ σκώπτοντας, οὐκ ἐρῶντας ἢ μεθύοντας μιμουμένους, οὐχ ὅταν τραπέζῃ πληθούσῃ καὶ ᾠδαῖς ἀνειμέναις τὴν εὐδαιμονίαν ὁρίζωνται. Πάντων δὲ ἥκιςα περὶ θεῶν τι διαλεγομένοις προσέξομεν, καὶ μάλισθ' ὅταν ὡς περὶ πολλῶν τε αὐτῶν διεξίωσι καὶ τούτων οὐδὲ ὁμονοούντων. Ἀδελφὸς γὰρ δὴ παρ' ἐκείνοις διαςασιάζει πρὸς ἀδελφόν, καὶ γονεὺς πρὸς παῖδας, καὶ τούτοις αὖθις πρὸς τοὺς τεκόντας πόλεμός ἐςιν ἀκήρυκτος. Μοιχείας δὲ θεῶν καὶ ἔρωτας καὶ μίξεις ἀναφανδὸν, καὶ ταύτας γε μάλιςα τοῦ κορυφαίου πάντων καὶ ὑπάτου Διὸς, ὡς αὐτοὶ λέγουσιν, ἃ κἂν περὶ βοσκημάτων τις λέγων ἐρυθριάσειε, τοῖς ἐπὶ σκηνῆς καταλείψομεν.

3. Ταὐτὰ δὴ ταῦτα λέγειν καὶ περὶ συγγραφέων [1]) ἔχω· καὶ μάλισθ' ὅταν ψυχαγωγίας ἕνεκα τῶν ἀκουόντων λογοποιῶσι. Καὶ ῥητόρων δὲ τὴν περὶ τὸ ψεύδεσθαι τέχνην οὐ μιμησόμεθα. Οὔτε γὰρ ἐν δικαςηρίοις, οὔτ' ἐν ταῖς ἄλλαις πράξεσιν ἐπιτήδειον ἡμῖν τὸ ψεῦδος, τοῖς τὴν ὀρθὴν ὁδὸν καὶ ἀληθῆ προελομένοις τοῦ βίου, οἷς τὸ μὴ δικάζεσθαι νόμῳ προστεταγμένον ἐςίν [2]). Ἀλλ' ἐκεῖνα αὐτῶν μᾶλλον ἀποδεξόμεθα, ἐν οἷς ἀρετὴν ἐπῄνεσαν, ἢ πονηρίαν διέβαλον. Ὡς γὰρ τῶν ἀνθέων τοῖς μὲν λοιποῖς ἄχρι τῆς εὐωδίας [illegible] χρόι ἐςὶν ἡ ἀπόλαυσις, ταῖς μελίτταις δ' ἄρα καὶ μέλι λαμ[illegible]άρχει· οὕτω δὴ κἀνταῦθα τοῖς μὴ τὸ ἡδὺ καὶ ἐπίχαρι μό[illegible] τῶν τοιούτων λόγων διώκουσιν ἔςι τινὰ καὶ ὠφέλειαν ἀπ' αὐτῶν εἰς τὴν ψυχὴν ἀποθέσθαι. Κατὰ πᾶσαν δὴ οὖν τῶν μελιττῶν τὴν εἰκόνα, τῶν λόγων ὑμῖν μεθεκτέον. Ἐκεῖναί τε γὰρ οὔτε ἅπασι τοῖς ἄνθεσι παραπλησίως ἐπέρχονται, οὔτε μὴν οἷς ἂν ἐπιπτῶσιν ὅλα φέρειν ἐπιχειροῦσιν, ἀλλ' ὅσον αὐτῶν ἐπιτήδειον πρὸς τὴν ἐργασίαν λαβοῦσαι, τὸ λοιπὸν χαίρειν ἀφῆκαν. Ἡμεῖς τε, ἢν σωφρονῶμεν, ὅσον οἰκεῖον ἡμῖν καὶ συγγενὲς τῇ ἀληθείᾳ παρ' αὐτῶν κομισάμενοι, ὑπερβησόμεθα τὸ λειπόμενον. Καὶ καθάπερ τῆς ῥοδωνιᾶς τοῦ ἄνθους δρεψάμενοι τὰς ἀκάνθας ἐκκλίνομεν, οὕτω καὶ ἐπὶ τῶν τοιούτων λόγων ὅσον χρήσιμον καρπωσάμενοι, τὸ βλαβερὸν φυλαξώμεθα. Εὐθὺς

[1]) Συγγραφεὺς, въ противоположность ποιητής, значитъ: прозаическій писатель, историкъ.

[2]) Лук. 12. 14.

σὺν ἐξ ἀρχῆς ἐπισκοπεῖν ἕκαστον τῶν μαθημάτων καὶ συναρμόζειν τῷ τέλει προσῆκε, κατὰ τὴν Δωρικὴν παροιμίαν, «τὸν λίθον ποτὶ τὰν σπάρταν ἄγοντας» [1]. Καὶ ἐπειδήπερ οἱ ἀρετῆς ἡμᾶς ἐπὶ τὸν βίον καθεῖναι δεῖ τὸν ἡμέτερον, εἰς ταύτην δὲ πολλὰ μὲν ποιηταῖς, πολλὰ δὲ συγγραφεῦσι, πολλῷ δὲ ἔτι πλείω φιλοσόφοις ἀνδράσιν ὕμνηται, τοῖς τοιούτοις τῶν λόγων μάλιστα προσεκτέον. Οὐ μικρὸν γὰρ τὸ ὄφελος, οἰκειότητά τινα καὶ συνήθειαν ταῖς τῶν νέων ψυχαῖς τῆς ἀρετῆς ἐγγενέσθαι· ἐπείπερ ἀμετάστατα πέφυκεν εἶναι τὰ τῶν τοιούτων μαθήματα, δι' ἁπαλότητα τῶν ψυχῶν εἰς βάθος ἐνσημαινόμενα. Ἢ τί ποτε ἄλλο διανοηθέντα τὸν Ἡσίοδον ὑπολάβωμεν ταυτὶ ποιῆσαι τὰ ἔπη, ἃ πάντες ᾄδουσιν, ἢ οὐχὶ προτρέποντα τοὺς νέους ἐπ' ἀρετήν [2]; ὅτι τραχεῖα μὲν πρῶτον καὶ δύσβατος, καὶ ἱδρῶτος συχνοῦ καὶ πόνου πλήρης, ἡ πρὸς ἀρετὴν φέρουσα καὶ ἀνάντης ὁδός· διόπερ οὐ παντὸς, οὔτε προσβῆναι αὐτῇ διὰ τὸ ὄρθιον, οὔτε προσβάντι ῥᾳδίως ἐπὶ τὸ ἄκρον ἐλθεῖν. Ἄνω δὲ γενομένῳ ὁρᾶν ὑπάρχει, ὡς μὲν λεία τε καὶ καλὴ, ὡς δὲ ῥᾳδία τε καὶ εὔπορος, καὶ τῆς ἑτέρας ἡδίων τῆς ἐπὶ τὴν κακίαν ἀγούσης, ἣν ἀθρόον εἶναι λαβεῖν ἐκ τοῦ σύνεγγυς, ὁ αὐτὸς οὗτος ποιητὴς ἔφησεν [3]. Ἐμοὶ μὲν γὰρ δοκεῖ οὐδὲν ἕτερον, ἢ προτρέπων ἡμᾶς ἐπ' ἀρετὴν καὶ προκαλούμενος ἅπαντας ἀγαθοὺς εἶναι, ταῦτα διεξελθεῖν, καὶ ὥστε μὴ καταμαλακισθέντας πρὸς τοὺς πόνους προαποστῆναι τοῦ τέλους. Καὶ μέντοι καὶ εἴ τις ἕτερος ἐοικότα τούτοις τὴν ἀρετὴν ὕμνησεν, ὡς εἰς ταὐτὸν ἡμῖν φέροντας, τοὺς λόγους ἀποδεχώμεθα.

4. Ὡς δὲ ἐγώ τινος ἤκουσα δεινοῦ καταμαθεῖν ἀνδρὸς ποιητοῦ διάνοιαν, πᾶσα μὲν ἡ ποίησις τῷ Ὁμήρῳ ἀρετῆς ἐστιν ἔπαινος, καὶ πάντα αὐτῷ πρὸς τοῦτο φέρει, ὅ τι μὴ πάρεργον· οὐχ ἥκιστα δὲ ἐν οἷς τὸν στρατηγὸν τῶν Κεφαλλήνων [4] πεποίηκε γυμνὸν ἐκ τοῦ ναυαγίου περισωθέντα, πρῶτον μὲν αἰδέσαι τὴν βασιλίδα φανέντα μόνον· τοσούτου δεῖν αἰσχύνην ὀφλῆσαι γυμνὸν

---

[1] **Иначе:** τὸν λίθον πρὸς τὴν σπάρτην ἄγειν; **греческая пословица, буквально означающая: класть камни въ зданіе по шнуру; а въ переносномъ смыслѣ: дѣйствовать осмотрительно и цѣлесообразно.**

[2] Ἔργ. καὶ ἡμ. **ст. 285—290.**

[3] **Ἣν относится къ** κακία, **по смыслу рѣчи въ стихахъ Гезіода.**

[4] **Т. е. Одиссея.**

ὀφθέντα μόνον, ἐπειδήπερ αὐτὸν ἀρετὴ ἀντὶ ἱματίων κεκοσμημένον ἐποίησεν· ἔπειτα μέντοι καὶ τοῖς λοιποῖς Φαίαξι τοσούτου ἄξιον νομισθῆναι, ὥςε, ἀφέντας τὴν τρυφήν, ᾗ συνέζων, ἐκεῖνον ἀποβλέπειν καὶ ζηλοῦν ἅπαντας, καὶ μηδένα Φαιάκων ἐν τῷ τότε εἶναι ἄλλο τι ἂν εὔξασθαι μᾶλλον, ἢ Ὀδυσσέα γενέσθαι, καὶ ταῦτα ἐκ ναυαγίου περισωθέντα. Ἐν τούτοις γὰρ ἔλεγεν ὁ τοῦ ποιητοῦ τῆς διανοίας ἐξηγητής, μονονουχὶ βοῶντα λέγειν τὸν Ὅμηρον, ὅτι ἀρετῆς ὑμῖν ἐπιμελητέον, ὦ ἄνθρωποι, ἣ καὶ ναυαγήσαντι συνεκνήχεται, καὶ ἐπὶ τῆς χέρσου γενόμενον γυμνὸν τιμιώτερον ἀποδείξει τῶν εὐδαιμόνων Φαιάκων [1]). Καὶ γὰρ οὕτως ἔχει. Τὰ μὲν ἄλλα τῶν κτημάτων οὐ μᾶλλον τῶν ἐχόντων ἢ καὶ ούτινοσοῦν τῶν ἐπιτυχόντων ἐςίν, ὥσπερ ἐν παιδιᾷ κύβων τῇδε κἀκεῖσε μεταβαλλόμενα· μόνη δὲ κτημάτων ἡ ἀρετὴ ἀναφαίρετον, καὶ ζῶντι καὶ τελευτήσαντι παραμένουσα. Ὅθεν δὴ καὶ Σόλων μοι δοκεῖ πρὸς τοὺς εὐπόρους εἰπεῖν τό·

«Ἀλλ᾽ ἡμεῖς αὐτοῖς οὐ διαμειψόμεθα
Τῆς ἀρετῆς τὸν πλοῦτον· ἐπεὶ τὸ μὲν ἔμπεδον αἰεί,
Χρήματα δ᾽ ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει» [2]).

Παραπλήσια δὲ τούτοις καὶ τὰ Θεόγνιδος, ἐν οἷς φησι τὸν Θεόν, ὅντινα δὴ καὶ φησι, τοῖς ἀνθρώποις τὸ τάλαντον ἐπιῤῥέπειν ἄλλοτε ἄλλως, ἄλλοτε μὲν πλουτεῖν, ἄλλοτε δὲ μηδὲν ἔχειν [3]). Καὶ μὴν καὶ ὁ Κεῖός που σοφιςὴς Πρόδικος τῶν ἑαυτοῦ συγγραμμάτων ἀδελφὰ τούτοις εἰς ἀρετὴν καὶ κακίαν ἐφιλοσόφησεν· ᾧ δὴ καὶ αὐτῷ τὴν διάνοιαν προσεκτέον· οὐ γὰρ ἀπόβλητος ὁ ἀνήρ. Ἔχει δὲ οὕτω πως ὁ λόγος αὐτῷ, ὅσα ἐγὼ τοῦ ἀνδρὸς τῆς διανοίας μέμνημαι, ἐπεὶ τά γε ῥήματα οὐκ ἐπίςαμαι, πλήν γε δὴ ὅτι ἁπλῶς οὕτως εἴρηκεν ἄνευ μέτρου· ὅτι νέῳ ὄντι τῷ Ἡρακλεῖ κομιδῇ, καὶ σχεδὸν ταύτην ἄγοντι τὴν ἡλικίαν, ἣν καὶ ὑμεῖς νῦν, βουλευομένῳ ποτέραν τράπηται τῶν ὁδῶν, τὴν διὰ τῶν πό-

---

[1]) Одис.—ζ. ст. 125 и далѣе.

[2]) Солонъ, Аѳинскій законодатель и поэтъ, жившій въ 6 вѣкѣ до Р. Хр. Приведенный отрывокъ изъ его Елег. Frag. 15. Ed. Bergk. Тѣже стихи повторяются и у Ѳеогниса Мегарскаго, елегическаго поэта того же вѣка, въ его гномахъ 316—318.

[3]) Ѳеогнисъ въ гномахъ 157—158.

νων ἄγουσαν πρὸς ἀρετήν, ἢ τὴν ῥάστην, προσελθεῖν δύο γυναῖκας, ταύτας δὲ εἶναι Ἀρετὴν καὶ Κακίαν, εὐθὺς μὲν οὖν καὶ σιωπώσας ἐμφαίνειν ἀπὸ τοῦ σχήματος τὸ διάφορον· εἶναι γὰρ τὴν μὲν ὑπὸ κομμωτικῆς διεσκευασμένην εἰς κάλλος, καὶ ὑπὸ τρυφῆς διαῤῥεῖν, καὶ πάντα ἑσμὸν ἡδονῆς ἐξηρτημένην ἄγειν· ταῦτά τε οὖν δεικνύναι, καὶ ἔτι πλείω τούτων ὑπισχνουμένην, ἕλκειν ἐπιχειρεῖν τὸν Ἡρακλέα πρὸς ἑαυτήν· τὴν δ᾽ ἑτέραν κατεσκληκέναι, καὶ αὐχμεῖν, καὶ σύντονον βλέπειν, καὶ λέγειν τοιαῦτα ἕτερα· ὑπισχνεῖσθαι γὰρ οὐδὲν ἀνειμένον, οὐδὲ ἡδύ, ἀλλ᾽ ἱδρῶτας μυρίους καὶ πόνους καὶ κινδύνους διὰ πάσης ἠπείρου τε καὶ θαλάσσης, ἆθλον δὲ τούτων εἶναι θεὸν γενέσθαι, ὡς ὁ ἐκείνου λόγος· ἧπερ δὴ καὶ τελευτῶντα τὸν Ἡρακλέα ξυνέπεσθαι [1]). Καὶ σχεδὸν ἅπαντες, ὧν δὴ καὶ λόγος τις ἐςιν ἐπὶ σοφίᾳ, ἢ μικρὸν ἢ μεῖζον, εἰς δύναμιν ἕκαςος ἐν τοῖς ἑαυτῶν συγγράμμασιν ἀρετῆς ἔπαινον διεξῆλθον, οἷς πειςέον καὶ πειρατέον ἐπὶ τοῦ βίου δεικνύναι τοὺς λόγους. Ὡς ὅ γε τὴν ἄχρι ῥημάτων [2]) παρὰ τοῖς ἄλλοις φιλοσοφίαν ἔργῳ βεβαιῶν

«Οἶος πέπνυται· τοὶ δὲ σκιαὶ ἀΐσσουσι» [3]).

Καί μοι δοκεῖ τὸ τοιοῦτον παραπλήσιον εἶναι, ὥσπερ ἂν εἰ ζωγράφου θαυμαςόν τι οἷον κάλλος ἀνθρώπου μιμησαμένου, ὅδε αὐτὸς εἴη τοιοῦτος ἐπὶ τῆς ἀληθείας, οἷον ἐπὶ τῶν πινάκων ἐκεῖνος ἔδειξεν. Ἐπεὶ τό γε λαμπρῶς μὲν ἐπαινέσαι τὴν ἀρετὴν εἰς τὸ μέσον καὶ μακροὺς ὑπὲρ αὐτῆς ἀποτείνειν λόγους, ἰδίᾳ δὲ τὸ ἡδὺ πρὸ τῆς σωφροσύνης καὶ τὸ πλέον ἔχειν πρὸ τοῦ δικαίου τιμᾶν, ἐοικέναι φαίην ἂν ἔγωγε τοῖς ἐπὶ σκηνῆς ὑποκρινομένοις τὰ δράματα· οἳ ὡς βασιλεῖς καὶ δυνάςαι πολλάκις εἰσέρχονται, οὔτε βασιλεῖς ὄντες, οὔτε δυνάςαι, οὐδὲ μὲν οὖν, τυχόν, ἐλεύθεροι τὸ παράπαν. Εἶτα μουσικὸς μὲν οὐκ ἂν ἑκὼν δέξαιτο ἀνάρμοςον αὐτῷ τὴν λύραν εἶναι· καὶ χοροῦ κορυφαῖος, μὴ ὅτι μά-

---

[1]) **Продикъ, родомъ съ о. Кеоса, софистъ славившійся въ Аѳинахъ во времена Сократа. Приведенный разсказъ его находился, какъ полагаютъ, въ недошедшемъ до насъ сочиненіи его** Ὧραι, **и повторенъ у Ксенофонта. См. выше, на стр. 48. Прим. I.**

[2]) Ἄχρι ῥημάτων**—только на словахъ.**

[3]) **Одисс.—к. ст. 495.**

λιϛα συνᾴδοντα τὸν χορὸν ἔχειν. Αὐτὸς δέ τις ἕκαϛος διαϛασιάσει πρὸς ἑαυτὸν, καὶ οὐχὶ τοῖς λόγοις ὁμολογοῦντα τὸν βίον παρέξεται, ἀλλ' «ἡ γλῶττα μὲν ὀμώμοκεν, ἡ δὲ φρὴν ἀνώμοτος», κατ' Εὐριπίδην ἐρεῖ [1]), καὶ τὸ δοκεῖν ἀγαθὸς πρὸ τοῦ εἶναι διώξεται. Ἀλλ' οὗτός ἐϛιν ὁ ἔσχατος τῆς ἀδικίας ὅρος, εἴ τι δεῖ Πλάτωνι πείθεσθαι, τὸ δοκεῖν δίκαιον εἶναι μὴ ὄντα [2]). Τοὺς μὲν οὖν τῶν λόγων, οἳ τὰς τῶν καλῶν ἔχουσιν ὑποθήκας, οὕτως ἀποδεχώμεθα. Ἐπειδὴ δὲ καὶ πράξεις σπουδαῖαι τῶν παλαιῶν ἀνδρῶν ἢ μνήμης ἀκολουθίᾳ πρὸς ἡμᾶς διασώζονται, ἢ ποιητῶν ἢ συγγραφέων φυλαττόμεναι λόγοις, μηδὲ τῆς ἐντεῦθεν ὠφελείας ἀπολειπώμεθα. Οἷον, ἐλοιδόρει τὸν Περικλέα τῶν ἐξ ἀγορᾶς τις ἀνθρώπων· ὁ δὲ οὐ προσεῖχε· καὶ εἰς πᾶσαν διήρκεσε τὴν ἡμέραν, ὁ μὲν ἀφειδῶς πλύνων αὐτὸν τοῖς ὀνείδεσιν, ὁ δὲ οὐ μέλων αὐτῷ. Εἶτα ἑσπέρας ἤδη καὶ σκότους ἀπαλλαττόμενον μόλις ὑπὸ φωτὶ παρέπεμψε Περικλῆς, ὅπως αὐτῷ μὴ διαφθαρείη τὸ πρὸς φιλοσοφίαν γυμνάσιον [3]). Πάλιν τις Εὐκλείδῃ τῷ Μεγαρόθεν παροξυνθεὶς θάνατον ἠπείλησε, καὶ ἐπώμοσεν· ὁ δὲ ἀντώμοσεν ἦ μὴν ἱλεώσεσθαι αὐτὸν, καὶ παύσειν χαλεπῶς πρὸς αὐτὸν ἔχοντα [4]). Πόσου ἄξιον τῶν τοιούτων τι παραδειγμάτων εἰσελθεῖν τὴν μνήμην ἀνδρὸς ὑπὸ ὀργῆς ἤδη κατεχομένου! τῇ τραγῳδίᾳ γὰρ οὐ πιϛευτέον ἁπλῶς λεγούσῃ· «ἐπ' ἐχθροὺς θυμὸς ὁπλίζει χεῖρα» [5])· ἀλλὰ μάλιϛα μὲν μηδὲ διανίϛασθαι πρὸς θυμὸν τὸ παράπαν· εἰ δὲ μὴ ῥᾴδιον τοῦτο, ἀλλ' ὥσπερ χαλινὸν αὐτῷ τὸν λογισμὸν ἐμβάλλοντας, μὴ ἐᾶν ἐκφέρεσθαι περαιτέρω.

**5.** Ἐπαναγάγωμεν δὲ τὸν λόγον αὖθις πρὸς τὰ τῶν σπουδαίων πράξεων παραδείγματα. Ἔτυπτέ τις τὸν Σωφρονίσκου Σωκράτην εἰς αὐτὸ τὸ πρόσωπον ἐμπεσὼν ἀφειδῶς· ὁ δὲ οὐκ ἀντῆρεν, ἀλλὰ παρεῖχε τῷ παροινοῦντι τῆς ὀργῆς ἐμφορεῖσθαι, ὥϛε

---

[1]) **Еврипидъ, знаменитый греческій трагикъ († 405 г.) въ трагедіи** Ἱππόλυτος, **ст. 612.**

[2]) **Философъ Платонъ въ** Πολιτ. **кн. 2. 361.**

[3]) **Приведенный разсказъ у Плутарха въ біографіи Перикла. Гл. 1.**

[4]) **Евклидъ, ученикъ Сократа, основатель философской Мегарской школы. Приведенный разсказъ у Плутарха въ трактатѣ «о братской любви». Гл. 18.**

[5]) **Еврипидъ въ Трагедіи** Ῥῆσος. **ст. 84.**

ἐξοιδεῖν ἤδη καὶ ὕπουλον αὐτῷ τὸ πρόσωπον ὑπὸ τῶν πληγῶν εἶναι. Ὡς δ᾽ οὖν ἐπαύσατο τύπτων, ἄλλο μὲν οὐδὲν ὁ Σωκράτης ποιῆσαι, ἐπιγράψαι δὲ τῷ μετώπῳ λέγεται, ὥσπερ ἀνδριάντι, τὸν δημιουργόν· «ὁ δεῖνα ἐποίει»· καὶ τοσοῦτον ἀμύνασθαι [1]. Ταῦτα σχεδὸν εἰς ταὐτὸν τοῖς ἡμετέροις φέροντα πολλοῦ ἄξιον εἶναι μιμήσασθαι τοὺς τηλικούτους φημί. Τουτὶ μὲν γὰρ τὸ τοῦ Σωκράτους ἀδελφὸν ἐκείνῳ τῷ παραγγέλματι, ὅτι τῷ τύπτοντι κατὰ τῆς σιαγόνος καὶ τὴν ἑτέραν παρέχειν προσῆκε, τοσούτου δεῖν ἀπαμύνασθαι [2]· τὸ δὲ τοῦ Περικλέους ἢ τὸ Εὐκλείδου τῷ τοὺς διώκοντας ὑπομένειν, καὶ πράως αὐτῶν τῆς ὀργῆς ἀνέχεσθαι, καὶ τῷ τοῖς ἐχθροῖς εὔχεσθαι τὰ ἀγαθά, ἀλλὰ μὴ ἐπαρᾶσθαι [3]. Ὡς ὅ γε ἐν τούτοις προπαιδευθεὶς οὐκ ἔτ᾽ ἂν ᾽κείνοις ὡς ἀδυνάτοις διαπιστήσειεν. Οὐκ ἂν παρέλθοιμι τὸ τοῦ Ἀλεξάνδρου, ὅς, τὰς θυγατέρας Δαρείου αἰχμαλώτους λαβών, θαυμαστόν τι οἷον τὸ κάλλος παρέχειν μαρτυρουμένας, οὐδὲ προσιδεῖν ἠξίωσεν, αἰσχρὸν εἶναι κρίνων, τὸν ἄνδρας ἑλόντα γυναικῶν ἡττηθῆναι [4]. Τουτὶ γὰρ εἰς ταὐτὸν ἐκείνῳ φέρει, ὅτι ὁ ἐμβλέψας πρὸς ἡδονὴν γυναικί, κἂν μὴ τῷ ἔργῳ τὴν μοιχείαν ἐπιτελέσῃ, ἀλλὰ τῷ γε τὴν ἐπιθυμίαν τῇ ψυχῇ παραδέξασθαι οὐκ ἀφίεται τοῦ ἐγκλήματος [5]. Τὸ δὲ τοῦ Κλεινίου, τῶν Πυθαγόρου γνωρίμων ἑνός, χαλεπὸν πιστεῦσαι ἀπὸ ταὐτομάτου συμβῆναι τοῖς ἡμετέροις, ἀλλ᾽ οὐχὶ μιμησαμένου σπουδῇ [6]. Τί δὲ ἦν ὃ ἐποίησεν ἐκεῖνος; ἐξὸν δι᾽ ὅρκου τριῶν ταλάντων ζημίαν ἀποφυγεῖν, ὁ δὲ ἀπέτισε μᾶλλον ἢ ὤμοσε, καὶ ταῦτα εὐορκεῖν μέλλων· ἀκούσας, ἐμοὶ δοκεῖν, τοῦ προστάγματος τὸν ὅρκον ἡμῖν ἀπαγορεύοντος [7]. Ἀλλ᾽, ὅπερ ἐξ ἀρχῆς ἔλεγον, πάλιν εἰς ταὐτὸν ἐπανίωμεν· οὐ πάντα ἑξῆς παραδεκτέον ἡμῖν, ἀλλ᾽ ὅσα χρήσιμα.

---

[1]) Подобный разсказъ у Плутарха въ трактатѣ «о воспитаніи дѣтей.» Гл. 14.

[2]) Мат. 5. 39. [3]) Мат. 5. 44.

[4]) Плутархъ въ трактатѣ «о любопытствѣ». Гл. 13.

[5]) Мат. 5. 28.

[6]) Клиній (Κλεινίας), пиѳагорейскій философъ, родомъ изъ Тарента, училъ въ одной изъ пиѳагорейскихъ школъ въ Италіи во времена Сократа. Приведенный разсказъ, какъ полагаютъ, принадлежитъ Діодору Сицилійскому. См. Excerp. de virt. et vitiis. Ed. Walois. Paris. 1634. T. II. p. 554.

[7]) Мат. 5. 33.

Και γὰρ· αἰσχρὸν τῶν μὲν σιτιων τὰ βλαβερὰ διωθεῖσθαι, τῶν δὲ μαθημάτων, ἃ τὴν ψυχὴν ἡμῶν τρέφει, μηδένα λόγον ἔχειν, ἀλλ᾽ ὥσπερ χειμάῤῥουν παρασύροντας ἅπαν τὸ προστυχὸν ἐμβάλλεσθαι. Καίτοι τίνα ἔχει λόγον κυβερνήτην μὲν οὐκ εἰκῇ τοῖς πνεύμασιν ἐφιέναι, ἀλλὰ πρὸς ὅρμους εὐθύνειν τὸ σκάφος, καὶ τοξότην κατὰ σκοποῦ βάλλειν, καὶ μὲν δὴ καὶ χαλκευτικόν τινα ἢ τεκτονικὸν ὄντα τοῦ κατὰ τὴν τέχνην ἐφίεσθαι τέλους· ἡμᾶς δὲ καὶ τῶν τοιούτων δημιουργῶν ἀπολείπεσθαι, πρός γε τὸ συνορᾶν δύνασθαι τὰ ἡμέτερα; οὐ γὰρ δὴ τῶν μὲν χειρωνακτῶν ἔςι τι πέρας τῆς ἐργασίας, τοῦ δὲ ἀνθρωπίνου βίου σκοπὸς οὐκ ἔςι, πρὸς ὃν ἀφορῶντα πάντα ποιεῖν καὶ λέγειν χρὴ τόν γε μὴ τοῖς ἀλόγοις παντάπασι προσεοικέναι μέλλοντα. Ἢ οὕτως ἂν εἴημεν ἀτεχνῶς κατὰ τῶν πλοίων τὰ ἀνερμάτιςα [1]), οὐδενὸς ἡμῖν νοῦ ἐπὶ τῶν τῆς ψυχῆς οἰάκων καθεζομένου, εἰκῇ κατὰ τὸν βίον ἄνω καὶ κάτω περιφερόμενοι· ἀλλ᾽ ὥσπερ ἐν τοῖς γυμνικοῖς ἀγῶσιν, εἰ δὲ βούλει, τῆς μουσικῆς, ἐκείνων εἰσὶ τῶν ἀγώνων αἱ μελέται, ὧνπερ οἱ ςέφανοι πρόκεινται, καὶ οὐδείς γε πάλην ἀσκῶν ἢ παγκράτιον, εἶτα κιθαρίζειν ἢ αὐλεῖν μελετᾷ. Οὔκουν ὁ Πολυδάμας γε, ἀλλ᾽ ἐκεῖνος πρὸ τοῦ ἀγῶνος τοῦ Ὀλυμπιάσι τὰ ἅρματα ἱςη τρέχοντα, καὶ διὰ τούτων τὴν ἰσχὺν ἐκράτυνε. Καὶ ὅ γε Μίλων ἀπὸ τῆς ἀληλειμμένης ἀσπίδος οὐκ ἐξωθεῖτο, ἀλλ᾽ ἀντεῖχεν ὠθούμενος οὐχ ἧττον ἢ οἱ ἀνδριάντες οἱ τῷ μολύβδῳ συνδεδεμένοι. Καὶ ἁπαξαπλῶς αἱ μελέται αὐτοῖς παρασκευαὶ τῶν ἄθλων ἦσαν. Εἰ δὲ τὰ Μαρσύου ἢ τὰ Ὀλύμπου τῶν Φρυγῶν περιειργάζοντο κρούματα, καταλιπόντες τὴν κόνιν καὶ τὰ γυμνάσια, ταχύ γ᾽ ἂν ςεφάνων ἢ δόξης ἔτυχον, ἢ διέφυγον τὸ μὴ καταγέλαςοι εἶναι κατὰ τὸ σῶμα [2]): ἀλλ᾽ οὐ μέντοι οὐδὲ ὁ Τιμόθεος, τὴν μελῳδίαν ἀφεὶς, ἐν ταῖς παλαίςραις διῆγεν, οὐ

---

[1]) Ἀτέχνως—безъискуственно, безразсудно: ἀτεχνῶς—просто, рѣшительно; ἀτεχνῶς κατὰ—точно такъ, какъ.

[2]) Полидамъ и Милонъ, знаменитые атлеты, первый родомъ изъ Өессалійскаго города Скотуссы, а второй изъ Италійскаго города Кротона, неоднократно одержавшіе побѣды на Олимпійскихъ играхъ необыкновенною своею силою и ловкостію въ тѣлесныхъ упражненіяхъ. Марсій и Олимпъ—славные Фригійскіе музыканты. О нихъ см. въ Lübkers Reallexicon.

γὰρ ἂν τοσοῦτον ὑπῆρξεν αὐτῷ διενεγκεῖν ἁπάντων τῇ μουσικῇ, ᾧ γε τοσοῦτο περιῆν τῆς τέχνης, ὥςε καὶ θυμὸν ἐγείρειν δια τῆς συντόνου καὶ αὐςηρᾶς ἁρμονίας, καὶ μέντοι καὶ χαλᾶν καὶ μαλάττειν πάλιν διὰ τῆς ἀνειμένης, ὁπότε βούλοιτο [1]). Ταύτῃ τοι καὶ Ἀλεξάνδρῳ ποτὲ τὸ φρύγιον [2]) ἐπαυλήσαντα, ἐξαναςῆσαι αὐτὸν ἐπὶ τὰ ὅπλα λέγεται μεταξὺ δειπνοῦντα, καὶ ἐπαναγαγεῖν πάλιν πρὸς τοὺς συμπότας, την ἁρμονίαν χαλάσαντα. Τοσαύτην ἰσχὺν ἔν τε μουσικῇ καὶ τοῖς γυμνικοῖς ἀγῶσι πρὸς τὴν τοῦ τέλους κτῆσιν ἡ μελέτη παρέχεται.

6. Ἐπεὶ δὲ ςεφάνων καὶ ἀθλητῶν ἐμνήσθην, ἐκεῖνοι, μυρία παθόντες ἐπὶ μυρίοις, καὶ πολλαχόθεν τὴν ῥώμην ἑαυτοῖς συναυξήσαντες, πολλὰ μὲν γυμναςικοῖς ἐνιδρώσαντες πόνοις, πολλὰς δὲ πληγὰς ἐν παιδοτρίβου [3]) λαβόντες, δίαιταν δὲ οὐ τὴν ἡδίςην,, ἀλλὰ τὴν παρὰ τῶν γυμναςῶν αἱρούμενοι, καὶ τἆλλα, ἵνα μὴ διατρίβω λέγων, οὕτω διάγοντες, ὡς τὸν πρὸ τῆς ἀγωνίας βίον μελέτην εἶναι τῆς ἀγωνίας, τηνικαῦτα ἀποδύονται πρὸς τὸ ςάδιον, καὶ πάντα πονοῦσι καὶ κινδυνεύουσιν, ὥςε κοτίνου λαβεῖν ςέφανον, ἢ σελίνου, ἢ ἄλλου τινὸς τῶν τοιούτων, καὶ νικῶντες ἀναῤῥηθῆναι παρὰ τοῦ κήρυκος. Ἡμῖν δὲ, οἷς ἆθλα τοῦ βίου πρόκειται οὕτω θαυμαςὰ πλήθει τε καὶ μεγέθει, ὥςε ἀδύνατα εἶναι ῥηθῆναι λόγῳ, ἐπ᾽ ἄμφω καθεύδουσι [4]) καὶ κατὰ πολλὴν διαιτωμένοις ἄδειαν, τῇ ἑτέρᾳ λαβεῖν τῶν χειρῶν ὑπάρξει; πολλοῦ μὲν τἂν ἄξιον ἦν ἡ ῥᾳθυμία τῷ βίῳ, καὶ ὅ γε Σαρδανάπαλος τὰ πρῶτα πάντων εἰς εὐδαιμονίαν ἐφέρετο, ἢ καὶ ὁ Μαργίτης, εἰ βούλει, ὃν οὔτ᾽ ἀροτῆρα, οὔτε σκαπτῆρα, οὔτε ἄλλο τι τῶν κατὰ τὸν βίον ἐπιτηδείων εἶναι Ὅμηρος ἔφησεν, εἰ δὴ

---

[1]) Тимоѳей, Ѳивянинъ, знаменитый игрокъ на флейтѣ, жившій въ 4 вѣкѣ до Р. Хр. Подобный разсказъ объ этомъ у Плутарха въ сочиненіи «о доблестяхъ» Александра Македонскаго. 2. 2.

[2]) Τὸ φρύγιον—пѣснь Фригійская, или съ напѣвомъ фригійскимъ, въ отличіе отъ другихъ древнихъ греческихъ напѣвовъ—Дорійскаго, Лидійскаго и Іонійскаго.

[3]) Т. е. ἐν οἴκῳ τοῦ παιδοτρίβου.

[4]) Греческая пословица въ полномъ видѣ: ἐπ᾽ ἀμφότερα καθεύδειν τὰ ὦτα (или τὼ ὦτε)—спать на оба уха—значитъ: быть безпечнымъ и беззаботнымъ.

Ὁμήρου ταῦτα [1]). Ἀλλὰ μὴ ἀληθὴς μᾶλλον ὁ τοῦ Πιττακοῦ λόγος, ὃς χαλεπὸν ἔφησεν ἐσθλὸν ἔμμεναι [2]: διὰ πολλῶν γὰρ δὴ τῷ ὄντι πόνων διεξελθοῦσι μόλις ἂν τῶν ἀγαθῶν ἐκείνων τυχεῖν ἡμῖν περιγένοιτο, ὧν ἐν τοῖς ἄνω λόγοις οὐδὲν εἶναι παράδειγμα τῶν ἀνθρωπίνων ἐλέγομεν. Οὐ δὴ οὖν ῥαθυμητέον ἡμῖν, οὐδὲ τῆς ἐν βραχεῖ ῥᾳστώνης μεγάλας ἐλπίδας ἀνταλλακτέον, εἴπερ μὴ μέλλοιμεν ὀνείδη τε ἕξειν καὶ τιμωρίας ὑφέξειν, οὔτι παρὰ τοῖς ἀνθρώποις ἐνθάδε (καίτοι καὶ τοῦτο οὐ μικρὸν τῷ γε νοῦν ἔχοντι), ἀλλ' ἐν τοῖς, εἴτε ὑπὸ γῆν, εἴτε καὶ ὅπου δὴ τοῦ παντὸς ὄντα τυγχάνει, δικαιωτηρίοις. Ὡς τῷ μὲν ἀκουσίως τοῦ προσήκοντος ἁμαρτόντι κἂν συγγνώμη τις ἴσως παρὰ τοῦ Θεοῦ γένοιτο· τῷ δὲ ἐξεπίτηδες τὰ χείρω προελομένῳ οὐδεμία παραίτησις τὸ μὴ οὐχὶ πολλαπλασίω τὴν κόλασιν ὑποσχεῖν. Τί οὖν ποιῶμεν; φαίη τις ἄν. Τί ἄλλο γε ἢ τῆς ψυχῆς ἐπιμέλειαν ἔχειν, πᾶσαν σχολὴν ἀπὸ τῶν ἄλλων ἄγοντας;

7. Οὐ δὴ οὖν τῷ σώματι δουλευτέον, ὅτι μὴ [3]) πᾶσα ἀνάγκη· ἀλλὰ τῇ ψυχῇ τὰ βέλτιστα ποριστέον, ὥσπερ ἐκ δεσμωτηρίου τῆς πρὸς τὰ τοῦ σώματος πάθη κοινωνίας αὐτὴν διὰ φιλοσοφίας λύοντας, ἅμα δὲ καὶ τὸ σῶμα τῶν παθῶν κρεῖττον ἀπεργαζομένους, γαστρὶ μέν γε τὰ ἀναγκαῖα ὑπηρετοῦντας, οὐχὶ τὰ ἥδιστα, ὡς οἵ γε τραπεζοποιούς τινας καὶ μαγείρους περινοοῦντες, καὶ πᾶσαν διερευνώμενοι γῆν τε καὶ θάλασσαν, οἷόν τινι χαλεπῷ δεσπότῃ φόρους ἀπάγοντες, ἐλεεινοὶ τῆς ἀσχολίας, τῶν ἐν ᾅδου κολαζομένων οὐδὲν πάσχοντες ἀνεκτότερον, ἀτεχνῶς εἰς πῦρ ξαίνοντες, καὶ κοσκίνῳ φέροντες ὕδωρ, καὶ εἰς τετρημένον ἀντλοῦν-

---

[1]) **Сарданапалъ (по произношенію Грековъ) или Асурбанипалъ, царствовавшій въ Ниневіи незадолго до паденія Ассирійскаго царства (668—626 г. до Р. Х.), извѣстный по своему роскошному и безпечному образу жизни. Страбон. Геогр. 14. 672. Маргитъ—комическое произведеніе, написанное этимъ писиемъ, извѣстное съ отдаленной древности, но несправедливо приписанное Гомеру, дошло до насъ въ небольшихъ отрывкахъ.**

[2]) **Изреченіе греческаго мудреца Питтака Митиленскаго, которое изъясняли философъ Платонъ въ Протагорѣ (339), и поэтъ Симонидъ Кеосскій въ особомъ стихотвореніи** πρὸς Σκόπαν.

[3]) Ὅτι μή, **при отрицательномъ предложеніи, вм.** εἰ μὴ**—развѣ.**

τες πίθον [1]), οὐδὲν πέρας τῶν πόνων ἔχοντες· κουρὰς δὲ καὶ ἀμπεχόνας ἔξω τῶν ἀναγκαίων περιεργάζεσθαι ἢ δυστυχούντων ἐςι, κατὰ τὸν Διογένους λόγον, ἢ ἀδικούντων [2]). Ὥςε καλλωπιςὴν εἶναι καὶ ὀνομάζεσθαι ὁμοίως αἰσχρὸν ἡγεῖσθαί φημι δεῖν τοὺς τοιούτους, ὡς τὸ ἑταιρεῖν ἢ ἀλλοτρίοις γάμοις ἐπιβουλεύειν. Τί γὰρ ἂν διαφέροι τῷ γε νοῦν ἔχοντι ξυςίδα ἀναβεβλῆσθαι, ἤ τι τῶν φαύλων ἱμάτιον φέρειν, ἕως ἂν μηδὲν ἐνδέῃ τοῦ πρὸς χειμῶνά τε εἶναι καὶ θάλπος ἀλεξητήριον: καὶ τἄλλα δὴ τὸν αὐτὸν τρόπον μὴ περιττότερον τῆς χρείας κατεσκευάσθαι, μηδὲ περιέπειν τὸ σῶμα πλέον ἢ ὡς ἄμεινον τῇ ψυχῇ. Οὐχ ἧττον γὰρ ὄνειδος ἀνδρὶ, τῷ γε ὡς ἀληθῶς τῆς προσηγορίας ταύτης ἀξίῳ, καλλωπιςὴν καὶ φιλοσώματον εἶναι, ἢ πρὸς ἄλλο τι τῶν παθῶν ἀγεννῶς διακεῖσθαι. Τὸ γὰρ τὴν πᾶσαν σπουδὴν εἰσφέρεσθαι, ὅπως ὡς κάλλιςα αὐτῷ τὸ σῶμα ἕξοι, οὐ διαγινώσκοντός ἐςιν ἑαυτὸν, οὐδὲ συνιέντος τοῦ σοφοῦ παραγγέλματος, ὅτι οὐ τὸ ὁρώμενόν ἐςιν ὁ ἄνθρωπος, ἀλλά τινος δεῖ περιττοτέρας σοφίας, δι' ἧς ἕκαςος ἡμῶν, ὅστις ποτέ ἐςιν, ἑαυτὸν ἐπιγνώσεται [3]). Τοῦτο δὲ μὴ καθηραμένοις τὸν νοῦν ἀδυνατώτερον ἢ λημῶντι πρὸς τὸν ἥλιον ἀναβλέψαι. Κάθαρσις δὲ ψυχῆς, ὡς ἀθρόως τε εἰπεῖν καὶ ὑμῖν ἱκανῶς, τὰς διὰ τῶν αἰσθήσεων ἡδονὰς ἀτιμάζειν· μὴ ὀφθαλμοὺς ἑςιᾶν ταῖς ἀτόποις τῶν θαυματοποιῶν ἐπιδείξεσιν, ἢ σωμάτων θέαις ἡδονῆς κέντρον ἐναφιέντων, μὴ διὰ τῶν ὤτων διεφθαρμένην μελῳδίαν τῶν ψυχῶν καταχεῖν. Ἀνελευθερίας γὰρ δὴ καὶ ταπεινότητος ἔκγονα πάθη ἐκ τοῦ τοιοῦτουδε τῆς μουσικῆς εἴδους ἐγγίνεσθαι πέφυκεν. Ἀλλὰ τὴν ἑτέραν μεταδιωκτέον ἡμῖν, τὴν ἀμείνω τε καὶ εἰς ἄμεινον φέρουσαν, ᾗ καὶ Δαβὶδ χρώμενος, ὁ ποιητὴς τῶν ἱερῶν ἀσμάτων, ἐκ τῆς μανίας, ὥς φασι, τὸν βασιλέα καθίςη [4]). Λέγεται δὲ καὶ Πυθαγόραν, κωμα-

---

[1]) Греческія пословицы: πῦρ ξαίνειν—бить огонь,—κοσκίνῳ φέρειν ὕδωρ—рѣшетомъ носить воду,—и εἰς τετρημένον ἀντλεῖν πίθον—наливать въ дыравую бочку,—означаютъ: трудиться напрасно, безъ всякой пользы.

[2]) Діогенъ, родомъ изъ Синопа, жившій въ Коринѳѣ и Аѳинахъ во времена Александра Македонскаго, славился остроумными изреченіями, изъ которыхъ приведенное здѣсь сохранилось у Діогена Лаэрція, 6. 54.

[3]) Платонъ въ Федонѣ, 65—69.

[4]) 1 Цар. 16. 23.

ταῖς περιτυχόντα μεθύουσι, κελεῦσαι τὸν αὐλητὴν τὸν τοῦ κώμου κατάρχοντα, μεταβαλόντα τὴν ἁρμονίαν, ἐπαυλῆσαί σφισι τὸ δώριον· τοὺς δὲ οὕτως ἀναφρονῆσαι ὑπὸ τοῦ μέλους, ὥςτε, τοὺς ςεφάνους ῥίψαντας, αἰσχυνομένους ἐπανελθεῖν [1]). Ἕτεροι δὲ πρὸς αὐλὸν κορυβαντιῶσι καὶ ἐκβακχεύονται. Τοσοῦτόν ἐςι τὸ διάφορον ὑγιοῦς ἢ μοχθηρᾶς μελῳδίας ἀναπλησθῆναι! ὥςε τῆς νῦν δὴ κρατούσης ταύτης, ἧττον ὑμῖν μεθεκτέον ἢ ὁτουνοσοῦν τῶν αἰσχίςων. Ἀτμοὺς γε μὴν παντοδαποὺς ἡδονὴν ὀσφρήσει φέροντας τῷ ἀέρι καταμιγνύναι, ἢ μύροις ἑαυτοὺς ἀναχρώννυσθαι, καὶ ἀπαγορεύειν αἰσχύνομαι. Τί δ' ἂν τις εἴποι περὶ τοῦ μὴ χρῆναι τὰς ἐν ἁφῇ καὶ γεύσει διώκειν ἡδονάς, ἢ ὅτι καταναγκάζουσιν αὗται τοὺς περὶ τὴν ἑαυτῶν θήραν ἐσχολακότας, ὥσπερ τὰ θρέμματα, πρὸς τὴν γαςέρα καὶ τὰ ὑπ' αὐτὴν συννενευκότας ζῆν; ἑνὶ δὲ λόγῳ, παντὸς ὑπεροπτέον τοῦ σώματος τῷ μὴ ὡς ἐν βορβόρῳ ταῖς ἡδοναῖς αὐτοῦ κατορωρύχθαι μέλλοντι, ἢ τοσοῦτον ἀνθεκτέον αὐτοῦ, ὅσον, φησὶ Πλάτων, ὑπηρεσίαν φιλοσοφίᾳ κτωμένου [2]), ἐοικότα που λέγων τῷ Παύλῳ, ὃς παραινεῖ μηδεμίαν χρῆναι τοῦ σώματος πρόνοιαν ἔχειν εἰς ἐπιθυμιῶν ἀφορμὴν [3]). Ἢ τί διαφέρουσιν οἱ τοῦ μὲν σώματος, ὡς ἂν κάλλιςα ἔχοι, φροντίζουσι, τὴν δὲ χρησομένην αὐτῷ ψυχὴν ὡς οὐδενὸς ἀξίαν περιορῶσι, τῶν περὶ τὰ ὄργανα σπουδαζόντων, τῆς δὲ δι' αὐτῶν ἐνεργούσης τέχνης καταμελούντων; πᾶν μὲν οὖν τοὐναντίον κολάζειν αὐτὸ καὶ κατέχειν, ὥσπερ θηρίου τὰς ὁρμάς, προσῆκε, καὶ τοὺς ἀπ' αὐτοῦ θορύβους ἐγγινομένους τῇ ψυχῇ οἱονεὶ μάςιγι τῷ λογισμῷ καθικνουμένους κοιμίζειν, ἀλλὰ μὴ πάντα χαλινὸν ἡδονῆς ἀνέντας περιορᾶν τὸν νοῦν, ὥσπερ ἡνίοχον, ὑπὸ δυσηνίων ἵππων ὕβρει φερομένων παρασυρόμενον ἄγεσθαι· καὶ τοῦ Πυθαγόρου μεμνῆσθαι, ὅς, τῶν συνόντων τινὰ καταμαθὼν γυμνασίοις τε καὶ σιτίοις ἑαυτὸν εὖ μάλα κατασαρκοῦντα, «οὗτος [4]), ἔφη, οὐ παύ-

---

[1]) Пиѳагоръ, основатель философской школы его имени († около 500 г. до Р. Х.). О немъ у Діогена Лаэрція, I. 116.

[2]) Платонъ въ Πολιτ. 6. 485.

[3]) Рим 13. 14. 1 Кор. 9. 27.

[4]) Οὗτος, при обращеніи ко второму лицу, употребляется въ видѣ воззванія: heus tu.

σῃ χαλεπώτερον σεαυτῷ κατασκευάζων τὸ δεσμωτήριον; διὸ καὶ Πλάτωνά φασι, τὴν ἐκ σώματος βλάβην προϊδόμενον, τὸ νοσῶδες χωρίον τῆς Ἀττικῆς τὴν Ἀκαδημίαν καταλαβεῖν ἐξεπίτηδες, ἵνα τὴν ἄγαν εὐπάθειαν τοῦ σώματος οἷον ἀμπέλου τὴν εἰς τὰ περιττὰ φορὰν περικόπτοι [1]). Ἐγὼ δὲ καὶ σφαλερὰν εἶναι τὴν ἐπ᾽ ἄκρον εὐεξίαν ἰατρῶν ἤκουσα.

8. Ὅτε τοίνυν ἡ ἄγαν αὕτη τοῦ σώματος ἐπιμέλεια αὐτῷ τε ἀλυσιτελὴς τῷ σώματι, καὶ πρὸς τὴν ψυχὴν ἐμπόδιον ἐστ᾽ τό γε ὑποπεπτωκέναι τούτῳ καὶ θεραπεύειν μανία σαφής. Ἀλλὰ μὴν εἰ τούτου γε ὑπεροραν μελετήσαιμεν, σχολῇ γ᾽ ἄλλο τι τῶν ἀνθρωπίνων θαυμάσαιμεν. Τί γὰρ ἔτι χρησόμεθα πλούτῳ, τὰς διὰ τοῦ σώματος ἡδονὰς ἀτιμάζοντες; ἐγὼ μὲν οὐχ ὁρῶ, πλὴν εἰ μὴ, κατὰ τοὺς ἐν τοῖς μύθοις δράκοντας [2]), ἡδονήν τινα φέροι θησαυροῖς κατορωρυγμένοις ἐπαγρυπνεῖν. Ὅ γε μὴν ἐλευθερίως πρὸς τὰ τοιαῦτα διακεῖσθαι πεπαιδευμένος, πολλοῦ ἂν δέοι ταπεινόν τι καὶ αἰσχρὸν ἔργῳ ἢ λόγῳ ποτὲ προελέσθαι. Τὸ γὰρ τῆς χρείας περιττότερον, κἂν Λύδιον ᾖ ψῆγμα [3]), κἂν τῶν μυρμήκων ἔργον τῶν χρυσοφόρων [4]), τοσούτῳ πλέον ἀτιμάσει, ὅσωπερ ἂν ἧττον προσδέηται· αὐτὴν δὲ δήπου τὴν χρείαν τοῖς τῆς φύσεως ἀναγκαίοις, ἀλλ᾽ οὐ ταῖς ἡδοναῖς ὁριεῖται. Ὡς οἵ γε τῶν ἀναγκαίων ὅρων ἔξω γενόμενοι, παραπλησίως τοῖς κατὰ τοῦ πρανοῦς φερομένοις πρὸς οὐδὲν στάσιμον ἔχοντες ἀποβῆναι, οὐδαμοῦ τῆς εἰς τὸ πρόσω φορᾶς ἵσανται· ἀλλ᾽ ὅσωπερ ἂν πλείω προσπεριβάλωνται, τοῦ ἴσου δέονται ἢ καὶ πλείονος πρὸς τὴν τῆς ἐπιθυμίας ἐκπλήρωσιν, κατὰ τὸν Ἐξηκεστίδου Σόλωνα, ὅς φησι·

«Πλούτου δ᾽ οὐδὲν τέρμα πεφασμένον ἀνδράσι κεῖται» [5]).

Τῷ δὲ Θεόγνιδι πρὸς ταῦτα διδασκάλῳ χρηστέον, λέγοντι·

---

[1]) Объ этомъ говоритъ Софистъ Эліанъ въ Пοικ. Ἱστορ. 9. 10.

[2]) Подъ именемъ драконовъ здѣсь разумѣются или грифоны, которые стерегли сокровища въ Скиѳіи, по словамъ Геродота (Ист. 3, 166), или драконъ, стерегшій золотое руно въ Колхидѣ.

[3]) Λύδιον ψῆγμα—золотоносный песокъ рѣки Пактола въ Лидіи.

[4]) О золотоносныхъ Индійскихъ муравьяхъ говоритъ Геродотъ въ Ист. 3. 102.

[5]) Солонъ въ элегич. стихахъ εἰς ἑαυτόν, ст. 71. Эти слова повторяетъ и Θеогнисъ въ гномахъ, ст. 227. Edit. Berqk.

«Οὐκ ἔραμαι πλουτεῖν, οὔτ' εὔχομαι, ἀλλά μοι εἴη
Ζῆν ἀπὸ τῶν ὀλίγων, μηδὲν ἔχοντι κακόν» [1]).

Ἐγὼ δὲ καὶ Διογένους ἄγαμαι τὴν πάντων ὁμοῦ τῶν ἀνθρωπίνων ὑπεροψίαν, ὅς γε καὶ βασιλέως τοῦ μεγάλου [2]) ἑαυτὸν ἀπέφηνε πλουσιώτερον, τῷ ἐλαττόνων ἢ ἐκεῖνος κατὰ τὸν βίον προσδεῖσθαι. Ἡμῖν δὲ ἄρα, εἰ μὴ τὰ Πυθίου τοῦ Μυσοῦ προσείη τάλαντα [3]), καὶ πλέθρα γῆς τόσα καὶ τόσα, καὶ βοσκημάτων ἑσμοὶ πλείους ἢ ἀριθμῆσαι, οὐδὲν ἐξαρκέσει. Ἀλλ', οἶμαι, προσήκει ἀπόντα τε μὴ ποθεῖν τὸν πλοῦτον, καὶ παρόντος, μὴ τῷ κεκτῆσθαι μᾶλλον φρονεῖν, ἢ τῷ εἰδέναι αὐτὸν εὖ διατίθεσθαι. Τὸ γὰρ τοῦ Σωκράτους εὖ ἔχει, ὅς, μέγα φρονοῦντος πλουσίου ἀνδρὸς ἐπὶ τοῖς χρήμασι, οὐ πρότερον αὐτὸν θαυμάσειν ἔφη, πρὶν ἂν καὶ ὅτι κεχρῆσθαι τούτοις ἐπίσταται πειραθῆναι [4]). Ἢ Φειδίας μὲν καὶ Πολύκλειτος [5]), εἰ τῷ χρυσίῳ μέγα ἐφρόνουν καὶ τῷ ἐλέφαντι, ὧν ὁ μὲν Ἠλείοις τὸν Δία, ὁ δὲ τὴν Ἥραν Ἀργείοις ἐποιησάτην, καταγελάσθω ἂν ἤστην ἀλλοτρίῳ πλούτῳ καλλωπιζόμενοι, ἀφέντες τὴν τέχνην, ὑφ' ἧς καὶ ὁ χρυσὸς ἡδίων καὶ τιμιώτερος ἀπεδείχθη· ἡμεῖς δέ, τὴν ἀνθρωπείαν ἀρετὴν οὐκ ἐξαρκεῖν ἑαυτῇ πρὸς κόσμον ὑπολαμβάνοντες, ἐλάττονος αἰσχύνης ἄξια ποιεῖν οἰόμεθα; ἀλλὰ δῆτα πλούτου μὲν ὑπεροψόμεθα, καὶ τὰς διὰ τῶν αἰσθήσεων ἡδονὰς ἀτιμάσομεν, κολακείας δὲ καὶ θωπείας διωξόμεθα, καὶ τῆς Ἀρχιλόχου ἀλώπεκος τὸ κερδαλέον τε καὶ ποικίλον ζηλώσομεν [6]); ἀλλ' οὐκ ἔστιν ὅ μᾶλλον φευκτέον τῷ

---

[1]) Θеогнисъ въ гномахъ ст. 1155—1156.

[2]) Т. е. Царя Персидскаго. О Діогенѣ см. стр. 264. Прим. 2.

[3]) Пиѳій Мисіянинъ (а по другимъ сказаніямъ, Лидянинъ или Виѳинецъ) славился своимъ богатствомъ и во время персидской войны подарилъ Персидскому Царю Ксерксу 2000 талантовъ. Герод. 7. 27

[4]) Слова Сократа въ Платоновомъ разговорѣ: Эвтидемъ, 282, и у Плутарха: «о воспитаніи дѣтей». Гл. 8.

[5]) О Фидіѣ См. на стр. 122. Прим. 4. Поликлитъ также знаменитый греческій скульпторъ и архитекторъ, родомъ изъ Сикіона или Аргоса, жившій во времена Перикла и изваявшій между прочимъ статую Иры или Юноны, поставленную въ Аргосѣ и славившуюся въ древней Греціи. См. о нихъ въ Lübkers Reallexicon.

[6]) Разумѣется басня о лисицѣ и орлѣ, написанная ямбическимъ поэтомъ Архилохомъ (жившимъ въ 7 вѣкѣ до Р. Хр.), и приводимая многими древними писателями, напр. Платономъ въ Полит. 2. 365.

σωφρονοῦντι τοῦ πρὸς δόξαν ζῆν. καὶ τὰ τοῖς πολλοῖς δοκοῦντα περισκοπεῖν, καὶ μὴ τὸν ὀρθὸν λόγον ἡγεμόνα ποιεῖσθαι τοῦ βίου, ὥςε, κἂν πᾶσιν ἀνθρώποις ἀντιλέγειν, κἂν ἀδοξεῖν καὶ κινδυνεύειν ὑπὲρ τοῦ καλοῦ δέῃ, μηδὲν αἱρεῖσθαι τῶν ὀρθῶς ἐγνωσμένων παρακινεῖν. Ἢ τὸν μὴ οὕτως ἔχοντα τί τοῦ Αἰγυπτίου σοφιςοῦ φήσομεν ἀπολείπειν, ὃς φυτὸν ἐγίγνετο καὶ θηρίον, ὁπότε βούλοιτο, καὶ πῦρ καὶ ὕδωρ, καὶ πάντα χρήματα [1]); εἴπερ δὴ καὶ αὐτὸς νῦν μὲν τὸ δίκαιον ἐπαινέσεται παρὰ τοῖς τοῦτο τιμῶσι, νῦν δὲ τοὺς ἐναντίους ἀφήσει λόγους, ὅταν τὴν ἀδικίαν εὐδοκιμοῦσαν αἴσθηται, ὅπερ δίκης ἐςὶ κολάκων. Καὶ ὥσπερ φασὶ τὸν πολύποδα τὴν χρόαν πρὸς τὴν ὑποκειμένην γῆν, οὕτως αὐτὸς τὴν διάνοιαν πρὸς τὰς τῶν συνόντων γνώμας μεταβαλεῖται. Ἀλλὰ ταῦτα μέν που κἂν τοῖς ἡμετέροις λόγοις τελειότερον μαθησόμεθα· ὅσον δὲ σκιαγραφίαν τινὰ τῆς ἀρετῆς, τό γε νῦν εἶναι, ἐκ τῶν ἔξωθεν παιδευμάτων περιγραψώμεθα. Τοῖς γὰρ ἐπιμελῶς ἐξ ἑκάςου τὴν ὠφέλειαν ἀθροίζουσιν, ὥσπερ τοῖς μεγάλοις τῶν ποταμῶν, πολλαὶ γίνεσθαι πολλαχόθεν αἱ προσθῆκαι πεφύκασι. Τὸ γὰρ καὶ «σμικρὸν ἐπὶ σμικρῷ κατατίθεσθαι» οὐ μᾶλλον εἰς ἀργυρίου προσθήκην ἢ καὶ εἰς ἡντιναοῦν ἐπιςήμην ὀρθῶς ἡγεῖσθαι ἔχειν τῷ ποιητῇ προσῆκεν [2]). Ὁ μὲν οὖν Βίας τῷ υἱεῖ πρὸς Αἰγυπτίους ἀπαίροντι καὶ πυνθανομένῳ, τι ἂν ποιῶν αὐτῷ μάλιςα κεχαρισμένα πράττοι, «ἐφόδιον, ἔφη. πρὸς γῆρας κτησάμενος»· τὴν ἀρετὴν δὴ τὸ ἐφόδιον λέγων, μικροῖς ὅροις αὐτὴν περιγράφων, ὅς γε ἀνθρωπίνῳ βίῳ τὴν ἀπ' αὐτῆς ὠφέλειαν ὡρίζετο [3]). Ἐγὼ δὲ κἂν τὸ Τιθωνοῦ τις γῆρας, κἂν τὸ Ἀργανθωνίου λέγῃ [4]), κἂν τὸ τοῦ μακροβιωτάτου παρ' ἡμῖν Μαθουσάλα, ὃς

¹) Т. е. Протей, жившій въ морѣ, по сказанію Гомера въ Одисс.—δ. 365, и названный Египетскимъ софистомъ у Платона въ Эвтидемѣ, 288.

²) Гезіодъ въ Ἐργ. καὶ ἡμ. ст. 359.

³) Біасъ, одинъ изъ семи древнихъ греческихъ мудрецовъ, родомъ изъ Пріины въ Іоніи, упоминаемый у Геродота въ Ист. 1. 27. Изреченія его у Діогена Лаэрція, 1. 88.

⁴) Тиѳонъ, баснословный мужъ зари (Ἠώς), которому приписывается необыкновенно-продолжительная жизнь. Арганѳоній—царь Тартисскій въ Испаніи, жившій 120 лѣтъ (въ 6—7 вѣкѣ до Р. Хр.) О нихъ см. въ Lübkers-Reallexicon.



χίλια ἔτη, τριάκοντα δεόντων, βιῶναι λέγεται [1]), κἂν σύμπαντα τὸν ἀφ' οὗ γεγόνασιν ἄνθρωποι χρόνον ἀναμετρῇ, ὡς ἐπὶ παίδων διανοίας γελάσομαι, εἰς τὸν μακρὸν ἀποσκοπῶν καὶ ἀγήρω αἰῶνα, οὗ πέρας οὐδὲν ἐςι τῇ ἐπινοίᾳ λαβεῖν, οὐ μᾶλλόν γε ἢ τελευτὴν ὑποθέσθαι τῆς ἀθανάτου ψυχῆς. Πρὸς ὅνπερ κτᾶσθαι παραινέσαιμ' ἂν τά ἐφόδια, πάντα λίθον, κατὰ τὴν παροιμίαν, κινοῦντας [2]), ὅθεν ἂν μέλλῃ τις ὑμῖν ἐπ' αὐτὸν ὠφέλεια γενήσεσθαι· μηδ' ὅτι χαλεπὰ ταῦτα καὶ πόνου δεόμενα, διὰ τοῦτ' ἀποκνήσωμεν· ἀλλ' ἀναμνησθέντας τοῦ παραινέσαντος, ὅτι δέοι βίον μὲν ἄριςον αὐτὸν ἕκαςον προαιρεῖσθαι, ἡδὺν δὲ προσδοκᾶν τῇ συνηθείᾳ γενήσεσθαι [3]), ἐγχειρεῖν τοῖς βελτίςοις. Αἰσχρὸν γάρ, τὸν παρόντα καιρὸν προεμένους, ὕςερόν ποτ' ἀνακαλεῖσθαι τὸ παρελθόν, ὅτε οὐδὲν ἔςαι πλέον ἀνιωμένοις. Ἐγὼ μὲν οὖν ἃ κράτιςα εἶναι κρίνω, τὰ μὲν νῦν εἴρηκα, τὰ δὲ παρὰ πάντα τὸν βίον ὑμῖν ξυμβουλεύσω· ὑμεῖς δέ, τριῶν ἀρρωςημάτων ὄντων, μὴ τῷ ἀνιάτῳ προσεοικέναι δόξητε, μηδὲ τὴν τῆς γνώμης νόσον παραπλησίαν τῇ τῶν εἰς τὰ σώματα δυςυχησάντων δείξητε. Οἱ μὲν γὰρ τὰ μικρὰ τῶν παθῶν κάμνοντες, αὐτοὶ παρὰ τοὺς ἰατροὺς ἔρχονται· οἱ δὲ ὑπὸ μειζόνων καταληφθέντες ἀρρωςημάτων, ἐφ' ἑαυτοὺς καλοῦσι τοὺς θεραπεύσοντας· οἱ δὲ εἰς ἀνήκεςον παντελῶς μελαγχολίας παρενεχθέντες οὐδὲ προσιόντας προσίενται [4]). Ὃ μὴ πάθητε νῦν ὑμεῖς, τοὺς ὀρθῶς ἔχοντας τῶν λογισμῶν ἀποφεύγοντες.

¹) Быт. 5. 27.

²) Πάντα λίθον κινεῖν—двигать всякіе камни—греческая пословица означающая: употреблять всѣ усилія, стараться всѣми силами.

³) Изреченіе философа Пиѳагора, обратившееся въ пословицу: ἑλοῦ βίον τὸν ἄριςον, ἡδὺν δε αὐτὸν ἡ συνήθεια ποιήσει, т. е. избери самый лучшій образъ жизни, а привычка сдѣлаетъ его пріятнымъ. Сохранилось у Стобея, 2. 29.

⁴) Плутархъ въ трактатѣ «объ успѣхахъ въ добродѣтели». Гл. 11.

## 3.

## ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΒΑΣΙΛΕΙΟΥ ΕΠΙΣΤΟΛΑΙ.

### ᾿ΕΠΙΣΤΟΛΗ ᾿ΑΘΑΝΑΣΙῼ ᾿ΕΠΙΣΚΟΠῼ ᾿ΑΛΕΞΑΝΔΡΕΙΑΣ [1]).

### Глав. 1—2.

1. Οὐδένα τοσοῦτον ἡγοῦμαι λυπεῖν τὴν παροῦσαν τῶν ἐκκλησιῶν κατάστασιν, μᾶλλον δὲ σύγχυσιν, εἰπεῖν ἀληθέστερον, ὅσον τὴν σὴν τιμιότητα, συγκρίνοντα μὲν τοῖς ἀρχαίοις τανῦν, καὶ παρὰ πόσον ταῦτα ἐκείνων ἐξήλλακται λογιζόμενον, καὶ ὅτι, εἰ κατὰ τὴν αὐτὴν ὁρμὴν ὑποῤῥέοι ἐπὶ τὸ χεῖρον τὰ πράγματα, οὐδὲν ἔσται τὸ κωλῦον, εἴσω ὀλίγου χρόνου πρὸς ἄλλο τι σχῆμα παντελῶς μεθαρμοσθῆναι τὰς ἐκκλησίας [2]). Ταῦτα πολλάκις ἐπ᾿ ἐμαυτοῦ γενόμενος διενοήθην, ὅτι, εἰ ἡμῖν οὕτως ἐλεεινὴ τῶν ἐκκλησιῶν ἡ παρατροπὴ καταφαίνεται, ποίαν τινὰ εἰκὸς ἐπὶ τούτοις ψυχὴν ἔχειν τὸν τῆς ἀρχαίας εὐσταθείας καὶ ὁμονοίας περὶ τὴν πίστιν τῶν ἐκκλησιῶν τοῦ Κυρίου πεπειραμένον; ἀλλ᾿ ὥσπερ τὸ πολὺ τῆς λύπης τὴν σὴν τελειότητα περιΐσταται, οὕτως ἡγούμεθα προσήκειν καὶ τῆς ὑπὲρ τῶν ἐκκλησιῶν μερίμνης τὸ πλέον τῇ σῇ διαφέρειν φρονήσει. Πάλαι οἶδα καὶ αὐτὸς, κατὰ τὴν ἐνυπάρχουσάν μοι μετρίως τῶν πραγμάτων κατάληψιν, μίαν ἐπιγνοὺς ὁδὸν βοηθείας ταῖς καθ᾿ ἡμᾶς ἐκκλησίαις, τὴν παρὰ τῶν δυτικῶν ἐπισκόπων σύμπνοιαν. Εἰ γὰρ βουληθεῖεν, ὃν ἀνέλαβον ὑπὲρ ἑνὸς ἢ δύο τῶν κατὰ τὴν δύσιν ἐπὶ κακοδοξίᾳ φωραθέντων ζῆλον [3]), τοῦτον καὶ ὑπὲρ τῆς παροικίας τῶν καθ᾿ ἡμᾶς μερῶν ἐπιδείξασθαι, τάχα

---

[1]) Писано въ 371 году.

[2]) Говорится о смутныхъ обстоятельствахъ Церкви тогдашняго времени, подвергавшейся опасности отъ усиленія ересей, Аріанской и другихъ, при Римскомъ Императорѣ Валентѣ.

[3]) Разумѣется осужденіе Авксентія Епископа Медіоланскаго и его приверженцевъ на Римскомъ Соборѣ 370 года при папѣ Дамасѣ.

ἄν τι γένοιτο τοῖς κοινοῖς ὄφελος, τῶν τε κρατούντων [1]) τὸ ἀξιόπιςον τοῦ πλήθους δυσωπουμένων, καὶ τῶν ἑκαςαχοῦ λαῶν ἀκολουθούντων αὐτοῖς ἀναντιῤῥήτως. Τίς οὖν ταῦτα διαπράξασθαι τῆς σῆς συνέσεως δυνατώτερος; τίς συνιδεῖν τὸ δέον ὀξύτερος; τίς ἐνεργῆσαι τὰ χρήσιμα πρακτικώτερος; τίς πρὸς τὴν καταπόνησιν τῶν ἀδελφῶν συμπαθέςερος; τίς τῆς σεμνοτάτης σου πολιᾶς πάσῃ τῇ δύσει αἰδεσιμώτερος; κατάλιπέ τι μνημόσυνον τῷ βίῳ τῆς σῆς ἐπαξίου πολιτείας, τιμιώτατε πάτερ. Τοὺς μυρίους ἐκείνους ὑπὲρ τῆς εὐσεβείας ἄλλους [2]) ἑνὶ τούτῳ κατακόσμησον ἔργῳ. Ἔκπεμψόν τινας ἐκ τῆς ἁγίας τῆς ὑπό σε ἐκλλησίας ἄνδρας δυνατοὺς ἐν τῇ ὑγιαινούσῃ διδασκαλίᾳ πρὸς τοὺς κατὰ τὴν δύσιν ἐπισκόπους· διήγησαι αὐτοῖς τὰς κατασχούσας ἡμᾶς συμφοράς· ὑπόθου τρόπον ἀντιλήψεως· γενοῦ Σαμουὴλ ταῖς ἐκκλησίαις· πολεμουμένοις τοῖς λαοῖς συγκακοπάθησον· ἀνένεγκε εἰρηνικὰς προσευχάς· αἴτησον χάριν παρὰ τοῦ Κυρίου, εἰρήνης τι μνημόσυνον ἐναφεῖναι ταῖς ἐκκλησίαις. Οἶδα, ὅτι ἀσθενεῖς αἱ ἐπιςολαὶ πρὸς συμβουλὴν τοῦ τοσούτου πράγματος [3]). Ἀλλ᾽ οὔτε αὐτὸς τῆς παρ᾽ ἑτέρων παρακλήσεως χρῄζεις, οὐ μᾶλλόν γε ἢ τῶν ἀγωνιςῶν οἱ γενναιότατοι τῆς παρὰ τῶν παίδων ὑποφωνήσεως· οὔτε ἡμεῖς ἀγνοοῦντα διδάσκομεν, ἀλλ᾽ ἐσπουδακότι τὴν ὁρμὴν ἐπιτείνομεν.

2. Πρὸς μὲν οὖν τὰ λοιπὰ τῆς ἀνατολῆς ἴσως σοι καὶ πλειόνων συνεργίας προσδεῖ, καὶ ἀνάγκη ἀναμένειν τοὺς ἐκ τῆς δύσεως. Ἡ μέντοι τῆς κατὰ τὴν Ἀντιόχειαν ἐκκλησίας εὐταξία προδήλως τῆς σῆς ἤρτηται θεοσεβείας· ὥςε τοὺς μὲν οἰκονομῆσαι, τοὺς δὲ καθησυχάσαι, ἀποδοῦναι δὲ τὴν ἰσχὺν τῇ ἐκκλησίᾳ διὰ τῆς συμφωνίας [4]). Καὶ γὰρ ὅτι ὀφείλεις, κατὰ τοὺς σοφωτάτους τῶν ἰατρῶν, τῆς ἐπιμελείας ἐκ τῶν καιριωτάτων ἄρχεσθαι, παντὸς

---

[1]) Οἱ κρατοῦντες—Императоры.

[2]) Т. е. πόνους или ἀγῶνας.

[3]) Говорится о предполагавшемся соединеніи восточныхъ и западныхъ православныхъ Епископовъ для противодѣйствія еретикамъ, или о созваніи 2-го вселенскаго собора.

[4]) Церковь Антіохійская въ то время раздѣлялась на нѣсколько частей, изъ которыхъ одна (православная) признавала своимъ епископомъ св. Мелетія, другая—Павлина, третья—аріанина Евзоя, четвертая—Аполлинарія. См. Учен. объ Отц. Церк. Филарета Черниг. Т. 2. стр. 65.

ἀκριβέστερον αὐτὸς ἐπίστασαι. Τί δ' ἂν γένοιτο ταῖς κατὰ τὴν οἰκουμένην ἐκκλησίαις τῆς 'Αντιοχείας ἐπικαιριώτερον; ἣν εἰ συνέβη πρὸς ὁμόνοιαν ἐπανελθεῖν, οὐδὲν ἐκώλυεν, ὥσπερ κεφαλὴν ἐῤῥωμένην, παντὶ τῷ σώματι ἐπιχορηγεῖν τὴν ὑγίειαν. Τῷ ὄντι δὲ τῆς σῆς δεῖται σοφίας καὶ εὐαγγελικῆς συμπαθείας τὰ ἐκείνης τῆς πόλεως ἀῤῥωστήματα· ἥ γε οὐχ ὑπὸ τῶν αἱρετικῶν διατέτμηται μόνον, ἀλλὰ καὶ ὑπὸ τῶν τὰ αὐτὰ φρονεῖν ἀλλήλοις λεγόντων διασπᾶται. Ταῦτα δὲ ἑνῶσαι καὶ εἰς ἑνὸς σώματος συναγαγεῖν ἁρμονίαν ἐκείνου μόνου ἐστί, τοῦ καὶ τοῖς ξηροῖς ὀστέοις τὴν εἰς νεῦρα καὶ σάρκα πάλιν ἐπάνοδον τῇ ἀφάτῳ αὐτοῦ δυνάμει χαριζομένου [1]). Πάντως δὲ τὰ μεγάλα ὁ Κύριος διὰ τῶν ἀξίων αὐτοῦ ἐνεργεῖ. Πάλιν οὖν καὶ ἐνταῦθα τῇ σῇ μεγαλοφυΐᾳ πρέπειν τὴν τῶν τηλικούτων διακονίαν ἐλπίζομεν, ὥστε καταστορέσαι μὲν τοῦ λαοῦ τὸν τάραχον, παῦσαι δὲ τὰς μερικὰς προστασίας, ὑποτάξαι δὲ πάντας ἀλλήλοις ἐν ἀγάπῃ, καὶ τὴν ἀρχαίαν ἰσχὺν ἀποδοῦναι τῇ 'Εκκλησίᾳ.

---

## ΕΠΙΣΤΟΛΗ ΤΗ 'ΑΝΤΙΟΧΕΩΝ 'ΕΚΚΛΗΣΙΑ [2]).

### Глав. 1—2.

1. «Τίς δώσει μοι πτέρυγας, ὡσεὶ περιστερᾶς, καὶ πετασθήσομαι» [3]) πρὸς ὑμᾶς, καὶ καταπαύσω τὸν πόθον ὃν ἔχω ἐπὶ τῇ συντυχίᾳ τῆς ὑμετέρας ἀγάπης; νυνὶ δὲ οὐχὶ πτερύγων ἐνδεῶς ἔχω μόνον, ἀλλὰ καὶ αὐτοῦ τοῦ σώματος, πάλαι μέν μοι ὑπὸ μακρᾶς τῆς ἀῤῥωστίας πεπονηκότος, νῦν δὲ ὑπὸ τῶν συνεχῶν θλίψεων παντελῶς συντετριμμένου. Τίς γὰρ οὕτως ἀδαμάντινος [4])

---

[1]) Iезек. 37. 1—8.

[2]) Писано въ 373 году, когда православные христiане Антiохiйской церкви имѣли нужду въ утѣшенiи, по удаленiи Епископа ихъ св. Мелетiя, осужденнаго на изгнанiе по проискамъ Арiанъ.

[3]) Псал. 54 7.

[4]) 'Αδαμάντινος (отъ ἀδάμας, происшед. изъ ἀ—δαμάω), несокрушимый, самый твердый, употребляется преимущественно какъ эпитетъ твердѣйшаго изъ металловъ или камней. Въ позднѣйшемъ греческомъ языкѣ: ἀδαμάντιον—алмазъ.

τὴν ψυχήν, τίς οὕτω παντελῶς ἀσυμπαθὴς καὶ ἀνήμερος, ὡς ἀκούων τοῦ πανταχόθεν ἡμᾶς προσβάλλοντος ςεναγμοῦ, οἷον ἀπό τινος χοροῦ κατηφοῦς κοινόν τινα θρῆνον καὶ σύμφωνον προσηχοῦντος, μὴ οὐχὶ παθεῖν τὴν ψυχήν, καὶ κατακαμφθῆναι εἰς γῆν, καὶ ταῖς ἀμηχάνοις ταύταις μερίμναις παντελῶς ἐκτακῆναι; ἀλλὰ δυνατὸς ὁ ἅγιος Θεὸς δοῦναί τινα λύσιν τῶν ἀμηχάνων, καὶ χαρίσασθαι ἡμῖν τινα τῶν μακρῶν πόνων ἀναπνοήν. Ὧςε καὶ ὑμᾶς τὴν αὐτὴν ἔχειν ἀξιῶ παράκλησιν, καὶ τῇ ἐλπίδι τῆς παρακλήσεως χαίροντας ὑμᾶς τὸ παρὸν ἀλγεινὸν τῶν θλίψεων ὑπομένειν. Εἴτε γὰρ ἁμαρτημάτων ἀποτίννυμεν δίκας, ἱκαναὶ αἱ μάςιγες πρὸς παραίτησιν λοιπὸν τῆς ἐφ' ἡμῖν ὀργῆς τοῦ Θεοῦ· εἴτε εἰς τοὺς ὑπὲρ τῆς εὐσεβείας ἀγῶνας διὰ τῶν πειρασμῶν τούτων κεκλήμεθα, δίκαιος ὁ ἀθλοθέτης [1]) μὴ ἐᾶσαι ἡμᾶς πειρασθῆναι ὑπὲρ ὃ δυνάμεθα ὑπενεγκεῖν [2]), ἀλλ' ἐπὶ τοῖς προπεπονημένοις ἀποδοῦναι ἡμῖν τὸν τῆς ὑπομονῆς καὶ τῆς εἰς αὐτὸν ἐλπίδος ςέφανον. Μὴ οὖν ἀποκάμωμεν ἐναθλοῦντες εἰς τοὺς ὑπὲρ τῆς εὐσεβείας ἀγῶνας, μηδὲ δι' ἀνελπιςίας τὰ πονηθέντα ἡμῖν προϊώμεθα. Οὐ γὰρ μία πρᾶξις ἀνδρείας, οὐδὲ βραχὺς πόνος τὸ τῆς ψυχῆς καρτερὸν διαδείκνυσιν· ἀλλ' ὁ δοκιμάζων ἡμῶν τὰς καρδίας διὰ μακρᾶς καὶ παρατεταμένης τῆς δοκιμασίας βούλεται ἡμᾶς τῆς δικαιοσύνης ςεφανίτας ἀποδειχθῆναι. Μόνον ἀνένδοτον φυλασσέσθω τὸ φρόνημα ἡμῶν, ἄσειςον τὸ ςερέωμα τῆς εἰς Χριςὸν πίςεως διατηρείσθω, καὶ ἥξει ἐν τάχει ὁ ἀντιληψόμενος ἡμῶν· ἥξει καὶ οὐ χρονιεῖ. «Προσδέχου γὰρ θλίψιν ἐπὶ θλίψει, ἐλπίδα ἐπ' ἐλπίδι· ἔτι μικρὸν, ἔτι μικρόν» [3]). Οὕτως οἶδε ψυχαγωγεῖν τῇ ἐπαγγελίᾳ τοῦ μέλλοντος τοὺς ἑαυτοῦ τροφίμους τὸ Πνεῦμα τὸ ἅγιον. Μετὰ γὰρ τὰς θλίψεις ἡ ἐλπίς· ἐκ τοῦ σύνεγγυς δὲ πάρεςι τὰ ἐλπιζόμενα [4]). Κἂν γὰρ ὅλον τις εἴποι τὸν ἀνθρώπινον βίον, σμικρότατόν ἐςι διάςημα παντελῶς, συγκρίσει ἐκείνου τοῦ ἀπεράντου αἰῶνος τοῦ ἐν ταῖς ἐλπίσιν ἀποκειμένου.

---

[1]) Ἆθλον—подвигъ и награда за подвиги, особенно при состязаніяхъ; оттуда ἀθλοθέτης (отъ ἆθλον и τίθημι)—назначающій подвиги или награждающій за эти подвиги. Въ настоящемъ мѣстѣ разумѣется Богъ.

[2]) 1 Кор. 10. 13. [3]) Иса. 28. 10.

[4]) Отъ надежды близко и ожидаемое.

2. Πίστιν δὲ ἡμεῖς οὔτε παρ' ἄλλων [1]) γραφομένην ἡμῖν νεωτέραν παραδεχόμεθα, οὔτε αὐτοὶ τὰ τῆς ἡμετέρας διανοίας γεννήματα παραδιδόναι τολμῶμεν, ἵνα μὴ ἀνθρώπινα ποιήσωμεν τὰ τῆς εὐσεβείας ῥήματα· ἀλλ' ἅπερ παρὰ τῶν ἁγίων πατέρων δεδιδάγμεθα, ταῦτα τοῖς ἐρωτῶσιν ἡμᾶς διαγγέλλομεν. Ἔστι τοίνυν ἐκ πατέρων ἐμπολιτευομένη τῇ ἐκκλησίᾳ ἡμῶν ἡ γραφεῖσα παρὰ τῶν ἁγίων πατέρων πίστις τῶν κατὰ τὴν Νίκαιαν συνελθόντων· ἣν ἡγούμεθα μὲν διὰ στόματος εἶναι καὶ παρ' ὑμῖν, οὐ παραιτούμεθα δὲ, ἵνα μὴ ὄκνου ἔγκλημα ἀπενεγκώμεθα, καὶ αὐτὰ τὰ ῥήματα ἐνσημᾶναι τῷ γράμματι. Ἔστι δὲ ταῦτα· «πιστεύομεν εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα, ὁρατῶν τε πάντων καὶ ἀοράτων ποιητήν. Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ, γεννηθέντα ἐκ τοῦ Πατρὸς μονογενῆ· τουτέστιν, ἐκ τῆς οὐσίας τοῦ Πατρός· φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ· γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο, τά τε ἐν τῷ οὐρανῷ καὶ τὰ ἐν τῇ γῇ. Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα· σαρκωθέντα, ἐνανθρωπήσαντα, παθόντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ· ἀνελθόντα εἰς οὐρανοὺς, ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς. Καὶ εἰς τὸ ἅγιον Πνεῦμα. Τοὺς δὲ λέγοντας· ἦν ποτε, ὅτε οὐκ ἦν· καὶ· πρὶν γεννηθῆναι οὐκ ἦν· καὶ ὅτι· ἐξ οὐκ ὄντων ἐγένετο· ἢ ἐξ ἑτέρας ὑποστάσεως ἢ οὐσίας φάσκοντας εἶναι, ἢ τρεπτὸν, ἢ ἀλλοιωτὸν τὸν Υἱὸν τοῦ Θεοῦ, τούτους ἀναθεματίζει ἡ καθολικὴ καὶ ἀποστολικὴ Ἐκκλησία». Πιστεύομεν τούτοις. Ἐπειδὴ δὲ ἀδιόριστός ἐστιν ὁ περὶ τοῦ ἁγίου Πνεύματος λόγος, οὔπω τότε τῶν πνευματομάχων ἀναφανέντων, τὸ χρῆναι ἀναθεματίζεσθαι τοὺς λέγοντας τῆς κτιστῆς εἶναι καὶ δουλικῆς φύσεως τὸ Πνεῦμα τὸ ἅγιον ἐσίγησαν. Οὐδὲν γὰρ ὅλως τῆς θείας καὶ μακαρίας Τριάδος κτιστόν.

---

[1]) Οὔτε παρ' ἄλλων, не отъ кого-нибудь другаго, ἀλλὰ (какъ слѣдуетъ далѣе).

## ʼΕΠΙΣΤΟΛΗ ʼΑΜΦΙΛΟΧΙῼ, ΧΕΙΡΟΤΟΝΗΘΕΝΤΙ ʼΕΠΙΣΚΟΠῼ [1].

### Глав. 1—2.

1. Εὐλογητὸς ὁ Θεὸς, ὁ τοὺς καθʼ ἑκάστην γενεὰν εὐαρεστοῦντας αὐτῷ ἐκλεγόμενος, καὶ γνωρίζων τὰ σκεύη τῆς ἐκλογῆς, καὶ κεχρημένος αὐτοῖς πρὸς τὴν λειτουργίαν τῶν ἁγίων· ὁ καὶ νῦν σε φεύγοντα, ὡς αὐτὸς φῄς, οὐχ ἡμᾶς, ἀλλὰ τὴν διʼ ἡμῶν προσδοκωμένην κλῆσιν, τοῖς ἀφύκτοις δικτύοις τῆς χάριτος σαγηνεύσας, καὶ ἀγαγὼν εἰς τὰ μέσα τῆς Πισιδίας, ὥστε ἀνθρώπους ζωγρεῖν τῷ Κυρίῳ, καὶ ἕλκειν ἀπὸ τοῦ βυθοῦ εἰς τὸ φῶς τοὺς ἐζωγρημένους ὑπὸ τοῦ διαβόλου εἰς τὸ ἐκείνου θέλημα [2]. Λέγε οὖν καὶ σὺ τὰ μακαρίου Δαβίδ· «ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου; καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω» [3]; τοιαῦτα γὰρ θαυματουργεῖ ὁ φιλάνθρωπος ἡμῶν Δεσπότης. Ὄνοι ἀπόλλυνται, ἵνα βασιλεὺς ʼΙσραὴλ γένηται [4]. ʼΑλλʼ ἐκεῖνος μὲν, ʼΙσραηλίτης ὢν, τῷ ʼΙσραὴλ ἐδόθη· σὲ δὲ ἡ θρεψαμένη [5]) καὶ πρὸς τοσοῦτον ἀναβιβάσασα τῆς ἀρετῆς ὕψος οὐκ ἔχει, ἀλλὰ τὴν γείτονα ὁρᾷ τῷ ἰδίῳ κόσμῳ σεμνυνομένην. ʼΕπειδὴ δὲ εἰς λαὸς πάντες οἱ εἰς Χριστὸν ἠλπικότες, καὶ μία ʼΕκκλησία νῦν οἱ Χριστοῦ, κἂν ἐκ διαφόρων τόπων προσαγορεύηται, χαίρει καὶ ἡ πατρὶς καὶ εὐφραίνεται ταῖς τοῦ Κυρίου οἰκονομίαις, καὶ οὐχ ἡγεῖται ἕνα ἄνδρα ἐζημιῶσθαι, ἀλλὰ διʼ ἑνὸς ἐκκλησίας ὅλας προσειληφέναι. Μόνον παράσχοι ὁ Κύριος καὶ παρόντας ὁρᾶν ἡμᾶς καὶ ἀπόντας ἀκούειν τὴν προκοπήν σου, τὴν ἐν τῷ Εὐαγγελίῳ, καὶ τὴν εὐταξίαν τῶν ἐκκλησιῶν.

2. ʼΑνδρίζου τοίνυν καὶ ἴσχυε, καὶ προπορεύου τοῦ λαοῦ,

---

[1]) Писано въ 374 году. Св. Амфилохій, Епископъ Иконійскій, другъ св. Василія и церковный писатель († около 395 г.), на имя котораго великій Святитель написалъ нѣсколько важныхъ твореній: о Св. Духѣ, о церковномъ благочиніи, отвѣты на вопросы догматическіе и проч.

[2]) 2 Тим. 2. 26. [3]) Пс. 138. 7. [4]) 1 Пар. 9. 3.

[5]) Т. е. γῆ или πατρίς—отечество. Св. Амфилохій родился въ Кесаріи Каппадокійской, посвященъ въ Писидіи въ Епископа Иконіи, главнаго города Ликаонской области.

ὃν ἐπίςευσε τῇ δεξιᾷ σου ὁ Ὕψιςος. Καὶ ὡς νοήμων κυβέρνησιν ποιησάμενος, πάσης ζάλης ἀπὸ τῶν αἱρετικῶν πνευμάτων ἐγειρομένης ὑψηλότερος γενόμενος τῇ γνώμῃ, ἀβάπτιςον τοῖς ἁλμυροῖς καὶ πικροῖς τῆς κακοδοξίας κύμασι διαφύλασσε τὴν ὁλκάδα, ἀναμένων τὴν γαλήνην, ἣν ποιήσει ὁ Κύριος, ἐπειδὰν εὑρεθῇ φωνὴ ἀξία τοῦ διαναςῆσαι αὐτὸν πρὸς τὴν ἐπιτίμησιν τῶν πνευμάτων καὶ τῆς θαλάσσης [1]). Εἰ δὲ βούλει ἡμᾶς λοιπὸν ὑπὸ τῆς μακρᾶς ἀῤῥωςίας ἐπειγομένους πρὸς τὴν ἀναγκαίαν ἔξοδον ἐπισκέψασθαι, μήτε καιρὸν ἀναμείνῃς μήτε τὸ παρ᾽ ἡμῶν σύνθημα· εἰδὼς, ὅτι πατρικοῖς σπλάγχνοις πᾶσα εὐκαιρία ἐςὶ περιπτύσσεσθαι τέκνον ἀγαπητὸν, καὶ λόγου παντὸς κρείττων ἡ κατὰ ψυχὴν διάθεσις. Βάρος δὲ ὑπερβαῖνον τὴν δύναμιν [2]) μὴ ὀδύρου. Εἰ μὲν γὰρ αὐτὸς ἦς ὁ μέλλων φέρειν τὸ βάςαγμα τοῦτο, οὐδὲ οὕτως ἂν ἦν βαρὺ, ἀλλὰ φορητὸν [3]) παντελῶς· εἰ δὲ Κύριος ὁ συνδιαφέρων, «ἐπίῤῥιψον ἐπὶ Κύριον τὴν μέριμνάν σου, καὶ αὐτὸς ποιήσει» [4]). Μόνον ἐκεῖνο παραφυλάσσειν ἐν πᾶσι παρακλήθητι, μὴ αὐτὸς τοῖς μοχθηροῖς ἔθεσι συμπεριφέρεσθαι, ἀλλὰ τὰ κακῶς προειλημμένα διὰ τῆς δεδομένης σοι παρὰ Θεοῦ σοφίας μετατιθέναι πρὸς τὸ χρήσιμον. Καὶ γὰρ ἀπέςειλέ σε Χριςὸς οὐχ ἑτέροις κατακολουθεῖν. ἀλλ᾽ αὐτὸν καθηγεῖσθαι τῶν σωζομένων. Καὶ παρακαλοῦμεν προσεύχεσθαι ὑπὲρ ἡμῶν, ἵνα, ἐὰν μὲν ἔτι ὦμεν ἐπὶ τῆς ζωῆς ταύτης, ἰδεῖν σε μετα τῆς ἐκκλησίας καταξιωθῶμεν· ἐὰν δὲ ἀπελθεῖν λοιπὸν προσταχθῶμεν, ἐκεῖ ὑμᾶς ἴδωμεν παρὰ τῷ Κυρίῳ, την μὲν ὡς ἄμπελον εὐθηνοῦσαν ἐπ᾽ ἀγαθοῖς ἔργοις, σὲ δὲ, ὡς σοφὸν γεωργὸν καὶ ἀγαθὸν δοῦλον ἐν καιρῷ διδόντα τοῖς ὁμοδούλοις τὸ σιτομέτριον [5]), πιςοῦ καὶ φρονίμου οἰκονόμου τὸν μισθὸν κομιζόμενον. Οἱ σὺν ἡμῖν πάντες ἀσπάζονταί σου τὴν εὐλάβειαν. Ἐῤῥωμένος καὶ εὔθυμος ἐν Κυρίῳ εἴης· εὐδοκιμῶν ἐπὶ χαρίσμασι Πνεύματος καὶ σοφίας φυλαχθείης.

---

[1]) Мат. 8. 26.

[2]) Т. е. тяжесть Епископства, отъ котораго св. Амфилохій уклонялся.

[3]) Вѣроятно, здѣсь надобно читать ἀφόρητον, по смыслу рѣчи.

[4]) Пс. 54. 23.

[5]) Σιτομέτριον—хлѣбъ въ извѣстной мѣрѣ; библейское выраженіе, встрѣчающееся въ Быт. 47. 12. Лук. 12. 42.

## ΈΠΙΣΤΟΛΗ ΤΟΙΣ ΝΕΟΚΑΙΣΑΡΕΥΣΙΝ [1]).

## Глав. 1—7.

1. Πολὺν χρόνον ἀπεσιωπήσαμεν πρὸς ἀλλήλους, ἀδελφοὶ τιμιώτατοι ἡμῖν καὶ περιπόθητοι, ὥσπερ οἱ πρὸς ὀργὴν διαναςάντες. Καίτοι τις οὕτω βαρύμηνις καὶ δυσδιάλλακτος τῷ λελυπηκότι, ὥςε ὅλῃ σχεδὸν ἀνθρώπου γενεᾷ τὴν ἐκ τοῦ μίσους ὀργὴν συμπαρεκτεῖναι; ὃ περὶ ἡμᾶς ἐςιν ἰδεῖν γινόμενον, οὐδεμιᾶς τοῦ διεζεῦχθαι δικαίας ἀφορμῆς ὑπαρχούσης, οὐκοῦν ὅσα γε ἴσμεν αὐτοί· ἀλλὰ τὸ ἐναντίον, πολλῶν καὶ μεγάλων πρὸς τὴν ἄκραν ἡμῖν φιλίαν καὶ ἕνωσιν ἐνυπαρχόντων τὸ ἐξ ἀρχῆς· ἑνὸς μὲν τοῦ μεγίςου καὶ πρώτου, τῆς ἐντολῆς τοῦ Κυρίου διαῤῥήδην εἰπόντος, ὅτι «ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταὶ ἐςε, ἐὰν ἀγαπᾶτε ἀλλήλους» [2]), καὶ πάλιν τοῦ Ἀποςόλου σαφῶς τὸ τῆς ἀγάπης καλὸν παριςῶντος ἡμῖν, τοῦτο μὲν ἐν οἷς ἀποφαίνεται πλήρωμα νόμου εἶναι τὴν ἀγάπην [3]), τοῦτο δὲ ὅταν προτίθησι πάντων ὁμοῦ τῶν μεγάλων τὸ τῆς ἀγάπης καλὸν, ἐν οἷς φησιν· «ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν, ἢ κύμβαλον ἀλαλάζον· καὶ ἐὰν ἔχω προφητείαν, καὶ εἰδῶ τὰ μυστήρια πάντα, καὶ πᾶσαν τὴν γνῶσιν, καὶ ἔχω πᾶσαν τὴν πίςιν, ὥςε ὄρη μεθιςᾶν, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι· κἂν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου, καὶ παραδῶ τὸ σῶμά μου, ἵνα καυθῇ, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι» [4])· οὐχ ὡς δυναμένου ποτὲ τῶν ἀπηριθμημένων ἑκάςου δίχα τῆς ἀγάπης ἐνεργηθῆναι, ἀλλὰ βουλομένου τοῦ ἁγίου, ὡς αὐτὸς εἶπε, τῷ καθ᾽ ὑπερβολὴν τρόπῳ τὴν κατὰ πάντων ὑπεροχὴν προσμαρτυρῆσαι τῇ ἐντολῇ.

2. Δεύτερον δὲ, ὅτι, εἴ τι μέγα συμβάλλεται πρὸς συνάφειαν καὶ τὸ τῶν αὐτῶν μετασχεῖν διδασκάλων, οἱ αὐτοὶ ὑμῖν τέ εἰσι καὶ ἡμῖν διδάσκαλοί τε τῶν μυςηρίων τοῦ Θεοῦ καὶ πατέρες πνευματικοὶ, οἱ ἐξ ἀρχῆς τὴν ἐκκλησίαν τὴν ὑμετέραν θεμελιώ-

---

[1]) Писано въ 375 году.

[2]) Іоан. 13. 35. [3]) Римл. 13. 10. [4]) Кор. 13. 1—3.

σαντες· Γρηγόριον λέγω τον πάνυ [1]. καὶ ὅσοι ἐφεξῆς ἐκείνῳ τῆς παρ' ὑμῖν ἐπισκοπῆς τὸν θρόνον διαδεξάμενοι, ἄλλος ἐπ' ἄλλῳ, ὥσπερ τινὲς ἀςέρες ἐπανατέλλοντες, κατὰ τῶν αὐτῶν ἰχνῶν ἐπέβησαν, ὥςε διάγνωςα καταλιπεῖν τῆς κατ' οὐρανὸν πολιτείας τὰ σημεῖα τοῖς βουλομένοις. Εἰ δὲ καὶ αἱ σωματικαὶ οἰκειότητες οὐκ ἀπόβλητοι, ἀλλὰ καὶ μέγα συμβαλλόμεναι πρὸς ἀρραγῆ συνάφειαν καὶ κοινωνίαν βίου· καὶ ταῦτα ἡμῖν ὑπῆρξε πρὸς ὑμᾶς τὰ δίκαια. Τίνος οὖν ἕνεκεν, ὦ σεμνοτάτη πόλεων (δι' ὑμῶν γὰρ τῇ πόλει πάσῃ διαλέγομαι) [2], οὐ γράμμα ἥμερον αὐτόθεν, οὐ φωνὴ δεξιά, ἀλλ' ἤνοικται μὲν ὑμῶν τὰ ὦτα τοῖς διαβάλλειν ἐπιχειροῦσιν; ὥςε τοσοῦτον πλέον ςενάζειν ὀφείλω, ὅσωπερ ἂν μᾶλλον ἴδω τὸ σπουδαζόμενον· ἐπειδὴ τὸ τῆς διαβολῆς ἔργον φανερὸν ἔχει τὸν καθηγούμενον, ὅς, ἀπὸ πολλῶν ὑπάρχων ἀδικημάτων γνώριμος, ἀπὸ ταύτης μάλιςα τῆς πονηρίας χαρακτηρίζεται, ὥςε καὶ ὄνομα αὐτῷ γενέσθαι τὴν ἁμαρτίαν [3]. Πλὴν ἀλλ' ὑμεῖς ἀνάσχεσθέ μου τῆς παρρησίας· ἀμφοτέρας τὰς ἀκοὰς τοῖς διαβάλλουσιν ἡμᾶς ἀναπετάσαντες, πάντα ἀνεξετάςως ταῖς ψυχαῖς παραδέχεσθε· καὶ οὐδεὶς ὁ τοῦ ἀληθοῦς τὸ ψεῦδος φυλοκρινῶν. Τίς ἠπόρησε ποτε πονηρῶν ἐγκλημάτων μόνος ἀγωνιζόμενος; τίς ἠλέγχθη ψευδόμενος, μὴ παρόντος τοῦ συκοφαντουμένου; ποῖον ῥῆμα οὐκ ἐςι πιθανὸν τοῖς ἀκούουσιν, ἐὰν ὁ μὲν λοίδορος διατείνηται, ἢ μὴν οὕτως ἔχειν, ὁ δὲ λοιδορούμενος μήτε παρῇ, μήτε ἐπακούῃ τῶν βλασφημιῶν; οὐδὲ αὐτὴ ἡ τοῦ βίου συνήθεια παιδεύει ὑμᾶς πρὸς ταῦτα, ὅτι δεῖ τὸν μέλλοντα ἴσον καὶ κοινὸν ἀκροατὴν γενήσεσθαι, μὴ ὅλον ἀπάγεσθαι παρὰ τοῦ προλαβόντος, ἀλλ' ἀναμένειν καὶ τὴν ἀπολογίαν τοῦ ἐναγομένου, ἵν' οὕτως ἐκ τῆς παραθέσεως ἑκατέρων τῶν λόγων διαδειχθῇ ἡ ἀλήθεια; «κρίμα δίκαιον κρίνατε» [4]· πρόσταγμά ἐςιν ἓν τῶν ἀναγκαιοτάτων εἰς σωτηρίαν.

3. Καὶ ταῦτα λέγω, οὐκ ἐπιλελησμένος τῶν ἀποςολικῶν ῥημάτων, ὅτι, φεύγων ἐκεῖνος τὰ ἀνθρώπινα κριτήρια, ὅλον ἑαυ-

[1]) Т. е. св. Григорій, знаменитый (ὁ πάνυ) Епископъ Неокесарійскій, Чудотворецъ и церковный писатель († около 270 г.).

[2]) Письмо это писано собственно къ пресвитерамъ г. Неокесаріи, а чрезъ нихъ и всему городу.

[3]) Т. е. διάβολος, клеветникъ.

[4]) Іоан. 7. 24.

τοῦ τὸν βίον ταῖς εὐθύναις τοῦ ἀνεξαπατήτου δικαστηρίου ἐταμιέυετο, ἐν οἷς φησιν· «ἐμοὶ δὲ εἰς ἐλάχιςόν ἐςιν, ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ, ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας» [1]. Ἀλλ' ὅμως ἐπειδὴ προλαβοῦσαι διαβολαὶ ψευδεῖς κατέσχον ὑμῶν τὰς ἀκοὰς, καὶ διαβέβληται μὲν ἡμῶν ὁ βίος, διαβέβληται δὲ ἡ περὶ τὸν Θεὸν ἡμῶν πίςις, εἰδὼς, ὅτι τρισὶν ὁμοῦ προσώποις τὴν βλάβην προστρίβεται ὁ διαβάλλων· τόν τε γὰρ συκοφαντούμενον ἀδικεῖ, καὶ πρὸς οὓς ὁ λόγος ἐςὶν αὐτῷ, καὶ ἑαυτόν· τῆς μὲν ἐμαυτοῦ βλάβης κἂν ἀπεσιώπησα, εὖ ἴςε, οὐ καταφρονῶν τῆς παρ' ὑμῖν ὑπολήψεως (πῶς γὰρ ὅς γε, ἵνα μὴ ταύτην ζημιωθῶ, ταῦτα ἐπιςέλλω καὶ ἀγωνίζομαι νῦν;), ἀλλ' ὁρῶν, ὅτι ἐν τρισὶ τοῖς βλαπτομένοις ὁ τὰ ἐλάττονα ζημιούμενος, εἰμὶ ἐγώ. Ἐγὼ μὲν γὰρ ὑμᾶς ἀποςεροῦμαι, ὑμεῖς δὲ τὴν ἀλήθειαν ἀφαιρεῖσθε· καὶ ὁ τούτων αἴτιος ἐμὲ μὲν ὑμῶν διίςησιν, ἑαυτὸν δὲ ἀλλοτριοῖ τοῦ Κυρίου· διότι οὐκ ἔςι Θεῷ ἐκ τῶν ἀπηγορευμένων οἰκειωθῆναι. Ὑμῶν οὖν μᾶλλον ἕνεκεν ἢ ἐμαυτοῦ ποιοῦμαι τοὺς λόγους, καὶ τοῦ ὑμᾶς ἐξελέσθαι βλάβης οὐκ ἀνεκτῆς. Τί γὰρ ἂν καὶ μεῖζον πάθοι κακόν τις τὸ τιμιώτατον τῶν ὄντων ζημιωθεὶς, τὴν ἀλήθειαν;

*4.* Τί οὖν φημι, ἀδελφοί; οὐχ ὅτι ἀναμάρτητός τις ἐγὼ, οὐθ' ὅτι ὁ βίος ὁ ἐμὸς οὐχὶ πλήρης ἐςὶ μυρίων ἐλαττωμάτων· οἶδα γὰρ ἐμαυτὸν, καὶ οὐ διαλείπω γε ςάζων τὸ δάκρυον ὑπὲρ τῶν ἁμαρτημάτων, εἴ πως δυνηθείην ἐξιλάσασθαί μου τὸν Θεὸν, καὶ διαφυγεῖν τὴν ἀπειληθεῖσαν κόλασιν· ἀλλ' ὅτι ὁ τὰ ἡμέτερα κρίνων, εἰ μὲν καθαρὸν ἔχειν διαβεβαιοῦται τὸν ὀφθαλμὸν, καρφολογείτω ἡμῶν τὸ ὄμμα [2]. Ὁμολογοῦμεν γὰρ δεῖσθαι πολλῆς τῆς ἐκ τῶν ὑγιαινόντων ἐπιμελείας· εἰ δὲ τοῦτο μὲν οὐκ ἂν εἴποι, καὶ τοσούτῳ γε πλέον οὐκ ἐρεῖ, ὅσωπερ ἂν μᾶλλον ἢ καθαρὸς (διότι ἴδιον τῶν τελείων τὸ μὴ ἑαυτοὺς ὑπεραίρειν· ἐπεὶ πάντως ὑπόδικοι τῇ ἀλαζονείᾳ τοῦ Φαρισαίου γενήσονται, ὃς, ἑαυτὸν δικαιῶν, κατέκρινε τὸν τελώνην) [3]. μετ' ἐμοῦ ζητείτω τὸν ἰατρὸν, καὶ μὴ πρὸ καιροῦ κρινέτω, «ἕως ἂν ἔλθῃ ὁ Κύριος, ὃς ἀποκαλύψει τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερώσει τὰς βουλὰς τῶν

---

[1] 1 Κορ. 4. 3. [2] Λυκ. 6. 41. [3] Λυκ. 18. 10—14.

καρδιῶν» [1]). Μεμνήσθω δὲ καὶ τοῦ εἰπόντος· «μὴ κρίνετε, ἵνα μὴ κριθῆτε» [2])· καὶ· «μὴ καταδικάζετε, ἵνα μὴ καταδικασθῆτε» [3]). Ὅλως δὲ, ἀδελφοί, εἰ μὲν ἰάσιμα ἡμῶν ἐςι τὰ πλημμελήματα, τί οὐχὶ πείθεται τῷ διδασκάλῳ τῶν ἐκκλησιῶν λέγοντι· «ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον» [4]); Εἰ δὲ ἀνίατος ἡμῶν ἡ ἀνομία, τί οὐχὶ εἰς πρόσωπον ἡμῖν ἀντικαθίςαται, καὶ δημοσιεύσας ἡμῶν τὰ ἀνομήματα, ἐλεύθεροῖ τῆς παρ' ἡμῶν βλάβης τὰς ἐκκλησίας; μὴ τοίνυν ἀνάσχησθε τῆς ὑπ' ὀδόντα λαλουμένης καθ' ἡμῶν λοιδορίας. Τοῦτο γὰρ κἂν παιδίσκη μία τῶν ἐκ μυλῶνος ποιήσειε, κἂν τῶν ἀγοραίων τις μεθ' ὑπερβολῆς ἐπιδείξαιτο, οἷς ἡ γλῶσσα πρὸς πᾶσαν ἠκόνηται λοιδορίαν. Ἀλλ' εἰσὶν ἐπίσκοποι· κληθῶσιν εἰς ἀκρόασιν. Ἔςι κλῆρος κατὰ πᾶσαν τοῦ Θεοῦ παροικίαν· συναχθήτωσαν οἱ δοκιμώτατοι. Λεγέτω μετὰ παῤῥησίας ὁ βουλόμενος, ἵνα ἔλεγχος ᾖ τὸ γινόμενον, καὶ μὴ λοιδορία. Ὑπ' ὄψιν ἀγέτω τὰ λανθάνοντά μου τῆς πονηρίας· μισείτω δὲ μηδὲ τότε, ἀλλὰ νουθετείτω ὡς ἀδελφόν. Ἐλεεῖσθαι που δικαιότεροι ἐσμεν παρὰ τῶν μακαρίων ἀνδρῶν καὶ ἀναμαρτήτων οἱ ἁμαρτωλοὶ ἡμεῖς μᾶλλον ἢ χαλεπαίνεσθαι.

5. Εἰ δὲ περὶ πίςιν τὸ σφάλμα, δειχθήτω ἡμῖν ἡ συγγραφή· πάλιν ἴσον καὶ κοινὸν κριτήριον καθισάτω. Ἀναγνωσθήτω τὸ ἔγκλημα. Δοκιμασθήτω, εἰ μὴ ἀγνοίᾳ τοῦ ἐγκαλοῦντος ἔγκλημα εἶναι δοκεῖ μᾶλλον, ἢ τῇ ἑαυτοῦ φύσει κατεγνωσμένον ἐςὶ τὸ γράμμα. Πολλὰ γὰρ τῶν καλῶν οὐ δοκεῖ εἶναι τοιαῦτα τοῖς τὸ κριτήριον τῆς διανοίας οὐκ ἀκριβὲς κεκτημένοις. Ἐπεὶ καὶ τὰ ἰσοβαρῆ τῶν ὄγκων οὐκ ἴσα εἶναι δοκεῖ, ὅταν μὴ ἰσοῤῥόπως ἔχωσι πρὸς ἀλλήλας αἱ πλάςιγγες. Καὶ τὸ μέλι ἤδη πικρόν τισι κατεφάνη, τὴν γευςικὴν αἴσθησιν ὑπὸ τοῦ πάθους διεφθαρμένοις. Ἀλλὰ καὶ ὀφθαλμὸς οὐχ ὑγιῶς ἔχων πολλὰ μὲν τῶν ὄντων οὐκ εἶδε, πολλὰ δὲ τῶν οὐκ ὄντων ὑπέθετο. Καὶ τοίνυν καὶ ἐπὶ τῆς τῶν λόγων δυνάμεως τὸ ἴσον ὁρῶ πολλάκις γινόμενον, ὅταν τῆς τῶν συγγραψαμένων ἕξεως ὁ κριτὴς ἀπολιμπάνηται. Δεῖ γὰρ σχεδὸν ἐκ τῆς αὐτῆς παρασκευῆς ὡρμῆσθαι τόν τε κρίνοντα τοὺς λόγους καὶ τὸν συγγράφοντα. Ἢ τὰ μὲν γεωργίας ἔργα οὐ δυνατός ἐςι κρίνειν ὅ γε μὴ γεωργικὸς, καὶ τὸ ἐκμελές τε καὶ ἐμμελὲς τῶν

[1]) 1 Κορ. 4. 5. [2]) Ματ. 7. 1. [3]) Λук. 6. 37. [4]) 2 Τιμ. 4. 2.

κατὰ μουσικὴν ῥυθμῶν οὐ διαγνώσεται ὁ μὴ τὴν ἐπιςήμην ἔχων τῆς μουσικῆς· λόγων δὲ κριτὴς εὐθὺς ὁ βουλόμενος ἔςαι, ὁ μήτε διδάσκαλον ἔχων ἑαυτοῦ δεικνύναι, οὔτε χρόνον ἐν ᾧ μεμάθηκεν, οὔτε ὅλως ἐπαΐων τι μικρὸν ἢ μεῖζον τῶν περὶ λόγους. Ἐγὼ δὲ ὁρῶ, ὅτι καὶ ἐν τοῖς λογίοις τοῦ Πνεύματος οὐ παντὶ ἐξῆν ἐπιβάλλειν τῇ ἐξετάσει τῶν εἰρημένων, ἀλλὰ τῷ ἔχοντι τὸ Πνεῦμα τῆς διακρίσεως, καθὼς ἐδίδαξεν ἡμᾶς ὁ Ἀπόςολος, ἐν ταῖς διαιρέσεσι τῶν χαρισμάτων εἰπών· «ᾧ μὲν γὰρ διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως, κατὰ τὸ αὐτὸ Πνεῦμα· ἑτέρῳ δὲ πίςις ἐν τῷ αὐτῷ Πνεύματι· ἄλλῳ δε ἐνεργήματα δυνάμεων· ἄλλῳ προφητεία, ἄλλῳ διακρίσεις πνευμάτων» [1]. Ὥςε εἰ μὲν πνευματικὰ τὰ ἡμέτερα, δεικνύτω ἑαυτὸν ἔχοντα τὸ χάρισμα τῆς διακρίσεως τῶν πνευματικῶν ὁ τὰ ἡμέτερα κρίνειν βουλόμενος· εἰ δὲ, ὡς αὐτὸς λοιδορεῖ, ἀπὸ τῆς σοφίας ἐςὶ τοῦ κόσμου τούτου, δειξάτω ἑαυτὸν ἔμπειρον τῆς σοφίας τοῦ κόσμου, καὶ τότε αὐτῷ τὰς ψήφους τῆς κρίσεως ἐπιτρέψομεν. Καὶ μηδεὶς οἰέσθω ταῦτα πρὸς ἀποφυγὴν τῶν ἐλέγχων ἐπινοεῖσθαι παρ᾽ ἡμῶν. Ὑμῖν γὰρ ἐπιτρέπω, ποθεινότατοι ἀδελφοὶ, ἐφ᾽ ἑαυτῶν ποιήσασθαι τῶν ἐγκαλουμένων ἡμῖν τὴν ἐξέτασιν. Οὕτως ἐςὲ βραδεῖς τὴν διάνοιαν, ὥςε πάντων δεῖσθαι τῶν συνηγόρων πρὸς τὴν τοῦ ἀληθοῦς εὕρεσιν; ἀλλ᾽ ἐὰν μὲν ἀναντίῤῥητα ὑμῖν φανῇ ἐφ᾽ ἑαυτῶν, πείσατε τοὺς ἐρεσχελοῦντας ἀφέσθαι πάσης φιλονεικίας· ἐὰν δέ τι δοκεῖ καὶ ἀμφίβολον ἔχειν, ἐρωτήσατε ἡμᾶς διά τινων μεσιτῶν, δυναμένων πιςῶς διακονήσασθαι τὰ ἡμέτερα· ἢ καὶ ἐγγράφους, εἰ δοκεῖ, ἀπαιτήσατε ἡμᾶς τὰς ἀποδείξεις. Πάντως δὲ παντὶ τρόπῳ σπουδάσατε μὴ ἀνεξέταςα ταῦτα καταλιπεῖν.

6. Πίςεως δὲ τῆς ἡμετέρας τίς ἂν καὶ γένοιτο ἐναργεςέρα ἀπόδειξις, ἢ ὅτι τραφέντες ἡμεῖς ὑπὸ τίτθῃ μακαρίᾳ γυναικὶ, παρ᾽ ὑμῶν ὡρμημένῃ; Μακρίναν λέγω τὴν περιβόητον, παρ᾽ ἧς ἐδιδάχθημεν τὰ τοῦ μακαριωτάτου Γρηγορίου ῥήματα, ὅσα πρὸς αὐτὴν ἀκολουθίᾳ μνήμης διασωθέντα αὐτή τε ἐφύλασσε, καὶ ἡμᾶς ἔτι νηπίους ὄντας ἔπλαττε καὶ ἐμόρφου τοῖς τῆς εὐσεβείας δόγμασιν. Ἐπειδὴ δὲ καὶ αὐτοὶ τὴν τοῦ φρονεῖν δύναμιν ἀπελάβο-

[1] 1 Κορ. 12. 8—10.

μεν, τοῦ λόγου ἡμῖν διὰ τῆς ἡλικίας συμπληρωθέντος, πολλὴν ἐπελθόντες γῆν τε καὶ θάλασσαν, εἴ τινας εὕρομεν τῷ παραδοθέντι κανόνι τῆς εὐσεβείας στοιχοῦντας, τούτους καὶ πατέρας ἐπεγραφάμεθα, καὶ ὁδηγοὺς τῶν ψυχῶν ἡμῶν εἰς τὴν πρὸς Θεὸν πορείαν ἐποιησάμεθα. Καὶ μέχρι γε τῆς ὥρας ταύτης, χάριτι τοῦ καλέσαντος ἡμᾶς κλήσει ἁγίᾳ εἰς τὴν ἑαυτοῦ ἐπίγνωσιν [1]), οὐδένα οἴδαμεν λόγον ἐχθρὸν τῆς ὑγιαινούσης διδασκαλίας ταῖς καρδίαις παραδεξάμενοι· οὐδὲ μολυνθέντες ποτὲ τὰς ψυχὰς τῇ δυσωνύμῳ τῶν Ἀρειανῶν βλασφημίᾳ. Ἀλλ' εἴ τινάς ποτε ὡρμημένους ἐξ ἐκείνου τοῦ διδασκάλου εἰς κοινωνίαν προσελαβόμεθα, ἐπικρυπτομένους τὴν ἐν τῷ βάθει νόσον, καὶ ῥήματα λαλοῦντας εὐσεβῆ, ἢ τοῖς γε παρ' ἡμῶν λεγομένοις μὴ ἀντιτείνοντας, οὕτω προσηκάμεθα, οὔτε πᾶσαν ἑαυτοῖς τὴν κατ' αὐτοὺς κρίσιν ἐπιτρέψαντες, ἀλλὰ ταῖς προεξενεχθείσαις περὶ αὐτῶν ψήφοις παρὰ τῶν πατέρων ἡμῶν ἀκολουθήσαντες. Ἐγὼ γὰρ δεξάμενος γράμματα τοῦ μακαριωτάτου πατρὸς Ἀθανασίου τοῦ τῆς Ἀλεξανδρείας ἐπισκόπου, ἃ καὶ ἔχω ἐν ταῖς χερσὶ καὶ προβάλλομαι τοῖς ἐπιζητοῦσιν, ἐν οἷς φανερῶς διηγόρευσεν, εἴ τις ἐκ τῆς τῶν Ἀρειανῶν αἱρέσεως βούλοιτο μετατίθεσθαι, ὁμολογῶν τὴν ἐν Νικαίᾳ πίστιν, τοῦτον προσίεσθαι, μηδὲν διακρινομένους ἐπ' αὐτῷ· καὶ τούτου τοῦ δόγματος κοινωνούς μοι παρεχομένου τούς τε τῆς Μακεδονίας καὶ τῆς Ἀχαΐας ἐπισκόπους ἅπαντας, νομίζων ἀναγκαῖον εἶναι ἀκολουθεῖν ἀνδρὶ τοσούτῳ διὰ τὸ ἀξιόπιστον τῶν νομοθετησάντων, ὁμοῦ δὲ καὶ ἐπιθυμῶν τὸν τῆς εἰρηνοποιίας μισθὸν ὑποδέξασθαι, τοὺς ταύτην ὁμολογοῦντας τὴν πίστιν ἐγκατέτασσον τῇ μερίδι τῶν κοινωνικῶν.

**7.** Δικαιότερον δὲ τὰ καθ' ἡμᾶς κρίνεσθαι μὴ ἐξ ἑνὸς ἢ δευτέρου τῶν μὴ ὀρθοποδούντων πρὸς τὴν ἀλήθειαν, ἀλλ' ἐκ τοῦ πλήθους τῶν κατὰ τὴν οἰκουμένην ἐπισκόπων συνημμένων ἡμῖν χάριτι τοῦ Κυρίου. Ἐξετασθῶσι δὲ Πισίδαι, Λυκάονες, Ἴσαυροι, Φρύγες ἑκάτεροι, Ἀρμενίων ὅσον ὑμῖν ἐστι πρόσοικον, Μακεδόνες, Ἀχαιοί, Ἰλλύριοι, Γάλλοι, Ἰσπανοί, Ἰταλία σύμπασα, Σικελιῶται, Ἄφροι, Αἰγύπτου τὸ ὑγιαῖνον, τῆς Συρίας ὁπόσον λείψανον· οἵτινες πέμπουσί τε πρὸς ἡμᾶς γράμματα, καὶ πάλιν δέχονται

[1]) Εφ. 1. 17.

παρ' ἡμῶν. Ὧν ἔςιν ὑμῖν ἔκ τε τῶν ἐκεῖθεν φερομένων γραμμάτων μαθεῖν καὶ ἐκ τῶν ἐντεῦθεν πάλιν ἀντιπεμπομένων αὐτοῖς διδαχθῆναι, ὅτι σύμψυχοι πάντες ἐσμέν, τὸ ἓν φρονοῦντες. Ὥςε ὁ τὴν πρὸς ἡμᾶς κοινωνίαν ἀποδιδράσκων μὴ λανθανέτω ὑμῶν τὴν ἀκρίβειαν, πάσης ἑαυτὸν τῆς Ἐκκλησίας ἀποῤῥηγνύς. Περιβλέψασθε, ἀδελφοί, πρὸς τίνας ἐςὶν ὑμῖν ἡ κοινωνία· ἐπειδὰν παρ' ἡμῶν μὴ δεχθῆτε, τίς λοιπὸν ὑμᾶς ἐπιγνώσεται; μὴ ἀγάγητε ἡμᾶς εἰς ἀνάγκην σκυθρωπόν τι βουλεύσασθαι περὶ τῆς φιλτάτης ἡμῖν ἐκκλησίας. Μὴ ποιήσητέ με, ἃ νῦν ἐν τῇ καρδίᾳ κρύπτω τῇ ἐμαυτοῦ, κατ' ἐμαυτὸν ςενάζων καὶ ὀδυρόμενος τοῦ καιροῦ τὴν κακότητα, ὅτι, αἰτίας οὐκ οὔσης, αἱ μέγιςαι τῶν ἐκκλησιῶν καὶ ἐκ παλαιοῦ πρὸς ἀλλήλας ἀδελφῶν τάξιν ἐπέχουσαι, αὗται νῦν διεςήκασι· μή με ποιήσητε ταῦτα πρὸς πάντας ὁμοῦ τοὺς κοινωνικοὺς ἀποδύρασθαι. Μὴ ἐκβιάσησθέ με ἀφεῖναι ῥήματα, ἃ μέχρι τοῦ νῦν τῷ ἐκ τοῦ λογισμοῦ χαλινῷ κεκρυμμένα ἔχω παρ' ἐμαυτῷ. Βέλτιόν ἐςιν ἡμᾶς ἐκ ποδῶν γενέσθαι [1], τὰς δὲ ἐκκλησίας ὁμονοεῖν πρὸς ἀλλήλας, ἢ διὰ τὰς μειρακιώδεις ἡμῶν μικροψυχίας κακὸν τοσοῦτον ἐπάγεσθαι τοῖς λαοῖς τοῦ Θεοῦ. Ἐρωτήσατε τοὺς πατέρας ὑμῶν, καὶ ἀναγγελοῦσιν ὑμῖν, ὅτι, εἰ καὶ τῇ θέσει τοῦ τόπου διῃρῆσθαι ἐδόκουν αἱ παροικίαι, ἀλλὰ τῷ γε φρονήματι ἓν ἦσαν, καὶ μιᾷ γνώμῃ ἐκυβερνῶντο. Συνεχεῖς μὲν τοῦ λαοῦ αἱ ἐπιμιξίαι· συνεχεῖς δὲ τοῦ κλήρου ἐπιδημίαι· αὐτοῖς δὲ τοῖς ποιμέσι τοσοῦτον περιῆν τῆς πρὸς ἀλλήλους ἀγάπης, ὥςε ἑκάτερον αὐτῶν διδασκάλῳ τῷ ἑτέρῳ καὶ ἡγεμόνι χρῆσθαι εἰς τὰ πρὸς Κύριον.

---

## ἘΠΙΣΤΟΛΗ ΤΟΙΣ ΚΑΤΑ ΝΕΟΚΕΣΑΡΕΙΑΝ ΛΟΓΙΩΤΑΤΟΙΣ [2].

## Глав. 1—6.

1. Ὅλως μὲν οὐδὲν ἐδεόμην τὴν ἐμαυτοῦ γνώμην δημοσιεύειν ὑμῖν, οὐδὲ τὰς αἰτίας λέγειν, δι' ἃς νῦν ἐγὼ ἐπὶ τῶν τό-

---

[1] Ἐκ ποδῶν (или ἐκποδῶν) γίγνεσθαι—**устраняться съ дороги, удаляться, умирать.**

[2] **Писано въ 375 году.** Λόγιος (**отъ** λόγος)—**умный, краснорѣчивый, ученый. Ср. Дѣян. Ап. 18. 24.**

πων εἰμὶ τούτων· καὶ γὰρ οὐδὲ ἄλλως τῶν φανηπιώντων ἐγὼ, οὐδὲ τὸ πρᾶγμα τοσούτων μαρτύρων ἄξιον· ἀλλ' οἶμαι, οὐχ ἃ βουλόμεθα ποιοῦμεν, ἀλλ' ἐφ' ἃ προκαλοῦνται ἡμᾶς οἱ καθηγούμενοι [1]). Ἐπεὶ ἔμοιγε τὸ παντελῶς ἀγνοεῖσθαι πλέον ἐσπούδασαι ἢ τοῖς φιλοδόξοις τὸ διαφαίνεσθαι. Ἐπεὶ δὲ πάντων, ὡς ἀκούω, τῶν κατὰ τὴν ὑμετέραν πόλιν τὰ ὦτα διατεθρύλληται, καὶ εἰσί τινες λογοποιοὶ, δημιουργοὶ τοῦ ψεύδους, πρὸς αὐτὸ τοῦτο μεμισθωμένοι, οἳ τὰ ἐμὰ ὑμῖν ἐξηγοῦνται· οὐκ ᾠήθην δεῖν περιιδεῖν ὑμᾶς γνώμῃ πονηρᾷ καὶ φωνῇ ῥυπώσῃ διδασκομένους, ἀλλ' αὐτὸς εἰπεῖν τὰ ἐμαυτοῦ ὅπως ἔχει. Ἐγὼ καὶ διὰ τὴν ἐκ παιδός μοι πρὸς τὸ χωρίον τοῦτο συνήθειαν (ἐνταῦθα γὰρ ἐτράφην παρὰ τῇ ἐμαυτοῦ τίτθῃ) [2]), καὶ διὰ τὴν μετὰ ταῦτα ἐπὶ πλεῖϛον διατριβὴν, ὅτε φεύγων τοὺς πολιτικοὺς θορύβους, ἐπιτήδειον ἐμφιλοσοφῆσαι διὰ τὴν ἐκ τῆς ἐρημίας ἡσυχίαν τὸ χωρίον τοῦτο καταμαθὼν, πολλῶν ἐτῶν ἐφεξῆς ἐνδιέτριψα χρόνον· καὶ διὰ τὴν νῦν τῶν ἀδελφῶν ἐνοίκησιν, βραχείας ἀναπνοῆς ἐκ τῶν κατεχουσῶν ἡμᾶς ἀσχολιῶν ἐπιτυχὼν, ἄσμενος ἦλθον ἐπὶ τὴν ἐσχατιὰν ταύτην· οὐχ ὡς ἑτέροις ἐντεῦθεν πράγματα παρέξων, ἀλλ' ὡς αὐτὸς τὴν ἐμαυτοῦ θεραπεύσων ἐπιθυμίαν.

2. Τί οὖν χρὴ πρὸς ὀνείρους καταφεύγειν, καὶ ὀνειροσκόπους μισθοῦσθαι, καὶ ἐν ταῖς πανδήμοις ἑςιάσεσιν ἡμᾶς ποιεῖσθαι παροίνιον διήγημα [3]); ἐγὼ γὰρ, εἰ καὶ παρ' ἄλλοις τισὶν ἦσαν αἱ διαβολαὶ, ὑμᾶς ἂν τῆς ἐμαυτοῦ γνώμης μάρτυρας παρεςησάμην. Καὶ νῦν ἀξιῶ αὐτῶν ἕκαςον τῶν παλαιῶν ἐκείνων ἀναμνησθῆναι, ὅτε ἐκάλει μὲν ἡμᾶς ἡ πόλις ἐπὶ τὴν τῶν νέων ἐπιμέλειαν, πρεσβεία δὲ παρῆν τῶν παρ' ὑμῖν ἀνδρῶν οἱ ἐν τέλει [4])· μετὰ δὲ ταῦτα, ὅπως πανδημεὶ πάντες περιχυθέντες ἡμᾶς, τί μὲν οὐχὶ διδόντες; τί δὲ οὐχ ὑπισχνούμενοι; ὅμως κατασχεῖν ἡμᾶς οὐκ ἠδυνήθησαν. Πῶς οὖν ὁ τότε καλούμενος οὐχ ὑπακούων, νῦν ἐπεχείρουν ἄκλητος εἰσωθίζεσθαι; πῶς δὲ ὁ τοὺς ἐπαινοῦντάς με

---

[1]) Т. е. Неокесарійскіе правители.

[2]) У бабки Макрины, о которой сказано и въ предъидущемъ письмѣ.

[3]) Παροίνιον (отъ παρὰ и οἶνος) διήγημα—разсказъ, или предметъ разсказовъ, во время пиршества.

[4]) Οἱ ἐν τέλει (т. е. ὄντες)—классическое выраженіе, означающее высшихъ должностныхъ лицъ, начальниковъ.

καὶ θαυμάζοντας ἀποφεύγων, ἔμελλον ἂν νῦν διώκειν τοὺς διαβάλλοντας; μὴ οἰηθῆτε, ὦ ἄριστοι· οὐχ οὕτως εὔωνα τὰ ἡμέτερα. Οὔτε γὰρ ἄν τις ἀκυβερνήτου πλοίου σωφρονῶν ἐπιβαίη, οὔτε ἐκκλησίᾳ παραβάλοι, ἢ τὸν κλύδωνα καὶ τὴν ζάλην αὐτοὶ οἱ ἐπὶ τῶν οἰάκων καθεζόμενοι ἐμποιοῦσι. Πόθεν γὰρ γέγονε θορύβου πλήρης ἡ πόλις, ὅτε οἱ μὲν ἔφευγον, οὐδενὸς διώκοντος, οἱ δὲ ὑπεξῄεσαν, οὐδενὸς ἐπιόντος· χρησμολόγοι δὲ καὶ ὀνειροσκόποι πάντες ἐμορμολύττοντο; πόθεν ἄλλοθεν ταῦτα; ἢ οὐχὶ καὶ παιδὶ γνώριμον, ὅτι ἐκ τῶν ἡγουμένων τοῦ πλήθους; ὧν τὰς αἰτίας τῆς ἔχθρας ἐμοὶ μὲν οὐκ εὐπρεπὲς λέγειν, ὑμῖν δὲ συνορᾶν καὶ πάνυ ῥᾴδιον. Ὅταν γὰρ ἡ μὲν πικρία καὶ ἡ διάστασις μηδεμίαν ἔχοι ὑπερβολὴν [1]) εἰς χαλεπότητα, ἡ δὲ τῆς αἰτίας ἐξήγησις ἀνυπόστατος παντελῶς καὶ καταγέλαστος ᾖ, δῆλόν ἐστι τῆς ψυχῆς τὸ ἀρρώστημα, ἀλλοτρίοις μὲν ἀγαθοῖς ἐπισυμβαῖνον, οἰκεῖον δὲ καὶ πρῶτον κακὸν ὑπάρχον τῷ κεκτημένῳ. Οἷς καὶ ἄλλο δή τι χάριεν πρόσεστιν. Ἀμυσσόμενοι γὰρ ἐν τῷ βάθει καὶ ὀδυνώμενοι, ἐκλαλῆσαι τὴν συμφορὰν ὑπὸ τῆς αἰσχύνης οὐκ ἐπιτρέπονται. Τοῦτο μὲν οὖν οὐκ ἐκ τῶν πρὸς ἡμᾶς μόνον, ἀλλὰ καὶ ἀπὸ τοῦ λοιποῦ βίου γνωριμόν ἐστι τῆς ψυχῆς αὐτῶν τὸ πάθημα· εἰ δὲ καὶ ἀγνοοῖτο, οὐ μεγάλη ζημία τοῖς πράγμασι. Τὴν δὲ ἀληθεστάτην αἰτίαν, δι' ἣν φευκτὴν ἡμῶν τὴν συντυχίαν τίθενται, λανθάνουσαν ἴσως τοὺς πολλοὺς ὑμῶν, ἐγὼ διδάξω. Ἀλλ' ἀκούσατε.

3. Πίστεως διαστροφὴ παρ' ὑμῖν μελετᾶται, ἐχθρὰ μὲν τοῖς ἀποστολικοῖς καὶ εὐαγγελικοῖς δόγμασιν, ἐχθρὰ δὲ τῇ παραδόσει τοῦ μεγάλου ὡς ἀληθῶς Γρηγορίου, καὶ τῶν ἐφεξῆς ἀπ' ἐκείνου μέχρι τοῦ μακαρίου Μουσωνίου [2]), οὗ τὰ διδάγματα ἔναυλα ὑμῖν ἐστιν ἔτι καὶ νῦν δηλονότι. Τὸ γὰρ τοῦ Σαβελλίου κακὸν, πάλαι μὲν κινηθὲν, κατασβεσθὲν δὲ τῇ παραδόσει τοῦ μεγάλου [3]), ἐπιχειροῦσι νῦν ἀνανεοῦσθαι οὗτοι, οἱ φόβῳ τῶν ἐλέγχων τοὺς καθ' ἡμῶν ὀνείρους πλάττοντες. Ἀλλ' ὑμεῖς τὰς οἰνοβαρεῖς κε-

---

[1]) Не могутъ быть превзойдены, дошли до крайней степени (раздраженія, εἰς χαλεπότητα).

[2]) Мусоній, Епископъ Неокесарійскій († 368 г.), котораго достоинства изображены св. Василіемъ въ другомъ письмѣ къ Неокесарійской церкви (Пис. 28. Edit. Migne).

[3]) Т. е. св. Григорія Чудотворца.

φαλάς, ἃς ὁ ἐκ τῆς κραιπάλης ἀναφερόμενος ἀτμός, εἶτα ἐγκυμαίνων, καταφαντάζει, χαίρειν ἀφέντες, παρὰ τῶν ἐγρηγορότων ἡμῶν καὶ διὰ τὸν τοῦ Θεοῦ φόβον μὴ δυναμένων ἡσυχάζειν, τὴν βλάβην ὑμῶν ἀκούσατε. Ἰουδαϊσμός ἐςιν ὁ Σαβελλισμός, ἐν προσχήματι χριςιανισμοῦ τῷ εὐαγγελικῷ κηρύγματι ἐπεισαγόμενος. Ὁ γὰρ ἓν πρᾶγμα πολυπρόσωπον λέγων Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, καὶ μίαν τῶν τριῶν τὴν ὑπόςασιν ἐκτιθέμενος, τί ἄλλο ποιεῖ, ἢ οὐχὶ ἀρνεῖται μὲν τὴν προαιώνιον τοῦ Μονογενοῦς ὕπαρξιν; ἀρνεῖται δὲ καὶ τὴν οἰκονομικὴν αὐτοῦ πρὸς ἀνθρώπους ἐπιδημίαν, τὴν εἰς ᾅδου κάθοδον, τὴν ἀνάςασιν, τὴν κρίσιν· ἀρνεῖται δὲ καὶ τὰς ἰδιαζούσας τοῦ Πνεύματος ἐνεργείας. Παρὰ δὲ ὑμῖν νῦν καὶ νεανικώτερα ἀκούω τολμᾶσθαι τοῦ ματαιόφρονος Σαβελλίου. Λέγουσι γάρ, ὥς οἱ ἀκηκοότες φασί, διατείνεσθαι τοὺς παρ' ὑμῖν σοφοὺς καὶ λέγειν, ὅτι ὄνομα τοῦ Μονογενοῦς οὐ παραδέδοται, ὄνομα δὲ τοῦ ἀντικειμένου ἐςί· καὶ ἐπὶ τούτῳ γάνυσθαι μὲν καὶ μέγα φρονεῖν, ὡς ἐπὶ οἰκείῳ εὑρήματι. Εἴρηται γάρ, φησίν· «Ἐγὼ ἦλθον ἐν τῷ ὀνόματι τοῦ Πατρός μου, καὶ οὐκ ἐλάβετέ με· ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ἰδίῳ ὀνόματι, ἐκεῖνον λήψεσθε» [1]). Καὶ διὰ τὸ εἰρῆσθαι· «μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος» [2]), δῆλόν ἐςι, φασίν, ὅτι ἕν ἐςιν ὄνομα· οὐ γὰρ εἴρηται, εἰς «τὰ ὀνόματα», ἀλλ' «εἰς τὸ ὄνομα».

4. Ταῦτα ἐρυθριῶν ἔγραφον ὑμῖν, ὅτι ἀφ' αἵματος ἡμετέρου εἰσὶν οἱ τούτοις ἔνοχοι, καὶ καταςενάζω τῆς ἐμαυτοῦ ψυχῆς, ὅτι ἀναγκάζομαι, ὥσπερ οἱ πρὸς δύο πυκτεύοντες, τὰς ἐφ' ἑκάτερα τοῦ λόγου παρατροπὰς κρούων τοῖς ἐλέγχοις καὶ καταβάλλων, τὴν προσήκουσαν ἰσχὺν ἀποδιδόναι τῇ ἀληθείᾳ. Ἐντεῦθεν γὰρ ὁ Ἀνόμοιος ἡμᾶς σπαράσσει [3])· ἑτέρωθεν δέ, ὡς ἔοικεν, ὁ Σαβέλλιος. Ἀλλ' ὑμᾶς παρακαλῶ, τοῖς βδελυροῖς τούτοις καὶ μηδένα παρατρέψαι δυναμένοις σοφίσμασι μὴ προσέχειν τὸν νοῦν· εἰδέναι

---

[1]) Іоан. 5. 43. [2]) Мат. 28. 19.

[3]) Аномеи (отъ ἀν—ὅμοιος) нарицательное, но обратившееся съ 358 года какъ бы въ собственное названіе чистыхъ Аріанъ, не признававшихъ Сына Божія даже подобнымъ Богу—Отцу по существу, въ отличіе отъ полу-аріанъ, признававшихъ нѣкоторое подобіе между ними. О Савелліѣ см. на стр. 149. Прим. 2.

δὲ, ὅτι ἐπὶ τὸ ὄνομα τοῦ Χριστοῦ τὸ ὑπὲρ πᾶν ὄνομα, αὐτὸ τὸ καλεῖσθαι αὐτὸν Υἱὸν τοῦ Θεοῦ, καὶ κατὰ τὸν Πέτρου λόγον· «οὐδὲ ἐστιν ἕτερον ὄνομα ὑπὸ τὸν οὐρανὸν, τὸ δεδομένον ἐν ἀνθρώποις, ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς» [1]). Πρὸς δὲ τὸ, ὅτι «Ἐγὼ ἦλθον ἐν τῷ ὀνόματι τοῦ Πατρός μου», ἐκεῖνο εἰδέναι χρὴ, ὅτι, ἀρχὴν ἑαυτοῦ καὶ αἰτίαν ἐπιγραφόμενος τὸν Πατέρα, ταῦτα λέγει. Εἰ δὲ εἴρηται· «πορευθέντες βαπτίζετε εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος», οὐ παρὰ τοῦτο χρὴ νομίζειν ἓν ἡμῖν ὄνομα παραδεδόσθαι. Ὡς γὰρ ὁ εἰπὼν «Παῦλος καὶ Σιλουανὸς καὶ Τιμόθεος» [2]), τρία μὲν εἶπεν ὀνόματα, συνέδησε δὲ αὐτὰ ἀλλήλοις διὰ τῆς «καὶ» συλλαβῆς· οὕτως ὁ εἰπὼν ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, τρία εἰπὼν, συνέπλεξεν αὐτὰ τῷ συνδέσμῳ, ἑκάστῳ ὀνόματι ἴδιον ὑποβεβλῆσθαι τὸ σημαινόμενον ἐκδιδάσκων· διότι πραγμάτων ἐστὶ σημαντικὰ τὰ ὀνόματα. Τὰ δὲ πράγματα ἰδιάζουσαν καὶ αὐτοτελῆ τὴν ὕπαρξιν ἔχειν οὐδεὶς τῶν καὶ μικρὸν μετεχόντων τοῦ φρονεῖν ἀμφιβάλλει. Πατρὸς γὰρ καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος φύσις μὲν ἡ αὐτὴ καὶ θεότης μία, ὀνόματα δὲ διάφορα, περιορισμένας καὶ ἀπηρτισμένας τὰς ἐννοίας ἡμῖν παριστῶντα. Ἀμήχανον γὰρ, μὴ ἐν τοῖς ἑκάστου ἰδιώμασι τὴν διάνοιαν γενομένην ἀσύγχυτον, δυνηθῆναι Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι τὴν δοξολογίαν ἀποπληρῶσαι. Ἐὰν μὲν οὖν ἀρνῶνται μὴ λέγειν ταῦτα, μηδὲ διδάσκειν οὕτω, κατώρθωται ἡμῖν τὰ σπουδαζόμενα. Καίτοι χαλεπὴν αὐτοῖς οὖσαν ὁρῶ τὴν ἄρνησιν, διὰ τὸ πολλοὺς ἔχειν τῶν λόγων τούτων τοὺς μάρτυρας. Πλὴν ἀλλ' οὐ σκοποῦμεν τὰ παρελθόντα, τὰ παρόντα μόνον ὑγιαινέτωσαν. Ἐὰν δὲ τοῖς αὐτοῖς ἐπιμένωσιν, ἀνάγκη καὶ πρὸς ἄλλας ἐκκλησίας ἐκβοῆσαι ἡμᾶς τὴν καθ' ὑμᾶς συμφορὰν, καὶ ποιῆσαι παρὰ πλειόνων ἐπισκόπων γράμματα ὑμῖν ἀφικέσθαι, τὸ μέγεθος τοῦτο τῆς ὑποκατασκευαζομένης ἀσεβείας καταρρηγνύντα. Ἢ γὰρ προὔργου [3]) τι ἔσται εἰς τὴν σπουδὴν, ἢ πάντως ἡ παροῦσα διαμαρτυρία ἀφήσει ἡμᾶς τῆς αἰτίας ἐπὶ τοῦ κριτηρίου [4]).

---

[1]) Дѣян. 4. 12. [2]) 1 Сол. 1. 1.

[3]) Προὔργου. См. на 254 стр. Прим. 1.

[4]) Κριτήριον вм. κρίσις, т. е. на будущемъ судѣ Божіемъ. Ср. Евр. 9. 27.

5. Ἤδη δὲ καὶ ἐν συντάγμασιν οἰκείοις κατεβάλοντο τοὺς λόγους τούτους· οὕσπερ καὶ ἀπέςειλαν πρῶτον τῷ ἀνθρώπῳ τοῦ Θεοῦ Μελετίῳ τῷ ἐπισκόπῳ, καὶ λαβόντες παρ' αὐτοῦ τὰς προσηκούσας ἀποκρίσεις, ὡς αἱ τῶν τεράτων μητέρες ἐπαισχυνόμεναι τοῖς πηρώμασι τῆς φύσεως, οὕτω καὶ αὐτοὶ τὰς αἰσχρὰς ἑαυτῶν ὠδῖνας τῷ προσήκοντι σκότῳ κατακρύψαντες τιθηνοῦνται. Καθῆκαν δέ τινα πεῖραν δι' ἐπιςολῆς καὶ πρὸς τὸν ὁμόψυχον ἡμῶν Ἄνθιμον τὸν Τυάνων ἐπίσκοπον· ὡς ἄρα Γρηγορίου εἰπόντος ἐν ἐκθέσει Πίςεως Πατέρα καὶ Υἱὸν ἐπινοίᾳ μὲν εἶναι δύο, ὑποςάσει δὲ ἕν. Τοῦτο δὲ ὅτι οὐ δογματικῶς εἴρηται, ἀλλ' ἀγωνιςικῶς ἐν τῇ πρὸς Αἰλιανὸν διαλέξει [1]), οὐκ ἠδυνήθησαν συνιδεῖν οἱ ἐπὶ λεπτότητι τῶν φρενῶν ἑαυτοὺς μακαρίζοντες. Ἐν ᾗ πολλὰ τῶν ἀπογραψαμένων ἐςὶ σφάλματα, ὡς ἐπ' αὐτῶν τῶν λέξεων δείξομεν ἡμεῖς, ἐὰν ὁ Θεὸς θέλῃ. Ἔπειτα μέντοι τὸν Ἕλληνα πείθων, οὐχ ἡγεῖτο χρῆναι ἀκριβολογεῖσθαι περὶ τὰ ῥήματα· ἀλλ' ἔςιν ὅπη καὶ συνδιδόντα τῷ ἔθει τοῦ ἐναγομένου, ὡς ἂν μὴ ἀντιτείνοι πρὸς τὰ καίρια. Διὸ δὴ καὶ πολλὰς ἂν εὕροις ἐκεῖ φωνὰς, τὰς νῦν τοῖς αἱρετικοῖς μεγίςην ἰσχὺν παρεχομένας· ὡς «τὸ κτίσμα», καὶ «τὸ ποίημα», καὶ εἴ τι τοιοῦτον. Πολλὰ δὲ καὶ περὶ τῆς πρὸς τὸν ἄνθρωπον συναφείας εἰρημένα εἰς τὸν περὶ τῆς θεότητος ἀναφέρουσι λόγον οἱ ἀπαιδεύτως τῶν γεγραμμένων ἀκούοντες· ὁποῖόν ἐςι καὶ τοῦτο, τὸ παρὰ τούτων περιφερόμενον. Εὖ γὰρ εἰδέναι χρὴ, ὅτι, ὥσπερ ὁ τὸ κοινὸν τῆς οὐσίας μὴ ὁμολογῶν εἰς πολυθεΐαν ἐκπίπτει, οὕτως ὁ τὸ ἰδιάζον τῶν ὑποςάσεων μὴ διδοὺς εἰς τὸν Ἰουδαϊσμὸν ὑποφέρεται. Δεῖ γὰρ τὴν διάνοιαν ἡμῶν οἱονεὶ ἐπερεισθεῖσαν ὑποκειμένῳ τινὶ, καὶ ἐναργεῖς αὐτοῦ ἐντυπωσαμένην τοὺς χαρακτῆρας, οὕτως ἐν περινοίᾳ γενέσθαι τοῦ ποθουμένου. Μὴ γὰρ νοήσαντες τὴν πατρότητα, μηδὲ περὶ ὃν ἀφώριςαι τὸ ἰδίωμα τοῦτο ἐνθυμηθέντες, πῶς δυνατὸν Θεοῦ Πατρὸς ἔννοιαν παραδέξασθαι; οὐ γὰρ ἐξαρκεῖ διαφορὰς προσώπων ἀπαριθμήσασθαι, ἀλλὰ χρὴ ἕκαςον πρόσωπον ἐν ὑποςάσει ἀληθινῇ ὑπάρχον

---

[1]) **Изъ твореній св. Григорія Чудотворца извѣстны между прочими упоминаемые здѣсь: а, символъ Вѣры** (ἔκθεσις τῆς πίςεως), **б, изложеніе Вѣры о Св. Троицѣ къ Эліану (или** κατὰ μέρος πίςις). **Patrol. Curs. Complet. Edit.** Migne. T. X.

ὁμολογεῖν. Ἐπεὶ τόν γε ἀνυπόστατον τῶν προσώπων ἀναπλασμὸν οὐδὲ ὁ Σαβέλλιος παρῃτήσατο, εἰπὼν τὸν αὐτὸν Θεὸν, ἕνα τῷ ὑποκειμένῳ ὄντα, πρὸς τὰς ἑκάστοτε παραπιπτούσας χρείας μεταμορφούμενον, νῦν μὲν ὡς Πατέρα, νῦν δὲ ὡς Υἱὸν, νῦν δὲ ὡς Πνεῦμα ἅγιον διαλέγεσθαι. Ταύτην πάλαι κατασβεσθεῖσαν τὴν πλάνην ἀνανεοῦνται νῦν οἱ τῆς ἀνωνύμου ταύτης αἱρέσεως ἐφευρεταὶ, οἱ τὰς ὑποστάσεις ἀθετοῦντες, καὶ τὸ ὄνομα τοῦ Υἱοῦ τοῦ Θεοῦ ἀπαρνούμενοι. Οὓς, ἐὰν μὴ παύσωνται λαλοῦντες κατὰ τοῦ Θεοῦ ἀδικίαν [1]), ὀδύρεσθαι χρὴ μετὰ τῶν ἀρνησιχρίστων.

6. Ταῦτα ἀναγκαίως ὑμῖν διεστειλάμεθα, ἵνα τὰς ἀπὸ τῶν πονηρῶν διδαγμάτων βλάβας φυλάξησθε. Τῷ ὄντι γὰρ, εἰ χρὴ τὰς πονηρὰς διδασκαλίας τοῖς ὀλεθρίοις φαρμάκοις ἐξομοιοῦν, ὡς οἱ παρ' ὑμῖν ὀνειροσκόποι φασὶ, ταῦτά ἐστι καὶ κώνειον, καὶ ἀκόνιτον, καὶ εἴ τι ἕτερον φάρμακον ἀνδροφόνον. Ταῦτα ψυχῶν δηλητήρια, οὐχ οἱ ἡμέτεροι λόγοι, ἅπερ αἱ οἰνόπληκτοι μήνιγγες ἐκβοῶσι, πολυφάνταστοι οὖσαι διὰ τὸ πάθος· οὕς, εἴπερ ἐσωφρόνουν, ἐχρῆν εἰδέναι, ὅτι ταῖς ἀχράντοις καὶ πάσης κηλῖδος κεκαθαρμέναις ψυχαῖς τὸ προφητικὸν ἐναυγάζει χάρισμα. Οὔτε γὰρ κατόπτρῳ ῥυπῶντι δυνατὸν τῶν εἰκόνων δέξασθαι τὰς ἐμφάσεις, οὔτε ψυχὴν ταῖς βιωτικαῖς προειλημμένην μερίμναις, καὶ τοῖς ἐκ τοῦ φρονήματος τῆς σαρκὸς ἐπισκοτουμένην πάθεσι, δυνατὸν ὑποδέξασθαι τοῦ ἁγίου Πνεύματος τὰς ἐλλάμψεις. Οὐ γὰρ πᾶν ἐνύπνιον εὐθὺς προφητεία, ὥς φησι Ζαχαρίας· «Κύριος ἐποίησε φαντασίαν, καὶ ὑετὸν χειμερινὸν, διότι οἱ ἀποφθεγγόμενοι ἐλάλησαν κόπους, καὶ τὰ ἐνύπνια ψευδῆ ἐλάλουν» [2]). Οὗτοι δὲ κἀκεῖνο ἀγνοοῦσιν, οἱ κατὰ τὸν Ἡσαΐαν ἐνυπνιαζόμενοι καὶ κοίτην φιλοῦντες νυστάξαι [3]), ὅτι πολλάκις ἐνέργεια πλάνης ἀποστέλλεται ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας [4]). Καὶ ἔστι πνεῦμα ψευδὲς, ὃ, ἐν τοῖς ψευδοπροφήταις γενόμενον, τὸν Ἀχαὰβ ἐξηπάτησε [5]). Ταῦτα εἰδότες, ἔδει μὴ τοσοῦτον ὑπεραρθῆναι, ὥστε ἑαυτοῖς προφητείαν προσμαρτυρεῖν, οἵ γε δείκνυνται καὶ τοῦ οἰωνοσκόπου Βαλαὰμ τῆς ἀκριβείας ἀπολειπόμενοι. Ὃς, ὑπὸ τοῦ βασιλέως τῶν Μωαβιτῶν

---

[1]) Пс. 74. 6. [2]) Зах. 10. 1, 2. [3]) Иса. 29. 8; 56. 10. [4]) Еф. 2. 2. [5]) 3 Цар 22. 22.

ἐπὶ μεγίσταις δωρεαῖς μετακληθεὶς, οὐκ ἠνέσχετο ἀφεῖναι φωνὴν παρὰ τὸ βούλημα τοῦ Θεοῦ, οὐδὲ ἀράσασθαι τὸν Ἰσραὴλ, ὃν οὐκ ἀρᾶται Κύριος [1]). Εἰ μὲν οὖν ταῖς ἐντολαῖς τοῦ Κυρίου αἱ κατὰ τὸν ὕπνον αὐτῶν φαντασίαι συντρέχουσιν, ἀρκείσθωσαν τοῖς Εὐαγγελίοις, οὐδεμιᾶς βοηθείας ἐκ τῶν ὀνείρων εἰς τὴν ἀξιοπιστίαν προσδεομένοις· εἰ δὲ ὁ μὲν Κύριος τὴν ἑαυτοῦ εἰρήνην ἀφῆκεν ἡμῖν, καὶ ἐντολὴν καινὴν ἔδωκεν ἡμῖν, ἵνα ἀγαπῶμεν ἀλλήλους [2]), τὰ δὲ ὀνείρατα μάχην καὶ διάστασιν καὶ ἀγάπης ἀφανισμὸν ὑφηγεῖται· μὴ διδότωσαν καιρὸν τῷ διαβόλῳ διὰ τοῦ ὕπνου ταῖς ψυχαῖς αὐτῶν ἐπιβαίνειν, μηδὲ κυριώτερα ποιείτωσαν τὰ παρ' ἑαυτῶν φαντάσματα τῶν σωτηρίων διδαγμάτων.

---

[1]) Числ. 22. [2]) Іоан. 13. 34; 14. 27.

# КРАТКОЕ ИЗЛОЖЕНІЕ

## содержанія избранныхъ мѣстъ изъ греческихъ писаній св. Отцевъ Церкви въ 1-й части.

I. Св. *Климента* Римскаго 1-е Посл. къ Коринѳянамъ. Гл. 1—2. Привѣтствіе Коринѳской церкви отъ Римской; неспокойное состояніе Римской церкви—причина замедленія посланія; прежній благочестивый образъ жизни Коринѳянъ, достойный всеобщей похвалы. Гл. 3. Современное печальное состояніе Коринѳянъ вслѣдствіе несогласій, происшедшихъ между ними отъ гордости и зависти. Гл. 4—6. Много зла произошло отъ надменной зависти и въ древнія времена и въ ближайшее апостольское время; примѣры. Гл. 7—8. Увѣщаніе къ удаленію отъ этихъ пороковъ и къ покаянію, необходимому для членовъ церкви. Гл. 9 — 12. Примѣры святыхъ, получившихъ спасеніе чрезъ вѣру и повиновеніе волѣ Божіей. Гл. 13. Увѣщаніе къ послушанію и смиренію.—Гл. 40—42. Необходимость соблюденія церковнаго порядка, установленнаго Богомъ и Господомъ І. Христомъ. Гл. 43 — 44. Мѣры противъ нарушенія церковнаго порядка, принятыя св. Моисеемъ въ ветхомъ и св. апостолами въ новомъ завѣтѣ. Гл. 45—48. Увѣщанія къ прекращенію мѣстныхъ несогласій и возвращенію къ братолюбивой жизни. Гл. 49 — 50. Изображеніе высокихъ качествъ христіанской любви. Гл. 51—55. Плоды любви—примиреніе съ ближними и самопожертвованіе для общаго блага; примѣры этого. Гл. 56. Увѣщаніе къ вразумленію другъ друга и исправленію. Гл. 57 — 58. Внушеніе виновникамъ несогласій съ угрозою наказаніемъ Божіимъ, если они не покорятся предстоятелямъ церкви и не послушаются предложенныхъ совѣтовъ. Гл. 59—61. Молитва къ Богу о мирѣ и благосостояніи церкви. Гл. 62 — 64. Повтореніе увѣщаній всѣмъ членамъ Коринѳской церкви къ миру, взаимной любви и другимъ добродѣтелямъ. Гл. 65. Изъявленіе желанія—скорѣе узнать о прекращеніи Коринѳскихъ нестроеній чрезъ нарочито посланныхъ лицъ, и заключительное христіанское благословеніе.

II. Св. *Игнатія* Антіохійскаго: 1, Посл. къ Римлянамъ. Гл. 1. Привѣтствіе Римскимъ христіанамъ; надежда св. отца — скоро

*

увидѣться съ ними. Гл. 2—4. Желаніе и просьба, чтобы они не лишали его предстоящаго мученическаго вѣнца своими молитвами и ходатайствомъ предъ властями объ его освобожденіи. Гл. 5—7. Исповѣданіе пламеннаго желанія мученической смерти для скорѣйшаго соединенія со Христомъ, для достиженія небесной жизни и освобожденія отъ жизни временной и тлѣнной. Гл. 8. Просьба о помощи къ исполненію этого желанія. Гл. 9. Просьба о христіанской молитвѣ за церковь Антіохіи Сирійской, оставшуюся безъ епископа. Гл. 10. Заключительное привѣтствіе.— 2, Посл. къ Смирнянамъ. Гл. 1. Послѣ привѣтствія Смирнскимъ христіанамъ, прославленіе Бога за твердую вѣру ихъ въ Іисуса Христа. Гл. 2—3. Несомнѣнность истины, что І. Христосъ въ тѣлѣ человѣческомъ жилъ на землѣ, претерпѣлъ страданія и смерть и воскресъ изъ мертвыхъ. Гл. 4—5. Увѣщаніе къ удаленію отъ еретиковъ, отвергающихъ истину воплощенія Сына Божія, какъ людей вредныхъ и проповѣдующихъ пагубное заблужденіе. Гл. 6—7. Эти еретики не имѣютъ христіанскихъ добродѣтелей, не участвуютъ въ евхаристіи и общей молитвѣ, и потому будутъ осуждены на судѣ Христовомъ. Гл. 8—9. Увѣщаніе—не дѣлать ничего въ церкви безъ епископа и почитать его; истинная церковь не можетъ быть безъ епископа. Гл. 10—11. Благодарность св. отца за благосклонное принятіе спутниковъ его, и просьба объ отправленіи посла къ Антіохійскимъ христіанамъ для поздравленія съ водвореніемъ у нихъ мира. Гл. 12—13. Заключительныя привѣтствія.

III. Св. *Іустина* философа: 1, Апалог. 2-я. Гл. 1—2. Поводъ къ написанію апологіи—незаконная казнь троихъ христіанъ, не задолго предъ тѣмъ замученныхъ въ Римѣ по клеветамъ одного мужа — язычника, получившаго разводъ отъ своей жены — христіанки. Гл. 3. Такъ какъ послѣ этого и другіе могутъ безъ вины подвергнуться гоненію и смерти, и я самъ (говоритъ св. Іустинъ) опасаюсь того же отъ кого-либо изъ клеветниковъ, обвиняющихъ христіанъ въ безбожіи и нечестіи, то мы готовы защищаться. Гл. 4. Отвѣтъ на возраженіе враговъ: почему христіане не умерщвляютъ себя, если смерть есть благодѣяніе для нихъ? Самоубійство преступно; а христіанскіе мученики идутъ на смерть потому, что почитаютъ нечестіемъ отречься отъ истины. Гл. 5—6. Отвѣтъ на другое возраженіе: почему Богъ, почитаемый защитникомъ христіанъ, попускаетъ умерщвлять своихъ чтителей? Гоненія на христіанъ происходятъ по дѣйствію злыхъ демоновъ; это—борьба зла съ добромъ, начавшаяся и допущенная Творцемъ свободныхъ существъ съ паденія злыхъ духовъ и усилившаяся съ воплощенія Спасителя, пришедшаго для сокрушенія демоновъ, такъ что именемъ Его и нынѣ христіане изгоняютъ бѣсовъ. Гл. 7. Богъ не истребляетъ демоновъ и злыхъ людей теперь же ради христіанъ; но настанетъ время, когда злые духи и ихъ послѣдователи будутъ наказаны въ вѣчномъ огнѣ, а христіане за невинныя страданія будутъ увѣнчаны славою и блаженствомъ. Гл. 8—9. По внушенію злыхъ духовъ всегда лучшіе люди были

ненавидимы, гонимы и умерщвляемы; не удивительно, что христіане подвергаются тѣмъ большей ненависти, чѣмъ выше и святѣе ихъ ученіе. Гл. 10. Ученіе христіанское выше всякаго человѣческаго ученія. Гл. 11. Также выше всякаго сомнѣнія безукоризненная нравственность христіанъ, постоянно идущихъ путемъ добродѣтели. Гл. 12—13. Доказательствомъ святости ученія и чистоты жизни христіанъ—самыя страданія мучениковъ, безстрашно встрѣчающихъ смерть, и своимъ образомъ жизни и смерти оправдывающихъ содержимое ими ученіе. Гл. 14 — 15. Просьба о томъ, чтобы сдѣлана была обычная надпись на апологіи для обнародованія ея во всеобщее свѣдѣніе, къ общей пользѣ христіанъ и язычниковъ.—2, Разговоръ съ Трифономъ. Гл. 1. Встрѣча св. Іустина съ Трифономъ іудеемъ, который выдаетъ себя за любителя философіи и тѣмъ подаетъ поводъ спросить: почему онъ, зная Моисея и пророковъ, не оставляетъ философовъ? Гл. 2. Разсказъ св. Іустина, какъ и онъ самъ искалъ истины у разныхъ философовъ и не нашелъ ея ни въ одной изъ тогдашнихъ философскихъ школъ. Гл. 3—7. Продолженіе разсказа о встрѣчѣ и бесѣдѣ на берегу моря съ однимъ старцемъ, который, объяснивъ св. Іустину неудовлетворительность всякаго философскаго ученія для ума и сердца человѣческаго, указалъ на св. пророковъ и христіанскихъ проповѣдниковъ, какъ несомнѣнныхъ учителей истины. Гл. 8. Слѣдствіемъ бесѣды съ старцемъ было обращеніе св. Іустина въ христіанскую вѣру, которую принять онъ совѣтуетъ и Трифону іудею.

IV. Св. *Өеофила* Антіохійскаго. 1, къ Автолику книг. 1. Гл. 1. Вопреки язычнику Автолику, хвалившемуся своими богами, св. отецъ исповѣдуетъ себя христіаниномъ, готовымъ защищать христіанскія истины. Гл. 2—4. На требованіе Автолика — показать христіанскаго Бога, отвѣчается, что Бога не можетъ видѣть никто, кромѣ чистыхъ сердцемъ; не только показать, но и никакими словами изобразить Бога не возможно, такъ какъ мы не можемъ сказать на языкѣ человѣческомъ ничего такого, чѣмъ бы вполнѣ выразить понятіе о высочайшемъ Существѣ. Гл. 5—7. Богъ, незримый очами, можетъ быть созерцаемъ и познаваемъ вѣрою и умомъ изъ дѣйствій Его творенія и промышленія, а еще полнѣе будетъ познанъ нами, когда мы совлечемся смертнаго тѣла и облечемся въ безсмертіе. Гл. 8. Переходя къ ученію о воскресеніи мертвыхъ, св. отецъ доказываетъ, что вѣра и во многихъ житейскихъ дѣлахъ необходима, даже по отношенію къ людямъ, тѣмъ болѣе должно вѣрить Богу и вѣровать, что Онъ, сотворивъ человѣка, можетъ нѣкогда и возсоздать его. Гл. 9—12. Если язычники почитаютъ статуи мнимыхъ боговъ и покланяются изображеніямъ ихъ изъ міра животныхъ и вещей неодушевленныхъ, то безумны насмѣшки ихъ надъ христіанами, которые почитаютъ царей, какъ поставленныхъ отъ Бога для управленія людьми, и покланяются истинному Богу, и по самому названію своему (христіане) достойны уваженія. Гл. 13. Истина же воскресенія мертвыхъ доказывается нѣкоторыми образами его, види-

мыми въ природѣ, напр. постоянною смѣною дней и ночей, дивнымъ возрожденіемъ растеній и плодовъ, ежемѣсячнымъ ущербомъ и возрастаніемъ луны и т. п. Гл. 14. Наконецъ примѣромъ себя самого, сначала не вѣровавшаго въ воскресеніе мертвыхъ, а потомъ увѣровавшаго на основаніи изложенныхъ доказательствъ и ученія богодухновенныхъ писателей, св. отецъ убѣждаетъ Автолика сдѣлать тоже, дабы избѣгнуть наказанія, ожидающаго невѣрующихъ въ будущей жизни, и достигнуть вѣчнаго блаженства, обѣщаннаго вѣрующимъ и совершающимъ добрыя дѣла.— 2, къ Автолику, книг. 2-я. Гл. 12. Важность и высота библейскаго сказанія о шестидневномъ твореніи міра, о которомъ языческіе писатели говорили много, но не сказали ничего вѣрнаго. Гл. 13—14. Могущество Божіе въ твореніи неба и земли и всего, созданнаго въ первый, вторый и третій день; и премудрость Божія въ устроеніи вселенной, въ которомъ можно видѣть образы и самого Бога единаго въ Троицѣ, и будущаго воскресенія мертвыхъ, и нравственнаго состоянія живущихъ людей, и назначенія христіанскихъ церквей для подвергающихся опасностямъ въ здѣшнемъ мірѣ. Гл. 15. Созданіе въ четвертый день свѣтилъ небесныхъ, изъ которыхъ звѣзды разнообразіемъ своимъ напоминаютъ о людяхъ, различныхъ по своимъ достоинствамъ, праведныхъ и нечестивыхъ. Гл. 16 — 17. Созданіе въ пятый день животныхъ изъ воды и въ шестый—животныхъ земныхъ, которыхъ различнымъ породамъ также уподобляются люди, различные по своимъ нравственнымъ качествамъ. Гл. 18 — 19. Послѣ всѣхъ тварей созданъ человѣкъ, котораго преимущество предъ ними открывается изъ самаго образа его сотворенія по сказанію бытописателя.

V. Св. *Ипполита* Римскаго: 1, Сочин. противъ Ноэта. Гл. 8—9. Православное христіанское ученіе о Богѣ состоитъ въ томъ, что Богъ единъ по существу и Троиченъ въ лицахъ; то и другое мы познаемъ изъ божественнаго откровенія въ св. писаніяхъ. Гл. 10—11. Богъ одинъ, но Ему совѣчны и единосущны Сынъ Божій, чрезъ котораго созданъ міръ, и Духъ Святый, глаголавшій чрезъ пророковъ. Гл. 12—15. Сынъ Божій явился и жилъ на землѣ, принявъ человѣческую плоть, какъ предсказывали пророки и свидѣтельствуютъ апостолы. Гл. 16. Посему христіане несомнѣнно исповѣдуютъ истину воплощенія Бога-Слова, хотя она и непостижима для ума человѣческаго. Гл. 17—18. Воплотившись отъ Дѣвы Маріи, Богъ-Слово явилъ свойства и дѣйствія съ одной стороны божескія, а съ другой человѣческія, и какъ истинный Богъ и истинный человѣкъ прославляется въ св. Церкви вмѣстѣ съ Отцемъ и Св. Духомъ.—2, Слово на Богоявленіе. Гл. 1—5. Изображеніе величія любви и кротости Спасителя, который, будучи Господомъ и Творцемъ всѣхъ, принимаетъ крещеніе въ водѣ Іордана отъ своего слуги— Іоанна Предтечи. Гл. 6—7. Свидѣтельства о божескомъ достоинствѣ І. Христа, открывшіяся при Его крещеніи. Гл. 8—9. Спасительные плоды крещенія Христова для всего человѣческаго рода дѣйствіемъ Св. Духа, имѣющаго божес-

кое достоинство равное съ Отцемъ и Сыномъ. Гл. 10. Увѣщаніе къ достойному усвоенію этихъ плодовъ крещенія посредствомъ вѣры, добрыхъ дѣлъ и воздержанія отъ пороковъ.

VI. Св. *Меѳодія* Патарскаго: 1, Сочин. о дѣвствѣ. Рѣчь 1. Гл. 1. Трудность и превосходство дѣвства, для соблюденія котораго особенно необходимо упражненіе въ чтеніи и слушаніи Слова Божія. Гл. 2—3. Дѣвство—небесное растеніе, поздно узнанное; оно принадлежитъ достигающимъ нравственнаго совершенства; постепенное возвышеніе человѣчества къ этому совершенству, по свидѣтельству св. Писанія. Гл. 4. Одинъ І. Христосъ научилъ людей дѣвству, возвѣщая царство небесное и представляя въ себѣ примѣръ для подражанія. Гл. 5. І. Христосъ, сохранивъ плоть свою нерастлѣнною, побуждаетъ христіанъ къ соблюденію дѣвства, котораго величайшее достоинство видно и изъ того, что на небесахъ исчисляется въ Апокалипсисѣ немного дѣвственниковъ въ сравненіи съ множествомъ другихъ святыхъ.—Рѣчь XI. Гл. 1. Истинныхъ и непорочныхъ дѣвственницъ на землѣ немного; дѣвство—высокій подвигъ, соединенный съ воздержаніемъ отъ всѣхъ пороковъ. Гл. 2. Пѣснь дѣвъ, участвовавшихъ въ разговорѣ о дѣвствѣ, въ честь небеснаго Жениха, которому онѣ посвятили всю свою жизнь и дѣятельность.—2, Сочин. о воскресеніи. Гл. 15. Человѣкъ, какъ существо, получившее свое бытіе отъ безсмертнаго Бога, созданъ безсмертнымъ по душѣ и тѣлу. Гл. 16—18. По намѣренію Бога, даровавшаго человѣку высшую предъ всѣми земными тварями природу, и тѣло человѣка создано не подлежащимъ смертному тлѣнію, но сдѣлалось смертнымъ вслѣдствіе грѣха по зависти діавола, который, самъ ниспадши съ неба, направилъ и человѣка ко злу и къ слѣдствію зла—смерти. Гл. 19. Но дѣло Божіе должно возстановиться въ своемъ видѣ и средствомъ для этого возстановленія служитъ тѣлесная смерть. Гл. 20. Несправедливо думать, будто кожаными одеждами, данными Богомъ первозданнымъ людямъ уже послѣ ихъ грѣхопаденія, означаются смертныя тѣла ихъ; тѣло было у человѣка и до грѣхопаденія и составляетъ существенную часть его безсмертной природы. Гл. 21. Послѣ грѣхопаденія человѣка Богъ изгналъ его изъ рая и запретилъ вкушать отъ древа жизни, чтобы въ немъ вмѣстѣ съ тѣломъ не оставалась всегда живущею и грѣховная зараза. Гл. 22—24. Смерть человѣка допущена Богомъ для того, чтобы съ одной стороны разрушеніемъ тѣлеснаго состава совершенно изгладить грѣхъ, который даже и въ лучшемъ христіанинѣ живетъ до конца его жизни, а съ другой стороны по уничтоженіи грѣховной заразы преобразовать составъ человѣка въ первоначальный его видъ, подобно какъ искусный художникъ расплавляетъ изящную, но чѣмъ-нибудь испорченную статую, чтобы изгладить сдѣланное въ ней повреждение и возстановить ее въ прежнемъ изящномъ видѣ. Гл. 25—27. Такимъ образомъ первоначальное тѣло человѣка не должно уничтожиться; это было бы противно идеѣ о Богѣ и человѣкѣ; посредствомъ смерти оно только преобразится силою всемогущаго Бога и возлюбившаго

насъ І. Христа. Гл. 28—29. Слѣдуетъ опроверженіе возраженія касательно человѣческаго тѣла, которое раждается, возрастаетъ и видоизмѣняется, и потому будто должно подлежать естественной смерти: если бы это было справедливо, то умирали бы всѣ сотворенныя и ограниченныя существа, и ангелы и души человѣческія, между тѣмъ ни ангелы ни души человѣческія не погибаютъ, а остаются неразрушимыми и безсмертными по волѣ Создателя; и вся видимая природа, какъ получившая начало бытія, должна была бы погибнуть, но она сотворена Богомъ не для погибели, хотя она также подверглась тлѣнію вслѣдствіе вошедшаго въ міръ грѣха, но также не уничтожится при кончинѣ міра, а только преобразится въ лучшій и благолѣпнѣйшій видъ. Гл. 30—31. Если въ св. Писаніи говорится, что люди по воскресеніи будутъ какъ ангелы, то это не значитъ, что они будутъ жить безтѣлесными; всякое сотворенное существо остается въ томъ природномъ составѣ, въ какомъ оно первоначально создано, а человѣкъ есть существо составленное изъ души и тѣла, слѣдовательно онъ не будетъ существовать безъ тѣла. Гл. 32. Притомъ въ св. Писаніи сказано, что люди по воскресеніи будутъ не ангелами, а «какъ» ангелы; посему безразсудно говорить, что люди по воскресеніи будутъ жить безъ тѣлъ и что настоящія тѣла ихъ не воскреснутъ. Гл. 33—34. Самое ученіе о воскресеніи мертвыхъ, несомнѣнно истинное, служитъ доказательствомъ воскресенія человѣческихъ тѣлъ, потому что воскресеніе принадлежитъ тѣлу, которое умираетъ и разрушается, а не душѣ, которая не умираетъ и не разрушается.

VII. Св. *Аѳанасія* великаго: 1, Противъ Аріанъ Слов. 4-е. Гл. 1. Одно начало въ Божествѣ—Богъ Отецъ; но у Него есть Сынъ, сущій изъ самаго существа Отца, совѣчный Ему и ипостасный, называемый также Словомъ, Премудростію и Силою Отца. Гл. 2. Эти названія, усвояемыя Сыну Божію, не суть простыя свойства или качества существа Бога Отца, но означаютъ ипостасное бытіе Сына въ отношеніи къ Отцу, какъ втораго лица Божества при единствѣ ихъ существа. Гл. 3. Сынъ или Слово Божіе имѣетъ бытіе не отъ себя самаго и не сотворенъ Богомъ Отцемъ, какъ существо внѣшнее по отношенію къ Отцу; иначе въ первомъ случаѣ было бы два начала въ Божествѣ, а во второмъ Сынъ Божій былъ бы тварію; но при единствѣ начала по существу Отецъ есть Богъ и Сынъ есть Богъ. Гл. 4—5. Богъ Отецъ никогда не былъ безъ премудрости или слова; слѣдовательно несправедливо говорятъ Аріане, будто было время, когда не было Сына Божія; напротивъ этимъ словомъ и премудростію Богъ Отецъ сотворилъ все существующее во времени; а самъ Сынъ не сотворенъ и имѣетъ совершенно отличное отъ тварей отношеніе къ Богу Отцу, какъ сущій не внѣ Отца, но въ самомъ существѣ Его. Гл. 6—7. Если же въ св. Писаніи приписывается Сыну Божію І. Христу свойственное тварямъ, именно человѣческія свойства и дѣйствія, то все это приписывается Ему, какъ воплотившемуся Слову Божію, какъ Спасителю и ходатаю,

получившему отъ Бога Отца благодатные дары, нужные для спасенія людей, и чрезъ себя сообщившему ихъ человѣчеству. Гл. 8—11. Еретики Евсевіане, соглашаясь назвать І. Христа Сыномъ Божіимъ или Словомъ и Премудростію, не усвояютъ Ему божескихъ свойствъ и единосущія съ Отцемъ; но они, противорѣча ясному ученію объ этомъ св. Писанія, впадаютъ или въ Савелліанство, принимающее названія Отца и Сына за одни только слова безъ значенія, или въ Аріанство и вмѣстѣ язычество, не признающее втораго божескаго лица въ единомъ Божествѣ. Гл. 12—14. Вмѣстѣ съ тѣмъ они унижаютъ и Бога Отца, представляя Его существовавшимъ нѣкогда безъ Слова и потомъ начавшаго изрекать Слово тогда, когда надлежало сотворить міръ, какъ будто Слово Божіе существуетъ только для міра, а если бы не стало міра, то оно опять перестало бы существовать; или подобно Стоикамъ представляя Божество какъ бы разширяющимся при твореніи міра изъ единицы въ троицу, какъ будто божественная единица безъ такого разширенія себя не могла сотворить міра. Гл. 15—18. Далѣе, еретики отдѣляютъ Слово Божіе отъ Сына Божія, утверждая, что сначала было Слово въ Богѣ, а потомъ сталъ Сынъ, и притомъ одни изъ нихъ называютъ Сыномъ одно то человѣческое существо, которое принято Словомъ при воплощеніи, а другіе—существо соединенное изъ человѣка и Слова; но въ такомъ случаѣ Богъ Отецъ, оставшись самъ въ себѣ безъ Сына, не могъ бы и называться Отцемъ, и о Сынѣ не говорилось бы того, что въ Св. Писаніи часто говорится о немъ, что онъ—въ Отцѣ, что онъ едино съ Отцемъ, что Отца никто не знаетъ, кромѣ Сына и т. п. Гл. 19. Такимъ образомъ Слово и Сынъ есть одно существо, второе лице Св. Троицы; посему всѣ свойства и дѣйствія, приписываемыя Слову, надобно приписывать и Сыну, и обратно все принадлежащее Сыну принадлежитъ и Слову. Гл. 20. Если бы названіемъ Сына означался тотъ человѣкъ, котораго приняло Слово при воплощеніи, то человѣку нужно было бы приписать и тѣ свойства и дѣйствія, которыя усвояются Слову и Сыну Божію, что онъ отъ вѣчности существуетъ въ Богѣ Отцѣ, что имъ сотворенъ міръ, и допустить многія другія несообразности. Гл. 21—22. Если же допустить второе предположеніе, то не понятно, какъ сталъ существовать Сынъ при соединеніи двухъ отдѣльныхъ отъ Него существъ, т. е. Слова и человѣка; при этомъ предположеніи совершенно утрачивается названіе Сына, и все, что говорится въ св. Писаніи о Сынѣ, теряетъ свой смыслъ, и мы лишаемся надежды сдѣлаться сынами Божіими, какъ достигающіе этого усыновленія чрезъ истиннаго Сына Божія. Гл. 23. По несостоятельности этихъ предположеній еретики прибѣгаютъ къ новому измышленію касательно Сына и Слова, будто прежде было Слово, а потомъ по воплощеніи оно же само стало Сыномъ, и потому будто въ ветхомъ Завѣтѣ говорится только о Словѣ, а въ новомъ и о Сынѣ. Гл. 24—29. Но это не справедливо; какъ въ ветхомъ, такъ и въ новомъ Завѣтѣ говорится и о Сынѣ и о Словѣ Божіемъ, и притомъ такъ,

что этими названіями означается одно существо, единородное, совѣчное и единосущное Богу Отцу. Гл. 30—33. Послѣдователи же Павла Самосатскаго отдѣляютъ І. Христа отъ божественнаго Слова, признавая Христа посланнымъ отъ Слова; но, принимая нѣкоторыя мѣста св. Писанія въ такомъ смыслѣ, они опровергаются точнѣйшимъ объясненіемъ этихъ и подобныхъ мѣстъ св. Писанія, и вообще показываютъ непониманіе образа выраженій, свойственнаго св. Писанію. Гл. 34—36. Итакъ Христосъ и Слово Божіе есть одно существо; Христосъ есть Слово воплотившееся отъ Дѣвы Маріи, Богъ и вмѣстѣ человѣкъ, вѣчно сущій и невидимый Сынъ Бога Отца и въ послѣднія времена воплотившійся и сдѣлавшійся видимымъ для спасенія человѣчества.—2, Письмо къ Драконтію. Гл. 1. Увѣщаніе—не уклоняться отъ епископства по страху предъ гоненіями или по какимъ-либо другимъ причинамъ, чтобы не произвести соблазна и вреда въ Церкви. Гл. 2. Такое уклоненіе ничѣмъ не можетъ быть оправдано; напротивъ можетъ послужить къ осужденію отъ верховнаго Архипастыря на страшномъ судѣ Его. Гл. 3—6. Если принятіе епископства Драконтій по чьему-либо внушенію считаетъ препятствіемъ къ продолженію подвиговъ для собственнаго спасенія, то уклоненіе его отъ служенія Церкви несправедливо по отношенію къ таинству священства, уже возложеннаго на него, противно призванію Божію, которое обязательно для призваннаго, и въ настоящее время можетъ сопровождаться большимъ вредомъ для Церкви. Гл. 7. Монашество же не можетъ служить препятствіемъ къ прохожденію епископскаго служенія, такъ какъ извѣстны примѣры другихъ монаховъ, бывшихъ потомъ епископами съ честію и ко благу пасомыхъ. Гл. 8. Слѣдуетъ не слушаться противныхъ совѣтовъ, а подражать посланникамъ Божіимъ, апостоламъ и пророкамъ, тѣмъ болѣе, что—Гл. 9.—Епископство не служитъ препятствіемъ къ собственному преспѣянію и къ подвигамъ монашества; то и другое совмѣстно и можетъ послужить къ большему воздаянію въ будущей жизни. Гл. 10. Итакъ Драконтію слѣдуетъ прибыть къ мѣсту назначеннаго служенія и притомъ поспѣшить по случаю приближающагося праздника Пасхи и для успокоенія написавшаго письмо.

VIII. Св. *Кирилла* Іерусалимскаго: 1, Тайновод. Поуч. 1. Гл. 1. Поводъ къ поученіямъ; причины, почему они преподаются отдѣльно отъ поученій огласительныхъ, и цѣль ихъ. Гл. 2—3. Объясненіе внутренняго значенія предварительныхъ дѣйствій и обрядовъ, совершаемыхъ при крещеніи въ преддверіи крещальни, и прежде всего вступленія въ притворъ; Гл. 4—8. потомъ—обращенія къ западу, странѣ тьмы, отрицанія отъ сатаны, и всѣхъ дѣлъ его, и всей гордыни его, и всего служенія его; Гл. 9—11. наконецъ—обращенія къ востоку, странѣ свѣта. Поуч. 2. Гл. 1. Объясненіе пользы отъ поученій тайноводственныхъ и переходъ къ толкованію дѣйствій и обрядовъ, совершаемыхъ при крещеніи внутри крещальни. Гл. 2 — 4. Объясненіе сложенія одеждъ, помазанія елеемъ, приближенія къ купели крещенія, исповѣданія

вѣры и троекратнаго погруженія въ воду. Гл. 5—8. Погруженіе въ воду есть символъ спогребенія со Христомъ, а появленіе изъ воды—символъ воскресенія со Христомъ и духовнаго возрожденія; вообще же крещеніе доставляетъ крещаемымъ не только оставленіе грѣховъ, но и благодать усыновленія Богу, что крещенные должны всегда сохранять въ своей памяти. Поуч. 3. Гл. 1—3. Въ таинствѣ мѵропомазанія христіане помазуются св. мѵромъ, въ знакъ принятія даровъ св. Духа, какъ самъ Христосъ помазанъ отъ Бога Отца Духомъ святымъ; отъ чего и получается ими имя христіанъ-помазанниковъ. Гл. 4—5. Объясненіе дѣйствій и обрядовъ, совершаемыхъ при мѵропомазаніи, помазанія чела, ушей, ноздрей, персей. Гл. 6—7. Прообразованія новозавѣтнаго таинства мѵропомазанія въ ветхомъ Завѣтѣ, въ которомъ были одни образы его, а здѣсь истинное полученіе даровъ св. Духа, которые и должно соблюдать непорочно и неукоризненно. Поуч. 4. Гл. 1—2. Въ таинствѣ тѣла и крови Христовой преподается вѣрующимъ истинное тѣло Христа и истинная кровь Его, по собственнымъ словамъ Спасителя, учредившаго это таинство. Гл. 3—4. Спасительные плоды пріобщенія тѣла и крови Христовой — соединеніе со Христомъ и причастіе Божескаго естества. Гл. 5—8. И этого таинства образы и предсказанія о немъ были въ ветхомъ Завѣтѣ. Гл. 9. Все это побуждаетъ достойно причащающихся хранить себя въ чистотѣ и святости жизни. Поуч. 5. Гл. 1. Переходъ къ объясненію богослуженія св. Евхаристіи. Гл. 2—5. Объясненіе внутренняго значенія дѣйствій и обрядовъ, совершаемыхъ при Евхаристіи, именно, умовенія рукъ священнодѣйствующаго, возгласа діакона о цѣлованіи другъ друга, возгласовъ священника: «горѣ имѣимъ сердца», «благодаримъ Господа». Гл. 6—9. Изложеніе самаго совершенія таинства Евхаристіи и молитвословій при принесеніи и послѣ принесенія умилостивительной жертвы. Гл. 10. Польза для душъ умершихъ людей отъ поминовенія ихъ при таинствѣ Евхаристіи. Гл. 11—18. Послѣ того произносится молитва Господня, въ которой вѣрующіе дерзаютъ называть Бога Отцемъ своимъ и испрашивать себѣ отъ него духовныхъ и тѣлесныхъ благъ. Объясненіе всѣхъ прошеній молитвы Господней. Гл. 19—20. Объясненіе возгласа священника: «святая святымъ» и приглашенія къ причащенію св. Таинъ. Гл. 21—23. Наставленія, какъ должно причащаться тѣла и крови Христовой, и какъ потомъ хранить себя достойнымъ подаваемыхъ въ этомъ таинствѣ великихъ даровъ благодати.—2, Письмо къ императору Констанцію. Гл. 1—2. Вступленіе, въ которомъ заявляется, съ какимъ важнымъ извѣстіемъ св. отецъ въ первый разъ изъ Іерусалима обращается къ Императору. Гл. 3—4. Описаніе чудеснаго явленія крестнаго знаменія и удостовѣреніе о несомнѣнности этого событія, какъ совершившагося въ виду всѣхъ жителей Іерусалима. Гл. 5. Впечатлѣніе, произведенное явленіемъ на жителей Іерусалима, и благочестивыя дѣйствія ихъ по этому случаю; объясненіе цѣли, съ которою сообщается извѣстіе о немъ Импе-

ратору. Гл. 6—7. Припоминается предсказаніе Спасителя о явленіи знаменія Сына человѣческаго, исполнившемся въ настоящемъ явленіи креста по премудрымъ цѣлямъ Промысла Божія. Гл. 8. Заключительныя привѣтствія и благословенія Императору и всему дому его.

IX. Св. *Василія* великаго: 1, Бесѣда 1-я на шестодневъ. Гл. 1. Прежде объясненія изреченій книги Бытія о твореніи міра, св. отецъ находитъ нужнымъ сказать о бытописателѣ Моисеѣ, чтобы по достовѣрности повѣствователя слушающіе имѣли полное довѣріе къ повѣствуемому. Воспитаніе и жизнь Моисея. Гл. 2. Разнорѣчивыя и неосновательныя сужденія мыслителей, невѣдущихъ истиннаго Бога, о происхожденіи вселенной Моисей опровергъ прямымъ указаніемъ на виновника творенія — Бога, который не истощилъ своей силы созданіемъ этого міра. Гл. 3—4. Видимый міръ не безначаленъ; если же онъ имѣетъ начало, то будетъ имѣть и конецъ или преобразованіе по волѣ Создателя, чего не могли понять мыслители, не признающіе Бога Творцемъ міра, хотя и имѣвшіе много свѣдѣній въ естественныхъ наукахъ. Гл. 5. Прежде видимаго міра Богъ сотворилъ міръ невидимыхъ, духовныхъ существъ, хотя объ этомъ не сказано въ бытописаніи; сотвореніе же видимаго міра произошло во времени, которое столь же преходяще, какъ и предметы, ограниченные временемъ. Гл. 6. Словомъ «въ началѣ» не означается какое-либо время, предшествующее сотворенію вещей; время явилось вмѣстѣ съ сотворенными предметами видимаго міра, и выраженіе «въ началѣ» можетъ означать: вдругъ или мгновенно. Гл. 7. Слово «сотворилъ» по значенію своему показываетъ, что міръ есть художественное произведеніе, по которому мы можемъ познавать Художника и удивляться Ему. Богъ не есть невольный виновникъ только бытія міра подобно предметамъ, невольно производящимъ тѣнь или сіяніе, но — премудрый Творецъ прекраснаго созданія. Выраженія же «небо и земля», которыя означаютъ двѣ крайности вселенной, обнимаютъ все, содержащееся въ ней, хотя раздѣльно и не упоминаемое бытописателемъ. Гл. 8—9. Не должно задавать вопросы о сущности неба и земли и каждаго предмета, въ нихъ содержащагося, а также изслѣдовать, на чемъ утверждается земля; достаточно для насъ и того, что открыто объ этомъ въ св. Писаніи. Гл. 10. Нѣкоторые физики по своимъ соображеніямъ утверждаютъ, что земля находится въ срединѣ міра; не говоря противъ нихъ, можно и въ этомъ удивляться премудрости Божіей, но принимать сказаніе книги Бытія о твореніи міра въ простотѣ вѣры безопаснѣе, нежели увлекаться умственными соображеніями. Гл. 11. Также и о небѣ многіе дѣлаютъ свои догадки, изъ чего оно составлено, изъ четырехъ ли извѣстныхъ стихій, или изъ пятой неизвѣстной; но мы, оставивъ эти неосновательныя догадки и держась краткихъ словъ Моисея, будемъ отъ красоты видимаго возноситься мыслію къ невидимому и удивляться безпредѣльной силѣ Создателя.— Бесѣд. 2. Гл. 1. Изъ сказанія о сотвореніи вообще неба и земли

какъ изъ преддверія, мы вступаемъ при слѣдующихъ словахъ бытописателя какъ бы въ самое Святое святыхъ. Умолчавъ о небѣ, онъ говоритъ о землѣ, что она была невидима и неустроена; неустроена потому, что еще не была украшена тѣмъ, что явилось на ней впослѣдствіи, а невидима главнымъ образомъ потому, что еще не было свѣта. Гл. 2 — 3. Люди, не слѣдующіе св. Писанію, разумѣютъ подъ невидимою и неустроенною землею первоначальное вещество міра, совѣчное Богу; но это нечестиво и вмѣстѣ нелѣпо; не могло быть такого вещества, равночестнаго и равносильнаго съ Богомъ, и неосновательно представлять твореніе міра такъ, чтобы первоначальное вещество доставило ему содержаніе, а Богъ—форму; это свойственно людямъ—художникамъ при настоящемъ положеніи художествъ, устрояющихъ все изъ готоваго вещества, а не Богу, сотворившему весь міръ изъ ничего. Гл. 4. Подъ выраженіемъ «тьма надъ бездною» нельзя разумѣть, какъ думаютъ нѣкоторые, какую-либо злую силу, противную благой силѣ Божіей; это—ересь; но здѣсь надобно принимать въ простомъ и буквальномъ смыслѣ, что вся земля была покрыта водою, не освѣщенною свѣтомъ, и потому была во мракѣ. Гл. 5. Подъ тьмою нелѣпо разумѣть какую-либо злую силу, совѣчную Богу и конечно не происшедшую отъ Бога, высочайшаго блага; потому что зло есть нравственное отступленіе свободной воли отъ добра. Мѣсто же, занятое тьмою при началѣ творенія, естественно указывается между небомъ и землею. Гл. 6. Подъ именемъ духа Божія, носившагося надъ водою, всего лучше разумѣть третье лице св. Троицы—св. Духа, оживотворявшаго вещество міра подобно птицѣ гнѣздящейся и оживотворяющей плодъ свой. Гл. 7. Въ словахъ «да будетъ свѣтъ» заключается сказаніе о сотвореніи свѣтлой стихіи, просвѣтившей весь міръ, произведенной божественнымъ Словомъ и по самому существу своему представляющей прекрасное созданіе Божіе. Гл. 8. По отдѣленіи свѣта отъ тьмы Богъ назвалъ свѣтъ днемъ, а тьму — ночью, означивъ совокупность того и другаго, т. е. сутки, изъ которыхъ потомъ составляются седмидневныя недѣли; выраженіемъ же «день единъ», а не «первый», бытописатель возводитъ наши мысли къ тому вѣку, котораго этотъ единственный день есть образъ, къ вѣку будущей нескончаемой жизни.— 2, Рѣчь къ юношамъ. Гл. 1. Предисловіе, въ которомъ св. отецъ говоритъ, что его возрастъ, опытность и отеческое расположеніе къ юношамъ обязываютъ его предложить имъ совѣты, какъ имъ пользоваться языческими сочиненіями, что усвоять изъ нихъ и что оставлять. Гл. 2. Съ христіанской точки зрѣнія только тѣ блага настоящей жизни достойны вниманія и усвоенія, которыя способствуютъ приготовленію къ будущей жизни. Это нужно имѣть въ виду и при чтеніи языческихъ сочиненій, въ которыхъ содержится нѣчто полезное и въ этомъ отношеніи. Чтеніе ихъ, способствуя образованію ума молодыхъ людей, можетъ служить приготовленіемъ къ изученію богооткровенныхъ истинъ; пріобрѣтаемыя изъ нихъ свѣдѣнія украшаютъ душу человѣка, какъ

листья украшають дерево; но для пріобрѣтенія пользы отъ нихъ нужно знаніе, что̀ брать изъ нихъ, и что̀ отвергать; потому что есть предметы, недостойные изученія для христіанина какъ у поэтовъ, такъ и у прозаиковъ. Гл. 3—4. Обращаясь съ этими произведеніями осторожно, подобно пчелѣ, собирающей только медъ съ нѣкоторыхъ цвѣтовъ, нужно знакомиться преимущественно съ тѣми изъ нихъ, въ которыхъ прославляются добродѣтели. Гл. 5. Языческія сочиненія не только образують душу, но и настроиваютъ ее на упражненіе въ добродѣтеляхъ; для этого полезны особенно тѣ изъ нихъ, въ которыхъ представляются примѣры добродѣтелей. Впрочемъ и изъ нихъ христіанинъ долженъ выбирать тò, что̀ ведетъ къ его христіанской цѣли, подобно артистамъ и атлетамъ, которые исключительно упражняются въ томъ, что̀ способствуетъ имъ къ достиженію ихъ цѣли. Гл. 6. Если эти люди столько трудятся для полученія тлѣнныхъ вѣнцовъ, то тѣмъ болѣе христіанину слѣдуетъ заботиться о своей душѣ для полученія нетлѣннаго вѣнца. Гл. 7. Украшать тѣло и пещись только объ его благосостояніи недостойно разумнаго человѣка; тѣлу нужно доставлять столько, сколько необходимо для того, чтобы оно хорошо служило душѣ; а всего больше нужно заботиться объ очищеніи своей души отъ пороковъ и склонности къ чувственнымъ удовольствіямъ, какъ совѣтовали нѣкоторые и языческіе мудрецы. Гл. 8. При надлежащемъ ограниченіи тѣлесныхъ потребностей и постоянной заботѣ о нравственномъ усовершенствованіи своей души не останется у насъ привязанности ни къ какимъ благамъ временной жизни, и изъ всего, чѣмъ занимаемся, мы будемъ извлекать полезное руководство къ преспѣянію въ истинной мудрости и добродѣтели, о чемъ св. отецъ и совѣтуетъ юношамъ заботиться, не опуская времени своей жизни.—3, Письмо къ Аѳанасію Александ. Гл. 1. Проситъ святителя Александрійскаго побудить западныхъ епископовъ къ совокупному дѣйствію съ восточными противъ еретиковъ;—Гл. 2.—а между тѣмъ своими собственными мудрыми мѣрами прекратить нестроенія въ церкви Антіохійской.—Письмо къ Антіохійской церкви. Гл. 1. Находясь не въ состояніи посѣтить лично Антіохійцевъ по своей тѣлесной немощи, св. отецъ утѣшаетъ ихъ въ постигшемъ ихъ искушеніи и увѣщеваетъ къ терпѣнію въ надеждѣ на скорое избавленіе отъ скорбей милостію Божіею, если только они сохранятъ себя твердыми въ вѣрѣ во Христа. Гл. 2. Для руководства въ православной вѣрѣ излагаетъ Никейскій символъ вѣры, присовокупляя противъ духоборцевъ православное ученіе о Св. Духѣ.—Письмо къ Амфилохію. Гл. 1. Благословляетъ Бога, избирающаго благопотребныхъ мужей для служенія Церкви, къ числу которыхъ принадлежитъ и Амфилохій, хотя и уклоняющійся отъ епископства; преспѣяніе въ добромъ управленіи ввѣренной ему паствы составляетъ радость Кесарійцевъ и предметъ желаній св. Василія. Гл. 2. Проситъ посѣтить его самаго, изнуреннаго долговременною болѣзнію, не сѣтовать на тяжесть епископскаго служенія и

твердо противостоять нечестивому ученію и дурнымъ нравамъ; наконецъ испрашиваетъ себѣ его молитвъ и привѣтствуетъ его отъ лица своихъ близкихъ.—Письмо къ Неокесарійцамъ. Гл. 1—2. Жалуется Неокесарійцамъ на нихъ же самихъ, что они, слушая клеветниковъ, чуждаются его и заочно осуждаютъ, не смотря на многія и важныя побужденія къ единенію съ нимъ. Гл. 3—5. Увѣряетъ, что онъ не для себя, а для нихъ рѣшился защищать себя; требуетъ, если погрѣшности его удобоисправимы, вразумить его, а если неисцѣлимы, открыто обличить, если же онъ погрѣшаетъ въ вѣрѣ, то доказать это изъ его сочиненій, избравъ судьями людей способныхъ къ произнесенію вѣрнаго сужденія. Гл. 6. Доказываетъ свое православіе тѣмъ, что въ дѣтствѣ слушалъ отъ бабки Макрины преданія св. Григорія Чудотворца, а въ совершенныхъ лѣтахъ всегда имѣлъ общеніе съ учителями благочестія и никогда—съ Аріанами. Если же кого изъ Аріанъ принималъ въ церковное общеніе, то послѣ исповѣданія ими вѣры Никейской и притомъ слѣдуя письменному наставленію блаженнѣйшаго Аѳанасія. Гл. 7. Также въ доказательство своего православія перечисляетъ церкви, съ которыми находится въ общеніи, и объясняетъ отсюда, что Неокесарійцы, прерывая единеніе съ нимъ, отлучаютъ себя отъ общенія со всею Церковію. Наконецъ проситъ не доводить его до необходимости жаловаться на нихъ всей Церкви, но помнить древнее единеніе церквей—Кесарійской и Неокесарійской.—Письмо къ Неокесарійскимъ ученымъ. Гл. 1—2. Объясняетъ, что причиною прибытія его въ окрестности Неокесаріи—давняя привязанность его къ этой мѣстности, а не что-нибудь другое, а происшедшее у нихъ смятеніе предъ его прибытіемъ приписываетъ вождямъ ихъ, имѣющимъ нечистую совѣсть. Гл. 3. Указываетъ истинную причину смятенія въ желаніи нѣкоторыхъ лжеучителей ввести у нихъ ересь Савеллія, въ доказательство чего приводитъ ихъ еретическія мнѣнія. Гл. 4—5. Опровергаетъ эти мнѣнія и угрожаетъ лжеучителямъ, если не отрекутся отъ своихъ заблужденій, писать объ этомъ къ другимъ церквамъ, укоряя ихъ за то, что въ подтвержденіе своего лжеученія несправедливо ссылаются на св. Григорія Чудотворца. Гл. 6. Наконецъ совѣтуетъ Неокесарійцамъ остерегаться отъ лжеучителей и не обольщаться мечтами, которыя во всякомъ случаѣ вредятъ, потому что нарушаютъ взаимную любовь между христіанами.

1 . ??? 1925
45323

45323
ПРОВЕРЕНО 1961 г.

# ИЗБРАННЫЯ МѢСТА

ИЗЪ

## ГРЕЧЕСКИХЪ ПИСАНІЙ СВЯТЫХЪ ОТЦЕВЪ ЦЕРКВИ

ДО

## IX-го ВѢКА.

1893
Проверено в 1953 г.

Составилъ

Е. ЛОВЯГИНЪ.

ЧАСТЬ ВТОРАЯ.

Издано по опредѣленію Святѣйшаго Синода для употребленія въ духовно-учебныхъ заведеніяхъ.

САНКТПЕТЕРБУРГЪ.
ВЪ СИНОДАЛЬНОЙ ТИПОГРАФІИ.
1885.

# ОГЛАВЛЕНІЕ

## ВТОРОЙ ЧАСТИ.

СТРАН.

X. Св. Григорій Богословъ, Архіепископъ Константинопольскій.
1. Слово въ оправданіе удаленія своего въ Понтъ и возвращенія оттуда по рукоположеніи въ пресвитера . . . . . . 7
2. Слово о догматѣ (Св. Троицы) . . . 58
3. Стихотворенія: а) о душѣ . . . 66
б) благодарственное . . . 70
в) о человѣческой природѣ . . 71
г) о жизни человѣческой . . . 76
д) увѣщанія . . . . 77
е) къ своей душѣ . . . 78
ж) о дѣвствѣ . . . . 81

XI. Св. Григорій Епископъ Нисскій.
1. На св. Пасху Слово 1-е . . . . . . . 87
2. Слово къ скорбящимъ о преставившихся отъ настоящей жизни въ вѣчную . . . . . . . 107
3. Письма къ а) Евстаѳіи, Амвросіи и Василиссѣ . 127
б) Никомидійскимъ пресвитерамъ . . 134

XII. Св. Іоаннъ Златоустъ, Архіепископъ Константинопольскій.
1. О священствѣ. Слово 3-е . . . . 148
2. Увѣщаніе Ѳеодору падшему . . . . . 178
3. Письма къ а) Олимпіадѣ письмо 1-е. . . . 225
б) Епископамъ, пресвитерамъ и діаконамъ, заключеннымъ въ темницу за благочестіе . . . 234

СТРАН.

XIII. Св. **Исидоръ Пилусіотъ.**
Письма къ
1. а) Мараѳонію монаху . . . . . . . . . . 241
б) Кириллу архіепископу . . . . . . . . 242
в) Павлу. . . . . . . . . . . . . 242
г) Ему же . . . . . . . . . . . . 242
2. д) Тимоѳею чтецу . . . . . . . . . . 245
е) Ему же . . . . . . . . . . . . . 246
ж) Ему же . . . . . . . . . . . . . 247
з) Исидору діакону . . . . . . . . . . 249
и) Ему же . . . . . . . . . . . . . 252
і) Архивію пресвитеру . . . . . . . . 254
3. к) Александру стихотворцу . . . . . . 256
л) Мартиніану . . . . . . . . . . . 257
м) Антонію схоластику . . . . . . . . 259
н) Дѣтямъ язычниковъ . . . . . . . . 262
XIV. Св. **Кириллъ** Архіепископъ Александрійскій.
1. О вочеловѣченіи Господа. . . . . . . . . 274
2. Бесѣда въ похвалу святой Маріи Богородицы . 312
3. Бесѣда объ исходѣ души и о второмъ пришествіи (Христовомъ) . . . . . . . . . . . . . 320
XV. Св. **Іоаннъ** Дамаскинъ.
1. Противъ отвергающихъ святыя иконы Слово 1-е. 340
2. Изъ точнаго изложенія православной вѣры Глав. 82—86. . . . . . . . . . . . . 360
3. а) Канонъ воскресный изъ Октоиха . . . . . 375
б) Молитва . . . . . . . . . . . . . 380
XVI. Св. **Ѳеодоръ Студитъ.**
1. Рѣчь противъ иконоборцевъ . . . . . . . . 388
2. Письма къ а) Платону, духовному отцу. . . . 392
б) Братіямъ, всюду разсѣяннымъ . . 397
в) Имъ же . . . . . . . . . . 402
3. Канонъ въ недѣлю Крестопоклонную . . . . . 405
Краткое изложеніе содержанія избранныхъ мѣстъ изъ греческихъ писаній св. Отцевъ Церкви во 2-й части . . 415

# X.

## СВ. ГРИГОРІЙ БОГОСЛОВЪ, АРХІЕПИСКОПЪ КОНСТАНТИНОПОЛЬСКІЙ.

Св. Григорій, именуемый Богословомъ въ отличіе отъ другихъ отцевъ и учителей Церкви, родился въ 329 году въ небольшомъ селеніи Каппадокійской области Аріанзѣ, близъ г. Назіанза, гдѣ родитель его Григорій былъ сначала гражданскимъ начальникомъ, а потомъ епископомъ. Благочестивая мать его Нонна, расположившая мужа своего къ принятію христіанской вѣры, по обѣту приготовляла и первороднаго сына своего Григорія съ юныхъ лѣтъ къ высокимъ христіанскимъ подвигамъ для спасенія души и славы Божіей. Послѣ домашняго воспитанія, давшаго благочестивое направленіе необыкновеннымъ духовнымъ способностямъ его, св. Григорій, влекомый жаждою дальнѣйшаго образованія, посѣщалъ училища въ Кесаріи Каппадокійской, гдѣ въ первый разъ встрѣтился съ своимъ сверстникомъ св. Василіемъ великимъ, потомъ въ Кесаріи Палестинской, въ которой слушалъ ритора Ѳеспесія, за тѣмъ въ Александріи Египетской, гдѣ могъ видѣть и слышать св. Аѳанасія великаго; и собравъ во всѣхъ этихъ мѣстахъ полезныя свѣдѣнія особенно въ словесныхъ наукахъ, прибылъ послѣ бурнаго плаванія въ Аѳины. Здѣсь встрѣтившись вновь и заключивъ тѣсный союзъ дружбы съ Василіемъ Кесарійскимъ, Григорій Аріанзскій или Назіанскій вмѣстѣ съ нимъ въ теченіи шести лѣтъ собиралъ сокровища земной мудрости, чтобы впослѣд-

ствіи повергнуть ихъ къ стопамъ Христовымъ и употребить на служеніе Его святой Церкви. Это служеніе началось вскорѣ по возвращеніи его на родину, когда онъ, принявъ св. крещеніе и проживая въ домѣ родителей вдали отъ свѣтскихъ занятій и развлеченій, неожиданно для себя въ праздникъ Рождества Христова 361 года былъ посвященъ въ санъ пресвитера престарѣлымъ отцемъ своимъ епископомъ Назіанскимъ, желавшимъ имѣть въ даровитомъ, обогащенномъ разнородными познаніями и благочестивомъ сынѣ помощника себѣ, кромѣ домашнихъ дѣлъ, въ управленіи паствою. Хотя св. Григорій, пораженный внезапностію своего посвященія въ пресвитера, скрылся въ Понтійской обители друга Василія, но чрезъ нѣсколько мѣсяцевъ, въ день св. Пасхи того же года, возвратился въ Назіанзъ, чтобы исполнить волю своего родителя и вмѣстѣ волю Божію, призывавшую его къ высшему духовному поприщу. Умиротвореніе Назіанской церкви, возмущаемой отпавшими ея членами по неудовольствію на епископа, содѣйствіе къ возвращенію св. Василія изъ Понтійской пустыни въ Кесарію и къ избранію его въ Архіепископа Кесарійскаго, назиданіе и утѣшеніе православныхъ въ смутныя и тяжкія для Церкви времена богоотступника Юліана и покровительствовавшаго Аріанамъ императора Валента—были блистательными заслугами св. Григорія въ санѣ Назіанскаго пресвитера. Въ 372 году св. Василій избралъ друга своего, какъ мужа мудраго и опытнаго въ церковныхъ дѣлахъ, на епископскую каѳедру Сасимъ, незначительнаго городка въ Тіанскомъ округѣ, и вмѣстѣ съ епископомъ Назіанзскимъ посвятилъ его въ этотъ санъ, принятый св. Григоріемъ неохотно и нѣкоторое время носимый имъ безъ вступленія въ дѣйствительное управленіе епископіею по случаю раздѣленія Каппадокійской митрополіи на

двѣ архіепископіи Кесарійскую и Тіанскую и назначенія Архіепископомъ Тіанскимъ въ г. Сасимы другаго епископа. Вслѣдствіе этого св. Григорій пребывалъ большею частію въ Назіанзѣ и по желанію своего родителя продолжалъ помогать ему въ управленіи тамошнею церковію и проповѣдывать слово Божіе; по кончинѣ же родителя въ 374 году, не желая принять предлагаемую ему каѳедру Назіанской епископіи, по любви своей къ уединенной жизни, удалился въ монастырь св. Ѳеклы въ г. Селевкіи Исаврійской, гдѣ и жилъ до 379 года. Въ этомъ году, ознаменованномъ смертію великаго Святителя Кесарійскаго и нѣкоторымъ умиреніемъ Церкви по восшествіи на престолъ императора Ѳеодосія, Антіохійскій соборъ епископовъ согласно съ желаніемъ Константинопольскихъ православныхъ пригласилъ св. Григорія, какъ знаменитаго своими добродѣтелями, богословскимъ ученіемъ и краснорѣчіемъ, принять на себя устроеніе Константинопольской церкви, которая въ то время не имѣла православнаго епископа и почти совершенно была во власти Аріанъ и другихъ еретиковъ. Ревновавшій о православномъ почитаніи св. Троицы Святитель Григорій, явившись въ столичный городъ и нашедши только въ одномъ частномъ домѣ помѣщеніе для своего богослуженія и проповѣданія слова Божія малому числу вѣрующихъ, вскорѣ достигъ того, что этотъ домъ, обращенный въ храмъ Анастасіи (воскресенія), сдѣлался мѣстомъ многолюдныхъ собраній и весь Константинополь былъ возвращенъ православнымъ, а слава краснорѣчиваго Богослова отсюда распространилась далеко по востоку и западу. Въ 381 году на 2-мъ вселенскомъ соборѣ св. Григорій былъ признанъ вполнѣ достойнымъ каѳедры Константинопольскаго Архіепископа и утвержденъ въ этомъ санѣ, по случаю же смерти Мелетія Антіохій-

скаго занялъ мѣсто и председателя вселенскаго собора. Но чѣмъ многоплоднѣе была необыкновенная дѣятельность св. Григорія и чѣмъ могущественнѣе проповѣдь его способствовала утвержденію православія въ Христовой Церкви, тѣмъ болѣе еретики усиливались вредить ему, особенно по прибытіи въ Константинополь епископовъ египетскихъ и македонскихъ, вздумавшихъ даже оспаривать законность возведенія св. Григорія на Константинопольскую каѳедру, тайно рукоположившихъ на туже каѳедру одного александрійскаго пришельца Максима и произведшихъ несогласіе между самыми членами вселенскаго собора. Видя все это и предпочитая церковный миръ собственному іерархическому положенію, Святитель Григорій прямо объявилъ о своемъ намѣреніи сложить съ себя бремя управленія тамошнею церковію, не склонился на убѣжденія православныхъ епископовъ и самого Императора—отложить такое намѣреніе, и удалился въ родной Аріанзъ для отдохновенія и уединенныхъ подвиговъ благочестія. Впрочемъ и въ самомъ уединеніи ослабѣвшій тѣломъ, но постоянно бодрствовавшій духомъ вселенскій учитель продолжалъ дѣйствовать къ устроенію церкви Назіанзской мудрыми совѣтами и письмами правителямъ ея до избранія новаго епископа Евлалія, къ умиротворенію церкви Константинопольской чрезъ преемника своего Архіепископа Нектарія, и ко благу всей православной церкви словесною борьбою съ современными еретиками Аріанами, Македоніанами, Евноміанами и Аполлинаристами, услаждая въ тоже время душу свою поэтическими произведеніями, въ которыхъ выражалъ свои высокія богословскія мысли и глубоко-религіозныя чувствованія, до конца жизни, послѣдовавшаго 25 Января 390 года, на 61 году отъ рожденія. Память его празднуется православною Церковію 19, 25 и 30 Января.

Заслуги архипастырской дѣятельности св. Григорія Богослова, поставившія его въ ряду вселенскихъ отцевъ и учителей Церкви, возвышаются знаменитыми его письменными произведеніями, которыя частію относятся къ общественному служенію его въ санѣ пресвитера, епископа и Архіепископа, частію составляютъ плодъ его домашнихъ занятій, размышленій и чувствованій. Первый отдѣлъ составляютъ 1) *Слова,* дошедшія до насъ въ числѣ 45-ти, сказанныя Святителемъ при важныхъ обстоятельствахъ его жизни въ Назіанзѣ, Кесаріи и Константинополѣ, какъ-то: Слово въ оправданіе удаленія своего въ Понтъ по рукоположеніи въ пресвитера, два обличительныхъ Слова на царя Юліана, три Слова о мирѣ, надгробныя и похвальныя Слова брату Кесарію и сестрѣ Горгоніи, отцу Григорію св. епископу Назіанзскому, св. Аѳанасію и св. Василію, Слово о любви къ бѣднымъ, Слова объ умѣренности въ состязаніяхъ о предметахъ божественныхъ и о догматѣ св. Троицы, пять Словъ о богословіи, прощальное Слово при удаленіи изъ Константинополя, и другія. Ко второму отдѣлу относятся 2) *Письма,* которыхъ насчитывается нынѣ до 243-хъ, отличающіяся краткостію и писанныя по личнымъ его обстоятельствамъ и отношеніямъ къ близкимъ людямъ, за исключеніемъ двухъ писемъ къ Назіанзскому пресвитеру Клидонію и Константинопольскому Архіепископу Нектарію, которыя касаются и богословскихъ вопросовъ; и 3) *Стихотворенія* большія и малыя, числомъ до 507-ми, раздѣляющіяся на догматическія и нравственныя, касающіяся самого Святителя и относящіяся къ нѣкоторымъ другимъ лицамъ, ему близкимъ, весьма важныя по содержанію и художественныя по формѣ. Вообще во всѣхъ своихъ твореніяхъ этотъ вторый (послѣ евангелиста Іоанна) Богословъ христіанскій является дивнымъ истолковате-

лемъ самыхъ высокихъ догматовъ православной вѣры въ духѣ великихъ святителей Василія и Аѳанасія, вдохновеннымъ учителемъ чистѣйшей нравственности и образцовымъ христіанскимъ писателемъ въ прозѣ и стихахъ, которому равнаго не было въ его время. Это «мужъ во всемъ несравненный, знаменитый словомъ и дѣлами, явившійся для церквей блистательнѣйшимъ свѣтиломъ Христовой мудрости, учившій тому, что̀ дѣлалъ, и не измѣнившій себѣ дѣлами, противными тому, чему училъ», какъ сказалъ о немъ Аквилейскій пресвитеръ Руфинъ, въ 4-мъ вѣкѣ переводившій творенія его на латинскій языкъ (Prolog. in libros s. Gregor. Nazianz.).

Изъ этихъ твореній въ настоящемъ сборникѣ предлагаются: 1) Слово, въ которомъ св. Григорій Богословъ оправдываетъ временное удаленіе свое въ Понтъ по рукоположеніи въ пресвитера, излагая превосходныя наставленія объ обязанностяхъ священства и важности священнаго званія: 2) Слово о догматѣ (св. Троицы), въ которомъ сильно обличаются приступающіе къ изслѣдованію христіанскихъ таинъ безъ приготовленія себя къ тому образованіемъ ума и строгою жизнію и кратко излагается догматъ о св. Троицѣ, часто бывшій предметомъ истолкованій Святителя, и 3) Нѣкоторыя стихотворенія Святителя, способствовавшія къ утвержденію христіанскихъ понятій въ народѣ и къ ниспроверженію еретическихъ мнѣній, и притомъ представляющія разнообразіе поэтическихъ размѣровъ, которыя были имъ употребляемы.

Лучшія и новѣйшія изданія твореній св. Григорія Богослова извѣстны:

1. S. Gregorii Nazianzeni Opera. T. I. Editio Benedictina. Paris. 1778. Tom. II. Edit. D. A. B. Caillau. Paris. 1840 и 1842.

2. Patrologiae Cursus Completus. Ed. I. P. Migne. Ser. Graec. T. XXXV—XXXVIII. Paris. 1857.

Изъ неполныхъ изданій:

3. F. Gregorii Nazianzeni carmina selecta. cura Ernes. Dronke. Gotting. 1840.

4. Les pères de l' Eglise grecque; recueil de discours, de lettres et de poësies. Ed. M. E. Fialon. Paris. 1876.

5. S. Patris nostri Gregorii Theologi Oratio apologetica de fuga sua. Ed. I. B. Alzog. Friburg. 1868 и 1869 г.

Текстъ избранныхъ статей заимствованъ частію изъ изданія Migne, частію изъ изданій Alzog и Dronke.

---

## 1.

## ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ

### Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως

Λόγος ἀπολογητικὸς τῆς εἰς τὸν Πόντον φυγῆς ἕνεκεν καὶ αὖθις ἐπανόδου ἐκεῖθεν μετὰ τὴν τοῦ πρεσβυτέρου χειροτονίαν, ἐν ᾧ, τί τὸ τῆς ἱερωσύνης ἐπάγγελμα [1]).

## Глав. 1—117.

1. Ἥττημαι, καὶ τὴν ἧτταν ὁμολογῶ· «ὑπετάγην τῷ Κυρίῳ, καὶ ἱκέτευσα αὐτόν·» [2]) ὁ γάρ μοι μακαριώτατος Δαβὶδ ἀρχέτω τοῦ λόγου, μᾶλλον δὲ ὁ ἐν τῷ Δαβὶδ φθεγξάμενος καὶ εἰσέτι καὶ νῦν δι' αὐτοῦ φθεγγόμενος· ἐπειδὴ καὶ τάξις ἀρίστη παντὸς ἀρχομένῳ καὶ λόγου καὶ πράγματος, ἐκ Θεοῦ τε ἄρχεσθαι, καὶ εἰς Θεὸν ἀναπαύεσθαι. Τὸ δὲ αἴτιον, ἡ τῆς προτοῦ στάσεως [3])

---

[1]) Слово это относится къ первому (въ 361 г.) году пресвитерства св. Григорія Богослова въ Назіанзѣ.

[2]) Пс. 36. 7.

[3]) Προτοῦ, или πρὸ τοῦ, или πρὸ τούτου, вм. πρότερον. Разумѣется предшествовавшее этому слову удаленіе св. Отца въ Понтъ и какъ бы сопротивленіе (στάσις) назначенію своему на должность пресвитера.

καὶ ὀλιγοψυχίας, δι' ἣν «ἐμάκρυνα φυγαδεύων, καὶ ηὐλίσθην» [1]) ἀφ' ὑμῶν χρόνον οὐ μικρὸν, ἴσως τοῖς γε ποθοῦσιν [2]), ἢ τῆς νῦν ἡμερότητος καὶ μεταβολῆς, δι' ἣν αὖθις ἐμαυτὸν ἔδωκα φέρων ὑμῖν, ἄλλος μὲν ἄλλο τι οἰέσθω τε καὶ λεγέτω τῶν ἢ μισούντων ἢ ἀγαπώντων ἡμᾶς· ὁ μὲν οὐκ ἀφιεὶς αἰτίας, ὁ δὲ καὶ προσαποδεχόμενος· οὐδὲν γὰρ οὕτως ἡδὺ τοῖς ἀνθρώποις ὡς τὸ λαλεῖν τὰ ἀλλότρια· καὶ μάλιςα ἐὰν τύχωσιν ὑπ' εὐνοίας τινὸς ἢ μίσους ἑλκόμενοι, ὑφ' ὧν καὶ φιλεῖ κλέπτεσθαι ὡς τὰ πολλὰ ἡ ἀλήθεια. Ἐγὼ δὲ τἀληθὲς εἰς μέσον θήσω μηδὲν αἰσχυνθεὶς, καὶ διαιτήσω δικαίως ἀμφοτέροις τοῖς μέρεσιν, ὅσοι τε κατηγοροῦσιν ἡμῶν, καὶ ὅσοι ὑπεραπολογοῦνται προθύμως, τὸ μέν τι κατηγορήσας ἐμαυτοῦ, τὸ δὲ ὑπεραπολογησάμενος.

2. Καὶ ἵνα γε καθ' ὁδὸν ὁ λόγος ἡμῖν προΐῃ, περὶ τῆς δειλίας προτέρας οὔσης καὶ διαλέξομαι· οὐδὲ γὰρ ἀνέχομαι πλήττεσθαί τινας ἐν ἐμοὶ τῶν πάντα τηρούντων ἐπιμελῶς τὰ ἡμέτερα, εὖ τε καὶ ὡς ἑτέρως ἔχοντα, ἐπειδή τι τὸ καθ' ἡμᾶς εἶναι χριςιανοῖς [3]) εὐδόκησεν ὁ Θεός· καὶ τοὺς ἤδη πεπληγότας, εἴπερ τινές εἰσι, διὰ τῆς ἀπολογίας ἰάσομαι· καλὸν γὰρ μήτε ἁμαρτάνοντα μήτε ὑπονοούμενον, ἕως ἂν οἷόν τε ᾖ καὶ ὁ λόγος αἱρῇ, τιθέναι πρόσκομμα τοῖς πολλοῖς ἢ σκάνδαλον· εἴπερ καὶ τοῖς ἕνα τῶν μικρῶν σκανδαλίσασιν ἴσμεν ὅπως ἀπαραίτητος καὶ βαρυτάτη παρὰ τοῦ ἀψευδοῦς ἡ τιμωρία [4]).

3. Ἐγὼ γὰρ ἔπαθον τοῦτο, ὦ ἄνδρες, οὔτε ὡς ἀπαίδευτος καὶ ἀσύνετος, ἀλλὰ μᾶλλον,—ἵνα καὶ μικρόν τι καυχήσωμαι,—οὔτε ὡς ὑπερόπτης τῶν θείων νόμων καὶ διατάξεων. Ὅτι καθάπερ ἐν σώματι τὸ μέν τι ἄρχον ἐςὶ καὶ οἷον προκαθεζόμενον, τὸ δὲ ἀρχόμενον καὶ ἀγόμενον, οὕτω κἀν ταῖς ἐκκλησίαις διέταξεν ὁ Θεὸς, ἰσότητος νόμῳ τῆς ἐχούσης τὸ κατ' ἀξίαν, ἣ καὶ προνοίας, ᾗ τὰ πάντα συνέδησε, τοὺς μὲν ποιμαίνεσθαί τε καὶ ἄρχεσθαι, ὅσοις τοῦτο λυσιτελέςερον, καὶ λόγῳ καὶ ἔργῳ πρὸς τὸ δέον ἰθυ-

---

[1]) Пс. 54. 8.

[2]) Τοῖς ποθοῦσιν, желающимъ знать причину (τὸ αἴτιον); далѣе: а я скажу слѣдующее.

[3]) Чѣмъ-нибудь мнѣ быть для христіанъ.

[4]) Гнт. 1. 2. Матѳ. 18. 6.

νομένους, τοὺς δὲ εἶναι ποιμένας καὶ διδασκάλους πρὸς τὸν καταρτισμὸν τῆς ἐκκλησίας, ὅσοι τῶν πολλῶν εἰσιν ἀνωτέρω κατ' ἀρετὴν καὶ τὴν πρὸς τὸν Θεὸν οἰκείωσιν, λόγον ψυχῆς πρὸς σῶμα, ἢ νοῦ πρὸς ψυχὴν ἐπέχοντας [1]· ἵν' ἀμφότερα συντεθέντα ἀλλήλοις καὶ συγκραθέντα, τό τε ὑςεροῦν καὶ τὸ πλεονάζον, ὥσπερ ἐν μέλεσι, καὶ τῇ ἁρμονίᾳ τοῦ πνεύματος συμβιβασθέντα καὶ συνδεθέντα, ἓν ἄρτιον ἀποδειχθῇ σῶμα, καὶ αὐτοῦ Χριςοῦ τῆς κεφαλῆς ἡμῶν ὄντως ἄξιον [2]).

4. Οὔτε οὖν τοῖς ἄλλοις ἀναρχίαν καὶ ἀταξίαν λυσιτελεστέραν οἶδα τάξεως καὶ ἀρχῆς, οὔτε ἀνθρώποις· ἀλλὰ τούτοις καὶ πάντων οὐχ ἥκιστα, ὅσῳ καὶ περὶ μειζόνων αὐτοῖς ὁ κίνδυνος· οἷς μέγα [3]) κἂν εἰ τὸ πρῶτον τοῦ λόγου μὴ σώζοιεν—τὸ μηδὲν ἁμαρτάνειν, ἀλλὰ τό γε δεύτερον ἐκείνου—τὸ ἁμαρτάνοντας ἐπανάγεσθαι. Ἐπειδὴ τοῦτο καλὸν ἐφάνη καὶ δίκαιον, ἶσον ἐμοὶ κακὸν και ὁμοίως ἄτακτον, πάντας τε ἄρχειν ἐθέλειν καὶ μηδένα ἄρχεσθαι, ὡς εἴ γε πάντες φεύγοιεν ταύτην τὴν εἴτε λειτουργίαν χρὴ λέγειν εἴτε ἡγεμονίαν, χωλεύοι ἂν τῷ μεγίςῳ μέρει καὶ οὐδ' ἂν καλὸν ἔτι μένοι τὸ καλὸν τῆς ἐκκλησίας πλήρωμα. Ποῦ δ' ἂν ἔτι καὶ παρὰ τίνων θρησκεύοιτο ἡμῖν ὁ Θεὸς τὰ μυςικὰ καὶ ἄνω φέροντα [4]), ὃ δὴ μέγιςόν ἐςι τῶν ἡμετέρων καὶ τιμιώτατον, οὐκ ὄντος βασιλέως, οὐδὲ ὄντος ἄρχοντος, οὐδὲ ἱερατείας, οὐδὲ θυσίας, οὐδ' ὅσα ὡς μέγιςα ἐπὶ μεγάλοις τοῖς πταίσμασιν οἱ πάλαι ἀπειθεῖς κατεκρίθησαν [5]);

5. Ἀλλ' οὐδὲ ξένον τι καὶ ἀπὸ τρόπου τοῖς πολλοῖς τὰ θεῖα φιλοσοφοῦσιν ἐπὶ τὸ ἄρχειν ἀναβαίνειν ἀπὸ τοῦ ἄρχεσθαι, οὐδὲ ἔξω τῶν νενομισμένων τῆς φιλοσοφίας ὅρων καὶ φέρον εἰς ὄνειδος· ὥσπερ οὐδὲ ναύτῃ τῶν εὐδοκίμων τὸ πρωρατεῦσαι, καὶ πρωρεῖ καλῶς τοὺς ἀνέμους τηρήσαντι τὸ πιςευθῆναι τοὺς οἴακας· εἰ

---

[1]) Λόγον τινὸς ἐπέχειν—**имѣть значеніе, или извѣстнымъ образомъ относиться къ чему-нибудь.**

[2]) **Ефес. 4. 11—16. 1 Кор. 12. 20.**

[3]) Οἷς μέγα, **т. е.** πρᾶγμά ἐςι, **для которыхъ важное дѣло состоитъ въ томъ, чтобы...**

[4]) Τὰ μυςικὰ καὶ ἄνω φέροντα—**т. е. при тайнодѣйствіяхъ и молитвахъ богослуженія.**

[5]) **Осіи 3. 4.**

δὲ βούλει, ϛρατιώτῃ γενναίῳ τὸ ταξιαρχῆσαι, καὶ ταξιάρχῃ καλῷ τὸ ϛρατηγῆσαί τε καὶ πολέμου παντὸς ἡγεμονίαν ἐγχειρισθῆναι. Οὐ μὴν οὐδ' ὅπερ ἂν ὑπολάβοι τις ἴσως τῶν πάντα ἀτόπων καὶ μοχθηρῶν, οἳ κρίνουσι τὰ τῶν ἄλλων τοῖς οἰκείοις πάθεσιν, ᾐσχύνθην τοῦ βαθμοῦ τὴν τάξιν ἐπιθυμίᾳ τῆς μείζονος [1]· οὐχ οὕτως ἐγὼ ἢ τοῦ θείου μεγέθους ἢ τῆς ἀνθρωπίνης ταπεινώσεως ἄπειρος, ὡς μὴ μέγα νομίζειν πάσῃ γενητῇ φύσει καὶ ὁπωσοῦν πλησιάζειν Θεῷ τῷ μόνῳ φανοτάτῳ καὶ λαμπροτάτῳ καὶ ὑπερέχοντι πάσης ὑλικῆς τε καὶ ἀΰλου φύσεως καθαρότητι.

6. Τί οὖν ἐϛιν ὃ πέπονθα; καὶ τίς ὁ λόγος τῆς ἐμῆς ἀπειθείας; οὐδὲ γὰρ ἔδοξα τοῖς πολλοῖς ἐν ἐμαυτῷ τότε μένειν. οὐδ' εἶναι ὥσπερ ἐγινωσκόμην, ἀλλ' ἕτερος ἐξ ἑτέρου τις γεγονέναι, καὶ πλέον ἢ καλῶς εἶχεν ἀντιτείνειν καὶ αὐθαδιάζεσθαι. Τούτου δὴ τὰς αἰτίας ἀκούοιτ' ἂν ἤδη πάλαι ποθοῦντες. Μάλιϛα μὲν τῷ ἀδοκήτῳ πληγείς, ὥσπερ οἱ τοῖς αἰφνιδίοις τῶν ψόφων καταπλαγέντες, οὐ κατέσχον τοὺς λογισμούς· καὶ διὰ τοῦτο ἔλυσα τὴν αἰδῶ, πάντα τὸν χρόνον ταύτῃ συνειθισμένος. Ἔπειτά με τις ὑπεισῄει ἔρως τοῦ καλοῦ τῆς ἡσυχίας καὶ τῆς ἀναχωρήσεως, ἧς ἐραϛὴς γενόμενος ἐξ ἀρχῆς, ὡς οὐκ οἶδ' εἴ τις ἄλλος τῶν περὶ λόγους [2]) ἐσπουδακότων, καὶ ἣν ἐν τοῖς μεγίϛοις καὶ χαλεποτάτοις κινδύνοις καθυποσχόμενος τῷ Θεῷ· καί τι καὶ προσαψάμενος ταύτης, ὅσον ἐν προθύροις γενέσθαι καὶ πλειονά μοι τὸν πόθον ἐξαφθῆναι διὰ τῆς πείρας, οὐκ ἤνεγκα τυραννούμενος καὶ εἰς μέσους τοὺς θορύβους ὠθούμενος, καὶ οἷον ἀπὸ ἱεροῦ τινος ἀσύλου τοῦ βίου τούτου πρὸς βίαν ἀποσπώμενος.

7. Οὐδὲν γὰρ ἐδόκει μοι τοιοῦτον, οἷον μύσαντα τὰς αἰσθήσεις, ἔξω σαρκὸς καὶ κόσμου γενόμενον εἰς ἑαυτὸν συϛραφέντα, μηδενὸς τῶν ἀνθρωπίνων προσαπτόμενον, ὅτι μὴ πᾶσα ἀνάγκη, ἑαυτῷ προσλαλοῦντα καὶ τῷ Θεῷ [3]), ζῆν ὑπὲρ τὰ ὁρώμενα. καὶ τὰς θείας ἐμφάσεις ἀεὶ καθαρὰς ἐν ἑαυτῷ φέρειν ἀμιγεῖς τῶν κάτω χαρακτήρων καὶ πλανωμένων, ὄντως ἔσοπτρον ἀκηλίδωτον Θεοῦ καὶ τῶν θείων καὶ ὂν καὶ ἀεὶ γινόμενον, φωτὶ προσλαμβά-

---

[1]) Т. е. τάξεως, сана епископскаго.

[2]) Подъ названіемъ λόγοι здѣсь разумѣются науки.

[3]) 1 Кор. 14. 28.

νοντα φῶς καὶ ἀμαυροτέρῳ τρανότερον, ἤδη τὸ τοῦ μέλλοντος αἰῶνος ἀγαθὸν ταῖς ἐλπίσι καρπούμενον, καὶ συμπεριπολεῖν ἀγγέλοις, ἔτι ὑπὲρ γῆς ὄντα καταλιπόντα τὴν γῆν, καὶ ὑπὸ τοῦ πνεύματος ἄνω τιθέμενον. Εἴ τις ὑμῶν τούτῳ τῷ ἔρωτι κάτοχος, οἶδεν ὃ λέγω, καὶ τῷ τότε πάθει συγγνώσεται· τοὺς γὰρ πολλοὺς οὐδ' ἂν πείσαιμι λέγων ἴσως, ὅσοις καὶ ἐν γέλωτι τὸ πρᾶγμα δοκεῖ κακῶς διατεθεῖσιν, εἴτε ὑπὸ τῆς ἰδίας αὐτῶν ἀνοίας, εἴτε ὑπὸ τῶν ἀναξίων τοῦ ἐπαγγέλματος [1]), οἳ πράγματι καλῷ κακὸν περιτεθείκασιν ὄνομα, τῇ φιλοσοφίᾳ τὴν κενοδοξίαν, συνεργὸν λαβόντες τὸν φθόνον καὶ τὴν τῶν πολλῶν κακίαν πρὸς τὸ χεῖρον οὖσαν ἑτοιμοτέραν· ἵν' ἓν γέ τι πάντως αὐτοῖς ἁμαρτάνηται, ἢ τὸ κακὸν ἐνεργούμενον, ἢ τὸ καλὸν ἀπιςούμενον.

8. Πρὸς δὲ τούτοις πρᾶγμα ἔπαθον (ἐκλαλήσω γὰρ πρὸς ὑμᾶς πᾶν τὸ ἀπόῤῥητον), οὐκ οἶδ' εἴτε ἄγροικον εἴτε ἐλεύθερον, ἔπαθον δ' οὖν· ᾐσχύνθην ὑπὲρ τῶν ἄλλων, ὅσοι μηδὲν τῶν πολλῶν ὄντες βελτίους,—μέγα μὲν οὖν [2]), εἰ καὶ μὴ πολλῷ χείρους,—ἀνίπτοις χερσὶν, ὃ δὴ λέγεται [3]), καὶ ἀμυήτοις ψυχαῖς τοῖς ἁγιωτάτοις ἑαυτοὺς ἐπεισάγουσι· καὶ πρὶν ἄξιοι γενέσθαι προσιέναι τοῖς ἱεροῖς, μεταποιοῦνται τοῦ βήματος, θλίβονταί τε καὶ ὠθοῦνται περὶ τὴν ἁγίαν τράπεζαν, ὥσπερ οὐκ ἀρετῆς τύπον, ἀλλ' ἀφορμὴν βίου τὴν τάξιν ταύτην εἶναι νομίζοντες, οὐδὲ λειτουργίαν ὑπεύθυνον, ἀλλ' ἀρχὴν ἀνεξέταςον. Καί εἰσι σχεδόν τι πλείους κατ' ἀριθμὸν, ἢ ἀφόσων ἄρχουσι· δείλαιοι τῆς εὐσεβείας καὶ ἄθλιοι τῆς λαμπρότητος· ὥςε ἐμοί γε δοκοῦσι, προϊόντος τοῦ χρόνου καὶ τοῦ κακοῦ, μηδὲ ἔχειν λοιπὸν, ὧν ἄρξουσι, πάντων διδασκόντων ἀντὶ τοῦ διδακτοὺς εἶναι Θεοῦ, ὡς φησιν ἡ ἐπαγγελία [4]), καὶ πάντων προφητευόντων, ὥςε εἶναι καὶ Σαοὺλ ἐν προφήταις [5]), κατὰ τὴν παλαιὰν ἱςορίαν καὶ παροιμίαν. Οὐδὲν γὰρ οὕτω πολὺ κατ' οὐδένα καιρὸν οὔτ' ἔςιν, οὔτ' ἐγένετο, ἄλλοτε ἄλλων ἀκμασάντων τε καὶ ληξάντων, ὡς νῦν χριςιανοῖς τὰ τοιαῦτα

---

[1]) Ἐπάγγελμα—призваніе, т. е. къ монашеству и удаленію отъ міра.

[2]) Μέγα, подр. εἰπεῖν, много, если...

[3]) Ἀνίπτοις χερσὶν—неумытыми руками,—греческая пословица, означающая: безъ надлежащаго приготовленія, безъ благоговѣнія, βεβήλως. См. Corpus paroemiogr. graec. Ed. Lud. a Leutsch. T. II. Gottin. 1851.

[4]) Ис. 54. 13. Іоан. 6. 45. [5]) 1 Цар. 10. 12.

καὶ ὀνείδη καὶ ἁμαρτήματα· ὧν εἰ καὶ ϛῆσαι τὴν φορὰν κρεῖσσον ἢ καθ' ἡμᾶς, ἀλλὰ τό γε μισεῖν καὶ αἰσχύνεσθαι μέρος εὐσεβείας οὐ τὸ σμικρότατον.

9. Τὸ δὲ τελευταῖον καὶ μεῖζον τῶν εἰρημένων, εἶμι γὰρ ἐπ' αὐτὸν ἤδη τὸν κολοφῶνα τοῦ λόγου [1]), καὶ οὐ ψεύσομαι, οὐδὲ γὰρ θέμις τοῖς περὶ τηλικούτων ποιουμένοις τὸν λόγον· οὐκ ᾤμην ἴσον εἶναι, οὐδὲ νῦν οἴομαι, ποίμνης ἄρχειν ἢ βουκολίου, καὶ ἀνθρώπων ἐπιϛατεῖν ψυχαῖς. Ἐκεῖ μὲν γὰρ ἐξαρκεῖν, ὅτι παχύτατον καὶ πιότατον ἀποδεῖξαι τὸ βουκόλιον ἢ τὸ ποίμνιον· καὶ πρὸς τοῦτο ὁρῶν ὅ τε βουκόλος καὶ ὁ ποιμὴν τῶν τε χωρίων ἐπισκέψεται τὰ ἔνυδρα καὶ ἐπίνομα, εἰσελάσει τε καὶ ἐξελάσει ἀπό τε νομῶν καὶ ἐπὶ νομὰς, ἀναπαύσει τε καὶ ἀποκινήσει καὶ ἀνακαλέσει, ὀλίγα μὲν τῇ βακτηρίᾳ, τὰ πολλὰ δὲ τῇ σύριγγι. Ἄλλο δὲ οὐδὲν ἔργον εἶναι τῷ ποιμένι ἢ τῷ βουκόλῳ, πλὴν ὅσον βραχέα προσπολεμῆσαι τοῖς λύκοις, καί πού τι καὶ ἀρρωστοῦν ἐπισκέψασθαι. Τὰ πολλὰ δὲ αὐτῷ μελήσει δρῦς καὶ σκιὰ καὶ δόνακες, καὶ ἐν καλῷ τῆς πόας κατακλιθῆναι καὶ παρὰ ψυχρὸν ὕδωρ, καὶ ὑπὸ ταῖς αὔραις σχεδιάσαι ϛιβάδα, καί πού τι καὶ ἐρωτικὸν ᾆσαι μετὰ τοῦ κισσυβίου, καὶ προσλαλῆσαι ταῖς βουσὶν ἢ τῇ ποίμνῃ· καὶ τούτων αὐτῶν θοινήσασθαι ἢ ἀποδόσθαι τὸ πιότατον. Ἀρετῆς δὲ οὐδεὶς πω ποιμνίων ἢ βουκολίων ἐφρόντισε· τίς γὰρ καὶ ἀρετὴ τούτων; ἢ τίς τὸ ἐκείνοις καλὸν πρὸ τῆς ἰδίας ἡδονῆς ἐσκέψατο;

10. Ἀνθρώπῳ δὲ χαλεποῦ ὄντος τοῦ εἰδέναι ἄρχεσθαι, κινδυνεύει πολλῷ χαλεπώτερον εἶναι τὸ εἰδέναι ἄρχειν ἀνθρώπων καὶ μάλιϛα δὴ ἀρχὴν ταύτην τὴν ἡμετέραν, τὴν ἐν νόμῳ θείῳ καὶ πρὸς Θεὸν ἄγουσαν, ἧς ὅσον τὸ ὕψος καὶ τὸ ἀξίωμα, τοσοῦτος καὶ ὁ κίνδυνος τῷ γε νοῦν ἔχοντι. Ὃν γε πρῶτον μὲν δεήσει καθάπερ ἄργυρον ἢ χρυσὸν πανταχόθεν ϛρεφόμενον, καὶ ἐν παντοίοις καιροῖς καὶ πράγμασι μηδαμοῦ κίβδηλον ἠχεῖν ἢ ὑπόχαλκον, μηδέ τι φέρειν ἐν ἑαυτῷ ὕλης τῆς χείρονος καὶ θερμο-

---

[1]) Τὸν κολοφῶνά τινος ἐπιτιθέναι—**пословица означающая: довести что-нибудь до конца, до полноты, до совершенства; увѣнчать. Она получила начало отъ Колофонянъ (жителей города Малой Азіи Колофона), которыхъ отличная конница часто одерживала побѣду надъ непріятелями и тѣмъ полагала конецъ сраженію. См. а Leutsch. въ ук. соч.**

τέρου πυρὸς ἀξίας· ἢ τοσούτῳ μεῖζον ἔςαι κακὸν, ὅσῳ περ ἂν ἄρχῃ πλειόνων, εἴπερ καὶ μείζων τῆς περὶ ἕνα ἱςαμένης πονηρίας ἡ εἰς πολλοὺς ὁδεύουσα.

11. Οὐ γὰρ οὕτως οὔτε δευσοποιοῦ βαφῆς μεταλαμβάνει ῥαδίως ὕφασμα, οὔτε δυσωδίας ἢ τοῦ ἐναντίου τὸ πλησιάσαν, οὔτε νοσερά τις οὕτως εὐκόλως ἀναχεῖται εἰς τὸν ἀέρα, καὶ διὰ τοῦ ἀέρος ὁμιλεῖ τοῖς ζώοις ἀτμὶς, ὃ δὴ λοιμὸς ἐςί τε καὶ ὀνομάζεται, ὡς φιλεῖ τάχιςα τῆς τοῦ προεςῶτος κακίας ἀναπίμπλασθαι τὸ ὑπήκοον, καὶ πολλῷ γε ῥᾶον ἢ τοῦ ἐναντίου, τῆς ἀρετῆς. Τοῦτο γάρ ἐςιν, ὃ μάλιςα πλεονεκτεῖ τῆς καλοκἀγαθίας ἡ πονηρία, καὶ ὃ μάλιςα ἐγὼ δυσχεραίνω κατανοῶν, ὅτι εὐζήλωτον μέν τι καὶ πρόχειρον πρᾶγμα ἡ μοχθηρία, καὶ οὐδὲν οὕτω ῥάδιον, ὡς τὸ γενέσθαι κακὸν, κἂν εἰ μὴ τύχοι πρὸς ταύτην ἡμᾶς ἄγων μηδείς· σπάνιον δὲ ἡ τοῦ ἀγαθοῦ κτῆσις καὶ πρόσαντες, κἂν εἰ πολὺ τὸ μεθέλκον εἴη καὶ προκαλούμενον. Καὶ τοῦτό ἐςιν, ὅ μοι δοκεῖ καὶ ὁ μακαριώτατος Ἀγγαῖος κατανοήσας ἐπὶ τὴν θαυμασίαν ἐκείνην ἐλθεῖν καὶ ἀληθεςάτην εἰκόνα· «ἐρωτήσατε ἱερεῖς νόμον, λέγων, εἰ κρέας ἅγιον ἐν ἱματίῳ βρωτοῦ τινος, ἢ ποτοῦ, ἢ σκεύους ἀψάμενον εὐθὺς ἁγιάσει τὸ πλησιάσαν· τῶν δὲ ἀποφησάντων· ἐρωτήσατε πάλιν, εἰ καὶ ἀκαθαρσία τούτων τι προσομιλήσαν, μὴ παραχρῆμα μετέλαβε τοῦ μιάσματος» [1]; ὡς ἐρούντων γε μεταλαμβάνειν, καὶ μὴ καθαρὸν μένειν τῇ κοινωνίᾳ.

12. Τί τοῦτο λέγων; ὅπερ ὁ ἐμὸς λόγος· ὅτι δύσληπτον μὲν τὸ ἀγαθὸν τῇ ἀνθρωπίνῃ φύσει, ὥσπερ καὶ πῦρ ὕλῃ τῇ ὑγροτέρᾳ· ἕτοιμοι δὲ πρὸς τὴν τοῦ κακοῦ μετουσίαν οἱ πλεῖςοι καὶ ἐπιτήδειοι, καλάμη τις πρὸς σπινθῆρα [2]), οἶμαι, καὶ ἄνεμον ῥᾳδίως ἐξαπτομένη καὶ δαπανωμένη διὰ ξηρότητα· θᾶττον γὰρ ἄν τις ὀλίγης κακίας μεταλάβοι πλουσίως ἢ ἀρετῆς βαθείας κατὰ μικρόν. Ἐπεὶ καὶ μέλιτι μὲν μικρὸν ἀψίνθιον ὡς τάχιςα μεταδίδωσι τοῦ πικροῦ, μέλι δὲ οὐδὲ τὸ διπλάσιον ἀψινθίῳ τῆς ἑαυτοῦ γλυκύτητος· καὶ μικρὰ μὲν ὑποσπασθεῖσα ψηφὶς ποταμὸν ὅλον ἑλκύσειεν ἂν ἐπὶ τὸ πρανές· ἐπισχεῖν δὲ ἢ ἀνακόψαι μόλις ἂν δυνηθείη καὶ τὸ καρτερώτατον ἔρυμα.

[1]) Αγγ. 2. 12—14. [2]) Ησ. 82. 14, 15.

13. Πρῶτον μὲν δὴ τοῦτο, ὧν εἴπομεν, εὐλαβεῖσθαι ἄξιον, μὴ φαινώμεθα τῆς θαυμασίας ἀρετῆς κακοὶ ζωγράφοι, μᾶλλον δὲ ζωγράφων οὐ φαύλων ἴσως, τῶν δὲ πολλῶν φαῦλον ἀρχέτυπον· ἢ τῆς παροιμίας μὴ πόῤῥω θέωμεν· ἄλλους ἰατρεύειν ἐπιχειροῦντες αὐτοὶ βρύοντες ἕλκεσιν [1]).

14. Δεύτερον δὲ, εἰ καὶ τις ἁγνὸν ἑαυτὸν ἀπὸ πάσης ἁμαρτίας τηρήσειεν ἢ ὡς μάλιϛα, οὐκ οἶδα μὲν, εἰ καὶ τοῦτο αὔταρκες τῷ μέλλοντι τοὺς ἄλλους παιδεύειν πρὸς ἀρετήν. Οὐ γὰρ μὴ κακὸν εἶναι δεῖ μόνον τὸν τοῦτο πεπιϛευμένον. τοῦτο μὲν γὰρ καὶ τῶν ὑπὸ χεῖρα τοῖς πολλοῖς αἴσχιϛον, ἀλλὰ καὶ τῷ ἀγαθῷ διαφέροντα, κατὰ τὴν» ἐκκλίνειν ἀπὸ κακοῦ καὶ ποιεῖν ἀγαθὸν [2])» κελεύουσαν ἐντολήν· οὐδὲ τοὺς φαύλους ἐξαλεῖψαι τῆς ψυχῆς τύπους μόνον, ἀλλὰ καὶ τοὺς ἀμείνους ἐγγράψασθαι, ὡς πλέον κατ' ἀρετὴν προέχειν, ἢ ὁπόσον περίεστιν ἀξιώματι, καὶ μηδὲν μέτρον εἰδέναι τοῦ καλοῦ καὶ τῆς ἀναβάσεως· μηδὲ κέρδος μᾶλλον τὸ κρατηθὲν ἢ ζημίαν τὸ διαφεῦγον, ἀλλ' ἐπίβασιν ἀεὶ ποιεῖσθαι τὸ ἐν ποσὶ τοῦ ἑξῆς· καὶ μὴ μέγα νομίζειν ἂν τῶν πολλῶν διαφέρωμεν, ἀλλὰ ζημίαν ἂν τῆς ἀξίας λειπώμεθα· και τῇ ἐντολῇ παραμετρεῖν, ἀλλὰ μὴ τοῖς πέλας τὸ κατορθούμενον, ἄν τε ὦσι κακοὶ ἄν τε ἀρετῆς ἐπὶ ποσὸν ἥκοντες· καὶ μὴ μικροῖς ϛαθμοῖς ταλαντεύειν τὴν ἀρετὴν τῷ Μεγίϛῳ, καὶ παρ' οὗ τὰ πάντα, καὶ εἰς ὃν τὰ πάντα, χρεωϛουμένην [3])·—

15. Μηδὲ τὰ αὐτὰ πᾶσιν ἁρμόζειν οἴεσθαι, ὥσπερ οὐδὲ ἡλικίαι πᾶσιν αἱ αὐταὶ, οὐδὲ προσώπων χαρακτῆρες, οὐδὲ ζώων φύσεις, οὐδὲ γῆς ποιότητες, οὐδὲ κάλλη τε καὶ μεγέθη λαμπτήρων· ἀλλ' ἡγεῖσθαι, ἰδιώτου μὲν εἶναι κακίαν τὰ φαῦλα πράσσειν καὶ ὅσα κολάσεως ἄξια, ὧν καὶ ὁ νόμος βαρὺς δεσπότης [4]), ἄρχοντος δὲ ἢ προεϛῶτος τὸ μὴ ὡς ἄριϛον εἶναι καὶ ἀεὶ τῷ καλῷ προβαίνοντα, εἴπερ μέλλοι τῷ περιόντι τῆς ἀρετῆς ἕλξειν τοὺς πολλοὺς εἰς τὸ μέτριον, καὶ μὴ βίᾳ κατάρξειν, ἀλλὰ πειθοῖ προσάξεσθαι. Τὸ μὲν γὰρ ἀκούσιον πρὸς τὸ τυραννικὸν εἶναι [5]).

---

[1]) Ἄλλων ἰατρὸς αὐτὸς ἕλκεσι βρύων—врачующій другихъ самъ изобилуя ранами—греческая пословица, употребительная у классиковъ. Напр. Еврип. Frag. 1071. Ed. Dindorf. 1869. Ср. Лук. 4. 23.

[2]) Пс. 36. 37. [3]) Рим. 11. 36. [4]) Гал. 5. 23.

[5]) Πρὸς τὸ... εἶναι—кромѣ того, что насильственно.

καὶ οὐκ ἐπαινετὸν οὐδὲ μόνιμον. Φιλεῖ γὰρ τὸ βιασθὲν, ὥσπερ φυτὸν βίᾳ χερσὶ μετασπώμενον, εἰς ἑαυτὸ πάλιν ἀφεθὲν ἀνατρέχειν· τὸ δ' ἐκ προαιρέσεως ἐννομώτατόν τε ἅμα καὶ ἀσφαλέστατον, εὐνοίας δεσμῷ τηρούμενον. Ὅθεν δὴ καὶ μάλιστα ποιμαίνειν τὸ ποίμνιον ἑκουσίως, ἀλλὰ μὴ ἀναγκαστῶς, ὁ ἡμέτερος διακελεύεται νόμος καὶ νομοθέτης [1]).

16. Ἀλλ' ἔσω τις μήτε κακὸς καὶ ἀρετῆς ἥκων εἰς τὸ ἀκρότατον, οὐχ ὁρῶ, τίνα λαβὼν ἐπιστήμην, ἢ ποίᾳ δυνάμει πιστεύσας, ταύτην ἂν θαρροίη τὴν προστασίαν· τῷ ὄντι γὰρ αὕτη μοι φαίνεται τέχνη τις εἶναι τεχνῶν καὶ ἐπιστήμη ἐπιστημῶν, ἄνθρωπον ἄγειν, τὸ πολυτροπώτατον ζῶον καὶ ποικιλώτατον. Γνοίη δ' ἄν τις τῇ τῶν σωμάτων θεραπείᾳ τὴν τῶν ψυχῶν ἰατρείαν ἀντεξετάσας, καὶ ὅσῳ μὲν ἐργώδης ἐκείνη καταμαθὼν, ὅσῳ δὲ ἡ καθ' ἡμᾶς ἐργωδεστέρα προσεξετάσας, καὶ τῇ φύσει τῆς ὕλης, καὶ τῇ δυνάμει τῆς ἐπιστήμης, καὶ τῷ τέλει τῆς ἐνεργείας τιμιωτέρα. Ἡ μὲν γὰρ περὶ σώματα πονεῖται, καὶ τὴν ἐπίκηρον ὕλην καὶ κάτω ῥέουσαν, πάντως λυθησομένην καὶ πεισομένην τὸ ἑαυτῆς, κἂν νῦν τῇ συμμαχίᾳ τῆς τέχνης κατακρατήσῃ τῆς ἐν αὐτῇ στάσεως· ἢ γὰρ νόσος ἢ χρόνος ἔλυσεν εἴξασαν τῇ φύσει καὶ τοὺς ἰδίους ὅρους οὐχ ὑπερβαίνουσαν.

17. Τῇ δὲ [2]) περὶ ψυχὴν ἡ σπουδὴ, τὴν ἐκ Θεοῦ καὶ θείαν, καὶ τῆς ἄνωθεν εὐγενείας μετέχουσαν, καὶ πρὸς ἐκείνην ἐπειγομένην, εἰ καὶ τῷ χείρονι [3]) συνεδέθη, τάχα μὲν καὶ δι' ἄλλας αἰτίας, ἃς μόνος οἶδεν ὁ συνδήσας Θεὸς, καὶ εἴ τις ἐκ Θεοῦ τὰ τοιαῦτα ἐσοφίσθη μυστήρια· ὅσον δ' οὖν ἐμὲ γινώσκειν καὶ τοὺς κατ' ἐμὲ, δυοῖν ἕνεκεν· ἑνὸς μὲν, ἵνα διὰ ἀγῶνος καὶ πάλης, τῆς πρὸς τὰ κάτω, τῆς ἄνω δόξης κληρονομήσειεν, ὥσπερ χρυσὸς πυρὶ τοῖς τῇδε βασανισθεῖσα, καὶ ἀρετῆς ἆθλον, ἀλλὰ μὴ Θεοῦ δῶρον μόνον ἔχῃ τὰ ἐλπιζόμενα·—καὶ τοῦτο δὲ ἦν ἄρα τῆς ἄκρας ἀγαθότητος, ποιῆσαι τὸ ἀγαθὸν καὶ ἡμέτερον, οὐ φύσει μόνον κατασπειρόμενον, ἀλλὰ καὶ προαιρέσει γεωργούμενον, καὶ τοῖς ἐπ' ἄμφω τοῦ αὐτεξουσίου κινήμασιν·—ἑτέρου δὲ, ὡς ἂν καὶ

---

[1]) 1 Петр. 5. 2.

[2]) Подразумѣвается: τέχνη.

[3]) Т. е. σώματι.

τὸ χεῖρον ἑλκύσειε πρὸς ἑαυτὴν καὶ ἄνω θείη, λύσασα κατὰ μικρὸν τῆς παχύτητος· ἵν', ὅπερ ἐςὶ Θεὸς ψυχῇ, τοῦτο ψυχὴ σώματι γένηται, παιδαγωγήσασα δι' ἑαυτῆς τὴν ὑπηρέτιν ὕλην καὶ οἰκειώσασα Θεῷ τὸ ὁμόδουλον.

18. Χώρας καὶ καιροὺς καὶ ἡλικίας καὶ ὥρας καὶ τὰ τοιαῦτα ὁ ἰατρὸς ἐπισκέψεται· φαρμακεύσει τε καὶ διαιτήσει, καὶ τηρήσει τὰ βλαβερά, ὡς ἂν μὴ ἀντιβῆναι τῇ τέχνῃ τὰς τῆς ἀρρωςίας ἐπιθυμίας· καί που καὶ καύσεσι καὶ τομαῖς καὶ τοῖς αὐςηροτέροις τῆς θεραπείας, ἐςιν ὅτε καὶ ἐφ' ὧν χρήσεται· ὧν οὔπω τοσοῦτον οὐδὲν, κἂν ἐπίπονα σφόδρα καὶ χαλεπὰ φαίνηται, ὅσον ἤθη καὶ πάθη, καὶ βίους καὶ προαιρέσεις, καὶ εἴ τι ἄλλο τοιοῦτο τῶν ἐν ἡμῖν, κατοπτεῦσαί τε καὶ ἰατρεῦσαι· καὶ πᾶν ὅσον θηριῶδες καὶ ἄγριον ἐξορίσαντας τῆς συζυγίας τῆς ἡμετέρας, πᾶν ὅσον ἥμερον καὶ Θεῷ φίλον ἀντεισαγαγεῖν τε καὶ βεβαιώσασθαι καὶ βραβεῦσαι δικαίως ψυχῇ τε καὶ σώματι· μὴ τῷ χείρονι τὸ κρεῖττον [1]) δυναςεύεσθαι συγχωρήσαντας, ἥπερ ἀδικιῶν ἡ μεγίςη. τῷ δὲ ἄρχοντι καὶ ἡγεμονικῷ τὸ τῇ φύσει δεύτερον ὑποτάξαντας, ὥσπερ δὴ νόμος θεῖος καὶ κάλλιςα ἔχων ἐπὶ πάσης αὐτοῦ τῆς κτίσεως, ὅση τε ὁρατὴ, καὶ ὅση ὑπὲρ τὴν αἴσθησιν.

19. Σκοπῶ δὲ κἀκεῖνο, ὅτι ἐκείνων μὲν ἕκαςον, ὧν ἀπηριθμησάμην ὡς τῷ θεραπευτῇ τηρουμένων, ὅπως ἔχει φύσεως, οὕτω μένει καὶ οὐδὲν ἀντιτεχνᾶται παρ' ἑαυτοῦ πανούργως, οὐδ' ἀντισοφίζεται τοῖς παρὰ τῆς τέχνης προσαγομένοις· ἀλλὰ καὶ περιΐςησι μᾶλλον τὴν ὕλην ἡ ἰατρεία, πλὴν εἴ που βραχεῖά τις παρεμπέσοι τοῦ κάμνοντος ἀταξία, ἣν καὶ φυλάξαι καὶ ἀνακόψαι οὐ χαλεπόν. Ἡμῖν δὲ ἡ σύνεσις καὶ τὸ φίλαυτον καὶ τὸ νικᾶσθαι ῥᾳδίως μήτ' εἰδέναι μήτ' ἀνέχεσθαι, μέγιςον πρὸς ἀρετὴν ἐςιν ἐμπόδιον καὶ οἷόν τις παράταξις κατὰ τῶν συμμαχούντων γίνεται· καὶ ὅσην εἰσφέρειν ἔδει σπουδὴν γυμνοῦν τὴν νόσον τοῖς θεραπεύουσι, τοσαύτην ὥςε τὴν ἰατρείαν φεύγειν εἰσφερόμεθα, καὶ ἐσμὲν ἀνδρεῖοι καθ' ἑαυτῶν καὶ κατὰ τῆς ὑγιείας ἡμῶν ἐπιςήμονες.

20. Ἢ γὰρ δουλοπρεπῶς τὴν ἁμαρτίαν ἐκλέψαμεν, ὥσπερ τι πάθος ὕπουλον καὶ κακόηθες ἐν τῷ βάθει τῆς ψυχῆς

---

[1]) Τ. ε. ψυχήν.

συγκαλύπτοντες, ὡς καὶ τὸν μέγαν λήσοντες ὀφθαλμὸν τοῦ Θεοῦ καὶ τῆς δίκης, ἂν τοὺς ἀνθρώπους λάθωμεν· ἢ προφασιζόμεθα προφάσεις ἐν ἁμαρτίαις, λόγους συνηγόρους τοῖς πάθεσιν ἀνευρίσκοντες· ἢ «τὰς ἀκοὰς ἀποφράξαντες ἀσπίδος κωφῆς καὶ τὰ ὦτα βυούσης τρόπον, μὴ ἀκοῦσαι φωνῆς ἐπαδόντων φιλονεικοῦμεν» [1], μηδὲ φαρμακευθῆναι σοφίας φαρμάκοις, οἷς ἀῤῥωςία ψυχῆς θεραπεύεται· ἢ τὸ τελευταῖον, οἵ γε τολμηρότεροι ἡμῶν καὶ γενναιότεροι καὶ φανερῶς ἀναισχυντοῦμεν πρός τε τὴν ἁμαρτίαν καὶ τοὺς ταύτης θεραπευτάς, γυμνῇ τῇ κεφαλῇ [2], τὸ δὴ λεγόμενον, χωροῦντες πρὸς πᾶσαν παρανομίαν. Ὢ τῆς παραπληξίας, ἢ εἴ τι ἄλλο τῷ τοιούτῳ πάθει κυριώτερον ὄνομα! καὶ οὓς ἀγαπᾶν ὡς εὐεργέτας ἐχρῆν, τούτους ὡς ἐχθροὺς ἀμυνόμεθα, μισοῦντες ἐν πύλαις ἐλέγχοντας καὶ λόγον ὅσιον βδελυσσόμενοι [3]· καὶ οἰόμεθα μᾶλλον πολεμήσειν τοὺς ἡμῖν εὔνους, ἂν ὅτι μάλιςα ἡμᾶς αὐτοὺς κακῶς δράσωμεν, ὥσπερ οἱ τῶν ἰδίων σαρκῶν ἁπτόμενοι τὰς τῶν πέλας δαπανᾶν νομίζοντες.

**21.** Ταῦτά ἐςιν, οἷς ἐγὼ τὴν καθ' ἡμᾶς ἰατρικὴν τῆς περὶ τὰ σώματα ἐργωδεςέραν τίθεμαι μακρῷ, καὶ διὰ τοῦτο τιμιωτέραν· καὶ ὅτι ἐκείνῃ μέν, ὀλίγα τῶν ἐν τῷ βάθει κατοπτευούσῃ, περὶ τὸ φαινόμενον ἡ πλείων τῆς πραγματείας· ἡμῖν δὲ περὶ τὸν κρυπτὸν τῆς καρδίας ἄνθρωπον [4] ἡ πᾶσα θεραπεία τε καὶ σπουδή· καὶ πρὸς τὸν ἔνδοθεν ἡμῖν ἀντιπολεμοῦντα καὶ ἀντιπαλαίοντα ἡ μάχη, ὃς ἡμῖν αὐτοῖς ὅπλοις καθ' ἡμῶν χρώμενος, τὸ δεινότατον, τῷ τῆς ἁμαρτίας θανάτῳ δίδωσι. Πρὸς οὖν ταῦτα πολλῆς μὲν καὶ παντελοῦς τῆς πίςεως, μείζονος δὲ τῆς παρὰ Θεοῦ συνεργίας, οὐκ ὀλίγης δὲ τῆς ἡμετέρας ἀντιτεχνήσεως—ὥς γε ἐμαυτὸν πείθω—χρεία, τῆς καὶ λόγῳ καὶ ἔργῳ θεωρουμένης, εἰ δεῖ καλῶς ἡμῖν θεραπεύεσθαι καὶ ἀποκαθαίρεσθαι, καὶ ὡς πλείςου ἀξίας εἶναι, τὸ τιμιώτατον ὧν ἔχομεν, τὰς ψυχάς.

**22.** Τά γε μὴν ἀμφοτέρων τῶν θεραπειῶν τέλη, τοῦτο γὰρ ἡμῖν εἰς τὴν ἐξέτασιν ἔτι λείπεται, τῇ μὲν ὑγίειαν ἢ εὐεξίαν σαρκός,

---

[1]) Пс. 57. 5, 6.

[2]) Γυμνῇ τῇ κεφαλῇ—съ открытою головою,—пословица о людяхъ, рѣшающихся на какое-либо дѣло безстыдно, ἀναισχύντως; въ этомъ смыслѣ встрѣчается у классиковъ, напр. Платона въ Федрѣ, р. 243.

[3]) Амос. 5. 10. [4]) 1 Петр. 3, 4.

ἢ οὖσαν φυλάξαι ἢ ἀπελθοῦσαν ἀνακαλέσασθαι, ὧν οὔπω δῆλον, εἴ τι συνοίσει τοῖς κεκτημένοις· ἐπεὶ καὶ τὰ ἐναντία πολλάκις πλείω τοὺς ἔχοντας ὤνησεν· ὥσπερ πενίαι τε καὶ πλοῦτοι, δόξαι τε καὶ ἀδοξίαι, ταπεινότητες καὶ λαμπρότητες, καὶ ὅσα ἐν μέσῳ κείμενα κατὰ τὴν φύσιν, καὶ οὐδὲν μᾶλλον τῇδε ἢ τῇδε νεύοντα, τῇ χρήσει καὶ τῇ προαιρέσει τῶν κεκτημένων τὸ βέλτιον ἢ τὸ χεῖρον λαμβάνει· τῇ δὲ τὸ προκείμενον πτερῶσαι ψυχὴν, ἁρπάσαι κόσμου καὶ δοῦναι Θεῷ, καὶ τὸ κατ' εἰκόνα ἢ μένον τηρῆσαι, ἢ κινδυνεῦον χειραγωγῆσαι, ἢ διαῤῥυὲν ἀνασώσασθαι, εἰσοικίσαι τε τὸν Χριςὸν ἐν ταῖς καρδίαις διὰ τοῦ Πνεύματος [1]· καὶ τὸ κεφάλαιον, Θεὸν ποιῆσαι καὶ τῆς ἄνω μακαριότητος [2] τὸν τῆς ἄνω συντάξεως [3].

23. Τοῦτο ἡμῖν ὁ παιδαγωγὸς βούλεται νόμος [4]· τοῦτο οἱ μέσοι Χριςοῦ καὶ νόμου προφῆται· τοῦτο ὁ τοῦ πνευματικοῦ «νόμου τελειωτὴς καὶ τὸ τέλος Χριςός» [5]· τοῦτο ἡ κενωθεῖσα θεότης [6]· τοῦτο ἡ προσληφθεῖσα σάρξ· τοῦτο ἡ καινὴ μίξις, Θεὸς καὶ ἄνθρωπος, ἓν ἐξ ἀμφοῖν, καὶ δι' ἑνὸς ἀμφότερα. Διὰ τοῦτο Θεὸς σαρκὶ διὰ μέσης ψυχῆς ἀνεκράθη, καὶ συνεδέθη τὰ διεςῶτα τῇ πρὸς ἄμφω τοῦ μεσιτεύοντος οἰκειότητι· καὶ πάντα ὑπὲρ πάντων ἦλθεν εἰς ἓν καὶ ὑπὲρ ἑνὸς τοῦ προπάτορος· ἡ ψυχὴ διὰ τὴν παρακούσασαν, ἡ σὰρξ διὰ τὴν ὑπουργήσασαν καὶ συγκατακριθεῖσαν, ἡ μὲν ψυχὴν, ἡ δὲ σάρκα· ὁ Χριςὸς διὰ τὸν Ἀδὰμ, τὸν γενόμενον ὑπὸ τὴν ἁμαρτίαν, ὁ κρείττων ἁμαρτίας καὶ ὑψηλότερος.

24. Διὰ τοῦτο ἀντεισήχθη τῷ παλαιῷ τὸ νέον· καὶ διὰ πάθους ὁ παθὼν ἀνεκλήθη, καὶ ὑπὲρ ἑκάςου τῶν ἡμετέρων ἕκαςον τοῦ ὑπὲρ ἡμᾶς ἀντεδόθη· καὶ γέγονε καινὸν μυςήριον ἡ περὶ τὸν πεσόντα δι' ἀπείθειαν ἐκ φιλανθρωπίας οἰκονομία. Διὰ τοῦτο γέννησις καὶ παρθένος· διὰ τοῦτο φάτνη καὶ Βηθλεέμ· ἡ γέννησις ὑπὲρ τῆς πλάσεως· ἡ παρθένος ὑπὲρ τῆς γυναικός· ἡ Βηθλεὲμ διὰ τὴν Ἐδέμ· ἡ φάτνη διὰ τὸν παράδεισον· τὰ

---

[1] Еф. 3. 16, 17. [2] Фил. 3. 14.

[3] Причастника вышней природы (человѣка) сдѣлать причастникомъ вышняго блаженства.

[4] Гал. 3. 24. [5] Рим. 10. 4. [6] Фил. 2. 7.

μικρὰ καὶ φαινόμενα ὑπὲρ τῶν μεγάλων καὶ κρυπτομένων. Διὰ τοῦτο ἄγγελοι δοξάζοντες τὸν οὐράνιον, εἶτα ἐπίγειον [1]), καὶ ποιμένες δόξαν ὁρῶντες ἐπὶ τῷ ἀμνῷ καὶ ποιμένι, καὶ ἀστὴρ ἡγούμενος, καὶ μάγοι προσπίπτοντες καὶ δωροφοροῦντες, ἵν' εἰδωλολατρία καταλυθῇ. Διὰ τοῦτο Ἰησοῦς βαπτιζόμενος, καὶ ἄνωθεν μαρτυρούμενος, καὶ νηστεύων, καὶ πειραζόμενος, καὶ νικῶν τὸν νικήσαντα. Διὰ τοῦτο δαίμονες ἐλαυνόμενοι, καὶ νόσοι θεραπευόμεναι, καὶ τὸ μέγα κήρυγμα μικροῖς ἐγχειριζόμενον καὶ κατορθούμενον.

25. Διὰ τοῦτο «ἔθνη φρυασσόμενα, καὶ λαοὶ μελετῶντες κενά» [2])· διὰ τοῦτο ξύλον κατὰ τοῦ ξύλου, καὶ κατὰ τῆς χειρὸς χεῖρες, τῆς ἀκρατῶς ἐκταθείσης αἱ γενναίως ταθεῖσαι, τῆς ἀνειμένης αἱ τοῖς ἥλοις δεθεῖσαι, τῆς ἐκβαλούσης Ἀδὰμ αἱ τὰ πέρατα οἰκειουμέναι [3]). Διὰ τοῦτο ὕψος κατὰ τοῦ πτώματος, καὶ χολὴ κατὰ τῆς γεύσεως, καὶ στέφανος ἀκάνθινος κατὰ τοῦ πονηροῦ κράτους, καὶ θάνατος κατὰ τοῦ θανάτου, καὶ σκότος ὑπὲρ τοῦ φωτὸς, καὶ ταφὴ κατὰ τῆς εἰς γῆν ἀποστροφῆς, καὶ ἀνάστασις ὑπὲρ τῆς ἀναστάσεως [4]). Ταῦτα πάντα παιδαγωγία τις ἦν περὶ ἡμᾶς τοῦ Θεοῦ, καὶ τῆς ἀσθενείας ἰατρεία τῆς ἡμετέρας, τὸν παλαιὸν Ἀδὰμ ὅθεν ἐξέπεσεν ἐπανάγουσα, καὶ τῷ ξύλῳ τῆς ζωῆς προσάγουσα, οὗ τὸ ξύλον ἡμᾶς τῆς γνώσεως, οὐ κατὰ καιρὸν οὐδ' ἐπιτηδείως μεταληφθὲν, ἠλλοτρίωσε.

26. Ταύτης ἡμεῖς τῆς θεραπείας ὑπηρέται καὶ συνεργοὶ, ὅσοι τῶν ἄλλων προκαθεζόμεθα· οἷς μέγα μὲν τὸ τὰ ἴδια πάθη καὶ ἀρρωστήματα καὶ γινώσκειν καὶ θεραπεύειν,—μᾶλλον δὲ οὔπω μέγα, πλὴν τοῦτο λέγειν ἡμᾶς ἡ τῶν πολλῶν κακία πεποίηκε τῶν ἐπὶ ταύτης ὄντων τῆς τάξεως·—πολλῷ δὲ μεῖζον τὸ τὰ τῶν ἄλλων ἰᾶσθαι δύνασθαι καὶ ἀνακαθαίρειν ἐπιστημόνως, καὶ ὡς ἂν ἀμφοτέροις λυσιτελοίη, τοῖς τε τῆς θεραπείας χρήζουσι, καὶ τοῖς ἰατρεύειν πεπιστευμένοις.

27. Εἶτα οἱ μὲν τῶν σωμάτων θεραπευταὶ πόνους τε καὶ

---

[1]) 1 Кор. 15. 49. [2]) Псал. 2. 1. [3]) Еф. 1. 10.

[4]) Двоякое значеніе слова ἀνάστασις: первое изъ отношеніи къ І. Христу въ смыслѣ воскресенія изъ мертвыхъ, второе въ отношеніи къ первозданному Адаму въ смыслѣ возстанія противъ Бога или преслушанія Его заповѣди.

ἀγρυπνίας καὶ φροντίδας, ἃς ἴσμεν, ἔχουσι· καὶ τὸ ἐπ' ἀλλοτρίαις συμφοραῖς ἰδίας καρποῦσθαι λύπας, ὥς ἔφη τις τῶν παρ' ἐκείνοις σοφῶν [1]· καὶ τὰ μὲν αὐτοὶ μοχθοῦντες καὶ ἀνευρίσκοντες, τὰ δὲ παρ' ἄλλων ἐρανιζόμενοι καὶ συνεισφέροντες προσοίσουσι τοῖς δεομένοις. Καὶ οὐδὲν οὕτω μικρὸν αὐτοῖς ἢ εὑρεθὲν ἢ διαφυγόν, οὐδὲ τῶν ἐλαχίςων, ὡς μὴ μέγα πρὸς τὴν τῆς ὑγιείας ῥοπὴν ἢ τοῦ κινδύνου τοὐναντίον ὑποληφθῆναι. Καὶ ταῦτα ὑπὲρ τίνος; ἵν' ἄνθρωπος ζήσῃ πλείους τὰς ἐπὶ γῆν ἡμέρας, καὶ οὗτος οὐδὲ τῶν ἐπιεικῶν ἴσως, ἀλλὰ καὶ τῶν μοχθηροτάτων, ᾧ τὸ πάλαι τεθνάναι ἴσως ἄμεινον ἦν, ὄντι κακῷ, ἵνα τοῦ μεγίςου τῶν ἀῤῥωςημάτων, τῆς κακίας, ἀπαλλαγῇ. Εἰ δὲ καὶ τῶν καλῶν θείημεν, ἐπὶ πόσον βιωσομένῳ; τὸν ἅπαντα χρόνον; ἢ τί τῆς ἐνταῦθα κερδανοῦντι ζωῆς, ἧς τὸ λυθῆναι ζητεῖν τῶν καλῶν τὸ πρῶτον καὶ ἀσφαλέςατον καὶ ἀνδρὸς ὄντως ὑγιοῦς καὶ νοῦν ἔχοντος;

28. Ἡμῖν δὲ, οἷς τὸ κινδυνευόμενόν ἐςι σωτηρία ψυχῆς, τῆς μακαρίας τε καὶ ἀθανάτου, καὶ ἀθάνατα κολασθησομένης ἢ ἐπαινεθησομένης, διὰ κακίαν ἢ ἀρετὴν, πόσον χρὴ δοκεῖν εἶναι τὸν ἀγῶνα ἢ ὅσης δεῖν τῆς ἐπιςήμης ἰατρεῦσαι καλῶς, ἢ ἰατρευθῆναι, καὶ τὴν ζωὴν μεταθέσθαι, καὶ δοῦναι τὸν χοῦν τῷ πνεύματι [2]; οὐ γὰρ τῶν αὐτῶν οὔτε λόγων οὔτε ὁρμῶν, οὔτε τὸ θῆλυ τῷ ἄῤῥενι, οὔτε γήρᾳ νεότης, οὔτε πενίᾳ πλοῦτος, οὔτε εὐθυμῶν ἀθυμοῦντι, οὔτε ὁ κάμνων τῷ ὑγιαίνοντι, ἄρχοντές τε καὶ ἀρχόμενοι, σοφοί τε καὶ ἀμαθεῖς, δειλοί τε καὶ θρασεῖς, ὀργίλοι καὶ πρᾶοι, κατορθοῦντες καὶ πίπτοντες.

29. Κἂν ἔτι ἀκριβῶς ἐξετάσῃς, ὅσον τὸ μέσον τῶν ἐν συζυγίαις πρὸς τοὺς ἀγάμους, κἀν τούτοις πάλιν τῶν τῆς ἐρημίας πρὸς τοὺς κοινωνικοὺς καὶ μιγάδας, τῶν ἐξητασμένων καὶ διαβεβηκότων ἐν θεωρίᾳ πρὸς τοὺς ἁπλῶς κατευθύνοντας, ἀςικῶν τε αὖ καὶ τῶν ἐκ τῆς ἀγροικίας, ἀκεραιοτέρων τε καὶ πανουργοτέρων, τῶν ἐν πράγμασι πρὸς τοὺς ἡσυχάζοντας, τῶν μεταβολῇ πληγέντων πρὸς τοὺς εὐδρομοῦντας καὶ ἀμαθεῖς τοῦ χείρονος. Τούτων γὰρ

---

[1] Приведенное изреченіе находится въ сочиненіи περὶ φυσῶν, приписываемомъ знаменитому греческому врачу Гиппократу († около 364 г. до Р. Х.). О немъ см. Lübkers Reallexicon.

[2] 1 Кор. 2. 11—15.

ἕκαστοι πλεῖον ἀλλήλων ἐστὶν ὅτε ταῖς ἐπιθυμίαις καὶ ταῖς ὁρμαῖς ἢ κατὰ τὰς τῶν σωμάτων ἰδέας διαφέροντες, εἰ δὲ βούλει, τὰς τῶν στοιχείων μίξεις καὶ κράσεις, ἐξ ὧν συνεστήκαμεν, οὐ ῥᾴστην ἔχουσι τὴν οἰκονομίαν [1]).

30. Ἀλλ' ὥσπερ τοῖς σώμασιν οὐ τὴν αὐτὴν φαρμακείαν τε καὶ τροφὴν προσφέρονται, ἄλλοι δὲ ἄλλην, ἢ εὐεκτοῦντες ἢ κάμνοντες, οὕτω καὶ τὰς ψυχὰς διαφόρῳ λόγῳ καὶ ἀγωγῇ θεραπεύονται. Μάρτυρες δὲ τῆς θεραπείας, ὧν καὶ τὰ πάθη. Τοὺς μὲν ἄγει λόγος, οἱ δὲ ῥυθμίζονται παραδείγματι· οἱ μὲν δέονται κέντρων, οἱ δὲ χαλινοῦ. Οἱ μὲν γάρ εἰσι νωθεῖς καὶ δυσκίνητοι πρὸς τὸ καλὸν, οὓς τῇ πληγῇ τοῦ λόγου διεγερτέον· οἱ δὲ θερμότεροι τοῦ μετρίου τῷ πνεύματι καὶ δυσκάθεκτοι ταῖς ὁρμαῖς, καθάπερ πῶλοι γενναῖοι πόῤῥω τῆς νύσσης θέοντες, οὓς βελτίους ἂν ποιήσειεν ἄγχων καὶ ἀνακόπτων ὁ λόγος.

31. Τοὺς μὲν ἔπαινος ὤνησε, τοὺς δὲ ψόγος, ἀμφότερα μετὰ τοῦ καιροῦ, ἢ τοὐναντίον ἔβλαψεν ἔξω τοῦ καιροῦ καὶ τοῦ λόγου. Τοὺς μὲν παράκλησις κατορθοῖ, τοὺς δὲ ἐπιτίμησις· καὶ αὕτη τοὺς μὲν ἐν τῷ κοινῷ διελεγχομένους, τοὺς δὲ κρύβδην νουθετουμένους. Φιλοῦσι γὰρ οἱ μὲν καταφρονεῖν τῶν ἰδίᾳ νουθετημάτων, πλήθους καταγνώσει σωφρονιζόμενοι· οἱ δὲ πρὸς τὴν ἐλευθερίαν τῶν ἐλέγχων ἀναισχυντεῖν, τῷ τῆς ἐπιτιμήσεως μυστηρίῳ παιδαγωγούμενοι, καὶ ἀντιδιδόντες τῆς συμπαθείας τὴν εὐπείθειαν.

32. Τῶν μὲν πάντα τηρεῖν ἐπιμελῶς ἀναγκαῖον μέχρι καὶ τῶν μικροτάτων, ὅσους τὸ οἴεσθαι λανθάνειν (ἐπειδὴ τοῦτο τεχνάζουσιν) ὡς σοφωτέρους ἐφύσησε· τῶν δ' ἐστιν ἃ καὶ παρορᾶν ἄμεινον, ὥστε ὁρῶντας μὴ ὁρᾶν, καὶ ἀκούοντας μὴ ἀκούειν, κατὰ τὴν παροιμίαν [2]), ἵνα μὴ πρὸς ἀπόνοιαν αὐτοὺς ἐρεθίζωμεν τῷ φιλοπόνῳ τῶν ἐλέγχων καταβαπτίζοντες, καὶ τέλος πρὸς πάντα ποιήσωμεν τολμηροὺς, τὸ τῆς πειθοῦς φάρμακον, τὴν αἰδῶ, διαλύσαντες. Καὶ μέντοι καὶ ὀργιστέον τισὶν οὐκ ὀργιζομένους, καὶ ὑπεροπτέον οὐχ ὑπερορῶντας, καὶ ἀπογνωστέον οὐκ ἀπογινώσκοντας, ὅσων τοῦτό ἡ φύσις ἐπιζητεῖ. Καὶ ἄλλους ἐπιεικείᾳ θεραπευτέον καὶ ταπεινότητι, καὶ

---

[1]) Οἰκονομία—распоряженіе духовнаго врача или врачеваніе. Смыслъ рѣчи: не очень легкимъ дѣлаютъ врачеваніе.

[2]) Мат. 13. 15. Марк. 8. 18.

τῷ συμπροθυμεῖσθαι δὴ περὶ τὰς χρηςοτέρας ἐλπίδας. Καὶ τοὺς μὲν νικᾶν, τῶν δὲ ἡττᾶσθαι πολλάκις λυσιτελέςερον· καὶ τῶν μὲν εὐπορίαν καὶ δυναςείαν, τῶν δὲ πενίαν ἢ δυσπραγίαν, ἢ ἐπαινεῖν ἢ ἀπεύχεσθαι.

33. Οὐ γὰρ, ὥσπερ ἐπὶ τῆς ἀρετῆς ἔχει καὶ τῆς κακίας, τὴν μὲν καλλίςην εἶναι καὶ ὠφελιμωτάτην ἀεὶ καὶ πᾶσι, τὴν δὲ χειρίςην τε καὶ βλαβερωτάτην, οὕτω καὶ τῆς φαρμακείας τῆς ἡμετέρας ἕν τι καὶ τὸ αὐτὸ ὑγιεινότατον ἢ ἐπισφαλέςατον ἀεὶ καὶ τοῖς αὐτοῖς ἀποδέδεικται, οἷον τὸ αὐςηρὸν, ἢ τὸ πρᾶον, ἢ τῶν ἄλλων ὧν ἀπηριθμησάμην ἕκαςον. Ἀλλὰ τοῖς μὲν τοῦτο καλὸν καὶ χρήσιμον, τοῖς δὲ τοὐναντίον πάλιν, ὅπως ἂν, οἶμαι, συμπίπτωσιν οἵ τε καιροὶ καὶ τὰ πράγματα καὶ ὁ τῶν θεραπευομένων ἐπιδέχηται τρόπος. Ἃ παντα μὲν διελέσθαι λόγῳ καὶ συνιδεῖν ἐπὶ τὸ ἀκριβέςατον, ὥςε καὶ κεφαλαίῳ τὴν θεραπείαν περιλαβεῖν, ἀμήχανον, κἂν ἐπὶ πλεῖςον ἐξίκηταί τις ἐπιμελείας τε καὶ συνέσεως· ἐπὶ δὲ τῆς πείρας αὐτῆς καὶ τῶν πραγμάτων τῷ θεραπευτῇ λόγῳ καὶ ἀνδρὶ καταφαίνεται.

34. Καθόλου δὲ ἡμῖν ἐκεῖνο γνώριμον, ὅτι, καθάπερ τοῖς ἐπὶ κάλου μετεώρου καὶ ὑψηλοῦ βαίνουσι τῇδε ἢ τῇδε ἀποκλῖναι οὐκ ἀσφαλὲς, οὐδὲ εἰς μικρὸν φέρουσα ἡ ῥοπὴ, κἂν μικρὰ φαίνηται. ἀσφάλεια δὲ αὐτοῖς ἡ ἰσοῤῥοπία καθίςαται· οὕτω κἂν τούτοις [1]) ὁποτέρωσε νεύσῃ τις, εἴτε διὰ κακίαν, εἴτε δι᾽ ἀμάθειαν, κίνδυνος οὐχ ὁ τυχὼν αὐτῷ τε καὶ τοῖς ἀγομένοις τοῦ τῆς ἁμαρτίας πτώματος. Ἀλλ᾽ ὁδῷ βασιλικῇ πορευτέον ὄντως, καὶ περισκεπτέον, μήτε εἰς δεξιὰ μήτε εἰς ἀριςερὰ, καθὼς αἱ παροιμίαι φασὶν, ἐκκλίνοντας [2]). Οὕτω μὲν δὴ τὰ τῶν παθῶν ἔχει τῶν ἡμετέρων, καὶ τοσοῦτον ἐνταῦθα τὸ ἔργον τῷ ἀγαθῷ ποιμένι, τῷ γνωςῶς γνωσομένῳ ψυχὰς ποιμνίου, καὶ ἀφηγησομένῳ κατὰ λόγον ποιμαντικῆς [3]), τῆς γε ὀρθῆς καὶ δικαίας, καὶ τοῦ ἀληθινοῦ Ποιμένος ἡμῶν ἀξίας.

35. Αὐτὴν δὲ τὴν τοῦ λόγου διανομὴν, ἵνα τελευταῖον εἴπω

---

[1]) Καὶ ἐν τούτοις, т. е. въ дѣлахъ пастыря церкви, какъ духовнаго врача.

[2]) Притч. 4. 27.

[3]) Т. е. τέχνης.

τὸ πρῶτον τῶν ἡμετέρων, τοῦ θείου λέγω καὶ ὑψηλοῦ, καὶ ὃν νῦν πάντες φιλοσοφοῦσιν, εἰ μέν τις ἄλλος θαῤῥεῖ καὶ πάσης διανοίας ὑπολαμβάνει, θαυμάζω τοῦτον ἐγὼ τῆς συνέσεως, ἵνα μὴ λέγω τῆς εὐηθείας. Ἐμοὶ δ' οὖν πρᾶγμα φαίνεται οὐ τῶν φαυλοτάτων, οὐδὲ ὀλίγου τοῦ πνεύματος, διδόναι κατὰ καιρὸν ἑκάςῳ τοῦ λόγου τὸ σιτομέτριον [1]), καὶ οἰκονομεῖν ἐν κρίσει τὴν ἀλήθειαν τῶν ἡμετέρων δογμάτων· ὅσα περὶ κόσμων ἢ κόσμου πεφιλοσόφηται, περὶ ὕλης, περὶ ψυχῆς, περὶ νοῦ καὶ τῶν νοερῶν φύσεων, βελτιόνων τε καὶ χειρόνων, περὶ τῆς τὰ πάντα συνδεούσης τε καὶ διεξαγούσης προνοίας, ὅσα τε κατὰ λόγον ἀπαντᾶν δοκεῖ, καὶ ὅσα παρὰ λόγον τὸν κάτω καὶ τὸν ἀνθρώπινον.

36. Ἔτι τε ὅσα περὶ τῆς πρώτης ἡμῶν συςάσεως καὶ τῆς τελευταίας ἀναπλάσεως, τύπων τε καὶ ἀληθείας, καὶ διαθηκῶν, καὶ Χριςοῦ παρουσίας πρώτης τε καὶ δευτέρας, σαρκώσεώς τε καὶ παθημάτων καὶ ἀναλύσεως [2]), ὅσα τε περὶ ἀναςάσεως, περὶ τέλους, περὶ κρίσεως καὶ ἀνταποδόσεως σκυθρωποτέρας τε καὶ ἐνδοξοτέρας, καὶ τὸ κεφάλαιον, ὅσα περὶ τῆς ἀρχικῆς καὶ μακαρίας Τριάδος ὑποληπτέον. Ὅσπερ δὴ καὶ κινδύνων μέγιςος τοῖς φωτίζειν πεπιςευμένοις, ὡς μήτε εἰς μίαν ὑπόςασιν συναιρεθέντα τὸν λόγον, δέει πολυθείας, ψιλὰ καταλιπεῖν ἡμῖν τὰ ὀνόματα, τὸν αὐτὸν Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα ὑπολαμβάνουσι· μήτε εἰς τρεῖς, ἢ ἐκφύλους καὶ ἀλλοτρίας διαιρεθέντα, ἢ ἀτάκτους καὶ ἀνάρχους, καὶ οἷον εἰπεῖν, ἀντιθέους, πρὸς κακὸν ἴσον ἐκ τῶν ἐναντίων μεταπεσεῖν, ὥσπερ φυτοῦ διαςροφῆς ἐπὶ θάτερα πολὺ μετακλινομένης.

37. Τριῶν γὰρ ὄντων τῶν νῦν περὶ τὴν θεολογίαν ἀῤῥωςημάτων· ἀθεΐας, καὶ Ἰουδαϊσμοῦ, καὶ πολυθεΐας, ὧν τῆς μὲν Σαβέλλιος προςάτης ὁ Λίβυς ἐγένετο, τῆς δὲ Ἀρεῖος ὁ Ἀλεξανδρεὺς [3]), τῆς δέ τινες τῶν ἄγαν παρ' ἡμῖν ὀρθοδόξων. Τίς ὁ ἐμὸς λόγος; τῶν τριῶν ὅσον ἐςὶ βλαβερὸν διαφυγόντας ἐν ὅροις

---

[1]) Лук. 12. 42.

[2]) Ἀνάλυσις здѣсь, вѣроятно, означаетъ разлученіе души отъ тѣла, или тоже, что θάνατος.

[3]) Савеллій, извѣстный еретикъ 3-го вѣка; Арій, извѣстный основатель Аріанской ереси, 4-го вѣка.

μένειν τῆς εὐσεβείας, καὶ μήτε πρὸς τὴν Σαβελλίου ἀθεΐαν ἐκ τῆς καινῆς ταύτης ἀναλύσεως ἢ συνθέσεως ὑπαχθῆναι, μὴ μᾶλλον ἓν τὰ πάντα ἢ μηδὲν ἕκαστον εἶναι ὁριζομένους· φεύγει γὰρ εἶναι ὅπερ ἐστὶν εἰς ἄλληλα μεταχωροῦντα καὶ μεταβαίνοντα· ἢ σύνθετόν τινα καὶ ἄτοπον ἡμῖν Θεὸν, ὥσπερ τὰ μυθώδη τῶν ζώων σκιαγραφοῦντας καὶ ἀναπλάττοντας· μήτε τὰς φύσεις τέμνοντας κατὰ τὴν Ἀρείου καλῶς ὀνομασθεῖσαν μανίαν εἰς Ἰουδαϊκὴν πενίαν κατακλεισθῆναι, καὶ φθόνον ἐπεισάγειν τῇ θείᾳ φύσει, μόνῳ τῷ ἀγεννήτῳ τὴν θεότητα περιγράφοντας, ὥσπερ δεδοικότας, μὴ διαφθείροιτο ἡμῖν ὁ Θεὸς, Θεοῦ Πατὴρ ὢν ἀληθινοῦ καὶ ὁμοτίμου τὴν φύσιν· μήτε τρεῖς ἀρχὰς ἀλλήλαις ἀντεπεξάγοντας ἢ συντάσσοντας πολυαρχίαν εἰσάγειν ἑλληνικὴν, ἣν πεφεύγαμεν.

38. Δέον μήτε οὕτως εἶναί τινας φιλοπάτορας, ὡς καὶ τὸ εἶναι Πατέρα περιαιρεῖν· τίνος γὰρ ἂν καὶ εἴη πατὴρ, τοῦ υἱοῦ τὴν φύσιν κεχωρισμένου καὶ ἀπεξενωμένου μετὰ τῆς κτίσεως;— οὐ γὰρ τοῦτο υἱὸς τὸ ἀλλότριον,—ἢ συναλειφομένου πρὸς τὸν πατέρα καὶ συγχεομένου, ἴσον δὲ εἰπεῖν, καὶ συγχέοντος [1]; μήτε τοσοῦτον φιλοχρίστους, ὡς μήτε τούτῳ φυλάττειν τὸ εἶναι υἱῷ· τίνος γὰρ ἂν καὶ εἴη, μὴ πρὸς ἀρχὴν ἀναφερόμενος τὸν πατέρα; μήτε τῷ πατρὶ τὸ τῆς ἀρχῆς ἀξίωμα, τῆς ὡς πατρὶ καὶ γεννήτορι· μικρῶν γὰρ ἂν εἴη καὶ ἀναξίων ἀρχὴ, μᾶλλον δὲ μικρῶς τε καὶ ἀναξίως, μὴ θεότητος ὢν ἀρχὴ καὶ ἀγαθότητος, τῆς ἐν Υἱῷ καὶ Πνεύματι θεωρουμένης, τῷ μὲν ὡς υἱῷ καὶ λόγῳ, τῷ δὲ ὡς προόδῳ καὶ οὐ διαλύτῳ πνεύματι· ἐπειδή γε ἀναγκαῖον, καὶ τὸν ἕνα Θεὸν τηρεῖν, καὶ τὰς τρεῖς ὑποστάσεις ὁμολογεῖν, καὶ ἑκάστην μετὰ τῆς ἰδιότητος.

39. Ταῦτ' οὖν μακροτέρου μὲν ἢ κατὰ τὸν παρόντα καιρὸν, οἶμαι δὲ καὶ βίον, τοῦ λόγου καὶ νοῆσαι καὶ παραστῆσαι ἱκανῶς τε καὶ ὅσον ἄξιον· μᾶλλον δὲ καὶ νῦν καὶ ἀεὶ τοῦ Πνεύματος, ᾧ μόνῳ Θεὸς καὶ νοεῖται καὶ ἑρμηνεύεται καὶ ἀκούεται. Καθαρῷ γὰρ μόνον ἁπτέον τοῦ καθαροῦ καὶ ὡσαύτως ἔχοντος. Οὗ δ' εἵνεκα νῦν ἐν ὀλίγῳ διεληλύθαμεν, ἵν' ἐκεῖνο δηλώσωμεν, ὅτι χαλεπὸν ἐν πλήθει μάλιστα, περὶ τηλικούτων διαλεγόμενον, ἐκ παντοδαπῆς

---

[1]) По смыслу рѣчи: если бы Сынъ сливался съ Отцемъ, или Отецъ сливалъ Его съ Собою.

συγκειμένῳ καὶ ἡλικίας καὶ ἕξεως, οἷον ὀργάνῳ τινὶ πολυχόρδῳ διαφόρων δεομένῳ καὶ τῶν κρουμάτων, εὑρεῖν τινα τὸν πάντας καταρτίσαι δυνάμενον λόγον, καὶ λαμπρῦναι τῷ φωτὶ τῆς γνώσεως. Οὐ μόνον ὅτι ἐν τρισὶ τούτοις τοῦ κινδύνου σαλεύοντος, διανοίᾳ καὶ λόγῳ καὶ ἀκοῇ, ἀναγκαῖον περὶ ἕν γέ τι τούτων, εἰ καὶ μὴ πάντα, προσπταῖσαι· ἢ γὰρ οὐκ ἐνελάμφθη νοῦς, ἢ λόγος ἠσθένησεν, ἢ οὐκ ἐχώρησεν ἀκοὴ μὴ κεκαθαρμένη· καὶ ὁμοίως ἐξ ἑνὸς τούτων καὶ πάντων χωλεύειν ἀνάγκη τὴν ἀλήθειαν· ἀλλ᾽ ὅτι καὶ ὃ τοῖς ἄλλο τι διδάσκειν ὑπισχνουμένοις ῥᾷστον ποιεῖ τὸν λόγον καὶ εὐπαράδεκτον, ἡ τῶν ἀκουόντων εὐλάβεια, τοῦτο ἐνταῦθα ἡ ζημία καθίσταται καὶ ὁ κίνδυνος.

40. Ὡς γὰρ περὶ Θεοῦ καὶ τοῦ μεγίστου τῶν ὄντων ἔχοντες τὸν ἀγῶνα, καὶ τῆς σωτηρίας αὐτῆς καὶ τῆς πρώτης πᾶσιν ἐλπίδος [1]), ὅσῳ τὴν πίστιν εἰσὶ θερμότεροι, τοσούτῳ προσαντέστεροι τῷ λόγῳ, καὶ προδοσίαν τῆς ἀληθείας, οὐκ εὐσέβειαν τὴν εὐπείθειαν ὑπολαμβάνοντες, πάντα πρόοιντ᾽ ἂν πρότερον ἢ τοὺς οἴκοθεν λογισμούς, μεθ᾽ ὧν ἔρχονται, καὶ τῶν δογμάτων, οἷς συνανεστράφησαν τὴν συνήθειαν. Καὶ τοῦτο ἔτι λέγω τῶν μετριωτέρων καὶ οὐ πάντῃ κακῶν τὸ πάθος, οἳ κἂν τῆς ἀληθείας διαμαρτάνωσιν, ἀλλὰ τῷ γε δι᾽ εὐλάβειαν τοῦτο πάσχειν καὶ «ζῆλον μὲν ἔχειν, ἀλλ᾽ οὐ κατ᾽ ἐπίγνωσιν» [2]), τυχὸν ἔσονται τῶν οὐ σφόδρα κατακρινομένων, οὐδὲ πολλὰς δερομένων, ὡς οἱ διὰ κακίαν καὶ πονηρίαν τοῦ δεσποτικοῦ θελήματος ἀποπίπτοντες [3]). Καὶ τάχα ἂν οὗτοι μεταπεισθεῖέν ποτε καὶ μεταβληθεῖεν ὑπὸ τῆς αὐτῆς εὐλαβείας, ὑφ᾽ ἧς καὶ ἀντέβαινον, εἴ τις αὐτῶν ἅψαιτο λόγος, ἢ οἴκοθεν ἢ ἔξωθεν κρούσας καιρίως, ὥσπερ σίδηρος πυρίτην λίθον, τὴν ἐγκύμονα καὶ ἀξίαν φωτὸς διάνοιαν· ἐν ᾗ καὶ τάχιστα ἂν ἐκ μικροῦ σπινθῆρος ὁ τῆς ἀληθείας πυρσὸς ἐκλάμψειε.

41. Τί δ᾽ ἂν εἴποι τις περὶ τῶν διὰ κενοδοξίαν ἢ φιλαργίαν «ἀδικίαν εἰς τὸ ὕψος λαλούντων» [4]), Ἰαννοῦ τινος ἢ Ἰαμβροῦ μεγαληγορίας [5]), οὐ κατὰ Μωϋσέως, τῆς δ᾽ ἀληθείας ὁπλιζομένων, καὶ τῆς ὑγιαινούσης κατεξανισταμένων διδασκαλίας; ἢ τῆς τρίτης μοίρας τῶν δι᾽ ἀπαιδευσίαν καὶ τὴν ἑπομένην ταύτῃ θρασύτητα

---

[1]) Евр. 7. 19. [2]) Рим. 10. 2. [3]) Лук. 12. 47. [4]) Пс. 72. 8. [5]) 2 Тим. 3. 8.

ὁμόσε παντὶ λόγῳ χωρούντων συωδει πάθει καὶ καταπατούντων τοὺς καλοὺς μαργαρίτας τῆς ἀληθείας [1]);—

42. Ἢ ὅσοι μηδεμίαν μὲν οἴκοθεν ὑπόληψιν φέροντες, μηδέ τινα τύπον τῶν περὶ Θεοῦ λόγων ἢ χείρονα ἢ βελτίονα, πᾶσι δὲ ὑποτιθέντες ἑαυτοὺς λόγοις καὶ διδασκάλοις, ὡς ἐξ ἁπάντων ἐκλεξόμενοι τὸ κρεῖττον καὶ ἀσφαλέςερον, καὶ κριταῖς οὐ καλοῖς τῆς ἀληθείας, σφίσιν αὐτοῖς πιςεύσαντες· ἔπειτα ὑπὸ τῆς πιθανότητος ἄλλοτε ἄλλης περιφερόμενοι καὶ ςρεφόμενοι, καὶ παντὶ λόγῳ καταπλυνθέντες καὶ πατηθέντες, πολλοὺς ἀμείψαντες διδασκάλους καὶ πολλὰ γράμματα ὥσπερ χοῦν ἀνέμοις ῥᾳδίως ἀποβαλόντες, τέλος ἀποκαμόντες καὶ ἀκοὴν καὶ διάνοιαν (ὢ τῆς ἀλογίας!), πρὸς πάντα λόγον ὁμοίως δυσχεραίνουσι, καὶ μοχθηρὸν τύπον ἑαυτοῖς ἐγγράφουσιν [2]), αὐτῆς καταγελᾶν ἡμῶν καὶ καταφρονεῖν ὡς ἀπάτου καὶ οὐδὲν ὑγιὲς ἐχούσης τῆς πίςεως, μεταβαίνοντες ἀπαιδεύτως ἀπὸ τῶν λεγόντων ἐπὶ τὸν λόγον, ὥσπερ ἂν εἴ τις τοὺς ὀφθαλμοὺς κακῶς διακείμενος ἢ τὰ ὦτα διεφθαρμένος κατηγοροίη τοῦ ἡλίου ἢ τῶν φωνῶν, τοῦ μὲν ὡς ἀμαυροῦ καὶ οὐ ςίλβοντος, τῶν δὲ ὡς ἐκμελῶν καὶ ἀτόνων;

43. Καὶ διὰ τοῦτο ῥᾶον ἄρτι καινοτομεῖν ἀλήθειαν ψυχῇ, ὥσπερ κηρὸν οὔπω κεχαραγμένον, ἢ γράφειν κατὰ γραμμάτων, πονηρῶν λέγω διδαγμάτων τε καὶ δογμάτων, εὐσεβῆ λόγον, ὡς συγχεῖσθαι καὶ ἀτακτεῖν τοῖς προτέροις τὰ δεύτερα. Ὁδὸν μὲν γὰρ πατεῖν ἄμεινον τὴν λείαν καὶ τετριμμένην ἢ τὴν ἄτριβῆ καὶ τραχεῖαν, καὶ γῆν ἀροῦν, ἣν πολλάκις ἄροτρον ἔτεμε καὶ ἡμέρωσεν· ψυχὴν δὲ γράφειν, ἣν οὔπω λόγος ἐχάραξε μοχθηρός, οὐδὲ εἰς βάθος τὰ τῆς κακίας ἐνεσημάνθη γράμματα· δύο γὰρ ἂν οὕτω τὰ ἔργα γίνοιτο τῷ θεοσεβεῖ καλλιγράφῳ, ἐξαλείφειν τε τοὺς προτέρους τύπους, καὶ μετεγγράφειν τοὺς δοκιμωτέρους τε καὶ τοῦ μένειν ἀξιωτέρους. Τοσοῦτοι μὲν δὴ καὶ κατὰ τὰ λοιπὰ πάθη, καὶ κατὰ τὸν λόγον αὐτὸν οἱ πονηροὶ καὶ τοῦ πονηροῦ τύποι καὶ χαρακτῆρες· τοσοῦτον δὲ τὸ ἔργον τῷ ταύτην πεπιςευ-

---

[1]) Мат. 7. 6.

[2]) Τύπος (отъ τύπτω), отпечатокъ, образецъ, правило, отличіе; τύπον ἑαυτῷ ἐγγράφειν—отличаться, принимать себѣ за правило.

μένῳ τὴν τῶν ψυχῶν παιδαγωγίαν καὶ προστασίαν. Καὶ τὰ πλείω παρῆκεν ὁ λόγος, ἵνα μὴ περιττότερος ᾖ τοῦ δέοντος.

44. Ὥσπερ οὖν εἴ τις θηρίον ἐκ πολλῶν θηρίων συγκείμενον πολυειδὲς καὶ πολύμορφον, μειζόνων τε καὶ μικροτέρων, ἡμερωτέρων τε καὶ ἀγριωτέρων, ἄγειν ἐπιχειροίη καὶ τιθασσεύειν, πάντως ἂν ἦν ἔργον αὐτῷ καὶ οὐ μικρὸν τὸ ἀγώνισμα, οὕτως ἀνωμάλου καὶ ἀλλοκότου προστατεῖν φύσεως, οὔτε φωναῖς ταῖς αὐταῖς, οὔτε τροφαῖς, οὔτε χειρὸς ἐπαφαῖς, οὔτε συρίγμασιν, οὔτε τοῖς τῆς ἄλλης ἀγωγῆς τρόποις ἑκάστου τῶν θηρίων χαίροντος, ἄλλων δὲ ἄλλοις ἡδομένων ἢ ἀχθομένων, ὡς ἡ φύσις ἑκάστου καὶ ἡ συνήθεια· καὶ τί ἂν ἔδει ποιεῖν τὸν τοιούτου θηρὸς ἐπιστάτην; τί δ' ἄλλο γε ἢ πολυειδῆ τε εἶναι καὶ ποικίλον τὴν ἐπιστήμην; καὶ κατάλληλον ἑκάστῳ προσάγειν τὴν θεραπείαν, ὡς ἂν ἄγοιτο καλῶς αὐτῷ τὸ θηρίον καὶ διασώζοιτο; οὕτως ἐκ πολλῶν καὶ διαφόρων καὶ ἠθῶν καὶ λόγων, καθάπερ ἑνὸς ζώου συνθέτου καὶ ἀνομοίου, τοῦ κοινοῦ τούτου τῆς ἐκκλησίας συγκειμένου σώματος, πᾶσα ἀνάγκη καὶ τὸν προστάτην ἁπλοῦν τε εἶναι τὸν αὐτὸν κατὰ τὴν ἐν πᾶσιν ὀρθότητα, καὶ ὅτι μάλιστα παντοδαπὸν καὶ ποικίλον κατὰ τὴν πρὸς ἕκαστον οἰκείωσιν, καὶ τὸ τῆς ὁμιλίας πρὸς πάντας ἐπιτήδειόν τε καὶ πρόσφορον.

45. Οἱ μὲν γὰρ δέονται γάλακτι τρέφεσθαι [1]), τοῖς ἁπλουστέροις καὶ στοιχειωδεστέροις τῶν διδαγμάτων, ὅσοι τὴν ἕξιν νήπιοι καὶ ἀρτιπαγεῖς, ὡς ἂν εἴποι τις, τὴν ἀνδρείαν τοῦ λόγου τροφὴν οὐ φέροντες· ἣν εἰ προσάγοι τις παρὰ δύναμιν, τάχα ἂν καταπιεσθέντες καὶ βαρηθέντες, οὐκ ἐξαρκούσης τῆς διανοίας, ὥσπερ ἐκεῖ τῆς ὕλης [2]), τὸ ἐπεισελθὸν ἑλκῦσαι καὶ οἰκειώσασθαι, ζημιωθεῖεν ἂν καὶ εἰς τὴν ἀρχαίαν δύναμιν. Οἱ δὲ τῆς ἐν τοῖς τελείοις λαλουμένης σοφίας χρῄζοντες [3]) καὶ τροφῆς τῆς ὑψηλοτέρας καὶ στερροτέρας, τῷ πρὸς διάκρισιν ἀληθοῦς τε καὶ ψευδοῦς ἱκανῶς γεγυμνᾶσθαι τὰ αἰσθητήρια, εἰ γάλα ποτίζοιντο καὶ τρέφοιντο λαχάνοις, ἀσθενῶν βρώματι, δυσχεραίνοιεν ἄν· καὶ μάλα εἰκότως, οὐ δυναμούμενοι κατὰ Χριστὸν, οὐδὲ αὔξοντες τὴν ἐπαινετὴν αὔξησιν,

---

1) 1 Кор. 3. 2.
2) Какъ тѣло (ὕλη) у младенцевъ.
3) 1 Кор. 2. 6.

ἣν ἐργάζεται λόγος τελειῶν εἰς ἄνδρα, καὶ εἰς μέτρον ἡλικίας ἄγων πνευματικῆς τὸν καλῶς τρεφόμενον [1]).

**46.** Καὶ πρὸς ταῦτα τίς ἱκανός; οὐ γάρ ἐσμεν ὡς οἱ πολλοὶ καπηλεύειν δυνάμενοι τὸν λόγον τῆς ἀληθείας, καὶ ἀναμιγνύναι τὸν οἶνον ὕδατι, τὸν εὐφραίνοντα καρδίαν ἀνθρώπου [2]) λόγον τῷ πολλῷ καὶ εὐώνῳ καὶ χαμαὶ συρομένῳ καὶ ἐξίτηλῳ καὶ εἰκῆ ῥέοντι, ὥςε αὐτοί τι παρακερδαίνειν ἐκ τῆς καπηλείας, ἄλλο τε ἄλλως ὁμιλοῦντες τοῖς πλησιάζουσι καὶ πᾶσι πρὸς χάριν· ἐγγαςρίμυθοί τινες ὄντες καὶ κενολόγοι, τὰς ἑαυτῶν ἡδονὰς θεραπεύοντες λόγοις ἐκ γῆς φωνουμένοις καὶ δυομένοις εἰς γῆν [3])· ὡς ἂν μάλιςα εὐδοκιμοῖμεν παρὰ τοῖς πολλοῖς, ὅτι μάλιςα ζημιοῦντες αὐτοὺς ἢ ἀπολλύντες, καὶ αἷμα ἀθῷον ἁπλουςέρων ψυχῶν ἐκχέοντες ἐκ τῶν χειρῶν ἡμῶν ἐκζητηθησόμενον [4]).

**47.** Ἀλλ' εἰδότες ἑτέροις βέλτιον εἶναι τὰς ἑαυτῶν ἡνίας ἐνδιδόναι τεχνικωτέροις, ἢ ἄλλων ἡνιόχους εἶναι ἀνεπιςήμονας, καὶ ἀκοὴν ὑποτιθέναι μᾶλλον εὐγνώμονα, ἢ γλῶσσαν κινεῖν ἀπαίδευτον· ταῦτα διαλεχθέντες ἡμῖν αὐτοῖς, καὶ ἴσως οὐ φαύλοις συμβούλοις, εἰ δὲ μή γε, ἀλλ' οὖν εὔνοις, καὶ τὰ ῥητέα καὶ τὰ πρακτέα μαθεῖν οὐκ εἰδότες μᾶλλον ἢ διδάσκειν ἀγνοοῦντες, ἐδοκιμάσαμεν. Ἀγαπητὸν γὰρ ὅτῳ κἂν εἰς βαθὺ γῆρας λόγος ἀφίκοιτο πολιὸς [5]) καὶ ὠφελῆσαι νέαν ἐν εὐσεβείᾳ ψυχὴν δυνάμενος. Ὡς τό γε παιδεύειν ἄλλους ἐπιχειρεῖν, πρὶν αὐτοὺς ἱκανῶς παιδευθῆναι, καὶ ἐν πίθῳ τὴν κεραμείαν μανθάνειν, τὸ δὴ λεγόμενον [6]), ἐν ταῖς τῶν ἄλλων ψυχαῖς ἐκμελετᾶν τὴν εὐσέβειαν, λίαν εἶναί μοι φαίνεται ἀνοήτων ἢ τολμηρῶν· ἀσυνέτων μὲν, εἰ μηδὲ αἰσθάνοιντο τῆς ἑαυτῶν ἀμαθίας, θρασέων δὲ, εἰ καὶ συνιέντες κατατολμῶσι τοῦ πράγματος.

---

[1]) Кол. 2. 19. Еф. 4. 13. [2]) 2 Кор. 2. 17. Иса. 1. 22. Пс. 103. 15. [3]) Иса. 8. 19. [4]) Iез. 3. 20. 33. 8.

[5]) Πολιος, сѣдой, достойный сѣдины; иногда употребляется вм. παλαιός, напр. πολιὸς λογος—древнее сказаніе; здѣсь же въ смыслѣ: συνετος (мудрый).

[6]) Εν' πίθῳ τὴν κεραμείαν μανθάνειν—на бочкѣ учиться гончарству—говорится о людяхъ, которые, не зная низшихъ предметовъ, берутся за высшіе, или учатся чему-нибудь не по тѣмъ пособіямъ, по какимъ слѣдуетъ. См. a Leutsch. въ ук. соч.

48. Ἑβραίων μὲν οὖν οἱ σοφώτεροι λέγουσιν, ὡς ἄρα ἦν τις πάλαι νόμος Ἑβραίοις ἐν τοῖς μάλιςα [1]) εὖ ἔχων καὶ ἐπαινούμενος, μὴ πᾶσαν ἡλικίαν πάσῃ γραφῇ ἐνδίδοσθαι· μηδὲ γὰρ εἶναι τοῦτο λυσιτελέςερον, ὅτι μηδὲ πᾶσαν εὐθέως εἶναι παντὶ ληπτὴν, καὶ τὰ μέγιςα ἂν τοὺς πολλοὺς κακῶσαι τῷ φαινομένῳ τὴν βαθυτέραν· ἀλλὰ τὰς μὲν ἀπ᾽ ἀρχῆς ἀνεῖσθαι πᾶσι καὶ εἶναι κοινὰς, ὧν καὶ τὸ σωματικὸν [2]) οὐκ ἀδόκιμον· τὰς δὲ μὴ ἄλλοις ἢ τοῖς ὑπὲρ εἰκοςὸν καὶ πέμπτον γεγονόσιν ἔτος πιςεύεσθαι, ὅσαι δὶ εὐτελοῦς τοῦ ἐνδύματος τὸ μυςικὸν κάλλος περικαλύπτουσιν,— ἆθλον φιλοπονίας καὶ λαμπροῦ βίου μόνοις τοῖς κεκαθαρμένοις τὸν νοῦν ὑπαςράπτον καὶ φανταζόμενον,—ὡς μόνης δυναμένης τῆς ἡλικίας ταύτης ὑπὲρ τὸ σῶμα γενέσθαι καὶ ἀναβῆναι καλῶς ἐπὶ τὸ πνεῦμα ἀπὸ τοῦ γράμματος.

49. Ἡμῖν δὲ οὐδεὶς ὅρος τοῦ παιδεύειν καὶ τοῦ παιδεύεσθαι, ὥσπερ οἱ λίθοι πάλαι ταῖς ὑπὲρ τὸν Ἰορδάνην καὶ ταῖς ἐντὸς Ἰορδάνου φυλαῖς [3])· οὐδέ τισι μὲν ἐκεῖνο, τισὶ δὲ τοῦτο ἐπιτρεπτέον, οὐδέ τις κανὼν τῶν ἕξεων· ἀλλ᾽ οὕτω τὸ πρᾶγμα ἔῤῥιπται καὶ συγκέχυται, καὶ οὕτω κακῶς διακείμεθα, ὥςε οἱ πλείους ἡμῶν, ἵνα μὴ λέγω πάντες, πρὶν ἀποθέσθαι σχεδὸν τὴν πρώτην τρίχα καὶ τὸ τὰ παιδικὰ ψελλίζεσθαι, πρὶν παρελθεῖν εἰς τὰς θείας αὐλὰς, πρὶν τῶν ἱερῶν βίβλων γνῶναι κἂν τὰ ὀνόματα, πρὶν καινῆς καὶ παλαιᾶς χαρακτῆρα γνωρίσαι καὶ τοὺς προςάτας [4]),—οὔπω γὰρ λέγω, πρὶν ἢ τὸν βόρβορον ἀποπλύνασθαι καὶ τὰ τῆς ψυχῆς αἴσχη, ὅσα ἡ κακία ἡμῖν προσεμάξατο,—ἂν δύο ἢ τρία ῥήματα τῶν εὐσεβῶν ἐξασκήσωμεν, καὶ ταῦτα ἐξ ἀκοῆς, οὐκ ἐντεύξεως, ἢ τῷ Δαβὶδ βραχέα καθομιλήσωμεν, ἢ τὸ τριβώνιον εὖ περιςειλώμεθα, ἢ μέχρι τῆς ζώνης φιλοσοφήσωμεν, εὐσεβείας τι πλάσμα καὶ ὄψιν ἡμῖν αὐτοῖς περιχρώσαντες·—βαβαὶ τῆς προεδρίας καὶ τοῦ φρονήματος! ἱερὸς καὶ ἐκ σπαργάνων ὁ Σαμου-

---

[1]) Ἐν τοῖς μάλιςα—въ особенности, подобно латинскому: imprimis.

[2]) Σωματικὸν въ настоящемъ мѣстѣ тоже, что φαινόμενον, наружный, буквальный смыслъ св. Писанія, въ противоположность внутреннему, духовному.

[3]) Іис. Нав. гл. 15—17.

[4]) Προςάτης (отъ προΐςημι), предстоятель, представитель, выдающееся или главное лице; въ настоящемъ мѣстѣ, можетъ быть, и авторъ.

ήλ [1])·—εὐθύς ἐσμεν σοφοὶ καὶ διδάσκαλοι, καὶ ὑψηλοὶ τὰ θεῖα, καὶ γραμματέων τὰ πρῶτα [2]) καὶ νομικῶν, καὶ χειροτονοῦμεν ἡμᾶς αὐτοὺς οὐρανίους, καὶ καλεῖσθαι ὑπὸ τῶν ἀνθρώπων ῥαββὶ ζητοῦμεν [3]), καὶ οὐδαμοῦ τὸ γράμμα, καὶ πάντα δεῖ νοηθῆναι πνευματικῶς, καὶ λῆρος πλατὺς τὰ ὀνείρατα [4]), καὶ ἀγανακτοίημεν ἄν, εἰ μὴ σφόδρα ἐπαινοίμεθα. Τοῦτο ἡμῶν οἱ χρηςότεροι καὶ ἁπλούςεροι· τί δὲ οἱ πνευματικοὶ μᾶλλον καὶ γενναιότεροι; πολλὰ κατακρίναντες ἡμᾶς, ἂν οὕτω δόξῃ, καὶ βασανίσαντες, καὶ οὐδαμοῦ θέντες ἀπῆλθον, καὶ τὴν κοινωνίαν ὡς οὐκ εὐσεβῶν διαπτύσαντες.

50. Ἂν δὲ τινι αὐτῶν λέγωμεν οὑτωσὶ πράως καὶ λογικῶς προβιβάζοντες· εἰπέ μοι, ὦ θαυμάσιε, καλεῖς τι τὸ ὀρχεῖσθαι, τό τε αὐλεῖν; πάνυ γε, εἴποιεν ἄν. Τί δαὶ σοφίαν τε καὶ σοφὸν εἶναι, τοῦθ᾽ ὃ δὴ θείων τε καὶ ἀνθρωπίνων ἐπιςήμην τιθέμεθα; καὶ τοῦτο δώσουσιν. Πότερον δὲ κρεῖττον εἶναι καὶ ὑψηλότερον ταῦτα σοφίας, ἢ τούτων μακρῷ τὴν σοφίαν; καὶ πάντων, εὖ οἶδ᾽ ὅτι φήσουσι· καὶ μέχρι τούτων εἰσὶν εὐγνώμονες. Ἆρ᾽ οὖν ὀρχήσεως μὲν καὶ αὐλήσεώς ἐςι διδασκαλία καὶ μάθησις, καὶ χρόνου πρὸς τοῦτο δεῖ, καὶ ἱδρώτων συχνῶν καὶ πόνων, καὶ μισθοὺς καταβαλεῖν ἔςιν ὅτε, καὶ προσαγωγῶν δεηθῆναι, καὶ ἀποδημῆσαι μακρότερα, καὶ τἄλλα τὰ μὲν ποιῆσαι πάντα, τὰ δὲ παθεῖν, οἷς ἐμπειρία συλλέγεται· τὴν δὲ σοφίαν, ἣ πᾶσιν ἐπιςατεῖ καὶ πάντα ἐν ἑαυτῇ τὰ καλὰ συλλαβοῦσα ἔχει, ὡς καὶ τὸν Θεὸν αὐτὸν τοῦτο μᾶλλον ἤ τι ἄλλο χαίρειν ἀκούοντα [5]), ἐπειδὴ καλεῖται πολλοῖς ὀνόμασιν, οὕτω κοῦφόν τι καὶ πεπατημένον πρᾶγμα ὑποληψόμεθα, ὥςε θελῆσαι δεῖν μόνον καὶ εἶναι σοφόν; πολλῆς τοῦτο τῆς ἀμαθίας. Ἂν ταῦτα λέγωμεν αὐτοῖς, καὶ κατὰ μικρὸν τὴν πλάνην ἀνακαθαίρωμεν, ἤ τις ἄλλος τῶν εὐμαθεςέρων καὶ συνε-

---

[1]) 1 Цар. 2. 11.

[2]) Подразумѣвается: πρόσωπα.

[3]) Мат. 23. 7.

[4]) Примѣнительно къ пословицѣ: τὰ ὀνείρατά μοι λέγεις—сны мнѣ разсказываешь—т. е. невѣроятное. Смыслъ рѣчи: «и много подобнаго пустословія въ родѣ сновидѣнія».

[5]) Ἀκούει τοῦτο, называется этимъ именемъ, т. е. σοφία.

τωτέρων, τοῦτο ἐκεῖνο κατὰ πετρῶν σπείρειν [1], καὶ λαλεῖν εἰς ὦτα μὴ ἀκουόντων [2]· οὕτως οὐδ᾿ αὐτὸ τοῦτό εἰσι σοφοί, τὴν ἑαυτῶν γινώσκειν ἀπαιδευσίαν. Καί μοι δοκεῖ καλῶς ἔχειν τὸ τοῦ Σολομῶντος περὶ αὐτῶν εἰπεῖν· «ἔςι πονηρία, ἣν εἶδον ὑπὸ τὸν ἥλιον, ἄνδρα δόξαντα παῤ ἑαυτῷ σοφὸν εἶναι» [3], καὶ ὃ τούτου πονηρότερον, παιδεύειν ἄλλους πεπιςευμένον τὸν μηδὲ τῆς οἰκείας ἀμαθίας ἐπαισθανόμενον.

51. Τοῦτο δακρύων μὲν καὶ ςεναγμῶν εἴπερ τι ἄλλο τὸ πάθος ἄξιον· ὃ καὶ πολλάκις ἐγὼ κατηλέησα, εὖ εἰδώς, ὅτι τὸ οἴεσθαι τοῦ εἶναι τὸ πλεῖςον ἀφαιρεῖται. καὶ μέγα τοῖς ἀνθρώποις ἡ κενοδοξία πρὸς ἀρετὴν ἐμπόδιον. Ἰάσασθαι δὲ καὶ ςῆσαι τὴν νόσον, Πέτρου ἂν εἴη τινὸς ἢ Παύλου, τῶν μεγάλων Χριςοῦ μαθητῶν, καὶ μετὰ τῆς ἐν λόγῳ καὶ ἔργῳ κυβερνήσεως εἰληφότων τὸ χάρισμα, καὶ πᾶσι πάντα γινομένων, ἵνα τοὺς πάντας κερδήσωσιν [4]. Ἡμῖν δὲ τοῖς ἄλλοις μέγα, κἂν εἰ καλῶς κυβερνοίμεθα καὶ ἀγοίμεθα πρὸς τῶν ἐπανορθοῦν τὰ τοιαῦτα καὶ διευθύνειν πεπιςευμένων.

52. Ἀλλ᾿ ἐπειδή γε Παύλου καὶ τῶν κατ᾿ ἐκεῖνον ἐμνήσθημεν, ἀφέντες, εἰ δοκεῖ, τοὺς ἄλλους ἅπαντας, ὅσοι κατὰ νομοθεσίαν, ἢ προφητείαν, ἢ ςρατηγίαν, ἤ τινα τοιαύτην ἄλλην οἰκονομίαν τοῦ λαοῦ προεβλήθησαν, οἷον τὸν Μωϋσῆν, τὸν Ἀαρὼν ἐκεῖνον, τὸν Ἰησοῦν, τὸν Ἠλίαν, τὸν Ἐλισσαῖον, τοὺς κριτάς, τὸν Σαμουήλ, τὸν Δαβίδ, τῶν προφητῶν τὸ πλῆθος, τὸν Ἰωάννην, τοὺς δώδεκα μαθητὰς τοὺς ἐπ᾿ ἐκείνοις ὕςερον, οἳ πολλοῖς ἱδρῶσι καὶ πόνοις διεξῆλθον τὴν προςασίαν κατὰ τοὺς ἑαυτῶν χρόνους ἕκαςοι· τούτους ὑπερβάντες ἅπαντας, Παῦλον προςησώμεθα μόνον τοῦ λόγου συνίςορα, κἂν τούτῳ θεωρήσωμεν, ὅσον ἐςὶ καὶ ψυχῶν ἐπιμέλεια, καὶ εἰ βραχείας τῆς πραγματείας ἢ μικρᾶς τῆς συνέσεως. Ὡς ἂν δὲ ῥᾷςα τοῦτο γνοίημεν καὶ κατίδοιμεν, τί Παῦλος αὐτὸς περὶ Παύλου φησὶ ἀκούσωμεν.

53. Ἐῶ λέγειν τοὺς πόνους, τὰς ἀγρυπνίας, τοὺς φόβους, τας ἐν λιμῷ καὶ δίψει κακοπαθείας, τὰς ἐν ψύχει καὶ ἐν γυμνό-

---

[1]) Κατὰ πετρῶν σπείρειν—сѣять на камняхъ—греческая пословица означающая: трудиться напрасно, безъ всякой пользы. Ср. Лук. 8. 6.

[2]) Сир. 25. 12. [3]) Еккл. 10. 5. Притч. 26. 12. [4]) 1 Кор. 9. 22.

τητι, τοὺς ἔξωθεν ἐπιβουλεύοντας, τοὺς ἔνδοθεν ἀντιπράττοντας. Ἀφίημι τοὺς διωγμοὺς, τὰ συνέδρια, τὰ δεσμωτήρια, τὰ δεσμὰ, τοὺς κατηγόρους, τὰ δικαςήρια, τοὺς καθ' ἡμέραν καὶ ὥραν θανάτους, τὴν σαργάνην, τοὺς λιθασμοὺς, τοὺς ῥαβδισμοὺς, τὴν περίοδον, τοὺς κατὰ γῆν κινδύνους, τοὺς κατὰ θάλασσαν, τὸν βυθὸν, τὰ ναυάγια, κινδύνους ποταμῶν, κινδύνους λῃςῶν, κινδύνους ἐκ γένους, κινδύνους ἐν ψευδαδέλφοις, τὸν ἐκ χειρῶν βίον, τὸ ἀδάπανον εὐαγγέλιον, ὡς θέατρον ἦν καὶ ἀγγέλοις καὶ ἀνθρώποις [1]), μέσος Θεοῦ καὶ ἀνθρώπων ἱςάμενος, ὑπὲρ μὲν τῶν ἀγωνιζόμενος, τῷ δὲ προσάγων καὶ οἰκειῶν λαὸν περιούσιον, χωρὶς τῶν παρεκτὸς [2]). Τούτων τίς ἂν ἀξίως διέλθοι τὴν καθ' ἡμέραν ἐπιςασίαν, τὴν τῶν καθ' ἕκαςον κηδεμονίαν, τὴν μέριμναν πασῶν τῶν ἐκκλησιῶν, τὸ πρὸς πάντας συμπαθὲς καὶ φιλάδελφον; προσέκοπτέ τις, καὶ Παῦλος ἠσθένει· καὶ ἄλλος ἐσκανδαλίζετο, καὶ Παῦλος ἦν ὁ φλεγόμενος [3]).

54. Τὸ δὲ τῆς διδασκαλίας φιλόπονον, τὸ δὲ ποικίλον τῆς θεραπείας; ἡ φιλανθρωπία δὲ, τὸ δὲ αὐςηρὸν πάλιν, ἡ δὲ ἐξ ἀμφοτέρων μίξις καὶ κρᾶσις, ὡς μήτε τῇ χρηςότητι μαλακίζειν, μήτε τραχύνειν τῇ χαλεπότητι; νομοθετεῖ δούλοις καὶ δεσπόταις, ἄρχουσι καὶ ἀρχομένοις, ἀνδράσι καὶ γυναιξὶ, γονεῦσι καὶ τέκνοις, γάμῳ καὶ ἀγαμίᾳ, ἐγκρατείᾳ καὶ τρυφῇ, σοφίᾳ καὶ ἀμαθείᾳ, περιτομῇ καὶ ἀκροβυςίᾳ, Χριςῷ καὶ κόσμῳ, σαρκὶ καὶ πνεύματι. Ὑπὲρ μὲν τῶν εὐχαριςεῖ, τῶν δὲ καθάπτεται· τοὺς μὲν χαρὰν καὶ ςέφανον ὀνομάζει, τοῖς δὲ ἄνοιαν ἐγκαλεῖ· τοῖς μὲν συνοδεύει καὶ συμπροθυμεῖται ὀρθοτομοῦσι, τοὺς δὲ ἀνακόπτει κακῶς ὁδεύοντας. Νῦν ἀφορίζει, νῦν ἀγάπην κυροῖ· νῦν θρηνεῖ, νῦν εὐφραίνεται· νῦν γάλα ποτίζει, νῦν μυςηρίων ἅπτεται· νῦν συγκατέρχεται, νῦν ἑαυτῷ συνυψοῖ· νῦν ῥάβδον ἀπειλεῖ, νῦν προτείνεται πνεῦμα πραότητος· νῦν ἐπαίρεται τοῖς ὑψηλοῖς, νῦν ταπεινοῦται τοῖς ταπεινοῖς· ἄρτι τῶν ἀποςόλων ἐςὶν ἐλάχιςος, ἄρτι δοκιμὴν ὑπισχνεῖται τοῦ ἐν αὐτῷ λαλοῦντος Χριςοῦ· ἄρτι τὴν ἐκδημίαν

---

[1]) 2 Кор. 11. 23—27. 1 Кор. 4. 9—12; 9. 18.

[2]) Παρεκτὸς (отъ παρα и ἔξω) или παρέξ. Τα παρεκτος, т. е. γινόμενα, посторонні̇я приключенія. 2 Кор. 11. 28.

[3]) 2 Кор. 11. 28. 29.

ποθεῖ καὶ σπένδεται, ἄρτι παραμεῖναι τῇ σαρκὶ δι' αὐτοὺς ἀναγκαιότερον δοκιμάζει· οὐ γὰρ ζητεῖ τὸ ἑαυτοῦ, ζητεῖ δὲ τὸ τῶν τέκνων, οὓς ἐν Χριςῷ διὰ τοῦ εὐαγγελίου ἐγέννησεν [1]). Οὗτος ὅρος πάσης πνευματικῆς προςασίας, πανταχοῦ τὸ καθ' ἑαυτὸν παρορᾶν πρὸς τὸ τῶν ἄλλων συμφέρον.

55. Ἐγκαυχᾶται ταῖς ἀσθενείαις καὶ ταῖς θλίψεσιν· ὡς ἄλλῳ τινὶ κόσμῳ τῇ Ἰησοῦ νεκρώσει ἐγκαλλωπίζεται· ὑψηλός ἐςι τὰ σαρκικά, καὶ τοῖς πνευματικοῖς ἀγάλλεται· οὐκ ἰδιώτης τὴν γνῶσιν, καὶ βλέπειν φησὶ δι' ἐσόπτρου καὶ ἐν αἰνίγματι. Θαῤῥεῖ τῷ πνεύματι, καὶ ὑποπιάζει τὸ σῶμα καθαιρῶν ὡς ἀντίπαλον· τί διδάσκων ἡμᾶς ἐν τούτοις, καὶ τί παιδεύων; μὴ φρονεῖν τοῖς κάτω, μὴ φυσιοῦσθαι τῇ γνώσει, μὴ τὴν σάρκα ἐπεγείρειν τῷ πνεύματι. Πάντων ὑπερμαχεῖ, πάντων ὑπερεύχεται, ζηλοῖ πάντας, ἀνάπτεται ὑπὲρ πάντων, τῶν ἔξω νόμου, τῶν ὑπὸ νόμον· κῆρυξ ἐθνῶν, Ἰουδαίων προςάτης. Ἐτόλμησέ τι καὶ μεῖζον ὑπὲρ τῶν ἀδελφῶν αὐτοῦ τῶν κατὰ σάρκα, ἵνα τολμήσω τι καὶ αὐτὸς οὕτω λέγων· ἀντεισαχθῆναι τούτους ἑαυτοῦ Χριςῷ διὰ τὴν ἀγάπην εὔχεται [2]). Ὢ τῆς μεγαλονοίας! ὢ τῆς τοῦ πνεύματος ζέσεως! Μιμεῖται Χριςόν, τὸν γενόμενον ὑπὲρ ἡμῶν κατάραν, τὸν τὰς ἀσθενείας ἡμῶν ἀναλαβόντα καὶ τὰς νόσους βαςάσαντα· ἤ, τό γε μετριώτερον εἰπεῖν, παθεῖν τι ὑπὲρ αὐτῶν καὶ ὡς ἀσεβὴς δέχεται, πρῶτος ἀπὸ Χριςοῦ, μόνον εἰ οὗτοι σώζοιντο.

56. Καὶ τί λέγω καθ' ἕκαςον; ζῶν γὰρ οὐχ ἑαυτῷ, Χριςῷ δὲ καὶ τῷ κηρύγματι, καὶ κόσμον ἑαυτῷ ςαυρώσας, καὶ ςαυρωθεὶς κόσμῳ καὶ τοῖς ὁρωμένοις, πάντα ἡγεῖται μικρὰ καὶ τῆς ἐπιθυμίας ἐλάττονα· κἂν ἀπὸ Ἱερουσαλὴμ καὶ κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ πληρώσῃ τὸ εὐαγγέλιον, κἂν ἐπὶ τὸν τρίτον οὐρανὸν φθάσῃ δι' ἁρπαγῆς, κἂν τοῦ παραδείσου γένηται θεατής, κἂν τῶν ἀῤῥήτων ἡμῖν ῥημάτων ἀκροατὴς [3]). Ταῦτα Παῦλος, καὶ εἴ τις κατ' ἐκεῖνον τῷ πνεύματι. Ἡμεῖς δὲ δεδοίκαμεν παρὰ τούτους, μὴ μωροί τινες ὦμεν ἄρχοντες Τάνεως [4]), ἢ πράκτορες καλαμώμενοι, ἢ μακαρίζοντες τὸν λαὸν ψευδῶς, προσθήσω δὲ καὶ μακαριζόμε-

[1]) Εф. 6. 9. Кол. 3. 22. Рим. 2. 25. Фил. 1. 23; 4. 1. 1 Кор. 4. 15; 5. 5; 15. 9. 2 Кор. 2. 8; 13. 3. [2]) Рим. 9. 3. 2 Кор. 11. 21. Гал. 3. 13. [3]) 2 Кор. 12. 2—4. Гал. 6. 14. Фил. 3. 8. Рим. 15. 19. [4]) Иса. 19. 11.

νοι, καὶ τὴν τρίβον τῶν ποδῶν ὑμῶν ταράσσοντες, ἢ ἐμπαῖκται κυριεύοντες, ἢ νεανίσκοι προςάται καὶ ἀτελεῖς τὴν φρόνησιν, μηδ᾽ ἴσον ἄρτου καὶ ἱματίου πρὸς τὸ καθηγεῖσθαί τινων εὐποροῦντες, ἢ προφῆται διδάσκοντες ἄνομα, ἢ ἄρχοντες ἀπειθοῦντες καὶ κακῶς ἀκούειν μετὰ τῶν πατρίων [1]) ἄξιοι διὰ λιμοῦ σκληρότητα, ἢ ἱερεῖς τοῦ λαλεῖν εἰς τὴν καρδίαν Ἱερουσαλὴμ πλεῖςον ἀπέχοντες, ἃ δὴ πάντα ὁ τῷ Σεραφὶμ καὶ τῷ ἄνθρακι καθαρθεὶς Ἡσαΐας ὀνειδίζει καλῶς καὶ μαρτύρεται [2]).

57. Ἆρ᾽ οὖν τὸ μὲν ἔργον τοσοῦτον καὶ οὕτως ἐπίπονον τῇ αἰσθητικῇ καρδίᾳ καὶ λυπηρᾷ, καὶ ὄντως σὴς ὀςέων τῷ γε νοῦν ἔχοντι [3]), μικρὸς δὲ ὁ κίνδυνος ἢ τὸ πτῶμα εὐκαταφρόνητον; ἀλλά μοι πολὺν ἐπανατείνεται φόβον, ἔνθεν μὲν ὁ μακάριος Ὠσηὲ, πρὸς ἡμᾶς εἶναι τὸ κρίμα λέγων τοὺς ἱερεῖς καὶ τοὺς ἄρχοντας, ὅτι παγὶς ἐγενήθημεν ἐν τῇ σκοπιᾷ καὶ ὡς δίκτυον ἐκτεταμένον ἐπὶ τὸ Ἰταβύριον [4]), ὁ καταπεπῆχθαι ὑπὸ τῶν ἀνθρωπίνας ἀγρευόντων ψυχὰς, ἀποθερίζειν τε τοὺς φαύλους ἀπειλῶν προφήτας, καὶ πυρὶ καταναλίσκειν τοὺς κριτὰς αὐτῶν· ἐφέξειν τε μικρὸν τοῦ χρίειν βασιλέα καὶ ἄρχοντας, ὅτι ἑαυτοῖς ἐβασίλευσαν, ἀλλ᾽ οὐ δι᾽ αὐτοῦ [5])·—

58. Ἔνθεν δὲ ὁ θεῖος Μιχαίας οὐ φέρων οἰκοδομουμένην Σιὼν ἐν αἵμασιν, ὁποτέροις βούλει, καὶ Ἱερουσαλὴμ ἐν ἀδικίαις, τῶν ἡγουμένων αὐτῆς μετὰ δώρων κρινόντων, καὶ τῶν ἱερέων μισθοῦ ἀποκρινομένων, καὶ τῶν προφητῶν μετὰ ἀργυρίου μαντευομένων· ἀνθ᾽ ὧν τί γενήσεσθαι; Σιὼν ὡς ἀγρὸν ἀροτριαθήσεσθαι, καὶ Ἱερουσαλὴμ ὡς ὀπωροφυλάκιον ἔσεσθαι, καὶ τὸ ὄρος τοῦ οἴκου εἰς ἄλσος δρυμοῦ λογισθήσεσθαι [6])· θρηνῶν τε τὴν ἐρημίαν τῶν κατορθούντων, ὡς μόλις που καλάμην ὑπολείπεσθαι ἢ ἐπιφυλλίδα, ὁπότε καὶ τὸν ἄρχοντα αἰτεῖν, καὶ τὸν κριτὴν λόγους πρὸς χάριν λαλεῖν, καὶ σχεδὸν τὰ αὐτὰ τῷ μεγάλῳ Δαβὶδ φθεγγόμενος·» σῶσόν με, Κύριε, λέγοντι, ὅτι ἐκλέλοιπεν ὅσιος» [7])· ἐξ οὗ καὶ τὰ ἀγαθὰ ἐπιλείψειν αὐτοὺς ὡς ὑπὸ σητὸς δαπανώμενα [8]).

---

[1]) Μετὰ τῶν πατρίων, вмѣстѣ съ полученнымъ отъ отцевъ, т. е. съ отеческими постановленіями, обычаями и т. под.

[2]) Иса. 3. 4—12; 8. 20; 9. 15, 16; 40. 2. [3]) Прит. 14. 30. [4]) Осіи. 5. 1—2. [5]) Осіи 5. 7; 7. 7; 8. 4, 10. [6]) Мих. 3. 10—12. [7]) Пс. 11. 1. [8]) Мих. 7. 4.

59. Ἰωὴλ δὲ ἡμῖν καὶ θρῆνον διακελεύεται, καὶ κόπτεσθαι βούλεται τοὺς λειτουργοῦντας τῷ θυσιαστηρίῳ λιμοῦ πιέζοντος· τοσοῦτον ἀπέχει τρυφᾶν ἐπιτρέπειν ἐν τοῖς τῶν ἄλλων καιροῖς [1]· καὶ πρὸς τῷ ἁγιάζειν νηστείαν, καὶ κηρύσσειν θεραπείαν, συναγαγεῖν πρεσβυτέρους, νήπια, ἡλικίας ἐλεεινάς, ἔτι καὶ αὐτοὺς τὸ ἱερὸν καταλαβόντας ἐν σποδῷ καὶ σάκκοις καὶ λίαν ταπεινῶς κατὰ γῆς ἐῤῥιμμένους, διότι τεταλαιπωρήκει πεδία τῇ ἀκαρπίᾳ καὶ ἐξῆρτο ἐξ οἴκου Κυρίου σπονδὴ καὶ θυσία [2]), ἕλκειν τῇ ταπεινώσει τὸν ἔλεον.

60. Τί δαὶ ὁ Ἀββακούμ; οὗτος μὲν καὶ θερμοτέρων ἅπτεται λόγων, καὶ πρὸς αὐτὸν ἀποδυσπετεῖ τὸν Θεόν, καὶ οἷον καταβοᾷ τοῦ χρηστοῦ δεσπότου διὰ τὴν τῶν κριτῶν ἀδικίαν· «ἕως τίνος, Κύριε, κεκράξομαι, λέγων, καὶ οὐ μὴ εἰσακούσεις; βοήσομαι πρός σε ἀδικούμενος, καὶ οὐ σώσεις; ἵνα τί μοι ἔδειξας κόπους καὶ πόνους, ἐπιβλέπειν ἐπὶ ταλαιπωρίαν καὶ ἀσέβειαν; ἐξεναντίας μου γέγονε κρίσις, καὶ ὁ κριτὴς λαμβάνει· διὰ τοῦτο διεσκέδασαι νόμος, καὶ οὐ διεξάγεται εἰς τέλος κρίμα». Εἶτα ἡ ἀπειλή, καὶ τὰ ἐπὶ τούτοις· «ἴδετε οἱ καταφρονηταί, καὶ ἐπιβλέψατε, καὶ θαυμάσατε θαυμάσια, καὶ ἀφανίσθητε, διότι ἔργον ἐγὼ ἐργάζομαι» [3]). Καὶ τί χρὴ πάντα ἐπιφέρειν τὰ τῆς ἀπειλῆς; ἀλλὰ μικρὸν ἔμπροσθεν—τοῦτο γάρ μοι δοκεῖ βέλτιον εἶναι προσθεῖναι τοῖς εἰρημένοις—πολλοὺς ἀνακαλεσάμενος καὶ ἀποκλαυσάμενος τῶν περί τι ἀδίκων καὶ πονηρῶν, τέλος ἀνακαλεῖται καὶ τοὺς τῆς μοχθηρίας ἡγεμόνας καὶ διδασκάλους, ἀνατροπὴν μὲν θολερὰν τὴν κακίαν ἀποκαλῶν καὶ τοῦ νοῦ μέθην καὶ πλάνην· ποτίζεσθαι δέ, λέγων, τούτοις ὑπ᾽ αὐτῶν τοὺς πλησίον, ὅπως ἐπιβλέπωσιν ἐπὶ τὸ σκότος αὐτῶν τῆς ψυχῆς· καὶ τὰ σπήλαια ἑρπετῶν καὶ θηρίων, λογισμῶν πονηρῶν οἰκητήρια [4]). Οὗτοι μὲν δὴ τοιοῦτοι, καὶ μετὰ τοιούτων ἡμῖν διαλεγόμενοι τῶν παιδευμάτων.

61. Μαλαχίαν δὲ πῶς παριδεῖν ἄξιον; νῦν μὲν ἐγκαλοῦντα πικρῶς τοῖς ἱερεῦσι καὶ ὀνειδίζοντα, ὡς τὸ ὄνομα Κυρίου φαυλίζουσι, καὶ προστιθέντα ἐν τίσιν· ἐν τῷ προσάγειν πρὸς τὸ θυσιαστήριον ἄρτους ἠλισγημένους, βρώματα οὐκ ἀπάργματα, καὶ ἃ μηδ᾽

---

[1]) Ιωηλ. 1. 13. [2]) Ιωηλ. 1. 9, 10; 2. 15, 16. [3]) Αββ. 1. 2—5. [4]) Αββ. 2. 15.
*

ἂν τῶν ἡγουμένων τινὶ προσενέγκοιεν, ἢ ἀτιμασθεῖεν ἂν προσενεγκόντες, ταῦτα προσφέρειν τῷ βασιλεῖ τῶν ὅλων εὐχὴν εὐξαμένους, χωλὰ καὶ ἄῤῥωστα, καὶ διεφθαρμένα, καὶ βέβηλα παντελῶς, καὶ ἀπόπτυστα [1]· νῦν δὲ τῆς πρὸς τοὺς Λευΐτας τοῦ Θεοῦ διαθήκης ὑπομιμνήσκοντα (ἡ δὲ ἦν τῆς ζωῆς καὶ τῆς εἰρήνης), καὶ φόβῳ φοβεῖσθαι τὸν Κύριον, καὶ ἀπὸ προσώπου τοῦ ὀνόματος αὐτοῦ ςέλλεσθαι. «Νόμος, φησὶν, ἦν ἀληθείας ἐν τῷ ςόματι αὐτοῦ, καὶ ἀδικία οὐχ εὑρέθη ἐν τοῖς χείλεσιν αὐτοῦ· ἐν εἰρήνῃ κατευθύνων ἐπορεύθη μετ' ἐμοῦ, καὶ πολλοὺς ἐπέστρεψεν ἐξ ἀδικίας, ὅτι χείλη ἱερέως φυλάξεται γνῶσιν, καὶ νόμον ἐκζητήσουσιν ἐκ ςόματος αὐτοῦ». Καὶ ἡ αἰτία ὡς τιμία τε ἅμα καὶ φοβερά! «διότι ἄγγελος Κυρίου παντοκράτορός ἐςι» [2]. Καὶ παραιτοῦμαι μὲν τῶν ἐπὶ τούτοις ἀρῶν τὸ βλάσφημον· φοβοῦμαι δὲ τὴν ἀλήθειαν· ἀλλ' ὃ μέτριόν τε ἅμα εἰπεῖν καὶ συμφέρον· «εἰ ἔτι ἄξιόν, φησιν, ἐπιβλέψαι εἰς θυσίαν ὑμῶν, ἢ λαβεῖν δεκτὸν ἐκ τῶν χειρῶν ὑμῶν» [3], ὡς ἂν μάλιςα δυσχεραίνων, καὶ τὴν ἱερουργίαν αὐτῶν διὰ τὴν κακίαν ἀποπεμπόμενος.

**62.** Ζαχαρίου μὲν γὰρ ὅταν μνησθῶ, φρίσσω τὸ δρέπανον, ὁμοίως καὶ ἃ κατὰ τῶν ἱερέων μαρτύρεται αὐτος· ἃ μὲν περὶ Ἰησοῦ τοῦ πάνυ, ἱερέως τοῦ μεγάλου παραδηλοῖ, ὃν περιδύσας τῷ λόγῳ τὴν ῥυπαρὰν ἐσθῆτα καὶ ἀναξίαν, τὴν ἱερατικὴν καὶ λαμπρὰν περιτίθησιν, ὅσα τε ὁ ἄγγελος αὐτῷ λέγων πρὸς τὸν Ἰησοῦν καὶ ἐπισκήπτων πεποίηται, ταῦτα μὲν, εἰς μείζονα καὶ ὑψηλότερα ἴσως ἢ κατὰ τοὺς πολλοὺς ἱερέας ἀναφερόμενα, σιωπῇ τιμάσθω· πλὴν ὅτι καὶ τούτου ἐκ δεξιῶν ὁ διάβολος εἰςήκει τοῦ ἀντικεῖσθαι αὐτῷ [4]· πρᾶγμα ἐμοί γ' οὖν οὐ μέτριον, οὐδὲ ὀλίγου φόβου καὶ φυλακῆς ἄξιον.

**63.** Ἃ δε τῶν λοιπῶν κατηγορεῖ ποιμένων ἐπιμελῶς καὶ καθάπτεται, τίς οὕτω τολμηρὸς καὶ τὴν ψυχὴν ἀδαμάντινος, ὥςε μὴ τρέμειν ἀκούων καὶ αὐτὸς ἑαυτοῦ γίνεσθαι μετριώτερος; «φωνὴ, φησι, θρηνούντων ποιμένων, ὅτι τεταλαιπώρηκεν ἡ μεγαλωσύνη αὐτῶν· φωνὴ ὠρυομένων λεόντων, ὅτι τάδε πεπόνθασιν» [5]. Μόνον οὐ κάκουει τῶν θρήνων ὡς ἤδη παρόντων, καὶ συνθρηνεῖ

[1]) Мал. 1. 6—8. [2]) Мал. 2, 5—7. [3]) Мал. 2. 13. [4]) Зах. 3. 1—2. [5]) Зак. 11. 3.

τοῖς πάσχουσιν. Ἔτι δὲ μικρὸν ἔμπροσθεν πληκτικώτερον καὶ σφοδρότερον· «ποιμαίνετε, φησι, τὰ πρόβατα τῆς σφαγῆς, ἃ οἱ κτησάμενοι κατέσφαζον, καὶ οὐ μετεμελοῦντο· καὶ οἱ πωλοῦντες αὐτὰ ἔλεγον· εὐλογητὸς Κύριος, καὶ πεπλουτήκαμεν· καὶ οἱ ποιμένες αὐτῶν οὐκ ἔπασχον οὐδὲν ἐπ᾽ αὐτοῖς· διὰ τοῦτο οὐ φείσομαι οὐκέτι ἐπὶ τοὺς κατοικοῦντας τὴν γῆν, λέγει Κύριος παντοκράτωρ» [1]· καὶ πάλιν· «ῥομφαία, ἐξεγέρθητι ἐπὶ τοὺς ποιμένας, καὶ πατάξατε τοὺς ποιμένας, καὶ ἐκσπάσατε τὰ πρόβατα»· καὶ· «ἐπάξω τὴν χεῖρά μου ἐπὶ τοὺς ποιμένας»· καὶ· «ὠργίσθη ὁ θυμός μου ἐπὶ τοὺς ποιμένας καὶ ἐπὶ τοὺς ἀμνοὺς ἐπισκέψομαι» [2]· προστιθεὶς ἤδη τῇ ἀπειλῇ καὶ τοῦ λαοῦ τοὺς προέχοντας. Οὕτω φιλοπόνως προσκαθέζεται τῷ λόγῳ, καὶ οὐδὲ ἀπαλλαγῆναι δύναται ῥαδίως τῶν ἀπειλῶν· ὥστε δέδοικα μὴ καὶ αὐτὸς ἀπευκτὸς ὦ, πάντων ἑξῆς μεμνημένος. Ἀλλ᾽ ὁ μὲν Ζαχαρίας οὕτως.

**64.** Ἵνα δὲ τοὺς ἐν Δανιὴλ παραδράμωμεν πρεσβυτέρους· καὶ γὰρ παραδράμοιμεν καὶ τὸ τῷ δεσπότῃ περὶ αὐτῶν καλῶς εἰρημένον καὶ προηγορευμένον, «ὅτι ἐξῆλθεν ἀνομία ἐκ Βαβυλῶνος ἐκ πρεσβυτέρων κριτῶν, οἳ ἐδόκουν κυβερνᾶν τὸν λαόν» [3]· πῶς οἴσομεν Ἰεζεκιήλ, τὸν τῶν μεγάλων ἐπόπτην καὶ ἐξηγητὴν μυστηρίων καὶ θεαμάτων; πῶς μὲν ἃ τοῖς σκοποῖς διακελεύεται, μὴ κατασιωπᾶν τὴν κακίαν καὶ τὴν ἐπερχομένην ταύτῃ ῥομφαίαν [4], ὡς οὔτε αὐτοῖς τοῦτο λυσιτελοῦν, οὔτε τοῖς ἁμαρτάνουσι; τοῦ δὲ προϊδέσθαι καὶ προκηρύξαι ἀμφοτέρους ὀνήσοντος, εἰ οἱ μὲν εἴποιεν, οἱ δὲ ἀκούσαιεν, ἢ πάντως γε τοὺς μηνύσαντας.—

**65.** Πῶς δὲ τὴν ἄλλην καταδρομήν, ἣν ποιεῖται κατὰ τῶν ποιμαινόντων, νῦν μὲν ἐν τούτοις τοῖς ῥήμασιν· «οὐαὶ ἐπὶ οὐαὶ ἔσται, καὶ ἀγγελία ἐπὶ ἀγγελίαν, καὶ ἐκζητηθήσεται ὅρασις ἐκ προφήτου, καὶ νόμος ἀπολεῖται ἐξ ἱερέως, καὶ βουλὴ ἐκ πρεσβυτέρων [5]»· νῦν δὲ ἐν ἐκείνοις πάλιν· «υἱὲ ἀνθρώπου, εἰπὸν αὐτῇ· σὺ εἶ γῆ οὐ βρεχομένη, οὐδὲ ὑετὸς ἐγένετο ἐπί σε ἐν ἡμέρᾳ ὀργῆς· ἧς οἱ ἀφηγούμενοι ἐν μέσῳ αὐτῆς ὡς λέοντες ὠρυόμενοι, ἁρπάζοντες ἁρπάγματα, ψυχὰς κατεσθίοντες ἐν δυναστείᾳ [6]». Καὶ μετ᾽ ὀλίγα· «οἱ ἱερεῖς αὐτῆς ἠθέτουν νόμον μου, καὶ ἐβεβήλουν

---

[1]) Зах. 11. 4—6. [2]) Зах. 13. 7; 10. 3. [3]) Дан. 13. 5. [4]) Іез. 33. 6. [5]) Іез. 7. 26. [6]) Іез. 22. 24, 25.

τὰ ἅγιά μου· βεβήλοις τε καὶ ἁγίοις, φησιν, οὐ διέςελλον, ἀλλὰ πάντα ἦν αὐτοῖς ἕν, καὶ ἀπὸ τῶν σαββάτων μου παρεκάλυπτον τοὺς ὀφθαλμοὺς αὐτῶν, καὶ ἐβεβηλούμην ἐν μέσῳ αὐτῶν» [1]), συντελεῖν τε τὸν τοῖχον, καὶ τοὺς ἀλείφοντας αὐτὸν ἀπειλῶν [2])· τὸ δέ ἐςι, τοὺς ἁμαρτάνοντας καὶ τοὺς συγκαλύπτοντας, ὅπερ εἶναι κακῶν ἀρχόντων καὶ ἱερέων, καὶ πλαγιαζόντων τὸν οἶκον τοῦ Ἰσραὴλ κατὰ τὰς καρδίας αὐτῶν τὰς ἀπηλλοτριωμένας ἐν τοῖς ἐπιθυμήμασιν αὐτῶν.

66. Καὶ σιωπῶ λέγειν, ὅσα περὶ τῶν βοσκόντων ἑαυτοὺς διαλέγεται, «τὸ γάλα κατεσθιόντων καὶ τὰ ἔρια περιβαλλομένων, καὶ τὸ παχὺ σφαζόντων, ἀλλὰ μὴ ποιμαινόντων τὰ πρόβατα, τὸ ἠσθενηκὸς οὐκ ἐνισχυόντων, καὶ τὸ συντετριμμένον οὐ καταδεσμούντων, καὶ τὸ πλανώμενον οὐκ ἐπιςρεφόντων, καὶ τὸ ἀπολωλὸς οὐκ ἐκζητούντων, καὶ τὸ ἰσχυρὸν οὐ φυλαττόντων, ἀλλὰ μόχθῳ κατεργαζομένων, καὶ κατὰ σπουδὴν ἀπολλύντων· ὡς διεσπάρθαι τὰ πρόβατα κατὰ παντὸς πεδίου καὶ ὄρους παρὰ τὸ μὴ εἶναι ποιμένας, καὶ γενέσθαι κατάβρωμα πᾶσι πετεινοῖς καὶ θηρίοις, οὐκ ὄντος τοῦ ἐκζητοῦντος καὶ ἐπιςρέφοντος» [3]). Εἶτα τί; «ζῶ ἐγώ, φησι, λέγει Κύριος, ἀντὶ τοῦ ταῦτα οὕτως ἔχειν, καὶ γενέσθαι τὰ πρόβατά μου εἰς προνομήν, ἰδοὺ ἐγὼ ἐπὶ τοὺς ποιμένας, καὶ ἐκζητήσω τὰ πρόβατά μου ἐκ τῶν χειρῶν αὐτῶν· καὶ τὰ μὲν συνάξω καὶ περιποιήσομαι» [4]), οἱ δὲ τὰ καὶ τὰ πείσονται, ἃ τοὺς κακοὺς ποιμένας εἰκός.

67. Ἀλλ' ἵνα μὴ τὰ πάντων καὶ πάντας ἀπαριθμούμενος τοὺς προφήτας μακρὸν ἀποτείνω λόγον, ἑνὸς ἐπιμνησθεὶς ἔτι τοῦ πρὸ τῆς πλάσεως ἐγνωσμένου καὶ ἐκ μήτρας ἡγιασμένου (Ἱερεμίας ἦν οὗτος), τοὺς λοιποὺς ὑπερβήσομαι. Ζητεῖ μὲν οὗτος ὑπὲρ κεφαλῆς ὕδωρ καὶ τοῖς ὀφθαλμοῖς πηγὴν δακρύων, ἵνα κλαύσῃ πρὸς ἀξίαν τὸν Ἰσραὴλ [5])· ὀδύρεται δὲ οὐχ ἧττον καὶ τῶν προεςώτων τὴν μοχθηρίαν.

68. Λέγει μὲν αὐτῷ διελεγχόμενος πρὸς τοὺς ἱερεῖς ὁ Θεός· «οἱ ἱερεῖς οὐκ εἶπαν, ποῦ ἐςι Κύριος; καὶ οἱ ἀντεχόμενοι τοῦ νόμου μου οὐκ ἠπίςαντό με, καὶ οἱ ποιμένες ἠσέβουν εἰς ἐμέ [6])».

---

[1]) Ιεα. 22. 26. [2]) Ιεз. 13. 15. [3]) Ιεз. 34. 2—6. [4]) Στ. 8—10. [5]) Ιερ. 9. 1. [6]) Ιερ. 2. 8.

Λέγει δὲ αὐτὸς πάλιν· «ποιμένες ἠφρονεύσαντο, καὶ τὸν Κύριον οὐκ ἐξεζήτησαν, καὶ διὰ τοῦτο οὐκ ἐνόησε πᾶσα ἡ νομὴ, καὶ διεσκορπίσθησαν». «Ποιμένες τέ, φησι, πολλοὶ διέφθειραν τὸν ἀμπελῶνά μου· ἐμόλυναν τὴν μερίδα μου τὴν οὖσαν ἐπιθυμητὴν δεδόσθαι εἰς τὸν ἔρημον ἄβατον [1])». Εἶτα πρὸς αὐτοὺς πάλιν ἀποτείνεται τοὺς ποιμένας· «ὦ, οἱ ποιμένες οἱ ἀπολλύντες καὶ διασκορπίζοντες τὰ πρόβατα τῆς νομῆς μου· διὰ τοῦτο τάδε λέγει Κύριος ἐπὶ τοὺς ποιμαίνοντας τὸν λαόν μου· ὑμεῖς διεσκορπίσατε τὰ πρόβατά μου, καὶ ἐξεώσατε αὐτὰ, καὶ οὐκ ἐπεσκέψασθε αὐτά· ἰδοὺ ἐγὼ ἐκδικῶ ἐφ᾽ ὑμᾶς κατὰ τὰ πονηρὰ ἐπιτηδεύματα ὑμῶν [2])». Ἀλαλάζειν τε βούλεται τοὺς ποιμένας, καὶ κόπτεσθαι τοὺς κριοὺς τῶν προβάτων, διότι ἐπληρώθησαν αἱ ἡμέραι αὐτῶν εἰς σφαγὴν [3]).

69. Καὶ τί μοι τὰ παλαιὰ λέλειν; τίς δὲ, τοῖς Παύλου κανόσι καὶ ὅροις ἑαυτὸν παρεκτείνων, οὓς περὶ ἐπισκόπων καὶ πρεσβυτέρων ἔταξε· «νηφαλίους, σώφρονας εἶναι, μὴ παροίνους, μὴ πλήκτας, διδακτικοὺς, ἀλήπτους ἐν πᾶσι καὶ ἀνεπάφους τοῖς πονηροῖς [4])», οὐ πολὺ τὸ διαφεῦγον εὑρήσει τὴν τῶν κανόνων εὐθύτητα; τί δαὶ ἃ τοῖς μαθηταῖς Ἰησοῦς ἐπὶ τὸ κήρυγμα πέμπων νομοθετεῖ; ὧν τὸ κεφάλαιον, ἵνα μὴ τὰ καθ᾽ ἕκαςον λέγω, τοιούτους εἶναι τὴν ἀρετὴν, καὶ οὕτως εὐςαλεῖς καὶ μετρίους, καὶ ἔτι συντόμως εἰπεῖν, οὐρανίους, ὥςε οὐχ ἧττον διὰ τὸν τρόπον αὐτῶν ἢ διὰ τὸν λόγον τρέχειν τὸ εὐαγγέλιον [5]).

70. Ἐμὲ δὲ φοβοῦσι καὶ ὀνειδιζόμενοι Φαρισαῖοι καὶ γραμματεῖς ἐλεγχόμενοι· ὧν αἰσχρὸν, εἰ πολὺ περιεῖναι δέον τὴν ἀρετὴν, ὡς διατεταγμεθα [6]), εἴ τι δεοίμεθα τῆς τῶν οὐρανῶν βασιλείας, καὶ τὴν κακίαν φαινοίμεθα χείρους· ὥςε καὶ ὄφεις εἰκότως ἂν ἀκοῦσαι, καὶ γεννήματα ἐχιδνῶν, καὶ ὁδηγοὶ τυφλοὶ, τὸν κώνωπα διϋλίζοντες, καὶ τὴν κάμηλον καταπίνοντες, καὶ τάφοι ῥυπαροὶ τὰ ἔνδον μετ᾽ εὐπρεπείας τῆς ἔξωθεν, καὶ παροψίδες καθαραὶ τὸ φαινόμενον, καὶ τἆλλα ὅσα ἐκεῖνοι καὶ εἰσὶ καὶ ἀκούουσι [7]).

---

[1]) Іер. 10. 21; 12. 10. [2]) Іер. 21. 1—2. [3]) Іер. 25. 34. [4]) Тим. 3, 2, 3. Тит. 1. 7—9. [5]) Мат. 10. 9. Лук. 9. 3. [6]) Мат. 5. 20. [7]) Мат. 23. 24—33.

71. Τούτοις ἐγὼ σύνειμι καὶ νύκτωρ καὶ μεθ' ἡμέραν τοῖς λογισμοῖς· ταῦτά μοι τὸν μυελὸν ἐκτήκει, καὶ δαπανᾷ τὰς σάρκας, καὶ οὐκ ἐᾷ θρασὺν εἶναι καὶ ἄνω βλέποντα· ταῦτά μοι ταπεινοῖ τὴν ψυχὴν, καὶ τὸν νοῦν συςέλλει, καὶ τῇ γλώσσῃ δεσμὸν ἐπιτίθησι, καὶ οὐ περὶ προςασίας εἶναι ποιεῖ τὸν λόγον, οὐδὲ τοῦ κατορθοῦν ἄλλους καὶ διευθύνειν, ὃ πολλῆς ἐςι τῆς περιουσίας [1]), ἀλλ' ὅπως ἂν αὐτὸς τὴν ἐρχομένην ὀργὴν διαφύγοιμι, καὶ μικρόν τι τοῦ ἰοῦ τῆς κακίας ἐμαυτὸν ἀποξέσαιμι. Καθαρθῆναι δεῖ πρῶτον, εἶτα καθᾶραι· σοφισθῆναι, καὶ οὕτω σοφίσαι· γενέσθαι φῶς, καὶ φωτίσαι· ἐγγίσαι Θεῷ, καὶ προσαγαγεῖν ἄλλους· ἁγιασθῆναι, καὶ ἁγιάσαι· χειραγωγῆσαι μετὰ χειρῶν, συμβουλεῦσαι μετὰ συνέσεως.

72. Πότε οὖν ἔςαι ταῦτα, φασὶν οἱ ταχεῖς τὰ πάντα καὶ οὐκ ἀσφαλεῖς, οἱ ῥᾳδίως οἰκοδομοῦντες καὶ καταλύοντες; καὶ πηνίκα ὁ λύχνος ἐπὶ τὴν λυχνίαν; καὶ ποῦ τὸ τάλαντον [2]); οὕτω τὸ χάρισμα λέγοντες. Ταῦτα οἱ θερμότεροι τὴν φιλίαν ἢ τὴν εὐλάβειαν. Πότε ταῦτα, καὶ τίς ὁ ἐμὸς λόγος, ὦ γενναιότατοι; οὐ μακρὰ προθεσμία—οὐδὲ γῆρας τὸ ἔσχατον. Κρείσσων γὰρ πολιὰ μετὰ φρονήσεως ἀπαιδεύτου νεότητος, καὶ λελογισμένη βραδύτης τάχους ἀπερισκέπτου, καὶ ὀλιγοχρόνιος βασιλεία μακρᾶς τυραννίδος· ὡς καὶ ὀλίγη μερὶς τιμία πολλῆς κτήσεως ἀτίμου καὶ σφαλερᾶς, καὶ χρυσὸς ὀλίγος μολύβδου πολυταλάντου, καὶ πολλοῦ σκότους ὀλίγον φῶς.

73. Τὸ δὲ ταχὺ τοῦτο καὶ σφαλερὸν καὶ λίαν κατεσπουδασμένον μὴ τῶν σπερμάτων ἐκείνοις ἐοικὸς ᾖ, ἃ κατὰ τῶν πετρῶν πεσόντα, καὶ διὰ τὸ μὴ ἔχειν βάθος γῆς εὐθὺς ἀνακύψαντα, οὐδὲ τὴν πρώτην ἤνεγκε τοῦ ἡλίου θερμότητα [3])· ἢ τῷ κατὰ τῆς ψάμμου τεθέντι θεμελίῳ μηδὲ ὀλίγον ἀντισχόντι πρὸς τὴν βροχὴν καὶ τὰ πνεύματα [4]). «Οὐαί σοι, πόλις, ἧς ὁ βασιλεύς σου νεώτερός ἐςι», φησὶ Σολομῶν· καὶ, «μὴ ἴσθι ταχὺς ἐν λόγοις», τοῦ αὐτοῦ Σολομῶντος φωνὴ [5]), πρᾶγμά τι ἔλαττον λέγοντος, τὸ περὶ

---

[1]) Περιουσία (изъ περὶ и εἰμὶ), избытокъ имущества, богатство въ чемъ-нибудь, особенная способность. Ἐςὶ τῆς περιουσίας,—подразум. πρᾶγμα—это дѣло избытка дарованій, особенной способности.

[2]) Мат. 5. 15; 25. 15. [3]) Мат. 13. 5. [4]) Мат. 7. 27. [5]) Еккл. 10. 16; 5. 1.

λόγον τάχος τῆς περὶ πρᾶξιν θερμότητος. Καὶ τίς ἐςι παρὰ ταῦτα ὁ τὸ τάχος ἀπαιτῶν πρὸ τῆς ἀσφαλείας καὶ τοῦ συμφέροντος; τίς ὁ πλάττων καθάπερ αὐθήμερον τοὺς πηλίνους [1]) τὸν τῆς ἀληθείας προςάτην, τὸν μετὰ ἀγγέλων ςησόμενον, καὶ μετὰ ἀρχαγγέλων δοξάσοντα, καὶ ἐπὶ τὸ ἄνω θυσιαςήριον ἀναπέμψοντα τὰς θυσίας, καὶ Χριςῷ συνιερεύσοντα, τὸν ἀναπλάσοντα τὸ πλάσμα, καὶ παραςήσοντα τὴν εἰκόνα, καὶ τῷ ἄνω κόσμῳ δημιουργήσοντα, καὶ τὸ μεῖζον εἰπεῖν, Θεὸν ἐσόμενον, καὶ θεοποιήσοντα;

**74.** Οἶδα τίνος ἐσμὲν λειτουργοὶ καὶ ποῦ κείμενοι, καὶ ποῦ πέμποντες· οἶδα τοῦ Θεοῦ τὸ ὕψος, καὶ τὴν ἀνθρωπίνην ἀσθένειαν, καὶ τὴν δύναμιν πάλιν. Οὐρανὸς ὑψηλὸς, γῆ δὲ βαθεῖα [2]), καὶ τίς ἀναβήσεται τῶν ἐῤῥιμμένων τῇ ἁμαρτίᾳ; τίς περικείμενος ἔτι τὸν κάτω ζόφον καὶ τῆς σαρκὸς τὴν παχύτητα ὅλῳ νοΐ καθαρῶς ἐποπτεύσει νοῦν ὅλον, καὶ μιγήσεται τοῖς ἐςῶσι καὶ ἀοράτοις ἐν τοῖς ἀςάτοις καὶ ὁρωμένοις; μόλις γὰρ ἄν τις ἐνταῦθα τῶν σφόδρα κεκαθαρμένων καὶ εἴδωλον τοῦ καλοῦ θεωρήσειεν, ὥσπερ οἱ τὸν ἥλιον ἐν τοῖς ὕδασιν. «Τίς ὁ μετρήσας τῇ χειρὶ τὸ ὕδωρ, καὶ τὸν οὐρανὸν σπιθαμῇ, καὶ πᾶσαν τὴν γῆν δρακί; τίς ἔςησε τὰ ὄρη ςαθμῷ, καὶ τὰς νάπας ζυγῷ; τίς τόπος τῆς καταπαύσεως αὐτοῦ, καὶ τίνι τῶν πάντων ὁμοιωθήσεται [3])»;

**75.** Τίς ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ, καὶ τῇ σοφίᾳ κατασκευάσας ἄνθρωπον, καὶ εἰς ἓν ἀγαγὼν τὰ διεςῶτα, καὶ μίξας τὸν χοῦν τῷ πνεύματι, καὶ συνθεὶς ζῶον ὁρατὸν καὶ ἀόρατον, πρόσκαιρον καὶ ἀθάνατον, ἐπίγειον καὶ οὐράνιον, ἁπτόμενον Θεοῦ καὶ οὐ περιδρασσόμενον, ἐγγίζον καὶ μακρυνόμενον; «εἶπα, σοφισθήσομαι, φησιν ὁ Σολομὼν, καὶ αὐτὴ ἐμακρύνθη ἀπ᾿ ἐμοῦ μακρὰν ὑπὲρ ὃ ἦν», τὴν σοφίαν λέγων [4]). Καὶ ὄντως «ὁ προστιθεὶς γνῶσιν προστίθησιν ἄλγημα» [5]), οὐ μᾶλλον εὐφραίνοντος τοῦ εὑρεθέντος ἢ ἀνιῶντος τοῦ διαφεύγοντος· ὅπερ, οἶμαι, φιλεῖ συμβαίνειν τοῖς ἔτι διψῶσιν ἀποσπωμένοις ὕδατος· ἢ κρατεῖν τι οὐ δυναμένοις ἔχειν νομίζουσιν· ἢ οὓς ἀπῆλθεν εὐθὺς ἀςραπὴ περιλάμψασα.

---

[1]) Подразумѣвается—ἀνδριάντας, какъ бы статуи, дѣлаемыя изъ глины въ одинъ день.

[2]) Прит. 25. 3. [3]) Иса. 40. 12: 18. 25: 66. 1. [4]) Екк. 7. 24, 25. [5]) Екк. 1. 18.

76. Τοῦτό με ἴςη κάτω, καὶ ταπεινὸν ἐποίει, καὶ εἶναι βέλτιον ἔπειθεν ἀκούειν φωνὴν αἰνέσεως, ἢ ἐξηγητὴν εἶναι τῶν ὑπὲρ δύναμιν· ἡ μεγαλειότης, καὶ τὸ ὕψος, καὶ τὸ ἀξίωμα, καὶ αἱ καθαραὶ φύσεις μόλις χωροῦσαι Θεοῦ λαμπρότητα, ὃν ἄβυσσος καλύπτει, οὗ σκότος ἀποκρυφὴ [1]), φωτὸς ὄντος τοῦ καθαρωτάτου καὶ ἀπροσίτου τοῖς πλείοσιν, ὃς ἐν τῷ παντὶ τῷδε, καὶ τοῦ παντός ἐςιν ἔξω· ὃς καλόν ἐςιν ἅπαν, καὶ ἄνω παντὸς καλοῦ· ὃς νοῦν φωτίζει καὶ διαφεύγει νοῦ τάχος καὶ ὕψος, ὑποχωρῶν ἀεὶ τοσοῦτον, ὅσον καταλαμβάνεται, καὶ ὑπάγων πρὸς τὰ ἄνω τὸν ἐραςὴν τῷ φεύγειν καὶ τῷ οἷον κρατούμενος κλέπτεσθαι.

77. Τοσοῦτον μὲν δὴ καὶ τοιοῦτον ἡμῖν τὸ ποθούμενον καὶ σπουδαζόμενον· τοιοῦτον δὲ εἶναι χρὴ τὸν νυμφαγωγὸν τῶν ψυχῶν καὶ προμνήςορα. Ἔμοιγε μὴν δέος, μὴ καὶ τοῦ νυμφῶνος ἔξω ῥιφῶ δεθεὶς χεῖρας καὶ πόδας, ὡς οὐκ ἐνδεδυμένος ἔνδυμα γάμου, ἀλλὰ τολμηρῶς παρενείρας ἐμαυτὸν τοῖς ἐκεῖσε ἀνακειμένοις [2]), καίτοι προσεκλήθην μὲν ἐκ νεότητος, ἵν' εἴπω τι τῶν τοῖς πολλοῖς ἀγνοουμένων, καὶ ἐπ' αὐτὸν ἐπεῤῥίφην ἐκ μήτρας [3]), καὶ ἐδόθην δοτὸς ἐκ μητρικῆς ὑποσχέσεως, και μετὰ τοῦτο τοῖς κινδύνοις ἐβεβαιώθην· καὶ ὁ πόθος συνηυξήθη, καὶ ὁ λογισμὸς συνέδραμε, καὶ πάντα ἔδωκα φέρων τῷ λαχόντι καὶ σώσαντι, κτῆσιν, περιφάνειαν, εὐεξίαν, τοὺς λόγους αὐτούς, ὧν τοῦτο ἀπήλαυσα μόνον—τὸ παριδεῖν καὶ ἐσχηκέναι, ὧν Χριςὸν προετίμησα. «Καὶ ἡδύνθη μοι τὰ τοῦ Θεοῦ λόγια, ὡς κηρία μέλιτος, καὶ τὴν σύνεσιν ἐπεκαλεσάμην, καὶ τῇ σοφίᾳ ἔδωκα φωνήν μου [4])», καὶ τἄλλα δὴ ταῦτα, οἷον θυμὸν μετρῆσαι, καὶ γλῶσσαν χαλινῶσαι, καὶ ὀφθαλμὸν σωφρονίσαι, καὶ γαςέρα παιδαγωγῆσαι, καὶ δόξαν πατῆσαι τὴν κάτω μένουσαν. Παραφρονῶν λέγω, ἀλλ' οὖν εἰρήσεται· ταῦτα μὲν οὐ τῶν πολλῶν ἴσως ἐγενόμην φαυλότερος.

78. Τοῦτο δὲ φιλοσοφῆσαι κρεῖττον ἢ καθ' ἡμᾶς δέξασθαι ψυχῶν ἡγεμονίαν καὶ προςασίαν, καὶ μήπω μηδὲ ποιμαίνεσθαι καλῶς μαθόντας ἡμᾶς, μηδὲ καθαρθέντας τὴν ψυχὴν ὅσον ἄξιον, ἔπειτα ποίμνης ἐπιςατεῖν πιςευθῆναι· καὶ ταῦτα ἐν καιροῖς τοιού-

---

[1]) Пс. 103. 6; 17. 12. [2]) Мат. 22. 3. [3]) Пс. 21. 11. [4]) Пс. 18. 11; Прит. 2. 3.

τοις, ἐν οἷς ἀγαπητὸν [1]) ὁρῶντα τοὺς ἄλλους ἄνω καὶ κάτω στρεφομένους τε καὶ ταρασσομένους, φυγόντα φυγῇ ἐκ τοῦ μέσου, ὑπὸ σκέπην ἀναχωρήσαντα, λαθεῖν τοῦ πονηροῦ τὴν ζάλην καὶ τὴν σκοτόμαιναν· ἡνίκα πολεμεῖ μὲν ἀλλήλοις τὰ μέλη, οἴχεται δὲ τῆς ἀγάπης, εἴ καί τι ἦν λείψανον, ὄνομα δὲ κενὸν ἄλλως ὁ ἱερεύς, ἐκχυθείσης ἐπ᾽ ἄρχοντας ἐξουδενώσεως, ὥσπερ εἴρηται [2]).

79. Καὶ εἴθε κενόν· νυνὶ δὲ τρέποιτο εἰς κεφαλὰς ἀθέων ἡ βλασφημία. Φόβος δὲ ἅπας ἐξώρισται τῶν ψυχῶν, ἀντεισῆκται δὲ ἀναίδεια· τοῦ βουλομένου δὲ [3]) ἡ γνῶσις καὶ τὰ βάθη τοῦ πνεύματος [4]). Πάντες δέ ἐσμεν εὐσεβεῖς ἐξ ἑνὸς μόνου τοῦ καταγινώσκειν ἄλλων ἀσέβειαν. Χρώμεθα δὲ δικασταῖς τοῖς ἀθέοις καὶ ῥιπτοῦμεν τὰ ἅγια τοῖς κυσὶ, καὶ βάλλομεν τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων, βεβήλοις ἀκοαῖς καὶ ψυχαῖς τὰ θεῖα δημοσιεύοντες· καὶ τὰς τῶν ἐχθρῶν εὐχὰς ἐπιμελῶς ἐκπληροῦμεν οἱ δείλαιοι, καὶ πορνεύοντες ἐν τοῖς ἐπιτηδεύμασιν ἡμῶν οὐκ αἰσχυνόμεθα [5]). Μωαβῖται δέ καὶ Ἀμμανῖται, οἷς οὐδ᾽ ἐξῆν παριέναι εἰς ἐκκλησίαν Κυρίου [6]), τοῖς ἁγιωτάτοις ἡμῶν ἐμβατεύουσιν. Ἠνοίξαμεν δὲ πᾶσιν οὐ πύλας δικαιοσύνης [7]), ἀλλὰ θύρας λοιδορίας τε καὶ τῆς κατ᾽ ἀλλήλων θρασύτητος· καὶ οὗτος ἄριστος ἡμῖν, οὐχ ὃς ἂν μηδὲ ῥῆμα πρόηται ἀργὸν φόβῳ Θεοῦ, ἀλλ᾽ ὃς ἂν τύχῃ πλεῖστα τὸν πλησίον εἰπὼν κακῶς, ἢ διαῤῥήδην, ἢ ἐν αἰνίγμασι, καὶ ὑπὸ τὴν γλῶσσαν αὐτοῦ στρέφων κόπον καὶ πόνον, ἢ ἰὸν ἀσπίδων, εἰπεῖν οἰκειότερον [8]).

80. Τηροῦμεν δὲ τὰς ἀλλήλων ἁμαρτίας, οὐχ ἵνα θρηνήσωμεν, ἀλλ᾽ ἵνα ὀνειδίσωμεν· οὐδ᾽ ἵνα θεραπεύσωμεν, ἀλλ᾽ ἵνα προσπλήξωμεν, καὶ ἀπολογίαν ἔχωμεν τῶν ἡμετέρων κακῶν τὰ τῶν πλησίον τραύματα. Κακοὺς δὲ καὶ ἀγαθοὺς οὐχ ὁ τρόπος, ἀλλ᾽ ἡ διάστασις καὶ ἡ φιλία χαρακτηρίζει. Καὶ ἃ σήμερον ἐπαινοῦμεν, αὔριον ἐκακίσαμεν· καὶ ἃ παρ᾽ ἄλλοις στηλιτεύεται, παρ᾽

---

[1]) Ἀγαπητὸν, т. е. ἐστι, желательно.

[2]) Пс. 106. 40.

[3]) Τοῦ βουλομένου: всякой, кто только пожелаетъ, хотя бы неспособный, присвояетъ себѣ.

[4]) 1 Кор. 2. 10. [5]) Пс. 105. 39. [6]) Втор. 23. 3. [7]) Пс. 117. 19. [8]) Пс. 9. 28, 139. 4.

ἡμῖν θαυμάζεται· καὶ πάντα συγχωρεῖται προθύμως τῷ ἀσεβεῖν [1]). Οὕτω τὴν κακίαν ἐσμὲν μεγαλόψυχοι.

81. Γέγονε δὲ πάντα ὡς τὸ ἀπαρχῆς, ὅτε οὔπω κόσμος ἦν, οὐδὲ ἡ νῦν εὐταξία καὶ μόρφωσις, ἀλλὰ συγκεχυμένον τὸ πᾶν καὶ ἀνώμαλον ἐδεῖτο τῆς εἰδοποιοῦ χειρὸς καὶ δυνάμεως. Εἰ βούλει δέ, ὡς ἐν νυκτομαχίᾳ καὶ σελήνης ἀμυδροῖς φέγγεσιν, ἐχθρῶν ἢ φίλων ὄψεις οὐ διαγινώσκοντες· ἢ ὡς ἐν ναυμαχίᾳ καὶ ζάλῃ καὶ πνευμάτων ἐμβολαῖς, καὶ ῥοθίῳ ζέοντι, καὶ κυμάτων ἐπιδρομαῖς, καὶ νηῶν ἀραγμοῖς, καὶ κοντῶν ὠθισμοῖς, καὶ κελευςῶν φωναῖς, καὶ πιπτόντων οἰμωγαῖς ὑπερηχούμενοί τε καὶ ἀπορούμενοι, καὶ τῆς ἀνδρείας καιρὸν οὐκ ἔχοντες, φεῦ τοῦ πάθους! ἀλλήλοις περιπίπτομεν καὶ ὑπ᾽ ἀλλήλων ἀναλισκόμεθα.

82. Καὶ οὐχ ὁ λαὸς μὲν οὕτως, ὁ δὲ ἱερεὺς ἑτέρως· ἀλλά μοι νῦν ἐκεῖνο πληροῦσθαι δοκεῖ καθαρῶς, τὸ· «γέγονεν ὁ ἱερεὺς καθὼς ὁ λαός», ἐν κατάρᾳ πάλαι λεγόμενον [2]). Καὶ οὐχ οἱ πολλοὶ μὲν οὕτως, οἱ δὲ ἁδροὶ τοῦ λαοῦ καὶ προέχοντες ἐναντίως· ἀλλ᾽ οὗτοί γε καὶ φανερῶς πολεμοῦσι τοῖς ἱερεῦσιν, ἐφόδιον ἔχοντες εἰς πειθὼ τὴν εὐσέβειαν. Καὶ ὅσοι μὲν περὶ πίςεως τοῦτο πάσχοιεν, καὶ τῶν ἀνωτάτω ζητημάτων καὶ πρώτων· οὐδ᾽ ἐγὼ μέμφομαι, ἀλλ᾽ εἰ δεῖ τἀληθὲς εἰπεῖν, καὶ προσεπαινῶ καὶ συνήδομαι. Καὶ τούτων εἷς εἴην τῶν ὑπὲρ ἀληθείας ἀγωνιζομένων καὶ τῶν ἀπεχθανομένων, μᾶλλον δὲ καὶ εἶναι καυχήσομαι. Κρείττων γὰρ ἐπαινετὸς πόλεμος εἰρήνης χωριζούσης Θεοῦ· καὶ διὰ τοῦτο τὸν πρᾶον μαχητὴν ὁπλίζει τὸ Πνεῦμα, ὡς καλῶς πολεμεῖν δυνάμενον [3]).

83. Νῦν δέ εἰσί τινες οἱ καὶ περὶ μικρῶν πολεμοῦντες καὶ εἰς οὐδὲν ὄφελος, καὶ κοινωνοὺς ὅσους ἂν δύνωνται τοῦ κακοῦ προσλαμβάνοντες, λίαν ἀμαθῶς καὶ θρασέως. Εἶτα ἐπὶ πᾶσιν ἡ πίςις, καὶ τοῦτο τὸ σεμνὸν ὄνομα [4]) ταῖς ἰδίαις αὐτῶν φιλονεικίαις παρασυρόμενον. Ἐκ δὲ τούτων, ὡς τὸ εἰκός, μισούμεθα μὲν ἐν τοῖς ἔθνεσι, καὶ ὃ τούτου χαλεπώτερον, οὐδὲ εἰπεῖν ἔχομεν, ὡς οὐ δικαίως. Διαβεβλήμεθα δὲ καὶ τῶν ἡμετέρων τοῖς ἐπιεικε-

---

[1]) Въ нѣкоторыхъ спискахъ: τῷ ἀσεβεῖ.

[2]) Иса. 24. 2. Осiи. 4. 9. [3]) Іоил. 3. 10, 11.

[4]) Разумѣется вѣра, или вѣрующiе во Христа, или самъ I. Христосъ.

ςέροις· οὐδὲν γὰρ θαυμαςὸν εἰ τοῖς πλείοσιν, οἳ μόλις ἄν τι καὶ τῶν καλῶν ἀποδέχοιντο.

84. «Τεκταίνουσι δὲ ἐπὶ τῶν νώτων ἡμῶν οἱ ἁμαρτωλοί [1])»· καὶ ἃ κατ' ἀλλήλων ἐπινοοῦμεν, κατὰ πάντων ἔχουσι, καὶ «γεγόναμεν θέατρον καινὸν, οὐκ ἀγγέλοις καὶ ἀνθρώποις», οἷον ὁ γενναιότατος τῶν ἀθλητῶν Παῦλος, «πρὸς τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας ἀγωνιζόμενος [2])», ἀλλὰ πᾶσι μικροῦ [3]) τοῖς πονηροῖς, καὶ ἐπὶ παντὸς καιροῦ καὶ τόπου, ἐν ἀγοραῖς, ἐν πότοις, ἐν εὐφροσύναις, ἐν πένθεσιν. Ἤδη δὲ προήλθομεν καὶ μέχρι τῆς σκηνῆς, ὃ μικροῦ καὶ δακρύω λέγων, καὶ μετὰ τῶν ἀσελγεςάτων γελώμεθα· καὶ οὐδὲν οὕτω τερπνὸν τῶν ἀκουσμάτων καὶ θεαμάτων, ὡς χριςιανὸς κωμῳδούμενος.

85. Ταῦτα ἡμῖν ὁ πρὸς ἀλλήλους πόλεμος· ταῦτα οἱ λίαν ὑπὲρ τοῦ ἀγαθοῦ καὶ πράου μαχόμενοι· ταῦτα οἱ πλέον ἀγαπῶντες τὸν Θεὸν ἢ ὅσον συμφέρει· καὶ παλαίειν μὲν οὐκ ἔξεςιν ἔξω τῶν νενομισμένων οὐδ' ἄλλο τι ἀγωνίζεσθαι· ἢ καταβοήσεται καὶ ἀτιμασθήσεται, καὶ ἀπολεῖ τὴν νίκην ὁ ἐκπαλαίων, ἢ ἄλλο τι μὴ καλῶς ἀγωνιζόμενος, μηδὲ κατὰ τοὺς κειμένους ὅρους τῆς ἀγωνίας, κἂν ὅτι γενναῖος ᾖ καὶ τεχνικώτατος· ὑπὲρ Χριςοῦ δὲ ἀγωνιεῖταί τις οὐ κατὰ Χριςὸν, ἔπειτα χαριεῖται τῇ εἰρήνῃ, πολεμῶν ὑπὲρ αὐτῆς ὡς οὐκ ἔξεςιν [4]);

86. Καὶ οἱ μὲν δαίμονες φρίττουσιν εἰς ἔτι καὶ νῦν Χριςοῦ καλουμένου, καὶ οὐδὲ ὑπὸ τῆς κακίας ἡμῶν ἐξίτηλος γέγονεν ἡ τοῦ ὀνόματος τούτου δύναμις· ἡμεῖς δὲ οὐκ αἰσχυνόμεθα τὸ σεμνὸν οὕτω καὶ πρᾶγμα καὶ ὄνομα καθυβρίζοντες· καὶ μόνον οὐ φανερῶς αὐτοῦ βοῶντος ἀκούοντες καὶ καθ' ἑκάςην ἡμέραν· «τὸ γὰρ ὄνομά μου βλασφημεῖται δι' ὑμᾶς ἐν τοῖς ἔθνεσιν [5])».

87. Καὶ τὸν μὲν ἔξωθεν οὐ δέδοικα πόλεμον, οὐδὲ τὸν νῦν ἐπαναςάντα θῆρα ταῖς ἐκκλησίαις, καὶ τοῦ πονηροῦ τὸ πλήρωμα [6]), κἂν πῦρ ἀπειλῇ, κἂν ξίφη, κἂν θῆρας, κἂν κρημνοὺς, κἂν βά-

---

[1]) Пс. 128. 3. [2]) 1 Кор. 4. 9; Еф. 6. 12.

[3]) Μικροῦ, почти, едва не; сокр. изъ μικροῦ δεῖν или μικροῦ ἀπολείπεσθαι; тоже, что παρὰ μικρόν.

[4]) Еф. 2. 14. [5]) Иса. 52. 5. Рим. 2. 24.

[6]) Разумѣется современный св. Григорію Юліанъ богоотступникъ.

ραθρα, κἂν πάντων γένηται τῶν πώποτε μανέντων ἀπανθρωπότατος, κἂν ταῖς οὔσαις τιμωρίαις προσεξεύρῃ χαλεπωτέρας. Ἓν ἔχω πρὸς πάντα φάρμακον, μίαν ὁδὸν εἰς νίκην· «ἐν Χριςῷ καυχήσομαι [1])», τὸν ὑπὲρ Χριςοῦ θάνατον.

88. Πρὸς δὲ τὸν ἐμὸν πόλεμον [2]) οὐκ ἔχω τίς γένωμαι, τίνα συμμαχίαν ἐξεύρω, τίνα λόγον σοφίας, τί χάρισμα, ποίᾳ πανοπλίᾳ πρὸς τὰς τοῦ πονηροῦ μεθοδείας [3]) ὁπλίσωμαι. Τίς νικήσει τοῦτον Μωϋσῆς ἐκτείνας τὰς χεῖρας ἐπὶ τοῦ ὄρους, ἵν' ὁ ςαυρὸς ἰσχύσῃ τυπούμενος καὶ προμηνυόμενος [4]); τίς Ἰησοῦς μετὰ τοῦτον, τῷ ἀρχιςρατήγῳ τῶν θείων παρατάξεων συμπαραταττόμενος [5]); τίς Δαβὶδ, ἢ ψάλλων ἢ πολεμῶν ἐν σφενδόναις, καὶ ὑπὸ τοῦ Θεοῦ περιεζωσμένος δύναμιν εἰς πόλεμον καὶ τοὺς δακτύλους εἰς παράταξιν γυμναζόμενος [6]); τίς Σαμουὴλ, καὶ προσευχόμενος τοῦ λαοῦ καὶ προθυόμενος, καὶ χρίων εἰς βασιλέα τὸν νικᾶν δυνάμενον [7]); τίς θρηνήσει ταῦτα πρὸς ἀξίαν Ἱερεμίας θρήνους γράφων ὑπὲρ τοῦ Ἰσραήλ;

89. Τίς βοήσεται· «φεῖσαι Κύριε τοῦ λαοῦ σου, καὶ μὴ δῷς τὴν κληρονομίαν σου εἰς ὄνειδος, τοῦ κατάρξαι αὐτῶν ἔθνη [8])»; τίς περὶ ἡμῶν προσεύξεται Νῶε, καὶ Ἰὼβ, καὶ Δανιὴλ, οἱ συνευχόμενοι καὶ συναριθμούμενοι [9]), ἵνα κοπάσῃ μικρὸν ἡμῖν ὁ πόλεμος, ἵνα γενώμεθα ἡμῶν αὐτῶν, ἵν' ἀλλήλους ποτὲ γνωρίσωμεν, ἵνα μηκέτι ὦμεν ἀνθ' ἑνὸς τοῦ Ἰσραὴλ Ἰούδας καὶ Ἰσραὴλ, μηκέτι Ῥοβοὰμ καὶ Ἱεροβοὰμ, μηκέτι Ἱερουσαλὴμ καὶ Σαμάρεια, αἱ ἐν μέρει διὰ τὰς ἁμαρτίας παραδιδόμεναι, καὶ ἐν μέρει θρηνούμεναι;

90. Ἐγὼ μὲν γὰρ ἀσθενέςερος εἶναι τοῦ πολέμου τούτου ὁμολογῶ, καὶ διὰ τοῦτο ἔδωκα τὰ νῶτα, καλύψας τὸ πρόσωπον ἐν τροπῇ, καὶ καταμόνας καθεσθῆναι, ὅτι πικρίας ἐνεπλήσθην [10]), ἐξήτησα καὶ σιωπῆσαι, συνιὼν, ὅτι ὁ καιρὸς πονηρὸς ἐςιν· ὅτι ἀπελάκτισαν οἱ ἠγαπημένοι, ὅτι γεγόναμεν υἱοὶ ἀφεςηκότες [11]), ἢ

---

[1]) Фил. 3. 8.

[2]) Т. е. защита православной вѣры противъ язычниковъ и еретиковъ.

[3]) Еф. 6. 11. [4]) Исх. 17. 11. [5]) Іис. Нав. 5. 14. [6]) Пс. 143. 1. [7]) 1 Цар. 7. 5. [8]) Іоил. 2. 17. [9]) Іез. 14. 14—20. [10]) Пл. Іер. 3. 28. [11]) Мих. 2. 3. Втор. 32. 15. Іер. 3. 14.

ἄμπελος ἡ εὐκληματοῦσα, ἡ ἄμπελος ἡ ἀληθινὴ, πᾶσα καρποφόρος, ὡραία πᾶσα, καλῶς ταῖς ςαγόσι ταῖς ἄνωθεν ἀνατέλλουσα [1]· ὅτι ἐςράφη εἰς ἀτιμίαν ἐμοὶ τὸ διάδημα τοῦ κάλλους, τὸ ἀποσφράγισμα τῆς ἐμῆς δόξης, ὁ τῆς καυχήσεως ςέφανος [2]. Εἰ δέ τις πρὸς ταῦτα τολμηρὸς καὶ γενναῖος, μακάριος οὗτος ἐμοὶ τοῦ θάρσους καὶ τῆς γενναιότητος.

91. Καὶ οὔπω λέγω τὸν ἔνδον καὶ ἐν ἡμῖν αὐτοῖς, τὸν ἐν τοῖς πάθεσι πόλεμον, ὃν πολεμούμεθα νυκτὸς καὶ ἡμέρας ὑπὸ τοῦ τῆς ταπεινώσεως σώματος [3], τὰ μὲν κρύβδην, τὰ δὲ φανερῶς, καὶ τῆς ἄνω καὶ κάτω κυμαινούσης ἡμᾶς καὶ ςροβούσης, διά τε αἰσθήσεως καὶ τῶν ἄλλων τερπνῶν τοῦ βίου τούτου περιφορᾶς, τοῦ τε πηλοῦ τῆς ἰλύος, ᾧ ἐμπεπήγμεθα, καὶ τοῦ νόμου τῆς ἁμαρτίας ἀντιςρατευομένου τῷ νόμῳ τοῦ πνεύματος [4], καὶ διαφθείρειν ἐπιχειροῦντος τὴν βασιλικὴν ἐν ἡμῖν εἰκόνα, καὶ ὅσον τῆς θείας ἀποῤῥοίας ἡμῖν συγκαταβέβληται· ὡς μόλις ἄν τις ἑαυτὸν ἢ μακρᾷ φιλοσοφίᾳ παιδαγωγήσας, καὶ ἀποῤῥηγνὺς κατὰ μικρὸν τὸ τῆς ψυχῆς εὐγενὲς καὶ φωτοειδὲς τοῦ ταπεινοῦ καὶ τῷ σκότει συνεζευγμένου, ἢ Θεοῦ τυχὼν ἵλεω, ἢ καὶ ἄμφω ταῦτα, καὶ μελέτην ὅτι μάλιςα ποιούμενος ἄνω βλέπειν τῆς κατασπώσης ὕλης ἐπικρατήσειε. Πρὶν δὲ ταύτην ὑπερσχεῖν ὅση δύναμις καὶ ἀνακαθᾶραι ἱκανῶς τὴν διάνοιαν, ὑπέρ τε τοὺς ἄλλους μακρῷ γενέσθαι [5] τῇ πρὸς Θεὸν ἐγγύτητι, ἢ ψυχῶν προςασίαν δέξασθαι, ἢ μεσιτείαν Θεοῦ καὶ ἀνθρώπων (τοῦτο γὰρ ἴσως ὁ ἱερεὺς), οὐκ ἀσφαλὲς εἶναι γινώσκω.

92. Καὶ ὅθεν εἰς τοῦτο ὑπήχθην τὸ δέος; ἵνα μή με τοῦ δέοντος δειλότερον ὑπολαμβάνητε, ἀλλὰ καὶ σφόδρα ἐπαινῆτε τῆς προμηθείας. Ἀκούω μὲν αὐτοῦ Μωϋσέως, ἡνίκα ἐχρημάτιζεν αὐτῷ ὁ Θεὸς, ὅτι, πλειόνων εἰς τὸ ὄρος προσκεκλημένων, ὧν εἷς ἦν καὶ Ἀαρὼν σὺν τοῖς παισὶ τοῖς δύο τοῖς ἱερεῦσι καὶ ἑβδομήκοντα πρεσβυτέρων τῆς γερουσίας, οἱ μὲν λοιποὶ προσκυνῆσαι πόῤῥωθεν ἐκελεύσθησαν, ἐγγίσαι δὲ Μωϋσῆς μόνος, οὐ συναναβῆναι δὲ ὁ

---

[1]) Осія. 10. 1. Iер. 2. 21. [2]) Прем. 5. 17. 1 Кор. 9. 2. 1 Сол. 2. 19. [3]) Флп. 3. 21. [4]) Пс. 68. 3. Рим. 7. 23.

[5]) Μακρῷ γενέσθαι ὑπέρ τινα, быть гораздо выше кого-нибудь.

λαός· ὡς οὐ πάντων ὄντος [1]) Θεοῦ γενέσθαι πλησίον, πλὴν εἴ τις κατὰ Μωϋσέα Θεοῦ χωρῆσαι δόξαν δυνάμενος. Καὶ ἔτι πρὸ τούτων ἐν ἀρχῇ τῆς νομοθεσίας, τοὺς μὲν ἄλλους σάλπιγγες, καὶ ἀστραπαὶ, καὶ βρονταὶ, καὶ γνόφος, καὶ ὅλον καπνιζόμενον τὸ ὄρος, καὶ ἀπειλαὶ φρικώδεις, κἂν θηρίον θίγῃ τοῦ ὄρους λιθοβοληθήσεται [2]), καὶ ἄλλα τοιαῦτα δείματα ἴςη κάτω, καὶ μέγα ἦν αὐτοῖς, μόνης ἀκοῦσαι τῆς τοῦ Θεοῦ φωνῆς, εὖ μάλα ἁγνισαμένοις· Μωϋσῆς δὲ καὶ ἄνεισι καὶ τῆς νεφέλης εἴσω χωρεῖ, καὶ νομοθετεῖται, καὶ δέχεται πλάκας, τοῖς μὲν πολλοῖς τὰς τοῦ γράμματος, τοῖς δὲ ὑπὲρ τοὺς πολλοὺς τὰς τοῦ πνεύματος [3]).

93. Ἀκούω δὲ Ναδὰβ καὶ Ἀβιοὺδ, ὅτι, ξένῳ πυρὶ θυμιάσαντες μόνον, ξένῳ καὶ ἀνηλώθησαν κολασθέντες, δι' ὧν ἠσέβησαν, καὶ τὸν αὐτὸν εὑρόντες τῆς ἀπωλείας, ὃν καὶ τῆς ἀσεβείας καιρὸν καὶ τόπον· καὶ οὐδὲ Ἀαρὼν ἤρκεσε πρὸς σωτηρίαν αὐτοῖς ὁ πατὴρ, ὁ Μωϋσέως παρὰ Θεῷ δεύτερος [4]). Γινώσκω δὲ καὶ Ἠλεὶ τὸν ἱερέα, καὶ μικρὸν ὕςερον Ὀζᾶν, τὸν μὲν ὑπὲρ τῆς τῶν παίδων παρανομίας ἀπαιτηθέντα δίκην, ἣν ἐτόλμων κατὰ τῶν θυσιῶν πρὸ καιροῦ τῶν λεβήτων ἀπαρχόμενοι, καὶ ταῦτα οὐκ ἀποδεχόμενον αὐτῶν τὴν ἀσέβειαν, ἀλλὰ πολλὰ πολλάκις ἐπιτιμήσαντα· τὸν δὲ, ὅτι, ψαύσας τῆς κιβωτοῦ μόνον περισπασθείσης ὑπὸ τοῦ μόσχου, τὴν μὲν περιεσώσατο, αὐτὸς δὲ ἀπώλετο, φυλάσσοντος τοῦ Θεοῦ τῇ κιβωτῷ τὸ σεβάσμιον [5]).

* 94. Οἶδα δ' ἔγωγε, μηδὲ τοὺς ἐν τοῖς σώμασι μώμους τῶν ἱερέων, ἢ τῶν θυμάτων ἀνεξετάςους μένοντας, ἀλλὰ τελείους τέλεια προσάγειν νενομισμένον [6]), σύμβολον, οἶμαι, τοῦτο τῆς κατὰ ψυχὴν ἀρτιότητος· μηδὲ ςολῆς τῆς ἱερατικῆς, ἢ σκεύους τινὸς τῶν ἁγίων ψαύειν παντὶ θεμιτὸν ὄν· μηδὲ τὰς θυσίας αὐτὰς, ὑφ' ὧν, καὶ ὅτε, καὶ οὗ, μὴ καθῆκον ἦν, ἀναλίσκεσθαι· μηδὲ τὸ ἔλαιον ἀπομιμεῖσθαι τῆς χρίσεως, μηδὲ τὸ θυμίαμα τῆς συνθέσεως· μηδὲ εἰς τὸ ἱερὸν εἰσιέναι, ὅςις ἢ ψυχὴν ἢ σῶμα οὐ καθαρὸς μέχρι καὶ τῶν μικροτάτων· τοσούτου δεῖ εἰς τὰ ἅγια τῶν ἁγίων προσφοιτᾶν θαῤῥοῦντα, ὧν ἑνὶ καὶ ἅπαξ τοῦ ἐνιαυτοῦ μόνον ἐπιβατὸν

---

[1]) Въ другихъ спискахъ: ὄντων или θείων ὄντων.

[2]) Исх. 24. 1—18. Исх. 19. 13. [3]) 2 Кор. 3. 7, 8. [4]) Лев. 10. 1—2. [5]) 1 Цар. 2. 12—24. 2 Пар. 6. 6. [6]) Лев. 21. 17; 8. 21. Исх. 30. 29.

ἡν· τοσούτου δεῖ τὸ καταπέτασμα, ἢ τὸ ἱλαςήριον, ἢ τὴν κιβωτὸν, ἢ τὰ χερουβὶμ, ἢ προσβλέπειν εἶναι παντὸς, ἢ προσάπτεσθαι.

95. Ταῦτα οὖν εἰδὼς ἐγὼ, καὶ ὅτι μηδεὶς ἄξιος τοῦ μεγάλου Θεοῦ, καὶ θύματος, καὶ ἀρχιερέως, ὅςις μὴ πρότερον ἑαυτὸν παρέςησε τῷ Θεῷ θυσίαν ζῶσαν, ἁγίαν, μηδὲ τὴν λογικὴν λατρείαν εὐάρεςον ἐπεδείξατο[1]), μηδὲ ἔθυσε τῷ Θεῷ θυσίαν αἰνέσεως καὶ πνεῦμα συντετριμμένον, ἣν μόνην ὁ πάντα δοὺς ἀπαιτεῖ παρ' ἡμῶν θυσίαν, πῶς ἔμελλον θαῤῥῆσαι προσφέρειν αὐτῷ τὴν ἔξωθεν, τὴν τῶν μεγάλων μυςηρίων ἀντίτυπον[2]), ἢ πῶς ἱερέως σχῆμα καὶ ὄνομα ὑποδύεσθαι, πρὶν ὁσίοις ἔργοις τελειῶσαι τὰς χεῖρας; πρὶν τὸν ὀφθαλμὸν ἐθίσαι βλέπειν ὑγιῶς τὴν κτίσιν, καὶ εἰς θαῦμα μόνον τοῦ κτίσαντος, ἀλλὰ μὴ ζημίαν τοῦ πλάσματος[3]); πρὶν τῇ παιδείᾳ Κυρίου ἱκανῶς ἀνοιχθῆναι τὰ ὦτα, καὶ προστεθῆναί μοι ὠτίον μὴ βαρέως ἀκούειν δυνάμενον, ἀλλ' ἐνώτιον χρυσοῦν σαρδίῳ πολυτελεῖ δεθῆναι, λόγον σοφὸν εἰς οὖς εὐήκοον; πρὶν τὸ ςόμα, τὰ χείλη, τὴν γλῶσσαν, τὸ μὲν ἀνοιχθῆναι καὶ ἑλκῦσαι πνεῦμα, ἢ πλατυνθῆναι καὶ πληρωθῆναι τῷ πνεύματι λαλουμένων μυςηρίων τε καὶ δογμάτων, τὰ δὲ αἰσθήσει θείᾳ, κατα τὴν σοφίαν εἰπεῖν, δεθῆναι, προσθείην δ' ἂν ὅτι καὶ ἐν καιρῷ λυθῆναι, τὴν δὲ πλησθῆναι ἀγαλλιάσεως, καὶ θείας μελῳδίας γενέσθαι πλῆκτρον, ἐξεγειρομένην τῇ δόξῃ, συνεξεγειρομένην ὄρθριον, καὶ μέχρι τοῦ κολληθῆναι τῷ λάρυγγι κάμνουσαν[4]); πρὶν ἐπὶ πέτραν ςῆναι τοὺς πόδας μου, καταρτισθέντας ὡς ἐλάφων, καὶ κατευθυνθῆναί μοι τὰ κατὰ Θεὸν διαβήματα, μὴ παρ' ὀλίγον μηδ' ὅλως ἐκχεόμενα; πρὶν ἅπαν μέλος ὅπλον γενέσθαι δικαιοσύνης, καὶ ἀποθέσθαι πᾶσαν νεκρότητα, καταποθεῖσαν ὑπὸ τῆς ζωῆς καὶ ὑποχωρήσασαν τῷ πνεύματι[5]);

---

[1]) Рим. 12. 1—2.

[2]) Ἀντίτυπος, противообразный, изобразительный, и θυσία, жертва, означают таинство тѣла и крови Христовой, совершаемое подъ видомъ (ἔξωθεν) хлѣба и вина, какъ священнодѣйствіе τῶν μεγάλων μυςηρίων, т. е. крестной смерти Спасителя міра и великихъ послѣдствій ея для рода человѣческаго.

[3]) Въ другихъ спискахъ: τοῦ πλάσαντος, т. е. Создателя.

[4]) Иса. 50. 5. Прит. 15. 7; 25. 12. Пс. 118. 131; 80. 11; 56. 7. [5]) Пс. 39. 3; 17. 34; 118. 133; 72. 2; 6. 13. 2 Кор. 5. 4.

96. Τίς μήπω τοῖς ἁγνοῖς καὶ πεπυρωμένοις τοῦ Θεοῦ λογίοις καεὶς τὴν καρδίαν ἐν τῷ διανοιγῆναι αὐτῷ τὰς γραφάς· μηδὲ ἀπογραψάμενος αὐτὰ τρισσῶς ἐπὶ πλάτος τῆς καρδίας, ὥςε νοῦν ἔχειν Χριςοῦ· μηδὲ τῶν τοῖς πολλοῖς ἀποκρύφων καὶ ἀοράτων καὶ σκοτεινῶν θησαυρῶν εἴσω γενόμενος, ὥςε τὸν ἐν αὐτοῖς κατοπτεῦσαι πλοῦτον καὶ ἄλλους πλουτίζειν δύνασθαι, πνευματικὰ συγκρίνων πνευματικοῖς [1];—

97. Τίς μήπω θεωρήσας, ὡς θεωρεῖν ἄξιον, τὴν τερπνότητα Κυρίου, καὶ ἐπισκεψάμενος τὸν ναὸν αὐτοῦ, μᾶλλον δὲ ναὸς γενόμενος Θεοῦ ζῶντος καὶ ζῶν κατοικητήριον Χριςοῦ ἐν πνεύματι [2]: τίς μήπω τύπων καὶ ἀληθείας ἐπιγνοὺς συγγένειαν καὶ διάκρισιν, καὶ τῶν μὲν ἀναχωρήσας, τῇ δὲ προσθέμενος, ἵνα τὴν τοῦ γράμματος φυγὼν παλαιότητα, τῇ καινότητι δουλεύσῃ τοῦ πνεύματος, καὶ μεταβῇ καθαρῶς ἐπὶ τὴν χάριν ἀπὸ τοῦ νόμου πληρουμένου πνευματικῶς ἐν τῇ καταργήσει τοῦ σώματος;—

98. Τίς μήπω διὰ πασῶν ὁδεύσας τῶν τοῦ Χριςοῦ προσηγοριῶν καὶ δυνάμεων, καὶ ἔργῳ καὶ θεωρίᾳ, τῶν τε ὑψηλοτέρων καὶ πρώτων, καὶ τῶν δι' ἡμᾶς ταπεινοτέρων καὶ τελευταίων· τοῦ Θεοῦ, τοῦ υἱοῦ, τῆς εἰκόνος, τοῦ λόγου, τῆς σοφίας, τῆς ἀληθείας, τοῦ φωτός, τῆς ζωῆς, τῆς δυνάμεως, τῆς ἀτμίδος, τῆς ἀποῤῥοίας, τοῦ ἀπαυγάσματος, τοῦ ποιητοῦ, τοῦ βασιλέως, τῆς κεφαλῆς, τοῦ νόμου, τῆς ὁδοῦ, τῆς θύρας, τοῦ θεμελίου, τῆς πέτρας, τοῦ μαργαρίτου, τῆς εἰρήνης, τῆς δικαιοσύνης, τοῦ ἁγιασμοῦ, τῆς ἀπολυτρώσεως, τοῦ ἀνθρώπου, τοῦ δούλου, τοῦ ποιμένος, τοῦ ἀμνοῦ, τοῦ ἀρχιερέως, τοῦ θύματος, τοῦ πρωτοτόκου πρὸ κτίσεως, πρωτοτόκου ἐκ τῶν νεκρῶν, τῆς ἀναςάσεως· τίς τούτων τῶν ὀνομάτων τε καὶ πραγμάτων ἐπακούων εἰκῇ, καὶ μήπω κοινωνήσας τῷ λόγῳ, μηδὲ μεταλαβὼν αὐτοῦ, καθ' ὃ τούτων ἕκαςον ἐςί τε καὶ κέκληται;—

99. Τίς, μήπω σχολάσας, μηδὲ μαθὼν λαλεῖν Θεοῦ σοφίαν ἐν μυςηρίῳ τὴν ἀποκεκρυμμένην, ἔτι νήπιος ὤν, ἔτι τρεφόμενος γάλακτι [3]), ἔτι τῶν οὐκ ἀριθμουμένων ἐν τῷ Ἰσραήλ, οὐδὲ κα-

---

[1]) Πριτ. 22. 21. 1 Κορ. 2. 13—16. [2]) Πс. 26. 4. 2 Κορ. 6. 16. Εφ. 2. 22. Ριм. 7. 6. [3]) 1 Κορ. 2. 7.

ταλεγομένων εἰς Θεοῦ παράταξιν, μήπω τὸν Χριςοῦ ςαυρὸν ὡς ἀνὴρ αἴρειν δυνάμενος, μήπω μηδὲ ἄλλο τι μέλος ὧν ἴσως τῶν τιμιωτέρων, ἔπειτα εἰς κεφαλὴν καταςῆναι Χριςοῦ πληρώματος δέξεται χαίρων καὶ προθυμούμενος; οὐκ ἔμοιγε κριτῇ καὶ συμβούλῳ [1]· ἀλλ' οὗτος ὁ φόβων μέγιςος, οὗτος ὁ κινδύνων ἔσχατος παντὶ τῷ συνιέντι καὶ τοῦ κατορθουμένου τὸ μέγεθος, καὶ τῆς διαμαρτίας τὸν ὄλεθρον.

100. Ἄλλος μὲν οὖν πλειτω κατ' ἐμποριαν, ἔλεγον, καὶ τὰ μακρὰ διαπεραιούσθω πελάγη, καὶ συμφερέσθω τοῖς ἀνέμοις ἀεὶ καὶ τοῖς κύμασι μεγάλα καὶ κερδήσων, ἂν οὕτω τύχῃ, καὶ κινδυνεύσων, ὅςις πλευςικώτατος ἢ ἐμπορικώτατος· ἐμοὶ δ' οὖν αἱρετώτερον ἐπὶ γῆς ἂν ἔχοντι, βραχεῖαν αὔλακα τέμνοντι καὶ γλυκεῖαν, πόῤῥωθεν ἀσπαζομένῳ κέρδη καὶ θάλασσαν, ζῆν οὕτως ὅπως ἂν δύνωμαι σὺν ὀλίγῃ καὶ μικρᾷ τῇ μάζῃ, καὶ βίον ἕλκειν ἀσφαλῆ καὶ ἀκύμαντον, ἢ μακρὸν ἀναῤῥιπτεῖν καὶ μέγαν ἐπὶ μεγάλοις κέρδεσι κίνδυνον.

101. Ὑψηλῷ μὲν γὰρ ζημία τὸ μὴ ἐγχειρεῖν μείζοσι, μηδὲ εἰς πλείους διατείνειν τὴν ἀρετὴν, ἀλλ' ἐπὶ μικρῶν ἵςασθαι, οἷον μεγάλῳ φωτὶ μικρὸν οἶκον αὐγάζοντα, ἢ πανοπλια νεανικῇ σῶμα παιδικὸν περισκέπτοντα. Μικρῷ δὲ ἀσφάλεια μικρὰ φορτίζεσθαι, ἀλλὰ μὴ τοῖς ὑπὲρ δύναμιν ἑαυτὸν ὑποτιθέντα, γέλωτά τε ὀφλισκάνειν ὁμοῦ καὶ προστιθέναι τὸν κίνδυνον. Ὥσπερ γε καὶ πύργον οἰκοδομεῖν οὐκ ἄλλῳ τινὶ προσήκειν, ἢ ὃς ἔχει τὰ πρὸς ἀπαρτισμὸν, ὡς ἠκούσαμεν [2].

102. Ἔχετε τὴν ἀπολογίαν τὴν ὑπὲρ τῆς φυγῆς, καὶ ἴσως οὐ μετριαν. Ἃ μὲν οὖν με ἀφ' ὑμῶν ἀπήγαγεν, ὦ φίλοι καὶ ἀδελφοί, λυπηρῶς μὲν ἐμοὶ καὶ ὑμῖν ἴσως, ἀναγκαίως δ' οὖν, ὡς γοῦν ἐμαυτῷ τότε ἐδόκουν, ταῦτά ἐςιν· ἐπανήγαγε δέ με μάλιςα μὲν ὁ πρὸς ὑμᾶς πόθος, καὶ τὸ ἀντιποθούντων [3]) αἰσθάνεσθαι· οὐδὲν γὰρ οὕτως ἰσχυρὸν πρὸς ἀγάπην, ὡς ἀντιδιδομένη διάθεσις.

103. Δεύτερον δὲ ἡ ἐμὴ φροντὶς, τὸ ἐμὸν ἔργον, ἡ τῶν ἱερῶν γονέων πολιὰ καὶ ἀσθένεια, ἐπ' ἐμοὶ πλέον ἢ τῷ χρόνῳ

---

[1]) Т. е. χρώμενος,—не получитъ отъ меня на это согласія и совѣта.
[2]) Лук. 14. 28.
[3]) Т. е. ὑμῶν; чувствованіе взаимной вашей любви ко мнѣ.

καμνόντων, Ἀβραὰμ τοῦδε τοῦ πατριάρχου, τῆς τιμίας ἐμοὶ κεφαλῆς καὶ μετ' ἀγγέλων ἀριθμουμένης, καὶ Σάῤῥας, τῆς καὶ πνευματικῶς ὠδινούσης ἡμᾶς ἐν τῇ διδασκαλίᾳ τῆς πίςεως, ὧν γενέσθαι βακτηρία τῷ γήρᾳ καὶ ὑπερείδειν τὴν ἀσθένειαν, τῶν πρώτων εὐχὴν εὐξάμενος, καὶ μέντοι καὶ πληρώσας ταύτην, ὁπόση δύναμις· ὡς καὶ φιλοσοφίας ὑπεριδεῖν αὐτῆς, τοῦ πάντων ἐμοὶ τιμιωτάτου κτήματος καὶ ὀνόματος, ἢ τό γε ἀληθέςερον εἰπεῖν, τὸ μὴ φιλοσοφεῖν δόξαι πρῶτον φιλοσοφήσας [1]), οὐκ ἤνεγκα διαπεσεῖν μοι τὸν μόχθον ἐκ μιᾶς ὑποθέσεως, οὐδὲ καταλυθῆναι τὴν εὐλογίαν, ἣν καὶ κλέψαι τις ἤδη τῶν πάλαι ὁσίων λέγεται, βρώματι τὸν πατέρα καὶ τριχῶν πλάσματι σοφισάμενος, καὶ τὸ καλὸν οὐ καλῶς δι' ἐπιβουλῆς θηρασάμενος [2]). Δύο μὲν δὴ ταῦτα τῆς ἐμῆς ἥττης καὶ ἡμερότητος αἴτια. Καὶ ἴσως οὐκ ἄτοπον ἀμφοτέροις ἐκείνοις εἶξαι καὶ ὑποχωρῆσαι τοὺς λογισμοὺς, ἐπεὶ καὶ τοῦ νικᾶσθαι καιρὸς, ὥσπερ οἶμαι, καὶ παντὸς πράγματος, καὶ κρεῖττον ἡττᾶσθαι καλῶς ἢ νικᾶν ἐπισφαλῶς καὶ ἀθέσμως.

104. Τρίτον δὲ ὃ καὶ μέγιςον, καὶ δὴ τοῦτο εἰπὼν ἔτι, τὰ λοιπὰ σιωπήσομαι. «Ἐμνήσθην ἡμερῶν ἀρχαίων [3])», καὶ πρός τινα τῶν παλαιῶν ἱςοριῶν ἀναδραμὼν, ἐκεῖθεν εἵλκυσα συμβουλὴν ἐμαυτῷ πρὸς τὰ παρόντα· μὴ γὰρ εἰκῇ ταῦτα συγγεγράφθαι νομίζωμεν, μηδὲ ὄχλον ἄλλως εἶναι ῥημάτων τε καὶ πραγμάτων, ψυχαγωγίας ἕνεκα τῶν ἀκουόντων συγκείμενα, καὶ οἷον ἀκοῆς τι δέλεαρ μέχρι τῆς ἡδονῆς ἱςάμενον. Ταῦτα μὲν παιζόντων [4]) μῦθοι καὶ Ἕλληνες, οἱ, τῆς ἀληθείας ὀλίγα φροντίζοντες, τῷ κομψῷ τῶν πλασμάτων καὶ τῷ λίγνῳ τῶν λέξεων καὶ ἀκοὴν καὶ ψυχὴν γοητεύουσιν.

105. Ἡμεῖς δὲ, οἱ καὶ μέχρι τῆς τυχούσης κεραίας καὶ γραμμῆς τοῦ πνεύματος τὴν ἀκρίβειαν ἕλκοντες, οὔποτε δεξόμεθα, οὐ γὰρ ὅσιον, οὐδὲ τὰς ἐλαχίςας πράξεις εἰκῇ σπουδασθῆναι τοῖς ἀναγράψασι, καὶ μέχρι τοῦ παρόντος μνήμῃ διασωθῆναι· ἀλλ' ἵν' ἡμεῖς ἔχωμεν ὑπομνήματα καὶ παιδεύματα τῆς τῶν ὁμοίων, εἴ ποτε συμπέσοι καιρὸς, διασκέψεως· ὥςε τὰ μὲν φεύγειν, τὰ

---

[1]) Прежде всего разсудивъ—не казаться философствующимъ.

[2]) Быт. 27. 21—35. [3]) Пс. 142. 5.

[4]) По аттическому діалекту вм. παιζέτωσαν.

δὲ αἱρεῖσθαι, οἷον κανόσι τισὶ καὶ τύποις, τοῖς προλαβοῦσιν ἑπόμενοι παραδείγμασι.

**106.** Τίς οὖν ἡ ἱςορία καὶ πόθεν ἡ συμβουλή; οὐδὲν γὰρ χεῖρον ἴσως ἀσφαλείας ἕνεκεν τῶν πολλῶν διελθεῖν. Ἔφευγε καὶ Ἰωνᾶς ἀπὸ προσώπου τοῦ Θεοῦ, μᾶλλον δὲ φεύγειν ᾤετο· ἀλλὰ κατελήφθη πελάγει, καὶ χειμῶνι, καὶ κλήρῳ, καὶ γαςρὶ κήτους, καὶ τριημέρῳ ταφῇ, τύπον ἐχούσῃ μυςηρίου μείζονος [1]. Ἀλλ' ἐκεῖνος μέν, ἵνα μὴ τὴν σκυθρωπὴν καὶ ἄτοπον ἀγγελίαν ἀγγείλῃ τοῖς Νινευΐταις, καὶ μετὰ τοῦτο ψεύςης ἁλῷ, σωθείσης μετανοίᾳ τῆς πόλεως· οὐ γὰρ τῇ σωτηρίᾳ τῶν πονηρῶν ἐδυσχέραινεν, ἀλλὰ τὴν διακονίαν τοῦ ψεύδους ᾐσχύνετο, καὶ οἷον ἐζηλοτύπει τῆς προφητείας τὸ ἀξιόπιςον, ὅπερ ἐν αὐτῷ καταλυθῆναι κίνδυνος ἦν, οὐ δυναμένων τῶν πολλῶν συνιδεῖν τῆς τοῦ Θεοῦ περὶ ταῦτα οἰκονομίας τὸ βάθος.

**107.** Ὡς δὲ ἐγώ τινος ἤκουσα σοφοῦ περὶ ταῦτα ἀνδρὸς, οὐκ ἀτόπως βοηθοῦντος τῷ φαινομένῳ τῆς ἱςορίας ἀτόπῳ, καὶ ἱκανοῦ καταλαβεῖν ἀνδρὸς προφήτου βαθύτητα, οὐδὲ ταῦτα ἦν, ἃ τὸν μακάριον Ἰωνᾶν ἐποίει φυγάδα, καὶ εἰς Ἰόππην ἤγαγε, καὶ ἐξ Ἰόππης ἀνήγαγεν ἐπὶ Θαρσεῖς, πελάγει πιςεύσαντα τὴν ἑαυτοῦ κλοπήν· οὔτε γὰρ ἀγνοεῖν τοῦ Θεοῦ τὴν ἐπίνοιαν, προφήτην γε ὄντα, εἰκὸς αὐτὸν ἦν· ὅτι διὰ τῆς ἀπειλῆς τὸ μὴ παθεῖν τὰ τῆς ἀπειλῆς Νινευΐταις ἐπραγματεύετο κατὰ τὴν μεγάλην αὐτοῦ σοφίαν, καὶ κατὰ τὰ ἀνεξερεύνητα αὐτοῦ κρίματα [2], καὶ τῶν ὁδῶν αὐτοῦ τὸ ἀνεξιχνίαςόν τε καὶ ἀκατάληπτον· οὔτ', εἴπερ ἠπίςατο, μὴ ἀκολουθῆσαι Θεῷ, δι' οὗ περ ἐβούλετο τρόπου τὴν σωτηρίαν ἐκείνοις μηχανωμένῳ. Τὸ δὲ δὴ καὶ οἴεσθαι, ὡς ἀποκρύψειν ἑαυτὸν τῷ πελάγει ἤλπισεν Ἰωνᾶς, καὶ τὸν μέγαν ὀφθαλμὸν τοῦ Θεοῦ διαλήσεσθαι τῇ φυγῇ, μὴ καὶ παντελῶς ἄτοπον ᾖ καὶ ἀπαίδευτον καὶ οὐχ ὅπως περὶ προφήτου πιςεύεσθαι δίκαιον, ἀλλ' οὐδὲ περὶ ἄλλου τινὸς τῶν νοῦν ἐχόντων καὶ μετρίως αἰσθανομένων Θεοῦ καὶ τῆς ὑπὲρ πάντα δυνάμεως;

**108.** Ἀλλ' ᾔδει μὲν τοῦτο παντὸς μᾶλλον ὁ Ἰωνᾶς, φησὶν ὁ τὸν λόγον εἰπὼν [3]), καὶ ἐγὼ πείθομαι, εἰς ὅ τι ἔφερε τοῖς

---

[1]) Іон. 1. 3. Мат. 12. 40. [2]) Рим. 11. 33.

[3]) Τὸν λόγον εἰπών, т. е. тотъ толкователь Св. Писанія, который сказалъ св. Григорію свое мнѣніе о причинѣ бѣгства пророка Іоны.

Νινευΐταις τὸ κήρυγμα, καὶ ὅτι, τὸν δρασμὸν βουλεύων, τόπον μὲν ἤμειβε, Θεὸν δὲ οὐκ ἔφευγεν· οὐδὲ γὰρ ἄλλος τις ἀνθρώπων, οὐ γῆς ἑαυτὸν κατακρύψας κόλποις, οὐ θαλάσσης βάθεσιν, οὐ πτεροῖς κουφισθείς, εἴ τις ἐπίνοια [1]), καὶ ἀναδραμὼν εἰς ἀέρα, οὐχ ᾅδου τοῖς κατωτάτω προσομιλήσας, οὐ νέφους παχύτητα περιβαλόμενος, οὐκ ἄλλο τῶν ἁπάντων οὐδὲν εἰς ἀσφάλειαν τοῦ δρασμοῦ βουλευσάμενος· ἀλλὰ τοῦτο μόνον τῶν πάντων ἀφευκτότατόν τε καὶ ἀμαχώτατον Θεὸς, κατασχεῖν καὶ ὑπὸ χεῖρα λαβεῖν θελήσας· φθάνει τοὺς ταχεῖς, σφάλλει τοὺς συνετοὺς, περιτρέπει τοὺς ἰσχυροὺς, συςέλλει τοὺς ὑψηλοὺς, ἡμεροῖ θράσος, πιέζει δύναμιν.

109. Οὐ τοίνυν ἠγνόει τοῦ Θεοῦ τὴν κραταιὰν χεῖρα ὁ τοῖς ἄλλοις ταύτην ἀπειλῶν Ἰωνᾶς, οὐδὲ ὡς φευξόμενος εἰς ἅπαν διενοεῖτο τὸ θεῖον, μὴ τοῦτο πιςεύσωμεν· ἀλλ' ἐπειδὴ τὴν ἔκπτωσιν ἑώρα τοῦ Ἰσραὴλ, καὶ μεταβαίνουσαν εἰς τὰ ἔθνη τὴν προφητικὴν χάριν ᾐσθάνετο, διὰ τοῦτο ὑποχωρεῖ τῷ κηρύγματι, καὶ ἀναβάλλεται τὸ ἐπίταγμα· καὶ τὴν κατασκοπὴν τῆς χαρᾶς ἀφεὶς (τοῦτο γὰρ Ἑβραίοις ἡ Ἰόππη δύναται) [2]), τὸ παλαιὸν ὕψος λέγω καὶ τὸ ἀξίωμα, εἰς τὸ τῆς λύπης ἑαυτὸν ἔρριψε πέλαγος· καὶ διὰ τοῦτο χειμάζεται, καὶ καθεύδει, καὶ ναυαγεῖ, καὶ ἐξυπνίζεται, καὶ κληροῦται, καὶ ὁμολογεῖ τὴν φυγὴν, καὶ καταποντίζεται, καὶ ὑπὸ τοῦ κήτους καταπίνεται μὲν, οὐκ ἀναλίσκεται δέ· ἀλλ' ἐκεῖ τὸν Θεὸν ἐπικαλεῖται, καὶ, τὸ θαῦμα, Χριςῷ τριήμερος συνεκδίδοται. Ἀλλ' ὁ μὲν περὶ τούτου λόγος ἀναμεινάτω, μικρὸν ὕςερον, ἂν διδῷ Θεὸς, φιλοπονώτερον ἐξεργασθησόμενος.

110. Νῦν δὲ ὅ μοι λέγειν ὁ λόγος ὡρμήθη, σκοπεῖν ἔπεισί μοι καὶ ὑπολαμβάνειν, ὅτι ἐκείνῳ μὲν τάχα τι καὶ συγγνώμης ἦν, δι' ἣν εἶπον αἰτίαν, ὀκνοῦντι τὴν προφητείαν· ἐμοὶ δὲ τίς ἄρα λόγος, ἢ τίς ἀπολογίας ὑπελείπετο τόπος ἐπὶ πλέον ἀφηνιάζοντι, καὶ τὸν οὐκ οἶδ' εἴτ' ἐλαφρὸν εἴτε βαρὺν εἰπεῖν χρὴ, ἀλλὰ τόν γε τεθέντα ζυγὸν τῆς λειτουργίας ἀναινομένῳ;

111. Εἰ γὰρ, ὃ μόνον ἐν τούτοις ἰσχυρὸν ἐςιν εἰπεῖν, τοῦτο δοίη τις, ὅτι πολλῷ κατωτέρω κείμεθα τοῦ ἱερατεύειν Θεῷ, καὶ

---

[1]) Ἔι τις ἐπίνοια, подраз. ἐςαι, если какъ-нибудь придумаеть сдѣлать это.

[2]) Іоппія, съ еврейскаго языка, значитъ: красивая возвышенность.

ὅτι τῆς ἐκκλησίας ἄξιον εἶναι χρὴ πρῶτον, εἶτα τοῦ βήματος, καὶ τούτου πρῶτον, εἶτα τῆς προεδρίας· τάχα ἕτερος ἡμᾶς οὐκ ἀφήσει τοῦ τῆς ἀπειθείας ἐγκλήματος. Δεινὴ δὲ ἀπειθείας ἀπειλή, καὶ δεινὰ ταύτης τὰ ἐπιτίμια, ὥσπερ γε καὶ τῆς ἑτέρας μερίδος, μηδὲν ὀκνεῖν, μηδὲ ἀναδύεσθαι, μηδὲ ὥσπερ ὁ Σαοὺλ ἐκεῖνος, τοῖς σκεύεσιν ὑποκρύπτεσθαι τοῖς πατρικοῖς [1], κἂν πρὸς ὀλίγον [2]) καλούμενον ἐπὶ προςασίαν, ἀλλ' ὡς ἐπί τι πρᾶγμα κοῦφον καὶ ῥᾷςον χωρεῖν ἑτοίμως, οὐ μηδὲ μεταθέσθαι ἀσφαλὲς, μηδὲ βουλῇ δευτέρᾳ θεραπεῦσαι τὴν προλαβοῦσαν.

112. Διὰ τοῦτο ἔκαμνον ἐγὼ τοῖς λογισμοῖς τὸ δέον ἀνερευνώμενος, καὶ μέσος δύο φόβων ἱςάμενος, τοῦ τε κατασπῶντος καὶ τοῦ ἀνάγοντος. Καὶ ἐπὶ πλεῖςον τούτοις ἐναπορήσας, καὶ ἀμφοτέρωθεν ἐμαυτὸν ταλαντεύσας, ἢ ὥσπερ ῥεῦμα ἀςάτοις πνεύμασι, τῇδε κἀκεῖσε μετακλιθεὶς, τέλος ἐγενόμην τοῦ σφοδροτέρου, καί με νικήσας ἔχει παρασύρας ὁ φόβος τῆς ἀπειθείας. Καὶ σκοπεῖτε ὡς ὀρθῶς καὶ δικαίως διαιτῶ τοῖς φόβοις, μήτε τῆς οὐ διδομένης ἐφίεσθαι προςασίας, μήτε ἀπωθεῖσθαι τὴν διδομένην· τὸ μὲν γὰρ εἶναι θρασέων, τὸ δὲ ἀπειθῶν, καὶ ἀπαιδεύτων ἀμφότερα. Καὶ μέσος εἰμί τις τῶν τε ἄγαν τολμηρῶν καὶ τῶν λίαν δειλῶν· τῶν μὲν πάσαις [3]) ἐπιπηδώντων δειλότερος, τῶν δὲ φευγόντων πάσας θαρσαλεώτερος. Οὕτως ἐγὼ περὶ τούτων γινώσκω.

113. Καὶ, ἔτι διελέσθαι σαφέςερον, τῷ μὲν φόβῳ τῆς προςασίας τάχα ἂν βοηθήσειε καὶ ὁ νόμος τῆς εὐπειθείας, τοῦ Θεοῦ τὴν πίςιν ἀμειβομένου διὰ τῆς ἑαυτοῦ χρηςότητος, καὶ εἰς προςάτην τέλειον καταρτίζοντος τὸν αὐτῷ θαῤῥήσαντα καὶ πάσας θέμενον ἐπ' αὐτὸν τὰς ἐλπίδας· τῷ δὲ κινδύνῳ τῆς ἀπειθείας, οὐκ οἶδα τίς ἔςαι ὁ βοηθῶν ἢ τίς ὁ θαῤῥεῖν διακελευόμενος λόγος. Φόβος γὰρ, μὴ τοῦτό γε ἀκούσωμεν περὶ ὧν ἐπιςεύθημεν, ὅτι «τὰς ψυχὰς αὐτῶν ἐκ τῶν χειρῶν ὑμῶν ἐκζητήσω» [4])· καὶ «καθὼς ἀπώσασθέ με τοῦ εἶναι εἰς ἡγουμένους τοῦ λαοῦ μου καὶ

---

[1]) 1 Цар. 10. 22.

[2]) Т. е. χρόνον, на короткое время, подобное краткому царствованію Саула.

[3]) Подразумѣвается: προςασίαις.

[4]) Iез. 3. 18.

ἄρχοντας, οὕτω κἀγὼ ἀπώσομαι ὑμᾶς τοῦ εἶναι ὑμῖν εἰς βασιλέα»[1]· καὶ «καθὼς οὐκ εἰσηκούσατε τῆς φωνῆς μου, ἀλλ' ἐδώκατε νῶτον σκληρὸν καὶ ἠπειθήσατε· οὕτως ἔςαι, ὅταν ἐπικαλέσησθέ με, ἐγὼ δὲ οὐκ ἐπιβλέψω ἐπὶ τὴν προσευχὴν ὑμῶν, οὐδ' εἰσακούσομαι»[2]. Ταύτας μὴ γένοιτο ἐλθεῖν ἡμῖν παρὰ τοῦ δικαίου κριτοῦ τὰς φωνὰς, ᾧ κἂν τὸν ἔλεον ᾄδωμεν, ἀλλὰ καὶ τὴν κρίσιν γε πάντως συνᾴδομεν[3].

114. Ἀλλὰ γὰρ πάλιν ἐπὶ τὴν ἱςορίαν φέρομαι, καὶ τῶν παλαιῶν τοὺς εὐδοκιμωτάτους ἀνασκοπῶν εὑρίσκω, ὅσους πώποτε εἰς ἐπιςασίαν ἢ προφητείαν ἡ χάρις προυβάλετο, τοὺς μὲν εἴξαντας προθύμως τῇ κλήσει, τοὺς δὲ ἀναβαλομένους τὸ χάρισμα· καὶ οὐδετέρων μεμπτὴν, οὔτε τῶν ὑποχωρησάντων τὴν δειλίαν, οὔτε τῶν ὁρμησάντων τὴν προθυμίαν. Οἱ μὲν γὰρ τῆς διακονίας τὸ μέγεθος ηὐλαβήθησαν· οἱ δὲ τῷ καλοῦντι πιςεύσαντες ἠκολούθησαν. Πρόθυμος ἦν Ἀαρὼν, ἀλλὰ Μωϋσῆς ἀπεμάχετο· ὑπήκουσεν Ἡσαΐας ἑτοίμως, ἀλλ' ἐδεδοίκει τὸ νέον[4] Ἱερεμίας, καὶ οὐ πρότερον τὴν προφητείαν ἐθάῤῥησεν, ἢ παρὰ Θεοῦ λαβεῖν καὶ ὑπόσχεσιν καὶ δύναμιν τῆς ἡλικίας κρείττονα.

115. Τούτοις ἐμαυτὸν ἐγὼ κατεπᾴδω τοῖς λογισμοῖς, καί μοι κατὰ μικρὸν εἴκει τε καὶ μαλάσσεται ὥσπερ σίδηρος ἡ ψυχὴ, καὶ συνεργὸν λαμβάνω τῶν λογισμῶν τὸν χρόνον, καὶ συμβουλίαν τὰ τοῦ Θεοῦ δικαιώματα, οἷς πᾶσαν τὴν ἐμαυτοῦ ζωὴν κατεπίςευσα. Διὰ τοῦτο οὐκ ἀπειθῶ, οὐδὲ ἀντιλέγω, φησὶν ὁ ἐμὸς Δεσπότης, οὐκ ἐπὶ προςασίαν καλούμενος, ἀλλ' ὡς πρόβατον ἐπὶ σφαγὴν ἀγόμενος[5]· ἀλλὰ καὶ προσπίπτω καὶ ταπεινοῦμαι ὑπὸ τὴν κραταιὰν τοῦ Θεοῦ χεῖρα[6], καὶ συγγνώμην αἰτοῦμαι τῆς πρὶν ἀργίας καὶ ἀπειθείας, εἴ τί μοι τοῦτο ἔγκλημα. Ἐσιώπησα μὲν, ἀλλ' οὐκ ἀεὶ σιωπήσομαι. Ὑπεχώρησα μέν τι μικρὸν, ὅσον ἐμαυτὸν ἐπισκέψασθαι καὶ τῇ λύπῃ δοῦναι παράκλησιν· ἀλλὰ νῦν ὑψοῦν αὐτὸν ἐν ἐκκλησίᾳ λαοῦ, καὶ ἐν καθέδρᾳ πρεσβυτέρων αἰνεῖν ἐδεξάμην[7]. Εἰ ἐκεῖνα κατηγορίας, ταῦτα συγγνώμης ἄξια.

116. Τί δεῖ μακροτέρων ἡμῖν τῶν λόγων; ἔχετε ἡμᾶς, ὦ

---

[1]) Осія 4. 6; [2]) Осія 4. 6—9. [3]) Пс. 100. 1.

[4]) Τὸ νέον вм. νεότητα, юность.

[5]) Исаія 50. 5; 53. 7. [6]) 1 Петр. 5. 7. [7]) Пс. 106. 32.

ποιμένες καὶ συμποιμένες· ἔχετε, ὦ ποίμνιον ἱερὸν καὶ Χριςοῦ τοῦ ἀρχιποίμενος ἄξιον· ἔχεις, ὦ πάτερ [1]), εἰς πάντα νενικημένον, καὶ κατὰ τοὺς τοῦ Χριςοῦ νόμους πλέον ἢ τοὺς ἔξωθεν ὑπεξούσιον [2]). Ἔχεις τὴν εὐπείθειαν, ἀπόδος τὴν εὐλογίαν. Χειραγώγησον καὶ σὺ ταῖς εὐχαῖς, ὁδήγησον τῷ λόγῳ, τῷ πνεύματι ςήρισον. «Εὐλογία πατρὸς ςηρίζει οἴκους τέκνων» [3]), καὶ ςηριχθείημεν ἐγώ τε καὶ ὁ πνευματικὸς οἶκος οὗτος, ὃν ἡρετισάμην, ὃν μοι καὶ γενέσθαι κατάπαυσιν εἰς αἰῶνα αἰῶνος εὔχομαι, ἀπὸ τῆς ἐντεῦθεν ἐκκλησίας ἐπὶ τὴν ἐκεῖθεν παραπεμφθέντι, καὶ πανήγυριν πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς [4]).

**117.** Ἡ μὲν δὴ πρεσβεία τοσαύτη καὶ οὕτως εὔλογος· ὁ δὲ Θεὸς τῆς εἰρήνης, ὁ ποιήσας τὰ ἀμφότερα ἕν, καὶ ἀποδοὺς ἡμᾶς ἀλλήλοις, ὁ καθίζων βασιλεῖς ἐπὶ θρόνων, καὶ ἀπὸ γῆς ἐγείρων πτωχὸν, καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα, ὁ ἐκλεξάμενος Δαβὶδ τὸν δοῦλον αὐτοῦ, καὶ ἀναλαβὼν ἐκ τῶν ποιμνίων τῶν προβάτων [5]), ἐλάχιςον ὄντα ἐν τοῖς υἱοῖς Ἰεσσαὶ καὶ νεώτατον, ὁ διδοὺς ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ [6]) πρὸς τὴν τοῦ εὐαγγελίου τελείωσιν, αὐτὸς κρατήσειε τῆς χειρὸς ἡμῶν τῆς δεξιᾶς, καὶ ἐν τῇ βουλῇ αὐτοῦ ὁδηγήσειε, καὶ μετὰ δόξης προσλάβοιτο, ποιμαίνων ποιμαίνοντας, καὶ ὁδηγῶν ὁδηγοῦντας· ὡς ἂν ποιμαίνοιμεν τὸ ποίμνιον αὐτοῦ μετ᾽ ἐπιςήμης, ἀλλὰ μὴ «ἐν σκεύεσι ποιμένος ἀπείρου» [7]), τὸ μὲν ἐν εὐλογίᾳ, τὸ δὲ ἐν κατάρᾳ τοῖς πάλαι κείμενον· αὐτὸς δοίη δύναμιν καὶ κραταίωσιν τῷ λαῷ αὐτοῦ· καὶ παραςήσειεν αὐτὸς ἑαυτῷ λαμπρὰν τὴν ποίμνην καὶ ἄσπιλον, καὶ τῆς ἄνω μάνδρας ἀξίαν, ἐν τῇ κατοικίᾳ τῶν εὐφραινομένων, ἐν τῇ τῶν ἁγίων λαμπρότητι, ὡς ἂν ἐν τῷ ναῷ αὐτοῦ πάντες λέγωμεν δόξαν, ποίμνη τε ὁμοῦ καὶ ποιμένες, ἐν Χριςῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ πᾶσα δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

[1]) Разумѣется отецъ св. Григорія богослова, Епископъ Назіанзскій Григорій.

[2]) Ὑπεξούσιος (отъ ὑπὸ и ἐξουσία), подвластный, подчиненный, въ противоположность αὐτεξούσιος, самовластный; юридическій терминъ, употреблявшійся въ гражданскихъ римскихъ законахъ (οἱ ἔξωθεν νόμοι), предписывавшихъ повиновеніе дѣтей родителямъ.

[3]) Сир. 3. 9. [4]) Евр. 12. 13. [5]) 1 Цар. 2. 8. [6]) Пс. 77. 70. [7]) Зах. 11. 15.

## 2.

# ΛΟΓΟΣ ΠΕΡΙ ΔΟΓΜΑΤΟΣ [1]).

## Глав. 1—12.

1. Ὅταν ἴδω τὴν νῦν γλωσσαλγίαν, καὶ τοὺς αὐθημερινοὺς σοφούς, καὶ τοὺς χειροτονητοὺς θεολόγους, οἷς ἀρκεῖ τὸ θελῆσαι μόνον πρὸς τὸ εἶναι σοφοῖς· ποθῶ τὴν ἀνωτάτω φιλοσοφίαν, καὶ «σταθμὸν ἔσχατον» ἐπιζητῶ, κατὰ τὸν Ἱερεμίαν [2]), καὶ ἐμαυτῷ μόνῳ συγγενέσθαι βούλομαι. Οὐδὲν γάρ μοι δοκεῖ τοιοῦτον, οἷον μύσαντα τὰς αἰσθήσεις, ἔξω σαρκὸς καὶ κόσμου γενόμενον, μηδενὸς τῶν ἀνθρωπίνων προσαπτόμενον, ὅτι μὴ [3]) πᾶσα ἀνάγκη, ἑαυτῷ προσλαλοῦντα καὶ τῷ Θεῷ, ζῆν ὑπὲρ τὰ ὁρώμενα, καὶ ἀεὶ τὰς θείας ἐμφάσεις καθαρὰς ἐν ἑαυτῷ φέρειν ἀμιγεῖς τῶν κάτω χαρακτήρων καὶ πλανωμένων, οἷον ἔσοπτρον ἀκηλίδωτον Θεοῦ καὶ τῶν θείων καὶ ὂν καὶ ἀεὶ γινόμενον, φωτὶ προσλαμβάνοντα φῶς καὶ ἀμαυροτέρῳ τρανότερον, μέχρις ἂν πρὸς τὴν πηγὴν ἔλθωμεν τῶν τῇδε ἀπαυγασμάτων, καὶ τύχωμεν τοῦ μακαρίου τέλους, λυθέντων τῶν ἐσόπτρων τῇ ἀληθείᾳ· ὡς [4]) μόλις ἄν τις ἑαυτόν, ἢ μακρᾷ φιλοσοφίᾳ παιδαγωγήσας, καὶ ἀπορρηγνὺς κατὰ μικρὸν τὸ τῆς ψυχῆς εὐγενὲς καὶ φωτοειδὲς τοῦ ταπεινοῦ καὶ σκότῳ συνεζευγμένου, ἢ Θεοῦ τυχὼν ἵλεω, ἢ καὶ ἄμφω ταῦτα, καὶ μελέτην ὅτι μάλιστα ποιούμενος ἄνω βλέπειν, τῆς κατασπώσης ὕλης ἐπικρατήσειε. Πρὶν δὲ ταύτην ὑπερσχεῖν, ὅση δύναμις, καὶ ἀνακαθᾶραι ἱκανῶς τά τε ὦτα καὶ τὴν διάνοιαν, ἢ ψυχῆς ἐπιστασίαν δέξασθαι, ἢ θεολογίᾳ προσβαλεῖν, οὐκ ἀσφαλὲς εἶναι γινώσκω.

2. Καὶ ὅθεν εἰς τοῦτο ὑπήχθην τὸ δέος, ἵνα μή με τοῦ δέοντος δειλότερον ὑπολάβοιτε, ἀλλὰ καὶ ἐπαινῆτε τῆς προμηθείας, ἀκούω μὲν αὐτοῦ Μωϋσέως, ἡνίκα ἐχρημάτιζεν αὐτῷ ὁ

---

[1]) Слово это, сказанное Святителемъ въ Константинополѣ въ 379 году, надписывается въ греческихъ рукописяхъ различно; содержанію же его болѣе соотвѣтствуетъ надпись: о догматѣ (св. Троицы).

[2]) Іер. 9. 2

[3]) Ὅτι μὴ, вм. εἰ μὴ—развѣ.

[4]) Ὡς—такъ какъ.

Θεός [1]), ὅτι, πλειόνων εἰς τὸ ὄρος προσκεκλημένων, ὧν εἷς ἦν καὶ Ἀαρὼν σὺν τοῖς παισὶν αὐτοῦ τοῖς δύο τοῖς ἱερεῦσιν, οἱ μὲν λοιποὶ πάντες προσκυνῆσαι πόῤῥωθεν ἐκελεύσθησαν, ἐγγίσαι δὲ Μωϋσῆς μόνος, οὐ συναναβῆναι δὲ ὁ λαός [2]). Καὶ μικρὸν πρὸ τούτων, τοὺς μὲν ἄλλους ἀστραπαὶ, καὶ βρονταὶ, καὶ σάλπιγγες, καὶ ὅλον καπνιζόμενον τὸ ὄρος, καὶ ἀπειλαὶ φρικώδεις, καὶ τοιαῦτα δείματα ἴσχη κάτω [3]), καὶ μέγα ἦν αὐτοῖς ἀκοῦσαι τῆς τοῦ Θεοῦ φωνῆς μόνον, καὶ ταῦτα εὖ μάλα ἁγνισαμένοις. Μωϋσῆς δὲ καὶ ἄνεισι, καὶ τῆς νεφέλης εἴσω χωρεῖ, καὶ Θεῷ συγγίνεται, καὶ δέχεται νόμον, τοῖς μὲν πολλοῖς τὸν τοῦ γράμματος, τοῖς δὲ ὑπὲρ τοὺς πολλοὺς τὸν τοῦ πνεύματος.

3. Γινώσκω δὲ Ἡλεὶ τὸν ἱερέα [4]), καὶ μικρὸν ὕστερον Ὀζᾶν τινα [5])· τὸν μὲν καὶ ὑπὲρ τῆς τῶν παίδων παρανομίας ἀπαιτηθέντα δίκην, ἣν ἐτόλμων κατὰ τῶν θυσιῶν, καὶ ταῦτα οὐκ ἀποδεχόμενον αὐτῶν τὴν ἀσέβειαν, ἀλλὰ πολλὰ πολλάκις ἐπιτιμήσαντα· τὸν δὲ, ὅτι τῆς κιβωτοῦ ψαῦσαι τολμήσας μόνον, περισπασθείσης ὑπὸ τοῦ μόσχου, τὴν μὲν περιεσώσατο, αὐτὸς δὲ ἀπώλετο, φυλάσσοντος δηλαδὴ τοῦ Θεοῦ τῇ κιβωτῷ τὸ σεβάσμιον. Οἶδα δ' ἐγὼ μηδὲ τῶν τοίχων τοῦ ἱεροῦ ψαῦσαι τοῖς πολλοῖς ὂν ἀσφαλὲς, καὶ διὰ τοῦτο ἑτέρων ἐδεήθησαν τοίχων τῶν ἔξωθεν [6])· μηδὲ τὰς θυσίας αὐτὰς, ὑφ' ὧν, καὶ ὅτε, καὶ οὗ, μὴ καθῆκον ἦν, ἀναλίσκεσθαι· τοσούτου δεῖν πρὸς τὰ ἅγια τῶν ἁγίων προσφοιτᾷν θαῤῥοῦντα, ἢ τὸ καταπέτασμα, ἢ τὸ ἱλαστήριον, ἢ τὴν κιβωτὸν, ἢ προσβλέπειν εἶναι παντὸς, ἢ προσάπτεσθαι.

4. Ταῦτα οὖν εἰδὼς ἐγὼ, καὶ ὅτι μηδεὶς ἄξιος τοῦ μεγάλου Θεοῦ, καὶ θύματος, καὶ ἀρχιερέως, ὃς μὴ πρότερον ἑαυτὸν παρέστησε τῷ Θεῷ θυσίαν ζῶσαν [7]), μᾶλλον δὲ, ναὸς ἅγιος ἐγένετο Θεοῦ ζῶντος καὶ ζῶν [8]), πῶς ἢ αὐτὸς προχείρως ἐγχειρήσαιμι τοῖς περὶ Θεοῦ λόγοις, ἢ ἀποδέξωμαι τὸν ἐγχειροῦντα θρασέως; οὐκ ἐπαινετὸς ὁ πόθος· φοβερὸν τὸ ἐγχείρημα. Καὶ διὰ τοῦτο καθαρτέον ἑαυτὸν πρῶτον, εἶτα τῷ καθαρῷ προσομιλητέον· εἰ μὴ μέλλοιμεν τὸ τοῦ Μανωὲ πείσεσθαι, καὶ λέξειν ἐν φαντασίᾳ Θεοῦ

---

[1]) Исх. 19. 3. [2]) Исх. 24. 1, 2. [3]) Исх. 19. 16. [4]) 1 Цар. 4. 11—18. [5]) 2 Цар. 6. 6—8. [6]) 3 Цар. 6. 5. [7]) Рим. 12. 1. [8]) 2 Кор. 6. 16.

γενόμενοι· «ἀπολώλαμεν, ὦ γύναι, Θεὸν ἑωράκαμεν [1])», ἢ, ὡς Πέτρος, ἀποπέμψασθαι τοῦ πλοίου τὸν Ἰησοῦν, ὡς οὐκ ἄξιοι τοιαύτης ἐπιδημίας [2])· ἢ, ὡς ὁ ἑκατόνταρχος ἐκεῖνος, τὴν μὲν θεραπείαν ἀπαιτήσειν, τὸν θεραπευτὴν δὲ οὐκ εἰσδέξασθαι. Λεγέτω τις καὶ ἡμῶν, ἕως ἐςὶν ἑκατόνταρχος, καὶ πλειόνων ἐν κακίᾳ κρατῶν, καὶ ἔτι ςρατευόμενος Καίσαρι τῷ κοσμοκράτορι τῶν κάτω συρομένων· «οὐκ εἰμὶ ἱκανὸς, ἵνα μου ὑπὸ τὴν ςέγην εἰσέλθῃς» [3]). Ὅταν δὲ Ἰησοῦν θεάσωμαι, καίτοι μικρὸς ὢν τὴν πνευματικὴν ἡλικίαν, ὡς ὁ Ζακχαῖος ἐκεῖνος [4]), καὶ ὑπὲρ τὴν συκομορέαν ἀρθῶ, νεκρώσας τὰ μέλη τὰ ἐπὶ τῆς γῆς [5]), καὶ μαράνας τὸ σῶμα τῆς ταπεινώσεως [6])· τότε καὶ Ἰησοῦν εἰσδέξομαι, καὶ ἀκούσομαι· «σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ» [7])· καὶ τῆς σωτηρίας τεύξομαι, καὶ φιλοσοφήσω τὰ τελεώτερα, σκορπίζων καλῶς ἃ κακῶς συνήγαγον, εἴτε χρήματα, εἴτε δόγματα.

5. Ἐπεὶ δὲ ἀνεκαθήραμεν τῷ λόγῳ [8]) τὸν θεόλογον, φέρε δὴ καὶ περὶ Θεοῦ ὡς ἐν βραχεῖ διαλεχθῶμεν, αὐτῷ τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι θαῤῥήσαντες, περὶ ὧν ὁ λόγος. Εὔχομαι δὲ τὸ τοῦ Σολομῶντος παθεῖν, μηδὲν ἴδιον ἐννοῆσαι περὶ Θεοῦ, μηδὲ φθέγξασθαι. Ὅταν γὰρ λέγῃ· «ἀφρονέςατος γάρ εἰμι πάντων ἀνθρώπων, καὶ φρόνησις ἀνθρώπου οὐκ ἔςιν ἐμοὶ» [9]), οὐκ ἀσυνεσίαν ἑαυτοῦ δήπου καταγινώσκων τοῦτό φησιν. Πῶς γὰρ, ὅς γε τοῦτο καὶ ᾔτησε παρὰ Θεοῦ πρὸ παντὸς ἄλλου, καὶ ἔλαβε σοφίαν, καὶ θεωρίαν, καὶ πλάτος καρδίας, ψάμμου πλουσιώτερον τε καὶ δαψιλέςερον [10]); καὶ ὁ τοσοῦτον σοφὸς, καὶ τοιαύτης τετυχηκὼς δωρεᾶς, πῶς ἀφρονέςατον ἑαυτὸν πάντων ὀνομάζει; ὡς οὐκ ἔχων ἰδίαν δηλαδὴ φρόνησιν, ἐνεργούμενος δὲ τὴν θείαν τε καὶ τελεωτέραν. Καὶ γὰρ ὁ Παῦλος λέγων· «ζῶ δὲ οὐκ ἔτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριςὸς [11])», οὐχ ὡς περὶ νεκροῦ πάντως ἑαυτοῦ διελέγετο, ἀλλ' ὡς ζῶντος κρείσσονα τῶν πολλῶν ζωὴν, τῷ μετειληφέναι τῆς ὄντως ζωῆς καὶ μηδενὶ θανάτῳ πε-

---

[1]) Суд. 13. 22. [2]) Лук. 5. 8. [3]) Мат. 8. 8. [4]) Лук. 19. 2. [5]) Кол. 3. 5. [6]) Фил. 3. 20. [7]) Лук. 19. 9.

[8]) Ἀνακαθαίρειν, очищать, прояснять: съ прибавленіемъ λόγῳ значитъ: объяснять, опредѣлять.

[9]) Притч. 30. 2. [10]) 3 Цар. 3. 29. [11]) Гал. 2. 20.

ρατουμένης. Προσκυνοῦμεν οὖν Πατέρα, καὶ Υἱὸν, καὶ ἅγιον Πνεῦμα, τὰς μὲν ἰδιότητας χωρίζοντες, ἑνοῦντες δὲ τὴν θεότητα· καὶ οὔτε εἰς ἓν τὰ τρία συναλείφομεν, ἵνα μὴ τὴν Σαβελλίου νόσον νοσήσωμεν· οὔτε διαιροῦμεν εἰς τρία ἔκφυλα καὶ ἀλλότρια, ἵνα μὴ τὰ Ἀρείου μανῶμεν. Τί γὰρ δεῖ, καθάπερ φυτὸν ἑτεροκλινὲς πάντῃ καμπτόμενον, βίᾳ μετάγειν ἐπὶ τὸ ἕτερον μέρος, διαστροφῇ τὴν διαστροφὴν διορθουμένους, ἀλλὰ μὴ πρὸς τὸ μέσον εὐθύνοντας, ἐν ὅροις ἵστασθαι τῆς θεοσεβείας;

6. Μεσότητα δὲ ὅταν εἴπω, τὴν ἀλήθειαν λέγω, πρὸς ἣν βλέπειν καλῶς ἔχομεν μόνην· καὶ τὴν φαύλην συναίρεσιν παραιτούμενοι, καὶ τὴν ἀτοπωτέραν διαίρεσιν· ὡς μήτε εἰς μίαν ὑπόστασιν συναιρεθέντα τὸν λόγον, δέει πολυθείας, ψιλὰ ἡμῖν καταλιπεῖν τὰ ὀνόματα, τὸν αὐτὸν Πατέρα, καὶ Υἱὸν, καὶ Πνεῦμα ἅγιον ὑπολαμβάνουσι, καὶ μὴ μᾶλλον ἓν τὰ πάντα, ἢ μηδὲν ἕκαστον εἶναι ὁριζομένοις (φεύγοι γὰρ ἂν εἶναι ἅπερ ἐστὶν, εἰς ἄλληλα μεταχωροῦντα καὶ μεταβαίνοντα)· μήτε εἰς τρεῖς ἢ ξένας καὶ ἀνομοίους οὐσίας καὶ ἀπεῤῥηγμένας διαιρεθέντα, κατὰ τὴν Ἀρείου καλῶς ὀνομασθεῖσαν μανίαν, ἢ ἀνάρχους καὶ ἀτάκτους, καὶ οἷον εἰπεῖν, ἀντιθέους· τῷ μὲν εἰς Ἰουδαϊκὴν σμικρολογίαν κατακλεισθῆναι, μόνῳ τῷ ἀγεννήτῳ τὴν θεότητα περιγράφοντας· τῷ δὲ εἰς ἐναντίον μὲν, κακὸν δὲ ἴσον πεσεῖν, τρεῖς ἀρχὰς ὑποτιθεμένους, καὶ τρεῖς Θεοὺς, ὃ τῶν προειρημένων ἀτοπώτερον· δέον μήτε οὕτως εἶναί τινας φιλοπάτορας, ὡς καὶ τὸ εἶναι Πατέρα περιαιρεῖν (τίνος γὰρ ἂν καὶ εἴη Πατὴρ, τοῦ Υἱοῦ τὴν φύσιν ἀπεξενωμένου καὶ ἀπηλλοτριωμένου μετὰ τῆς κτίσεως;)· μήθ᾽ οὕτω φιλοχρίστους, ὡς μήτε τοῦτο φυλάττειν, τὸ εἶναι Υἱὸν (τίνος γὰρ ἂν καὶ εἴη Υἱὸς, μὴ πρὸς αἴτιον ἀναφερόμενος τὸν Πατέρα;)· μήτε τῷ Πατρὶ τὸ τῆς ἀρχῆς κατασμικρύνειν ἀξίωμα, τῆς ὡς Πατρὶ καὶ γεννήτορι· μικρῶν γὰρ ἂν εἴη καὶ ἀναξίων ἀρχὴ, μὴ θεότητος ὧν αἴτιος τῆς ἐν Υἱῷ καὶ Πνεύματι θεωρουμένης. Ἐπειδὴ χρὴ καὶ τὸν ἕνα Θεὸν τηρεῖν, καὶ τὰς τρεῖς ὑποστάσεις ὁμολογεῖν, εἴτ᾽ οὖν τρία πρόσωπα, καὶ ἑκάστην μετὰ τῆς ἰδιότητος.

7. Τηροῖτο δ᾽ ἂν, ὡς ὁ ἐμὸς λόγος [1]), εἷς μὲν Θεὸς, εἰς

---

[1]) Т. е. ἐστὶ, какъ сказано мною.

ἓν αἴτιον καὶ Υἱοῦ καὶ Πνεύματος ἀναφερομένων, οὐ συντιθεμένων, οὐδὲ συναλειφομένων· καὶ κατὰ τὸ ἓν καὶ ταὐτὸ τῆς θεότητος, ἵνα οὕτως ὀνομάσω, κίνημά τε καὶ βούλημα, καὶ τὴν τῆς οὐσίας ταυτότητα. Αἱ δὲ τρεῖς ὑποστάσεις, μηδεμιᾶς ἐπινοουμένης συναλοιφῆς, ἢ ἀναλύσεως, ἢ συγχύσεως, ἵνα μὴ τὸ πᾶν καταλυθῇ, δι' ὧν τὸ ἓν σεμνύνεται πλέον ἢ καλῶς ἔχει. Αἱ δὲ ἰδιότητες, Πατρὸς μὲν, καὶ ἀνάρχου, καὶ ἀρχῆς ἐπινοουμένου καὶ λεγομένου (ἀρχῆς δὲ, ὡς αἰτίου, καὶ ὡς πηγῆς, καὶ ὡς ἀϊδίου φωτός)· Υἱοῦ δὲ, ἀνάρχου μὲν οὐδαμῶς, ἀρχῆς δὲ τῶν ὅλων· ἀρχὴν δὲ ὅταν εἴπω, μὴ χρόνον παρενθῇς, μηδὲ μέσον τι τάξῃς τοῦ γεγεννηκότος καὶ τοῦ γεννήματος, μηδὲ διέλῃς τὴν φύσιν τῷ κακῶς παρεντεθέντι τοῖς συναϊδίοις καὶ συνημμένοις. Εἰ γὰρ χρόνος Υἱοῦ πρεσβύτερος, ἐκείνου δηλαδὴ πρώτως ἂν εἴη αἴτιος ὁ Πατήρ. Καὶ πῶς ποιητὴς χρόνων ὁ ὑπὸ χρόνον; πῶς δὲ καὶ Κύριος πάντων, εἰ ὑπὸ χρόνου προείληπται τε καὶ κυριεύεται; ἄναρχος οὖν ὁ Πατήρ· οὐ γὰρ ἑτέρωθεν αὐτῷ, οὐδὲ παρ' ἑαυτοῦ τὸ εἶναι. Ὁ δὲ Υἱὸς, ἐὰν μὲν ὡς αἴτιον τὸν Πατέρα λαμβάνῃς, οὐκ ἄναρχος· ἀρχὴ γὰρ Υἱοῦ Πατὴρ ὡς αἴτιος· ἐὰν δὲ τὴν ἀπὸ χρόνου νοῇς ἀρχὴν, καὶ ἄναρχος· οὐκ ἄρχεται γὰρ ὑπὸ χρόνου ὁ χρόνων Δεσπότης.

8. Εἰ δὲ, ὅτι τὰ σώματα ὑπὸ χρόνον, διὰ τοῦτο ἀξιώσεις κεῖσθαι καὶ τὸν Υἱὸν ὑπὸ χρόνον, περιθήσεις καὶ σῶμα τῷ ἀσωμάτῳ· καὶ εἰ ὅτι τὰ παρ' ἡμῖν γεννώμενα, οὐκ ὄντα ποτὲ, εἶτα γινόμενα, διὰ τοῦτο καὶ τὸν Υἱὸν ἀναγκάσεις ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παρεληλυθέναι, συγκρινεῖς τὰ ἀσύγκριτα, Θεὸν καὶ ἄνθρωπον, σῶμα καὶ τὸ ἀσώματον· οὐκοῦν καὶ πείσεται καὶ λυθήσεται, ὅτι καὶ τὰ ἡμέτερα σώματα. Σὺ μὲν οὖν ἀξιοῖς διὰ τοῦτο οὕτω γεννᾶσθαι Θεὸν, διότι τὰ σώματα [1]· ἐγὼ δὲ διὰ τοῦτο οὐχ οὕτως, ὅτι οὕτω τὰ σώματα. Ὧν γὰρ τὸ εἶναι οὐχ ὅμοιον, τούτων οὐδὲ τὸ γεννᾶν ὅμοιον· εἰ μὴ καὶ τἄλλα δουλεύσῃ ταῖς ὕλαις, οἷον πάσχων, καὶ λυπούμενος, καὶ πεινῶν, καὶ διψῶν, καὶ ὅσα ἢ σώματος, ἢ τοῦ συναμφοτέρου πάθη. Ἀλλὰ ταῦτα οὐ παραδέχεταί σου ὁ νοῦς· περὶ Θεοῦ γὰρ ὁ λόγος. Μὴ τοίνυν μηδὲ τὴν γέννησιν ἄλλως, ἢ ὡς θεϊκὴν παραδέχου.

---

[1] Подразумѣвается: γεννᾶται οὕτω, т. е. во времени.

9. Ἀλλ' εἰ γεγέννηται, πῶς γεγέννηται, φησιν; ἀπόκριναί μοι, ὦ διαλεκτικὲ σὺ καὶ ἄφυκτε [1]· εἰ ἔκτισαι, πῶς ἔκτισαι; κᾆμε ἀπαίτει τὸ, πῶς γεγέννηται. Πάθος περὶ τὴν γέννησιν; πάθος καὶ περὶ τὴν κτίσιν· ἢ γὰρ οὐ πάθος ἡ ἀνατύπωσις, καὶ ἡ φροντὶς, καὶ ἡ τοῦ νοηθέντος ἀθρόως εἰς τὸ κατὰ μέρος ἐξάπλωσις. Χρόνος περὶ τὴν γέννησιν; ἐν χρόνῳ καὶ τὰ κτιζόμενα. Τόπος ἐνταῦθα; τόπος ἐκεῖ. Ἀποτυχία περὶ τὴν γέννησιν; ἀποτυχία καὶ περὶ τὴν κτίσιν. Ταῦτα ἤκουσα φιλοσοφούντων ὑμῶν· ἃ γὰρ ὁ νοῦς ὑπέγραφε, πολλάκις ταῦτα ἡ χεὶρ οὐκ ἐτέλεσεν. Ἀλλὰ λόγῳ, φησὶ, τὸ πᾶν ὑπέςησε καὶ βουλήματι· «αὐτὸς γὰρ εἶπε, καὶ ἐγενήθησαν· αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν» [2]. Ὅταν εἴπῃς τῷ λόγῳ τοῦ Θεοῦ τὰ πάντα ἐκτίσθαι, οὐ τὴν ἀνθρωπίνην κτίσιν εἰσάγεις· οὐδεὶς γὰρ ἡμῶν λόγῳ πράττει τὰ γινόμενα. Οὐδὲν γὰρ ἂν ἦν ὑψηλότερον ἡμῶν, οὐδὲ ἀπονώτερον, εἰ τὸ λέγειν ἔργου συμπλήρωσις ἦν· ὥςε εἰ καὶ λόγῳ κτίζει Θεὸς τὰ κτιζόμενα, οὐκ ἀνθρώπινον αὐτῷ τὸ κτίζειν. Ἢ γὰρ δεῖξον καὶ ἄνθρωπον λόγῳ τι πράττοντα· ἢ δέξαι, ὅτι οὐχ ὡς ἄνθρωπος κτίζει Θεός. Ἐπεὶ διάγραψον βουλήματι πόλιν, καὶ παραςήτω πόλις· θέλησον γενέσθαι σοι υἱὸν, καὶ παραςήτω παῖς· θέλησον ἄλλο τι τῶν πραττομένων, καὶ εἰς ἔργον ἡ βούλησις χωρησάτω. Εἰ δὲ τούτων οὐδὲν ἕπεται τῷ βούλεσθαι, Θεοῦ δὲ τὸ βούλεσθαι πρᾶξίς ἐςιν, ἄλλως μὲν ἄνθρωπος κτίζει, ἄλλως δὲ ὁ πάντων κτίςης Θεός. Πῶς οὖν κτίζει μὲν οὐκ ἀνθρωπικῶς, γεννᾶν δὲ ἀναγκάζεται ἀνθρωπικῶς; σὺ μὲν οὐκ ὢν, ἔπειτα ἐγένου, εἶτα γεννᾷς· διὰ τοῦτο οὐκ ὄντα εἰς τὸ εἶναι παράγεις. Ἢ, ἵνα τι βαθύτερον εἴπω, τάχα οὐδὲ αὐτὸς ἐξ οὐκ ὄντων παράγεις· ἐπεὶ καὶ ὁ Λευΐ, φησιν, ἔτι ἐν τῇ ὀσφύϊ τοῦ πατρὸς ἦν, πρὶν εἰς τὸ εἶναι παρελθεῖν [3]. Καὶ μηδεὶς ἐπηρεαζέτω τῷ λόγῳ. Οὐ γὰρ οὕτως ἐκ τοῦ Πατρός φημι τὸν Υἱὸν ὑπάρχειν, ὡς ἐν τῷ Πατρὶ πρότερον ὄντα, μετὰ δὲ τοῦτο εἰς τὸ εἶναι ὁδεύσαντα· οὐδὲ γὰρ ἀτελῆ πρότερον, εἶτα τέλειον, ὥσπερ νόμος τῆς ἡμετέρας γεννήσεως.

10. Ταῦτα τῶν ἐπηρεαζόντων ἐςίν· ταῦτα τῶν ἐπιπηδών-

---

[1]) Ἄφυκτε (взъ α и φεύγω), тотъ, отъ котораго нельзя убѣжать неотступный.

[2]) Пс. 32. 9. [3]) Евр. 7. 10.

των προχείρως πᾶσι τοῖς λεγομένοις. Ἡμεῖς δὲ οὐχ οὕτω φρονοῦμεν, οὐχ οὕτω δοξάζομεν· ἀλλ' ὁμοῦ τῷ τὸν Πατέρα εἶναι ἀγεννήτως (ἀεὶ δὲ ἦν, οὐχ ὑπερπίπτει γὰρ εἰς τὸ μὴ εἶναί ποτε ὁ νοῦς), καὶ ὁ Υἱὸς ἦν γεννητῶς· ὥςε συντρέχει τὸ εἶναι τοῦ Πατρὸς τῷ γεγεννῆσθαι τοῦ Μονογενοῦς, ἐξ αὐτοῦ τε ὑπάρχοντος, καὶ οὐ μετ' αὐτόν, ἡ ἐπινοίᾳ μόνῃ τῇ τῆς ἀρχῆς· ἀρχῆς δέ, ὡς αἰτίου. Πολλάκις γὰρ τὸν αὐτὸν ἀναςρέφω λόγον, τὸ παχύ σου καὶ ὑλικὸν τῆς διανοίας φοβούμενος. Εἰ δὲ οὐ πολυπραγμονεῖς τὴν τοῦ Υἱοῦ, εἴτε γέννησιν χρὴ λέγειν, εἴτε ὑπόςασιν, εἴτε τι ἄλλο κυριώτερον τούτων ἐπινοεῖ τις (νικᾷ γὰρ τὴν ἐμὴν γλῶτταν τὸ νοούμενον καὶ λεγόμενον)· μηδὲ τοῦ Πνεύματος περιεργάζου τὴν πρόοδον. Ἀρκοῦμαι ἀκούειν, ὅτι Υἱός, καὶ ὅτι ἐκ τοῦ Πατρός· καὶ ὅτι ὁ μὲν Πατήρ, ὁ δὲ Υἱός· καὶ οὐδὲν παρὰ τοῦτο περιεργάζομαι, μὴ ταὐτὸ πάθω ταῖς φωναῖς, αἳ τῷ ὑπερφωνεῖσθαι [1]) παντελῶς διαπίπτουσιν, ἢ τῇ ὄψει τεινούσῃ πρὸς ἡλιακὴν ἀκτῖνα. Ὅσῳ γὰρ ἂν πλεῖον καὶ ἀκριβέςερον ἰδεῖν ἐθέλοι τις, τοσούτῳ τὴν αἴσθησιν παραβλάπτεται, καὶ τὸ ὁπωσοῦν ὁρᾶν ἀποςερεῖται, διὰ τοῦ πλείονος νικῶντος τὴν ὄψιν τοῦ ὁρωμένου, ἐὰν ὅλον ἰδεῖν ἐθελήσῃ, καὶ μὴ ὅσον ὁρᾶν ἀσφαλές.

11. Ἀκούεις γέννησιν; τὸ πῶς μὴ περιεργάζου. Ἀκούεις, ὅτι τὸ Πνεῦμα προϊὸν ἐκ τοῦ Πατρός; τὸ ὅπως μὴ πολυπραγμόνει. Εἰ δὲ πολυπραγμονεῖς Υἱοῦ γέννησιν καὶ Πνεύματος πρόοδον, κἀγώ σου πολυπραγμονῶ τὸ κρᾶμα ψυχῆς καὶ σώματος· πῶς εἶ χοῦς, καὶ εἰκὼν Θεοῦ; τί τὸ κινοῦν σε, ἢ τί τὸ κινούμενον; πῶς τὸ αὐτὸ καὶ κινεῖ καὶ κινεῖται; πῶς ἡ αἴσθησις ἐν τῷ αὐτῷ μένει, καὶ τὸ ἐκτὸς ἐπισπᾶται; πῶς ὁ νοῦς ἐν σοὶ μένει, καὶ γεννᾷ λόγον ἐν ἄλλῳ νοΐ; πῶς λόγῳ νόημα διαδίδοται; καὶ οὔπω τὰ μείζονα λέγω· τίς οὐρανοῦ περιφορά; τίς ἀςέρων κίνησις, ἢ τάξις, ἢ μέτρα, ἢ σύνοδος, ἢ ἀπόςασις; τίνες δ' ὅροι θαλάσσης; πόθεν δὲ ἀνέμων ῥεύματα, ἢ ὡρῶν περιτροπαί, ἢ ὄμβρων ἐπιχύσεις; εἰ τούτων μηδὲν κατενόησας, ὦ ἄνθρωπε (κατανοήσεις δὲ ἴσως ποτέ, ὅταν ἀπολαβῇς τὸ τέλειον· «ὄψομαι γάρ, φησι, τοὺς οὐρανούς, ἔργα τῶν δακτύλων σου» [2])· ὡς ὑπονοεῖσθαι τὰ νῦν ὁρώμενα

---

[1]) Τῷ ὑπερφωνεῖσθαι, отъ чрезмѣрнаго напряженія голоса.
[2]) Пс. 8. 4.

μὴ εἶναι τὴν ἀλήθειαν, ἀλλὰ τῆς ἀληθείας ἰνδάλματα), εἰ σαυτὸν οὐκ ἔγνως, ὅςις εἶ ὁ περὶ τούτων διαλεγόμενος, εἰ ταῦτα οὐ κατέλαβες, ὧν καὶ ἡ αἴσθησις μάρτυς, πῶς Θεὸν ἀκριβῶς, ὅπερ τε καὶ ὅσον ἐςὶν, εἰδέναι ὑπολαμβάνεις; πολλῆς τοῦτο τῆς ἀλογίας.

12. Ἀλλ' εἴ τι ἐμοὶ πείθῃ, τῷ μὴ θρασεῖ θεολόγῳ, τὸ μὲν κατέλαβες, τὸ δὲ καταλαμβάνειν δεήθητι. Τὸ μὲν ἀγάπησον ἐν σοὶ μένον, τὸ δὲ ἐν τοῖς ἄνω θησαυροῖς μενέτω. Διὰ πολιτείας ἄνελθε· διὰ καθάρσεως κτῆσαι τὸ καθαρόν. Βούλει θεολόγος γενέσθαι ποτὲ, καὶ τῆς θεότητος ἄξιος; τὰς ἐντολὰς φύλασσε· διὰ τῶν προσταγμάτων ὅδευσον· πρᾶξις γὰρ ἐπίβασις θεωρίας· ἐκ τοῦ σώματος τῇ ψυχῇ φιλοπόνησον. Ἆρά τίς ἐςιν ἀνθρώπων, ὃς ἀρθῆναι τοσοῦτον δύναται, ὥςε εἰς τὸ Παύλου μέτρον ἐλθεῖν; ἀλλ' ὅμως φησὶ βλέπειν δι' ἐσόπτρου καὶ αἰνίγματος, καὶ εἶναι καιρὸν ὅτε ὄψεται πρόσωπον πρὸς πρόσωπον [1]). Ἄλλου μὲν εἶ φιλοσοφώτερος ἐν λόγοις; Θεοῦ δὲ πάντως κατώτερος. Ἄλλου μὲν τυχὸν συνετώτερος; τὸ δὲ ἀληθείας τοσοῦτον λείπῃ [2]), ὅσον τὸ εἶναί σου δεύτερον τοῦ εἶναι Θεοῦ. Ἔχομεν ἐπαγγελίαν γνώσεσθαί ποτε, ὅσον ἐγνώσμεθα [3]). Εἰ μὴ δυνατὸν ἐνταῦθα ἔχειν τελείαν τὴν τῶν ὄντων γνῶσιν, τί μοι τὸ λειπόμενον; τί τὸ ἐλπιζόμενον; βασιλείαν οὐρανῶν, πάντως ἐρεῖς. Ἡγοῦμαι δὲ μὴ ἄλλο τι τοῦτο εἶναι, ἢ τὸ τυχεῖν τοῦ καθαρωτάτου τε καὶ τελεωτάτου· τελεώτατον δὲ τῶν ὄντων γνῶσις Θεοῦ. Ἀλλὰ τὸ μὲν κατάσχωμεν, τὸ δὲ καταλάβωμεν, ἕως ἐσμὲν ὑπὲρ γῆς· τὸ δὲ ἐκεῖθεν ταμιευσώμεθα, ἵνα ταύτην σχῶμεν τῆς φιλοπονίας τὴν ἐπικαρπίαν [4]), ὅλην τῆς ἁγίας Τριάδος τὴν ἔλλαμψιν, ἥτις ἐςὶ, καὶ οἷα, καὶ ὅση, εἰ θέμις τοῦτα εἰπεῖν, ἐν αὐτῷ Χριςῷ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

[1]) 1 Кор. 13. 12.

[2]) По отношенію къ истинѣ ты на столько (τοσοῦτον) недостойнѣе, или менѣе, на сколько (ὅσον), и т. д.

[3]) 1 Кор. 13. 12.

[4]) Ἐπικαρπία, приплодъ, приращеніе къ тому, что прежде пріобрѣтено: ταύτην относится къ послѣдующему ἔλλαμψιν.

## 3.

### ἜΠΗ: a) Περὶ ψυχῆς [1]).

### Глав. 1—5.

1. Ψυχὴ δ' ἐςὶν ἄημα Θεοῦ, καὶ μίξιν ἀνέτλη
Οὐρανίη χθονίοιο, φάος σπήλυγγι καλυφθὲν,
Ἀλλ' ἔμπης θείη τε καὶ ἄφθιτος. Οὐ γὰρ ἔοικεν
Εἰκόνα τὴν μεγάλοιο Θεοῦ λύεσθαι ἀκόσμως,
Ἑρπυςῆρσιν ὁμοῖα βοτοῖσί τε ἀφραδέεσσιν,
Εἰ καί μιν θνητήν γε βιήσατο θεῖναι ἁμαρτάς.
Οὔτε πυρὸς μαλεροῖο πέλει φύσις· οὐ γὰρ ἐοικὸς
Δάπτον δαπτομένοιο πέλειν κέαρ [2])· οὔτ' ἀποπνευςοῦ
Ἠέρος, ἢ πνευςοῖο, καὶ οὔ ποτε ἱςαμένοιο·
Οὐδὲ μὲν αἱματόεσσα χύσις διὰ σάρκα θέουσα·
Ἀλλ' οὐδ' ἁρμονίη τῶν σώματος [3]) εἰς ἓν ἰόντων.
Οὐ γὰρ ἴη σαρκῶν τε καὶ εἴδεος ἀθανάτοιο [4])
Ἔςι φύσις. Τί δὲ πλεῖον ἀρειοτέροισι κακίςων,
Οὓς κρᾶσις [5]) ἠὲ κακοὺς τεχτήνατο ἠὲ φερίστους;
Πῶς δ' οὐ καὶ ἀλόγοισι λόγου φύσις; ἁρμονίη γὰρ
Ἡ σαρκῶν βροτέων τε καὶ εἴδεός ἐς' ἀλόγοισιν,
Εὐκραέες δ' ἄρα πάντες ἀρείονες, ὡς ὅγε μῦθος.
2. Κεῖνοι μὲν δὴ τοῖα· τὸ δ' αἴτιον, ὧν ἀπεόντων
Ψυχὴ σῶμα λέλοιπε, κέαρ τάδε μυθήσαντο.
Φορβὴ δ' οὔ ποτέ σοι κέαρ ἔπλετο, ἧς δίχα θνητὸν
Ζώειν πάμπαν ἄπιςον, ἐπεὶ σθένος ἐςὶν ἐδητύς.
Οἶδα δὲ καὶ λόγον ἄλλον, ὃν οὔ ποτε δέξομ' ἔγωγε,

---

[1]) Метръ, какимъ написано это стихотвореніе, есть Гомерическій экзаметръ; и діалектъ—Іонійскій.

[2]) Κέαρ или κὴρ въ настоящемъ стихотвореніи имѣетъ значеніе одинаковое съ ψυχὴ—душа.

[3]) Τῶν σώματος, членовъ тѣла, или силъ тѣлесныхъ.

[4]) Подъ названіемъ εἶδος ἀθάνατον—безсмертная форма—разумѣется безсмертная душа человѣческая.

[5]) Κρᾶσις въ смыслѣ настроенія тѣлесныхъ качествъ, темпераментъ.

Οὐδὲ γὰρ ἂν ξυνή τις ἐμοὶ καὶ πᾶσι μεριςὴ
Ψυχὴ, πλαζομένη τε δι' ἠέρος. Ὧδ' ἂν ὁμοίη
Πᾶσι πέλοι πνευστή τε καὶ ἔκπνοος· ἐν δ' ἄρα πᾶσι
Πάντες, ὅσοι ζώουσι μεταπνείοντες, ἔκειντο,
Εἰ δὲ καὶ ἠέρος ἐςὶ χυτὴ φύσις ἄλλοτ' ἐν ἄλλοις.
Εἰ δὲ μένει [1]), τί μὲν ἔσχε, τί δ' ἐν σπλάγχνοισι τεκούσης
Ζωὸν ἔτ', εἰ κείνη με προέσπασεν ἐκτὸς ἐόντα;
Εἰ δὲ πλειοτέρων τεκέων σύ γε μητέρα θείης,
Ψυχαῖς δαπτομένῃσιν ἔτι πλεόνεσσι γέρηρας.
Οὐ πινυτῶν ὅδε μῦθος, ἐτώσια παίγνια βίβλων,
Οἵ καὶ σώματα πολλὰ βίοις προτέροισιν ὅμοια.
Ἐσθλοῖς ἠδὲ κακοῖς, ψυχῇ δόσαν αἰὲν ἀμείβειν,
Ἢ τιμὴν ἀρετῆς, ἢ ἀμπλακίης τινὰ ποινήν·
Εἵμασιν ὥς τινα φῶτα κατενδύοντες ἀκόσμως,
Ἠὲ μετεκδύοντες, ετώσια μοχθίζοντες,
Ἰξίονος [2]) κύκλοισιν ἀλιτροτάτοιο φέροντες,
Θῆρα, φυτὸν, βροτὸν, ὄρνιν, ὄφιν, κύνα, ἰχθὺν ἔτευξαν.
Πολλάκι καὶ δὶς ἕκαςον, ἐπὴν τόδε κύκλος ἀνώγῃ.
Μέχρι τίνος; θηρὸς δὲ σοφοῦ λόγον οὔποτ' ὄπωπα,
Οὐδὲ θάμνον λαλέουσαν. Ἀεὶ λακέρυζα κορώνη·
Αἰεὶ δ' ἰχθὺς ἄναυδος ὑγρὴν διανήχεται ἅλμην.
Εἰ δὲ καὶ ὑςατίη [3]) ψυχῆς τίσις, ὡς ἐνέπουσι
Κεῖνοι, τῶν ὅδ' ἐλεγμὸς ἐτώσιος. Εἰ μὲν ἀσάρκου,
Θαῦμα μέγ'. Εἰ δ' ἅμα σαρκὶ, τίν' ἐκ πλεόνων πυρὶ δώσεις;
Καὶ τότε θαῦμα μέγιςον, ἐπεὶ πλεόνεσσιν ἔδησας
Σώμασι, καὶ πλεόνων με δαήμονα θήκατο δεσμός·
Πῶς τόδε μοῦνον ἄλυξεν ἐμὴν φρένα, τίς με πάροιθεν

---

[1]) Εἰ δὲ μένει, т. е. ἔχει μένος, въ противоположность предъидущему ἐςὶ χυτή; въ такомъ случаѣ спрашивается: τί δ' ἔσχε, какія свойства она имѣла и какія еще получила въ утробѣ матери? См. Νικητ. Δαβὶδ ἐξήγ. τῶν ἐπῶν τοῦ Γρηγ. Θεολ. Migne T. XXXVIII. p. 690.

[2]) Ἰξίων, царь Θессалійскій, о которомъ въ греческомъ баснословіи говорится, что онъ сдѣлалъ преступленіе противъ жены Зевса и за то былъ осужденъ вращаться въ тартарѣ на быстро вертящемся колесѣ; откуда и произошла греческая пословица: κύκλωμα Ἰξίονος (у Еврипида въ Финик. ст. 1192). О немъ см. въ Lübkers Reallexicon.

[3]) При кончинѣ міра.

Εἶχε δορὴ, τίς ἔπειτα, πόσοις θάνον: οὐ γὰρ ἐπλούτει
Ψυχαῖς, ὡς θυλάκοισι [1]), δέτης ἐμός. Ἦ ἄρα μακρῆς
Καὶ τόδ' ἄλης, λήθην με παθεῖν προτέρης βιότητος.

3. Ἡμέτερον δ' αἴοις ψυχῆς πέρι μῦθον ἄριςον.
Ἔνθεν ἑλὼν, τέρψιν δὲ μικρὴν ἀναμίξομεν οἴμῃ.
Ἦν ποτε ἦν ὅτε κόσμον ἐπήξατο νοῦ Λόγος αιπὺς,
Ἑσπόμενος μεγάλοιο νόῳ Πατρὸς, οὐ πρὶν ἐόντα.
Εἶπεν ὅδ', ἐκτετέλεςο ὅσον θέλεν. Ὡς δὲ τὰ πάντα
Κόσμος ἔην, γαίη τε καὶ οὐρανὸς ἠδὲ θάλασσα,
Δίζετο καὶ σοφίης ἐπιίςορα μητρὸς ἁπάντων,
Καὶ χθονίων βασιλῆα θεουδέα, καὶ τόδ' ἔειπεν·
Ἤδη μὲν καθαροὶ καὶ ἀείζωοι θεράποντες
Οὐρανὸν εὐρὺν ἔχουσιν ἁγνοὶ νόες, ἄγγελοι ἐσθλοὶ,
Ὑμνοπόλοι μέλποντες ἐμὸν κλέος οὔποτε λῆγον·
Γαῖα δ' ἔτι ζώοισιν ἀγάλλεται ἀφραδέεσσι.
Ξυνὸν δ' ἀμφοτέρωθεν ἐμοὶ γένος εὔαδε πῆξαι
Θνητῶν τ' ἀθανάτων τε νοήμονα φῶτα μεσηγὺ,
Τερπόμενόν τ' ἔργοισιν ἐμοῖς, καὶ ἐχέφρονα μύςην
Οὐρανίων, γαίης τε μέγα κράτος, ἄγγελον ἄλλον
Ἐκ χθονὸς, ὑμνητῆρα ἐμῶν μενέων τε, νόου τε.
Ὡς ἄρ' ἔφη, καὶ μοῖραν ἑλὼν νεοπηγέος αἴης,
Χείρεσιν ἀθανάτῃσιν ἐμὴν ἐςήσατο μορφὴν,
Τῇ δ' ἄρ' ἑῆς ζωῆς μοιρήσατο. Ἐν γὰρ ἔηκε
Πνεῦμα, τὸ δὴ θεότητος ἀειδέος ἐςὶν ἀποῤῥώξ.
Ἐκ δὲ χοὸς πνοιῆς τε πάγην βροτὸς ἀθανάτοιο
Εἰκών· ἡ γὰρ ἄνασσα νόου φύσις ἀμφοτέροισι.
Τοὔνεκα καὶ βίοτον τὸν μὲν ςέργω διὰ γαῖαν,
Τοῦ δ' ἔρον ἐν ςήθεσσιν ἔχω θείαν διὰ μοῖραν.

4. Ἧδε μὲν ἀρχεγόνοιο βροτοῦ δέσις. Αὐτὰρ ἔπειτα
Σῶμα μὲν ἐκ σαρκῶν, ψυχὴ δ' ἐπιμίσγετ' αἴςως,
Ἔκτοθεν εἰσπίπτουσα πλάσει χοός. Οἶδεν ὁ μίξας,
Πῶς πρῶτόν τ' ἔπνευσε καὶ εἰκόνα δήσατο γαίῃ,

---

[1]) Θύλακος, вмѣстилище, мѣшокъ; здѣсь означаетъ тѣло человѣческое, соединяемое съ душею.

Εἰ μὴ τόνδε λόγον τις, ἐμοῖς ἐπέεσσιν ἀρήγων,
Θήσει θαρσαλέως τε, καὶ ἑσπόμενος πλεόνεσσιν·
Ὡς καὶ σῶμα τὸ πρῶτον ἀπὸ χθονὸς ἄμμι κερασθὲν,
Ὕστερον ἀνδρομέη ῥύσις ἔπλετο, οὐδ' ἀπολήγει
Ἄλλοτε ἄλλον ἔχουσα βροτὸν πλαστῆς ἀπὸ ῥίζης·
Καὶ ψυχὴ πνευσθεῖσα Θεοῦ πάρα, κεῖθεν ἔπειτα
Ἀνδρομέοισι τύποισι συνέρχεται ἀρτιγένεθλος,
Σπέρματος ἐκ πρώτοιο μεριζομένη πλεόνεσσι,
Θνητοῖς ἐν μελέεσσιν ἀεὶ μένον εἶδος ἔχουσα.
Τοὔνεκεν ἡγεσίην νοερὴν λάχεν. Ὡς δ' ἐνὶ τυτθοῖς
Πνεῦμα [1]) μέγα ξεινόν τε καὶ ἔκτροπον ἴαχεν αὐλοῖς
Καὶ μάλα ἴδριος ἀνδρὸς, ἐπὴν δ' εἰς χεῖρας ἵκωνται
Εὐρύποροι, τημόσδε τελειοτέρην χέον ἠχὴν,
Ὣς ἥγ' ἀδρανέεσσιν ἐν ἅψεσιν [2]) ἀδρανέουσα,
Πηγνυμένοις συνέλαμψε, νόον δέ τε πάντ' ἀνέφηνεν.
5. Αὐτὰρ ἐπειδὴ τεῦξεν ἑὸν βροτὸν ἄφθιτος Υἱός,
Ὄφρα κε κῦδος ἔχῃσι νέον, καὶ γαῖαν ἀμείψας
Ἤμασιν ὑστατίοισι Θεῷ Θεὸς ἔνθεν ὁδεύσῃ,
Οὔτε μιν οὔτ' ἀνέηκεν ἐλεύθερον, οὔτε τι πάμπαν
Δήσατο· θεὶς δὲ νόμον τε φύσει. καὶ ἐσθλὰ χαράξας
Ἐν κραδίῃ, γυάλοισιν ἀειθαλέος παραδείσου
Θῆκέ μιν ἀμφιτάλαντον [3]), ὅπη ῥέψειε δοκεύων,
Γυμνὸν ἄτερ κακίης τε καὶ εἴδεος ἀμφιθέτοιο [4]).
Ζωὴ δ' οὐρανίη πέλεται παράδεισος ἔμοιγε.
Τοῦ ῥά μιν ἐντὸς ἔθηκε λόγων δρηστῆρα [5]) γεωργόν.
Οἴου μιν ἀπέεργε τελειοτέροιο φυτοῖο,
Ἐσθλοῦ τ' ἠδὲ κακοῖο διάκρισιν ἐντὸς ἔχοντος

---

[1]) Πνεῦμα, дыханіе, относится къ ἴδριος ἀνδρός.

[2]) Ἄψος, составъ, членъ тѣла.

[3]) Ἀμφιτάλαντος (изъ ἀμφὶ и τάλαντον вѣсы), равновѣсный, не склоняющійся и вмѣстѣ готовый склониться на ту или другую сторону.

[4]) Ἀμφίθετος (изъ ἀμφὶ и τίθημι) говорится о сосудѣ, который можетъ быть поставленъ и на нижнемъ и на верхнемъ основаніи. Въ нравственномъ смыслѣ: двуличный, коварный, порочный.

[5]) Λόγων δρηστήρ, исполнитель глаголовъ Божіихъ, хранитель заповѣдей.

Τὴν τελέην. Τελέη γὰρ ἀεξομένοισιν ἀρείων,
Ἀλλ᾽ οὐκ ἀρχομένοισιν· ἐπεὶ τόσον ἐςὶ βαρεῖα.
Ὅσσον νηπιάχοισι τελειοτέρη τις ἐδωδή.
Ἀλλ᾽ ἐπεὶ οὖν φθονεροῖο παλαίσμασιν ἀνδροφόνοιο,
Θηλυτέροιο λόγοιο παραιφασίῃσι πιθήσας,
Γεύσατο μὲν καρποῖο προώριος ἡδυβόροιο,
Δερματίνους δὲ χιτῶνας ἐφέσσατο σάρκα βαρεῖαν
Νεκροφόρος (θανάτῳ γὰρ ἁμαρτάδα Χριςὸς ἔκερσεν),
Ἦλθε μὲν ἄλσεος ἐκτὸς ἐπὶ χθόνα, τῆς γένος ἦεν,
Καὶ ζωὴν πολύμοχθον ἐδέξατο. Τῷ δ᾽ ἄρ᾽ ἔθηκε
Ζῆλον [1] ἑὸν πυρόεντα φυτῷ κληῖδ᾽ ἐριτίμῳ,
Μή τις Ἀδάμ, ὁ πρόσθε, προώριος [2] ἐντὸς ἵκηται,
Πρὶν πτόρθου γλυκεροῖο φυγεῖν δαπτρεῖαν ἐδωδὴν,
Καὶ ζωῆς πελάσειε φυτῷ κακός· ὡς δ᾽ ὑπ᾽ ἀήταις
Χειμερίοις παλίνορσος ἀλίπλοος ἦλθεν ὀπίσσω,
Αὖθις δ᾽ ἠὲ πνοιῇσιν ἐλαφροτέρῃσι πετάσας
Ἱςίον, ἢ ἐρέτῃσι μόγῳ πλόον αὖθις ἄνυσσεν,
Ὣς ἡμεῖς μεγάλοιο Θεοῦ ἀπὸ τῆλε πεσόντες,
Ἔμπαλιν οὐκ ἀμογητὶ φίλον πλόον ἐκπερόωμεν.
Τοίη πρωτογόνοιο νεόσπορος ἤλυθεν ἄτη
Δειλοῖσιν μερόπεσσιν, ὅθεν ςάχυς ἐβλάςησε.

---

б) Εὐχαριςήριον [3].

## Глав. 1.

1. Σοὶ χάρις, ὦ πάντων βασιλεῦ, πάντων δὲ ποιητά.
Σοὶ χάρις· ὃς τὰ νοητὰ λόγῳ, τά θ᾽ ὁρατὰ κελεύσει
Στῆσας τ᾽ οὐ πριν ἐόντα, καὶ ἐξ ἀφανοῦς κατέδειξας.
Σὸν θρόνον ἀμφιέπουσιν ἀκήρατοι ὑμνητῆρες,
Ἔνθεν μυριάδες, καὶ χιλιάδες πάλιν ἔνθεν,

---

[1]) Ζῆλος въ смыслѣ запрещенія: указывается на пламенный мечъ Херувима, охранявшаго входъ въ рай. Быт. 3. 24.

[2]) Προώριος, преждевременный, объясняется послѣдующими словами: πρὶν φυγεῖν.

[3]) Подразумѣвается: ἔπος. Метръ и діалектъ—тѣже.

Ἀγγελικῆς στρατιῆς πυρόεις χορός, ἄφθιτοι ἀρχὴν
Λαοὶ πρωτοτόκων, καὶ λαμπομένων χορὸς ἄστρων·
Πνεύματα θεσπεσίων ἀνδρῶν, ψυχαί τε δικαίων,
Πάντες ὁμηγερέες, καὶ σὸν θρόνον ἀμφιέποντες,
Γηθοσύνῃ τε, φόβῳ τε διηνεκὲς ἀείδουσι
Ὕμνον ἀνυμνείοντες ἀκήρατον, ἠ καὶ ἄπαυστον·
Σοὶ χάρις, ὦ πάντων βασιλεῦ, πάντων δὲ ποιητά.
Οὗτος ἀκήρατος ὕμνος ἐπ᾽ οὐρανίοιο χοροῖο.
Ναὶ λίτομαι κἀγώ, Πάτερ ἄφθιτε, καὶ γόνυ κάμπτω
Ἡμετέρης κραδίης, Πάτερ ἄμβροτε, καὶ νόος ἔνδον
Πρηνὴς σου προπάροιθε· κάρη δέ μοι ἐς χθόνα νεύει
Λισσομένῳ· κεῖμαι δ᾽ ἱκέτης, καὶ δάκρυα χεύω.
Οὐδὲ γὰρ ἄξιός εἰμι πρὸς οὐρανὸν ἀντία λεύσσειν,
Ἀλλὰ σύ μ᾽ οἰκτείροις, ἐλέους Πάτερ. ἵλαος ἔσσο
Σῷ κινυρῷ θεράποντι· σάου [1]) δέ με χεῖρα τανύσσας
Ἐξ ὀνύχων θανάτοιο, νοήματα πάντα καθήρας.
Μή μ᾽ ἀπογυμνώσῃς σοῦ Πνεύματος, ἀλλ᾽ ἔτι μᾶλλον
Χεῦε μένος καὶ θάρσος ἐνὶ στήθεσσιν ἐμοῖσιν·
Ὄφρα σε καὶ κραδίῃ, καὶ χείλεσι καλὸν ἀείσω.
Ὥσπερ ἐμῷ γενετῆρι [2]), σῷ θεράποντι παρέσχης,
Δὸς καὶ ἐμοὶ καθαρὸν βίοτον, καθαράν τε τελευτήν,
Ἐλπωρήν τε τυχεῖν ἀγαθήν, ἔλεόν τε, χάριν τε·
Πάντα δ᾽ ἀμαλδύνει, ὅσα ἤλιτον ἐκ νεότητος,
Ὡς ἀγαθὸς βασιλεύς· ὅτι σοὶ χάρις ἤματα πάντα,
Σοὶ χάρις ἤματα πάντα, καὶ εἰς αἰῶνας ἅπαντας.

---

### в) Περὶ τῆς ἀνθρωπίνης φύσεως [3]).

## Глав. 1—5.

1. Χθιζὸς ἐμοῖς ἀχέεσσι τετρυμένος, οἶος ἀπ᾽ ἄλλων
Ἥμην ἐν σκιερῷ ἄλσεϊ, θυμὸν ἔδων.

---

[1]) Σάου (отъ σάω, или σάομαι), тоже, что σῶζε.

[2]) Подъ γενετὴρ разумѣется отецъ св. Григорія Б...слова, Епископъ Назіанскій св. Григорій.

[3]) Это стихотвореніе написано елегическими двустишіями, состоящими изъ экзаметровъ и пентаметровъ; діалектомъ же Іонійскимъ.

Καὶ γάρ πως φιλέω τόδε φάρμακον ἐν παθέεσσιν,
  Αὐτὸς ἐμῷ θυμῷ προσλαλέειν ἀκέων.
Αὖραι δ' ἐψιθύριζον ἅμ' ὀρνιθέεσσιν ἀοιδοῖς,
  Καλὸν ἀπ' ἀκρεμόνων κῶμα χαριζόμεναι
Καὶ μάλα περ θυμῷ κεκαμηότι. Οἱ δ' ἀπὸ δένδρων
  Στηθομελεῖς [1]), λιγυροί, ἠελίοιο φίλοι,
Τέττιγες λαλαγεῦντες ὅλον κατεφώνεον ἄλσος.
  Πὰρ δ' ὕδωρ ψυχρὸν ἐγγὺς ἔκλυζε πόδας,
Ἦκα ῥέον δροσεροῖο δι' ἄλσεος. Αὐτὰρ ἔγωγε
  Τὼς ἐχόμην κρατερῶς ἄλγεος, ὣς ἐχόμην.
Τῶν μὲν ἄρ' οὐκ ἀλέγιζον, ἐπεὶ νόος, εὖτε πυκασθεὶς
  Ἄλγεσιν, οὐκ ἐθέλει τέρψιος ἀντιάειν.
Αὐτὸς δὲ, στροφάλιγξιν ἑλισσομένοιο νόοιο,
  Τοίην ἀντιπάλων δῆριν ἔχων ἐπέων·
Τίς γενόμην, τίς δ' εἰμὶ, τί δ' ἔσσομαι; οὐ σάφα οἶδα,
  Οὐδὲ μὲν ὅστις ἐμοῦ πλειότερος σοφίην.
Ἀλλ' αὐτὸς νεφέλῃ κεκαλυμμένος ἔνθα καὶ ἔνθα
  Πλάζομαι, οὐδὲν ἔχων, οὐδ' ὄναρ, ὧν ποθέω.
Πάντες γὰρ χθαμαλοὶ καὶ ἀλήμονες, οἷσι παχείης
  Σαρκὸς ἐπικρέμαται κυανέη νεφέλη.
Κεῖνος δ' ἐστιν ἐμεῖο σοφώτερος, ὃν πλέον ἄλλων
  Ἥπαφεν ἧς κραδίης ψεῦδος ἑτοιμολόγον [2]).
2. Εἰμί. Φράζε, τί τοῦτο; τὸ μὲν παρέθρεξεν ἐμεῖο·
  Ἄλλο δὲ νῦν τελέθω, ἀλλ' ἔσομ', εἴ γ' ἔσομαι.
Ἔμπεδον οὐδέν· ἔγωγε ῥόος θολεροῦ ποταμοῖο
  Αἰὲν ἐπερχόμενος, ἑστὸς οὐδὲν ἔχων.
Τίπτε με τῶνδ' [3]) ἐρέεις; τί δέ σοι πλέον εἰμί, δίδαξον.
  Καὶ νῦν τῇδε μένων, δέρκεο μή σε φύγω.
Οὔτε δὶς ὃν τοπάροιθε, ῥόον ποταμοῖο περήσεις
  Ἔμπαλιν, οὔτε βροτὸν ὄψεαι, ὃν τοπάρος [4]).

---

[1]) Στηθομελής (изъ στῆθος—грудь, и μέλος—пѣснь), изъ груди произносящій пѣснь; эпитетъ, относящійся къ слову: кузнечикъ.

[2]) Ἑτοιμολόγος въ смыслѣ: готовый говорить обо всемъ.

[3]) Τί τῶν δὲ, чѣмъ изъ этихъ (трехъ).

[4]) Πάρος и πάροιθε, съ прибавленіемъ члена τὸ, прежде, или прежде-бывшее.

Ἦν πάρος ἐν χροΐ πατρὸς, ἔπειτά μ' ἐδέξατο μήτηρ,
Ξυνὸν δ' ἀμφοτέρων. Ἔνθεν ἔπειτα κρέας
Ἄκριτον, ἄβροτον [1]), αἶσχος ἀνείδεον, οὔτε λόγοιο,
Οὔτε νόου μετέχον, μητέρα τύμβον ἔχον.
Δὶς ταφέες, ζώοντες ἐπὶ φθορᾷ. Ἣν γὰρ ὁδεύω
Ζωὴν, τὴν δ' ὁρόω τῶν ἐτέων δαπάνην,
Ἥ μοι γῆρας ἔχευεν ὀλοίϊον. Εἰ δέ με κεῖθι
Αἰὼν οὐ φθινύθων δέξεται, οἷα φάτις [2]),
Φράζεο, μὴ ζωὴ μὲν ἔχῃ μόρον, ἡ δὲ τελευτὴ
Ζωή σοί γε πέλῃ, ἔμπαλιν ἢ δοκέεις.
Οὐδὲν ἔφυν. Τί κακοῖσι δαμάζομαι, ὥς τι πεπηγός;
Τοῦτο γὰρ ἡμερίων [3]) ἄτροπόν ἐστι μόνον,
Συμφυὲς, ἀσυφέλικτον, ἀγήραον. Ἐξότε κόλπων
Μητρὸς ὀλισθήσας πρῶτον ἀφῆκα δάκρυ,
Ὁσσατίοις, οἵοις τε συναντήσασθαι ἔμελλον
Πήμασι, δακρυχέων πρὶν βιότοιο θίγω!
Χώρην μέν τιν' ἄθηρον ἀκούομεν, ὥς ποτε Κρήτην [4]),
Καί τινα καὶ κρυερῶν ἀλλοτρίην νιφάδων.
Θνητῶν δ' οὔ ποτέ τις τόδ' ἐπεύξατο, ὡς ἀδάμαστος
Τοῦδε βίου ζυγερῶν ἔνθεν ἀπῆλθε μόγων.
Ἀδρανίη, πενίη τε, τόκος, μόρος, ἔχθος, ἀλιτροὶ,
Θῆρες ἁλὸς, γαίης, ἄλγεα, πάντα βίος.
Πήματα μὲν καὶ πάμπαν ἀτερπέα πόλλ' ἐνόησα,
Τῶν δ' ἀγαθῶν οὐδὲν πάμπαν ἄμοιρον ἄχους,
Ἐξέτι τοῦ [5]), ὅτε μοι πικρὴν ἐπομόρξατο ποινὴν
Γεῦσίς τ' οὐλομένη, καὶ φθόνος ἀντιπάλου.
Σοὶ μὲν δὴ, σὰρξ, τοῖα δυσαλθέϊ, εὐμενέοντι
Ἐχθρῷ, καὶ πολέμῳ οὔποτε λυομένῳ,

---

[1]) Ἄβροτος въ смыслѣ не похожій на человѣка.

[2]) Οἷα φάτις, какъ говорятъ.

[3]) Ἡμέριοι, или ἐφημέριοι, употребляется у поэтовъ вмѣсто θνητοὶ или ἄνθρωποι.

[4]) Критъ или Кандія, островъ на Средиземномъ морѣ. Ἄθηρος χώρα, страна безъ дикихъ звѣрей, упоминается у Геродота, 4. 185.

[5]) Ἐξέτι (изъ ἐξ и ἔτι) τοῦ, тоже, что ἐκ τότε, съ тѣхъ поръ. Здѣсь разумѣется искушеніе первыхъ людей зміемъ въ раю. Быт. 3. 1.

Θηρὶ πικρὸν σαίνοντι, πυρὶ ψύχοντι, τὸ θαῦμα!
 Θαῦμα μέγ' εἴ ποτ' ἐμοί γ' ὕστατον εὐμενέοις.
3. Ψυχὴ, σοὶ δ' ἄρ' ἔπειτα λελέξεται ὅσσ' ἐπέοικε.
 Τίς, πόθεν, ἢ τί πέλεις; τίς δέ σε νεκροφόρον
Θήκατο, καὶ ζυγερῇσι πέδαις ἐνέδησε βίοιο,
 Ἐς χθόνα βριθομένην πάντοτε: πῶς ἐμίγης
Πνεῦμα πάγει, σαρξὶν δὲ νόος, καὶ ἄχθεϊ κούφη;
 Ταῦτα γὰρ ἀλλήλοις μάρναται ἀντιθέτως.
Εἰ μὲν δὴ σάρκεσσιν ὁμόσπορος ἐς βίον ἦλθες,
 Ὤ μοι συζυγίης τηλόθεν οὐλομένης!
Εἰκὼν εἰμι Θεοῖο, καὶ αἴσχεος υἱὸς ἐτύχθην·
 Αἰδέομαι τιμῆς μητέρα μαργοσύνην.
Ῥεῦσις γάρ μ' ἐφύτευσεν, ὁ δ' ἔφθιτο· νῦν βροτός· αὖθις
 Οὐ βροτὸς, ἀλλὰ κόνις· ἐλπίδες ὕστατιαι.
Εἰ δὲ σύ γ' οὐρανίη, τίς, ὅθεν; ποθέοντα δίδαξον.
 Εἰ μὲν ἄγημα Θεοῦ καὶ λάχος, ὡς φρονέεις,
Ῥίψον ἀτασθαλίην, καὶ πείθομαι. Οὐ γὰρ ἔοικε
 Τοῦ καθαροῦ ῥυπαρὴν ἔμμεναι, οὐδ' ὀλίγον.
Οὐδὲ γὰρ ἠελίοιο λάχος σκότος, οὐδὲ πονηροῦ
 Πνεύματος αἰγλῆεν ἔκγονον ἐξεφάνη.
Πῶς δ' ὀλοοῦ Βελίαο τινάγμασι τόσσον ἐλαύνῃ,
 Καί περ ἐπουρανίῳ Πνεύματι κιρναμένη [1];
Εἰ γὰρ τοῖον ἔχουσα βοηθόον ἐς χθόνα νεύεις,
 Αἴ αἴ τῆς ἀκράτου σῆς ὀλοῆς κακίης!
Εἰ δ' οὐ μοι θεόθεν σὺ, τίς ἡ φύσις; ἢ μέγα τάρβος,
 Μή ποτε μαψιδίῳ κύδεϊ φυσιόω.
4. Πλάσμα Θεοῦ, παράδεισος, Ἔδεμ, κλέος, ἐλπὶς, ἐφετμὴ,
 Ὄμβρος ὁ κοσμολέτης, ὄμβρος ὁ πυρσοπόλος,
Αὐτὰρ ἔπειτα νόμος, γραπτὸν ἄκος· αὐτὰρ ἔπειτα
 Χριστὸς ἐὴν μορφὴν ἡμετέρῃ κεράσας,
Ὥς κεν ἐμοῖς παθέεσσι παθὼν Θεὸς, ἄλκαρ ὀπάζοι,
 Καί με θεὸν τελέσῃ εἴδεϊ τῷ βροτέῳ.

---

[1] 2 Κορ. 6, 15.

Ἀλλ᾽ ἔμπης ἀδάμαςον ἔχω μένος, ἐς δὲ σίδηρον
Αὐτοφόνῳ μανίῃ σπεύδομεν, ὥςε σύες.
Τίπτ᾽ ἀγαθὸν βιότοιο; Θεοῦ φάος; ἀλλ᾽ ἄρα καὶ τοῦ
Εἴργει με φθονερὴ καὶ ςυγερὴ σκοτίη.
Οὐδὲν πλεῖον ἔμοιγε. Τί δ᾽ οὐ πλέον ἐστὶ κακοῖσιν;
Αἴθε γὰρ ἶσον ἔχον, καὶ μάλα περ μογέων!
Κεῖμ᾽ ὀλιγοδρανέων· τάρβος δέ με θεῖον ἔκαμψε·
Τετρυμ᾽ ἠματίαις φροντίσι καὶ νυχίαις.
Οὗτος ὁ βρισαυχην [1]) με καὶ ὕπτιον ὦσεν ὀπίσσω,
Λὰξ ἐπιβάς. Σὺ δέ μοι δείματα πάντα λέγε,
Τάρταρον ἠερόεντα, πυριφλεγέθοντας, ἱμάσθλας,
Δαίμονας, οἳ ψυχῶν πράκτορες ἡμετέρων.
Μῦθος ἅπαντα κακοῖσι, τὸ δ᾽ ἐν ποσὶ μοῦνον ἄριςον·
Οὐδὲν ἐπιςρέφεται τῆς βασάνου κακίη.
Λώϊον ἦν ἀλιτροῖσιν ἐς ὕςερον ἔμμεν᾽ ἄτιτα,
Ἢ ἐμὲ νῦν κακίης πήμασιν ἀσχαλάαν.
Ἀλλὰ τί μοι, βροτέων τί δέ μοι τόσον ἄλγε᾽ ἀείδειν;
Ἡμετέρης γενεῆς πᾶσιν ἔπεςιν ἄχος.
Οὔ μοι χθὼν ἀτίνακτος, ἀλα κλονέουσιν ἀῆται.
Ὧραι δ᾽ ἀλλήλαις εἶξαν ἐπεσσύμεναι.
Νὺξ ἦμαρ κατέπαυσε, τὸ δ᾽ ἤχλυσεν ἠέρα χεῖμα,
Ἄςρασιν ἠέλιος, ἠελίῳ δὲ νέφος
Κάλλος ἀπημάλδυνε, παλίζωος δὲ σελήνη·
Αὐτὰρ ὅγ᾽ ἡμιφανὴς οὐρανὸς ἀςερόεις
Καὶ σύ ποτ᾽ ἀγγελικοῖσιν, ἑωσφόρος, ἦσθα χοροῖσι,
Βάσκανε, νῦν δ᾽ ἔπεσες αἶσχος ἀπ᾽ οὐρανίων [2]).
5. Ἵλαθί μοι, βασίλεια κεδνή, Τριάς, οὐδὲ σὺ πάμπαν
Γλῶσσαν ἐφημερίων ἔκφυγες ἀφραδέων.
Πρόσθε Πατήρ, μετέπειτα Παῖς μέγας, αὐτὰρ ἔπειτα
Πνεῦμα Θεοῦ μεγάλου, βάλλετ᾽ ἐπεσβολίαις.

---

[1]) Ὁ βρισαύχην (изъ βρίθω и αὐχήν), имѣющій отягченную шею, или отягчающій чью-либо шею. Вѣроятно, здѣсь разумѣется страхъ при мысли о будущей участи.

[2]) Исаіи 14. 12.

Ποῖ ςήσεις με φέρουσα κακοφραδὲς ἔνθε, μέριμνα;
"Ιςασο. Πάντα Θεοῦ δεύτερα. Εἶκε λόγῳ.
Οὐ δέ με μαψιδίως τεῦξεν Θεός. Ἔμπαλιν ᾠδῆς
"Ιςαμαι· ἡμετέρης τοῦτ' ὀλιγοφρενίης.
Νῦν ζόφος, αὐτὰρ ἔπειτα λόγος, καὶ πάντα νοήσεις,
Ἢ Θεὸν εἰσορόων, ἢ πυρὶ δαπτόμενος.
Ὣς μοι ταῦτ' ἐπάεισε φίλος νόος, ἄλγος ἔπεσσεν.
Ὀψὲ δ' ἀπὸ σκιεροῦ ἄλσεος οἴκαδ' ἔβην,
Ἄλλοτε μὲν γελόων ἑτερόφρονα, ἄλλοτε δ' αὖτε
Κῆρ ἄχεϊ σμύχων, μαρναμένοιο νόου.

---

г) Περὶ ζωῆς ἀνθρωπίνης [1].

## Глав. 1—2.

1. Ὁ χοῦς, ὁ πηλὸς, ἡ παλίςροφος κόνις.
Τῇ γῇ γὰρ ἡ γῆ συμβιβάζεται πάλιν,
Καὶ σπαργανοῦται τῷ γεώδει σπαργάνῳ,
Καὶ χοῦς πάλιν πρόεισιν ὥσπερ ἡ κόνις,
Ἣν ἡ βιαία συςροφὴ τῶν πνευμάτων
Πρὸς ὕψος ἐξαίρουσα συςέλλει κάτω.
Οὕτω γὰρ ἡμῶν τὸν πολύςροφον βίον
Αἱ τῶν πονηρῶν πνευμάτων καταιγίδες
Πρὸς ὕψος ἐξαίρουσι καὶ δόξαν νόθον·
Αὖθις δὲ χοῦς κάτεισι καὶ μένει κάτω,
Ἕως ὁ τοῦ κτίσαντος ἁρμόσῃ [2]) λόγος
Τῶν συνδεθέντων τὴν ἀναγκαίαν λύσιν.
Νῦν δὲ προκύψας, ὥσπερ ἔκ τινος βάθους,
Ὁ χοῦς ὁ θείᾳ πνευματωθεὶς εἰκόνι,
Καὶ τὰς γεώδεις ἐκβοᾷ τραγῳδίας,
Καὶ τὸν γελᾶν δοκοῦντα δακρύει βίον.

---

[1]) Метръ, которымъ написано это стихотвореніе, есть шестистопный ямбъ, или ямбическій триметръ.

[2]) Ἁρμόζειν въ смыслѣ: возстановлять, вновь соединять.

2. Τροχός τίς ἐςιν ἀςάτως πεπηγμένος,
Ὁ μικρὸς οὗτος καὶ πολύτροπος βίος.
Ἄνω κινεῖται, καὶ περισπᾶται κάτω·
Οὐχ ἵςαται γὰρ, κἂν δοκῇ πεπηγέναι.
Φεύγων κρατεῖται, καὶ μένων ἀποτρέχει.
Σκιρτᾷ δὲ πολλὰ, καὶ τὸ φεύγειν οὐκ ἔχει.
Ἕλκει, καθέλκει [1]) τῇ κινήσει τὴν ςάσιν.
Ὡς οὐδὲν εἶναι τὸν βίον διαγράφων,
Ἢ καπνὸν, ἢ ὄνειρον, ἢ ἄνθος χλόης.

---

д) Παραινέσεις [2]).

## Глав. 1.

1. Αρχὴν ἁπάντων καὶ τέλος ποιοῦ Θεόν.
Βίου τὸ κέρδος, ἐκβιοῦν καθ' ἡμέραν.
Γίνωσκε πάντα τῶν καλῶν τὰ δράματα.
Δεινὸν πένεσθαι, χεῖρον δ' εὐπορεῖν κακῶς.
Εὐεργετῶν νόμιζε μιμεῖσθαι Θεόν.
Ζήτει Θεοῦ σοι χρηςότητα χρηςὸς ὤν.
Ἡ σὰρξ κρατείσθω καὶ δαμαζέσθω καλῶς.
Θυμὸν χαλίνου, μὴ φρενῶν ἔξω πέσῃς.
Ἵςη μὲν ὄμμα, γλῶσσα δὲ ςάθμην ἔχοι.
Κλεὶς ὠσὶ κείσθω, μηδὲ πορνεύοι γέλως.
Λύχνος βίου σοι παντὸς ἡγείσθω λόγος [3]).
Μὴ σοι τὸ εἶναι τῷ δοκεῖν ὑποῤῥέοι [4]).
Νόει τὰ πάντα, πρᾶσσε δ' ἃ πράσσειν θέμις.
Ξένον σεαυτὸν ἴσθι, καὶ τίμα ξένους.

---

[1]) Ἕλκω—влеку впередъ; καθέλκω—влеку назадъ.

[2]) Это стихотвореніе, написанное также ямбическимъ триметромъ, заключаетъ въ начальныхъ буквахъ своихъ акростихъ (ἡ ἀκροςιχίς), изъ 24 буквъ греческаго алфавита. Каждая строка составляетъ отдѣльный стихъ съ нравственнымъ назиданіемъ (παραίνεσις).

[3]) Λόγος въ смыслѣ разума.

[4]) Ὑποῤῥέω (изъ ὑπό и ῥέω), мало по малу утекаю, или теку ниже чего-либо другаго. Смыслъ рѣчи: дѣйствительность не должна быть ниже видимости.

Ὅτ' εὐπλοεῖς, μάλιστα μέμνησο ζάλης.
Πάντ' εὐχαρίστως δεῖ δέχεσθαι τἀκ Θεοῦ.
Ῥάβδος δικαίου πλεῖον, ἢ τιμὴ κακοῦ [1]).
Σοφῶν θύρας ἔκτριβε, πλουσίων δὲ μή.
Τὸ μικρὸν οὐ μικρόν, ὅτ' ἐκφέρῃ μέγα.
Ὕβριν χαλίνου, καὶ μέγας ἔσῃ σοφός.
Φύλασσε σαυτόν, πτῶμα δ' ἄλλου μὴ γέλα.
Χάρις φθονεῖσθαι, τὸ φθονεῖν δ' αἶσχος μέγα.
Ψυχὴ θύοιτο μᾶλλον ἢ τὸ πᾶν Θεῷ.
Ὦ τίς φυλάξει ταῦτα, καὶ σωθήσεται;

---

## e) Εἰς τὴν ἑαυτοῦ ψυχήν [2]).

## Глав. 1—4.

1. Τί σοι θέλεις γενέσθαι;
Ψυχὴν ἐμὴν ἐρωτῶ.
Τί σοι μέγ' ἢ τι μικρὸν
Τῶν τιμίων βροτοῖσι;
Ζήτει μόνον τι λαμπρόν,
Καὶ δώσομεν προθύμως.
Θέλεις τὰ Γύγεω σοι
Τοῦ Λυδίου γενέσθαι,
Καὶ δακτύλῳ τυραννεῖν,
Τὴν σφενδόνην ἑλίσσων,
Κρύπτουσαν, εἰ κρύπτοιτο,
Φαίνουσαν, εἰ φαίνοιτο [3]);
Θέλεις τὰ Μίδεω σοι
Τοῦ πλουσίως θανόντος,
Ὧ χρυσὸς ἦν τὰ πάντα,
Χρυσοῦν φέροντα λιμόν,
Εὐχῆς δίκην ἀμέτρου [4]);
Θέλεις λίθους διαυγεῖς,
Πλάτη τε γῆς λιπώσης,
Καὶ ποιμνίων ἀριθμούς,

---

[1]) Ῥάβδος, жезлъ, въ смыслѣ наказанія. Псал. 140. 4, 5.

[2]) Метръ этого стихотворенія, названный въ греческомъ подлинникѣ ἡμίαμβοι, есть анакреонтическій, такъ называемый по имени греческаго лирическаго поэта Анакреона, жившаго въ 6 мъ вѣкѣ до Р. Хр., состоящій изъ трехъ ямбовъ и одного слога на концѣ: схема его ˘—˘—˘—‿

[3]) О Гигесѣ, царѣ Лидійскомъ (въ 716—678 до Р. Хр.) и баснословномъ перстнѣ его, посредствомъ котораго можно было сдѣлаться невидимымъ, говорятъ Геродотъ въ Истор. 1. 8—14, и Платонъ въ Полит. 2. 359. Γύγου δακτύλιος—выраженіе, обратившееся у Грековъ въ пословицу. См. и Leutsch. въ указ. соч.

[4]) О Мидасѣ, царѣ Ѳракійскомъ и потомъ Фригійскомъ, жившемъ до войны Троянской, и баснословномъ превращеніи въ золото всего, къ чему онъ прикасался, см. въ Lübkers Reallexicon.

Βοῶν τε καὶ καμήλων;
Οὐ ταῦτα δώσομέν σοι·
Λαβεῖν γὰρ οὐδὲ λῷον,
'Αλλ' οὔτ' ἐμοιγ' ἄνυςον.
"Ερριψα γὰρ μερίμνας,
'Αφ' οὗ Θεῷ προσῆλθον.
Θέλεις θρόνους τε κ' ἀρχὰς,
Καιροῦ φρύαγμα πίπτον,
"Ιν' αὔριον καθεσθῇς
Κάτω βλέπων ταπεινὸν,
"Αλλου τραχηλιῶντος,
"Ος ἦν παραςάτης σοι,
Τυχὸν δὲ καὶ κακῶν τις;
Θέλεις γάμῳ δεθῆναι,
Βλακεύμασιν ἀνάγνοις,
Καιροῖς δὲ συςραφῆναι [1];
Θέλεις νόσον γλυκεῖαν,
Εὐτεκνίας μέριμναν;
Εὐτεκνιαν δ' ἂν εἴπω
Δυστεκνίαν, τί φήσεις;
Θέλεις λόγοις βοᾶσθαι,
Καὶ συλλέγειν θέατρα;
Ποθεῖς νόμους πιπράσκειν
Οὐκ ἐνδίκοις παλαισμοῖς,
Φέρειν τε καὶ φέρεσθαι
Πρὸ βημάτων ἀθέσμων;
Αἰχμὴν θέλεις τινάσσειν,
Πνέων ἀρήϊόν τι,
Καὶ ςέμμα τ' ἐξ αγώνων,
Θηροκτόνον τε κάρτος;
Ποθεῖς κρότους ἐν ἄςει,
Καὶ χάλκεος τυποῦσθαι;
Σκιὰν θέλεις ὀνείρων,
Μεταῤῥέουσαν αὔραν,
'Ροῖζον βέλους ἀνίχνου,
Ψόφον χερὸς κροτούσης;
Τί γὰρ μέγ' εὖ φρονοῦσι
Τῶν σήμερον μὲν ὄντων,
'Ες αὔριον δ' ἀπόντων,
"Ων καὶ κακοῖς μέτεςιν,
"Ων οὐ συνέρχεταί τι
'Εντεῦθεν ἐξιοῦσι;
Τί οὖν; ἐπεὶ τάδ' οὐχὶ,
Τί σοι θέλεις γενέσθαι;
Θέλεις θεὸς γενέσθαι,
Θεὸς, Θεοῦ μεγίςου
Παραςάτης φαεινὸς,
Σὺν ἀγγέλοις χορεύων;
"Ιθι, πρόβαινε, ταρσοὺς
'Οξυπτέρου μενοινῆς
Κυκλουμένη πρὸς ὕψος.
'Εγὼ πτερὸν καθαίρω·
'Εγὼ λόγοις ἐπαίρω,
'Ως εὔπτερόν τιν' ὄρνιν
'Ες αἰθέρα προπέμψω.
2. Σὺ δ', εἰπέ μοι, κάκιςον
"Ω σαρκίον δυσῶδες,
'Επεὶ συνεζύγην σοι,
'Η δεσπότις μαγείρῳ,
Τί σοι θέλεις γενέσθαι,
Πρὸς τὸ πνοὴν κρατεῖσθαι;
Οὐ γὰρ πλέον χρεωςῶ [2],

[1] Καιροὶ можетъ означать временныя обстоятельства, счастливыя или несчастныя. Если же читать καίροις (отъ καῖρος, поперечная нить въ ткани), то будетъ значить: путы, узы.

[2] Χρεωςέω или χρεωςέυω, я обязанъ, долженъ сдѣлать что-нибудь. Πλέον относится къ предъидущимъ словамъ: τὸ πνοὴν κρατεῖσθαι.

Κἂν πολλ' ἔχειν βιάζῃ.
Θέλεις τράπεζαν εὔπνουν
Μύρων τε, καὶ μαγείρων
Σοφίσμασιν περισσοῖς;
Καὶ βαρβίτων χερῶν τε
Κροτήματ' οὐκ ἄνοιςρα [1]);
Ἁβρῶν κλάσεις τε παίδων
Κινουμένων ἀνάνδρως,
Καὶ παρθένων ἑλιγμοὺς
Γυμνουμένων ἀθέσμως;
Ἃ τοῖς πότοις τυποῦσιν,
Ὅσοι φιλοῦσιν ὕβριν,
Τὸν μαινόλην ἑτοίμως
Ὑποφλέγοντες οἶνον;
Ταῦτ' εἰ θέλεις παρ' ἡμῶν,
Ἔχεις μὲν, ἀγχόνην δέ.
Τοιαῦτα [2]) τοῖς ἀπλήςοις
Ἐγὼ φίλοις πορίζω.
3. Οἶκός σε πέτρινός τις
Αὐτώροφος καλύπτῃ,
Ἢ μικρὸν ἔργον ὥρας,
Εἰ δεῖ τι καὶ πονῆσαι.
Τὸ δ' ἔσθος ᾖ καμήλων
Τρίχες, νόμῳ δικαίων,
Ἢ καὶ δέρος, παλαιᾶς
Γυμνώσεως κάλυμμα.
Στιβὰς μὲν ἡ τυχοῦσα,
Ποαὶ, κλάδοι τε θάμνων,
Ἄπλωμα πορφυροῦν τι,
Καὶ συμπόταις ἀταρβές.
Τράπεζα δ' αὐτόθεν σοι
Γλυκὺ πνέουσ' ἀνείσθω,
Ἃ γῆ φίλη δίδωσιν
Ἄτεχνα δῶρα πᾶσιν.
Ἐπεὶ δ' ἐθήκαμέν σε,
Καὶ θρέψομεν προθύμως.
Θέλεις φαγεῖν; ἔχ' ἄρτον.
Ἔχ' ἄλφιτ', εἰ παρείη·
Ἅλες δέ σοι τὸ πέμμα,
Θύμος θ' ὃν οὐ μετροῦμεν,
Ἀπραγμάτευτον ὄψον·
Ἔνδεια δ' ἄλλο μεῖζον.
Θέλεις πιεῖν; βρύει σοι
Ὕδωρ, κρατὴρ ἀείῤῥους,
Ποτὸν μέθης ἄποιον,
Ἀκλήματον γάνυσμα [3]).
Ζητεῖς δὲ καὶ τρυφᾶν τι;
Μηδ' ὀξίνης φθονείσθω.
Ἀλλ' οὐ τάδ' ἀρκέσει σοι;
Τετρημένῳ ποθεῖς δὲ [4])
Πίθῳ κακῶς ἐπαντλεῖν
Τὰς ἡδονὰς ἀπλήςως;
Ἄλλον πόθει πορισήν.
Ἐμοὶ γὰρ οὐ σχολή σε
Θάλπειν σύνοικον ἐχθρὸν,
Ἵν' ὡς ὄφις κρυμωθεὶς,
Θέρμῃ δ' ἔπειτα λυθεὶς,
Ἐγκόλπιός με τρώσῃς.
Θέλεις δόμους ἀμέτρους
Χρυσωρόφους, γραφῆς τε

1) Ἄνοιςρος (изъ α и οἶςρος, возбуждающее или раздражающее орудіе), не раздражающій.

2) Τοιαῦτα относится къ нижеслѣдующему.

3) Ἀκλήματος (изъ α и κλῆμα, виноградная лоза), происходящій не отъ виноградной лозы.

4) Τετρημένῳ πίθῳ—дыравою бочкою—извѣстная греческая пословица.



Καὶ ψηφίδος σοφισμοὺς,
Κινουμένους σχεδόν τι·
Πλακός τε λάμψιν ἁβρᾶς
Ἀντίχροον, πολύχρουν;
Θέλεις περιῤῥέουσαν
Ἐσθῆτα τῶν ἀθίκτων [1]),
Ἐν δακτύλοις τε πλοῦτον,
Γελώμενόν τε κάλλος
Τοῖς σωφρονεῖν μαθοῦσιν,
Ἐμοὶ δὲ καὶ μάλιςα
Ὦ κάλλος ἐςὶν εἴσω:
Τοῖς μὲν κάτω δὴ ταῦτα
Ὑμῖν βροτοῖσι φάσκω,
Οἳ ζῆτε τὸ πρὸς ὥραν,
Μηδὲν πλέον βλέποντες.
4. Τοῖς δ' εὐγενῶς βιοῦσιν,
Ἐπαξίως τε μοίρας
Τῆς ἐκ Θεοῦ κραθείσης
Τῷ πηλινῷ πάγει μου
(Σκόπει πένητος ὄγκον),
Οἵαν τροφὴν χορηγῶ;
Δίελθέ μοι φλογώδη
Ῥομφαίαν, ὦ θεόφρον [2]).
Θείων γενοῦ γεωργὸς
Φυτῶν Λόγῳ θαλλόντων,
Ὧν μ' ἐξέρησεν ἐχθρὸς
Δι' ἡδονῆς συλήσας.
Ξύλῳ πάλιν πρόσελθε
Ζωῆς ἀεὶ μενούσης.
Ἡ δ' ἐςιν, ὡς ἀνεῦρον,
Γνῶσις Θεοῦ μεγίςου,
Φάους ἑνὸς τριλαμποῦς,
Πρὸς ὃν τὰ πάντα τείνει.
Οὕτω μὲν αὐτὸς αὑτῷ
Πᾶς τις σοφῶν λαλήσει.
Ὃς δ' οὐ θέλει λαλῆσαι.
Μάτην βίον παρῆλθεν,
Εἴ περ μάτην παρῆλθεν,
Μὴ σὺν κακῷ μεγίςῳ!

ж) Περὶ ἁγνείας [3]).

## Глав. 1.

1. Ἀρετὴ πᾶσα δικαίοις
Ἕνα βαθμὸν προβιβάζει [4]).
Ὁ μὲν ἀλλότριος εὐνῆς
Ἴσος ἀγγέλοις ὑπάρχει.
Ὁ δέ τ' ἐγκράτειαν ἀσκῶν,
Μετὰ παρθένων τετάχθω.
Ὁ δὲ τὸν γάμον φυλάσσων,
Ἴσος ἐγκρατεῖ γενέσθω.
Μόνον ἀσκεῖτε τὸ σῶφρον,
Ἵνα μειζόνων τύχοιτε.

1) Τῶν ἀθίκτων, изъ веществъ неприкосновенныхъ, необыкновенныхъ, или новыхъ.

2) Быт. 3. 24.

3) Метръ этого стихотворенія также анакреонтическій, втораго вида, представляемый схемою: ⏑⏑—⏑—⏑—⏓.

4) Προβιβάζειν—содѣйствовать кому-нибудь идти впередъ—εἰς ἀνώτερον βαθμόν.

# XI.

## СВ. ГРИГОРІЙ ЕПИСКОПЪ НИССКІЙ.

Св. Григорій Нисскій, родной братъ св. Василія великаго, принадлежитъ къ знаменитѣйшимъ Отцамъ Церкви 4-го вѣка, имѣвшимъ Каппадокію своимъ земнымъ отечествомъ. Онъ родился въ 331 году и воспитывался сначала въ домѣ родителей подъ руководствомъ благочестивой сестры Макрины и старшаго брата Василія, котораго самъ называетъ своимъ «отцемъ и учителемъ». Неизвѣстно, какія онъ посѣщалъ училища для дальнѣйшаго образованія, но изъ сочиненій его видно, что онъ пріобрѣлъ обширныя познанія въ философскихъ и словесныхъ наукахъ, въ предметахъ же христіанскаго богословія достигъ высокой учености. Желая употребить свои познанія на общую пользу, св. Григорій былъ нѣсколько времени учителемъ свѣтскаго краснорѣчія въ Кесаріи Каппадокійской, но потомъ, склонясь на убѣжденія брата Василія великаго и друга своего св. Григорія богослова, отказался отъ свѣтскихъ занятій и посвятилъ себя на служеніе христіанской Церкви: проходилъ должность церковнаго чтеца, провелъ нѣсколько лѣтъ въ сосѣдней пустынѣ, занимаясь изученіемъ памятниковъ христіанской вѣры и составленіемъ духовно-нравственныхъ сочиненій (наприм. о Дѣвствѣ), и вполнѣ приготовился къ высшей общественной дѣятельности. Когда въ 370 году св. Василій занялъ архіепископ-

скій престолъ Кесаріи и пожелалъ имѣть въ просвѣщенномъ и подобномъ ему по духовнымъ достоинствамъ братѣ надежнаго помощника въ борьбѣ съ еретиками, то св. Григорій былъ избранъ единогласно окрестными епископами на недалекую отъ Кесаріи епископскую каѳедру Ниссы, небольшаго города Каппадокійской области, впослѣдствіи прославленнаго именемъ этого духовнаго «свѣтильника Ниссянъ».

Такъ какъ время епископства св. Григорія совпало со временемъ царствованія императора Валента, покровительствовавшаго Аріанамъ, то Святитель Нисскій вмѣстѣ съ другими православными епископами вскорѣ подвергся гоненію отъ враговъ православія. Въ 375 году аріанскіе епископы объявили его лишеннымъ каѳедры и при содѣйствіи правителя Каппадокіи Димосѳена принудили удалиться изъ Ниссы и искать убѣжища въ разныхъ мѣстахъ въ продолженіи всего времени до воцаренія преемника Валентова императора Граціана въ 378 году. Въ концѣ этого года св. Григорій съ торжествомъ возвратился въ Ниссу, къ великой радости его православной паствы, и за тѣмъ съ честію принималъ дѣятельное и вліятельное участіе въ важнѣйшихъ церковныхъ событіяхъ тогдашняго времени; такъ онъ присутствовалъ на соборѣ Антіохійскомъ въ 379 году; по приглашенію императора Ѳеодосія засѣдалъ на 2-мъ вселенскомъ соборѣ въ Константинополѣ, гдѣ между прочимъ говорилъ надгробное слово при погребеніи св. Мелетія Антіохійскаго, бывшаго предсѣдателя собора, и самъ былъ почтенъ правами и преимуществами одинаковыми съ Кесарійскимъ іерархомъ; вмѣстѣ съ Гелладіемъ Кесарійскимъ и Отреемъ Мелитенскимъ исполнялъ возложенное на него этими соборами важное и трудное порученіе обозрѣнія церквей въ Понтѣ, Аравіи и Палестинѣ для возстановленія въ нихъ цер-

ковнаго порядка и мира и для утвержденія православія, при чемъ посѣтилъ святыя мѣста Палестины и Іерусалима, и возвратился въ свою епископію съ пріобрѣтенною въ общемъ мнѣніи славою «опоры Церкви» и «отца отцевъ». Въ бытность свою опять въ Константинополѣ на соборѣ 385 года св. Григорій, какъ извѣстный своимъ краснорѣчіемъ духовный ораторъ, произносилъ надгробныя слова при погребеніи умершихъ въ томъ году дочери императора Ѳеодосія Пульхеріи и супруги его Плакиллы, и оставаясь неизмѣнно архипастыремъ Нисской церкви, продолжалъ трудиться ко благу всей Христовой Церкви до конца своей жизни не много долѣе 394 года, въ которомъ онъ послѣдній разъ присутствовалъ на Константинопольскомъ соборѣ и занималъ мѣсто между митрополитами Кесарійскимъ и Иконійскимъ (См. Истор. Уч. объ Отцахъ Церкви, Филарета Черниг. Изд. 1882 г. Т. II. стр. 144—148). Память его празднуется православною Церковію 10-го Января.

Въ сочиненіяхъ своихъ, весьма многочисленныхъ, св. Григорій Нисскій является не только превосходнымъ ораторомъ, но и глубокимъ христіанскимъ философомъ и отличнымъ богословомъ; онъ оставилъ произведенія, относящіяся ко всѣмъ отраслямъ богословія и притомъ такія, которыя по богатству мыслей и искуству изложенія справедливо считаются между первостепенными образцами святоотеческой письменности. Хотя они иногда представляютъ нѣкоторыя трудности для читателя какъ по глубинѣ мыслей и тонкости вопросовъ, излагаемыхъ Святителемъ, такъ и по склонности его къ аллегорическому толкованію св. Писанія, но вообще сколько достойны изученія по важности своего содержанія, столько же и пріятны для чтенія. «Слогъ его блистателенъ не менѣе всякаго оратора и отличается пріятностію для слуха»,

по отзыву патріарха Фотія (Bibl. cod. VI). Всѣ они могутъ быть раздѣлены на слѣдующія:

1. *Экзегетическія,* въ которыхъ изъясняются или цѣлыя книги или части книгъ ветхаго и новаго Завѣта, какъ то: о шестодневѣ и о сотвореніи человѣка (въ видѣ продолженія бесѣдъ св. Василія на шестодневъ), о жизни Моисея или о совершенной добродѣтельной жизни, о надписаніи Псалмовъ, Толкованія на Екклезіаста и Пѣснь Пѣсней, объ Аэндорской волшебницѣ, о молитвѣ Господней и блаженствахъ евангельскихъ.

2. *Догматическія,* излагающія истины христіанской вѣры и положительно и апологетически противъ современныхъ еретиковъ и язычниковъ, каковы: великій Катихизисъ, полемическія сочиненія противъ Евномія и Аполлинарія, противъ Арія и Савеллія, о Св. Духѣ противъ Македоніанъ или духоборцевъ, о душѣ и воскресеніи, о дѣтяхъ умершихъ некрещенными, и нѣкоторыя другія болѣе краткія.

3. *Слова и рѣчи,* числомъ до 28-ми, которыя по содержанію своему подраздѣляются на нравственныя (противъ ростовщиковъ, о любви къ бѣднымъ, противъ блудниковъ, къ скорбящимъ объ умершихъ), догматическія, праздничныя, похвальныя и надгробныя.

4. *Письма,* числомъ до 25-ти, разнообразнаго содержанія, догматическаго, нравственнаго и историческаго, и касающіяся личныхъ отношеній Святителя къ нѣкоторымъ современникамъ, и между ними одно подъ названіемъ «каноническаго посланія» о церковномъ покаяніи, вошедшее въ составъ правилъ вселенской Церкви.

Въ настоящемъ сборникѣ помѣщаются: 1) Первое Слово «на св. Пасху», въ которомъ св. Григорій превосходно изображаетъ важность этого величайшаго христіанскаго праздника и заслуги Спасителя для

рода человѣческаго, разрѣшая нѣкоторые историческіе вопросы, относящіеся къ воскресенію Христову; 2) Слово «къ скорбящимъ о преставившихся отъ настоящей жизни въ вѣчную», гдѣ христіанскій философъ высказываетъ возвышенный взглядъ свой на конецъ настоящей человѣческой жизни, какъ на переходъ къ жизни лучшей и совершеннѣйшей, разсуждаетъ о душѣ и воскресеніи и предлагаетъ наилучшія утѣшенія скорбящимъ объ умершихъ; и 3) Два письма, имѣющія значеніе въ историческомъ отношеніи и вмѣстѣ касающіяся важнѣйшихъ христіанскихъ догматовъ.

Лучшія и новѣйшія изданія твореній св. Григорія Нисскаго суть:

1. S. Gregorii Nysseni opera, correctius et accuratius edita et caet. Ed. Morelli. T. I—III. 1638. Paris.

2. Patrologiae Cursus Completus. Ser. graec. Ed. I. P. Migne. T. XLIV—XLVI. Paris. 1863.

Изъ неполныхъ изданій:

3. Georg. Krabingeri—Dialogus de anima et resurrectione. Lips. 1837. Oratio catechetica, acced. oratio funebris in Meletium. Monach. 1838. De precatione orat. V. Londish. 1840.

4. Fr. Oehlers, Bibliothek der Kirchenväter. I Th. Gregorius von Nyssa. B. I—IV. Leipz. 1858 и 1859. S. Gregorii episcopi Nysseni opera T. I. Halis Saxon. 1865.

Текстъ избранныхъ статей заимствованъ изъ изданія Migne.

## 1.

# ΤΟΥ ᾿ΕΝ ῾ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ῾ΗΜΩΝ ΓΡΗΓΟΡΙΟΥ ᾿ΕΠΙΣΚΟΠΟΥ ΝΥΣΣΗΣ ΕΙΣ ΤΟ ῾ΑΓΙΟΝ ΠΑΣΧΑ ΛΟΓΟΣ Α΄.

## Глав. 1—12.

1. Εἴ τις πατριαρχῶν εὐλογία θείῳ Πνεύματι τὸ βέβαιον ἔχουσα [1]), εἴ τι τῆς πνευματικῆς νομοθεσίας ἀγαθὸν δι᾿ ἐπαγγελίας τοῖς κατορθοῦσιν [2]) ἐλπίζεται, εἴ τις διὰ τῶν ἱστορικῶν αἰνιγμάτων τῆς ἀληθείας προδιατύπωσις εἶναι πιστεύεται, εἴ τις προφητικὴ φωνὴ τὰ ὑπὲρ φύσιν εὐαγγελίζεται, πάντα ἐκεῖνα τῆς παρούσης χάριτός εἰσι [3]). Καὶ ὥσπερ κατὰ τὸ προκείμενον τοῖς ὀφθαλμοῖς ἡμῶν θέαμα ἓν φῶς περιαστράπτει τὸ τὰς ὄψεις ἐκ μυρίων λαμπάδων ἐρανιζόμενον· οὕτω πᾶσα ἡ τοῦ Χριστοῦ εὐλογία, πυρσοῦ δίκην καθ᾿ ἑαυτὴν λάμπουσα, τοῦτο ἡμῖν τὸ μέγα φῶς ἀπεργάζεται, τὸ ἐκ πολλῶν τε καὶ ποικίλων τῆς Γραφῆς ἀκτίνων συγκεραννύμενον. Ἔξεστι γὰρ λαβεῖν ἀφ᾿ ἑκάστου τῶν θεοπνεύστων ἀποδειγμάτων τὸ τῆς παρούσης ἱερομηνίας [4]) κατάλληλον. Ζητεῖς τὴν τοῦ ᾿Αβραὰμ εὐλογίαν [5]): ἔχεις τὸ ζητούμενον, εἰς τὰ παρόντα βλέπων. ᾿Ορᾷς τὰ ἄστρα τοῦ οὐρανοῦ, ταῦτα λέγω τὰ ἄστρα, τὰ ἐκ τοῦ Πατρὸς ἡμῶν ἀρτίως ἀνατείλαντα καὶ οὐρανὸν ἀθρόως τὴν ἐκκλησίαν ποιήσαντα, ὧν ἡ τῆς ψυχῆς ἀστράπτουσα χάρις ταῖς τῶν πυρσῶν ἀκτῖσι διασημαίνεται; καὶ ταῦτά τις εἰπὼν ὄντως τοῦ ᾿Αβραὰμ εἶναι τέκνα ἐξ ἐπαγγελίας αὐτῷ γεγεννημένα, τὰ τοῖς ἄστροις τοῦ οὐρανοῦ ὁμοιούμενα, τῆς ἀληθείας οὐχ ἁμαρτήσεται. Καὶ θαυμάζεις τὸν ὑψηλὸν Μωϋσέα,

---

[1]) Подразумѣвается ἐστί.

[2]) Т. е. νομοθεσίαν.

[3]) Подъ словомъ χάρις, благодать, разумѣется радостный праздникъ св. Пасхи, котораго прообразованія св. Отецъ находитъ во всемъ, начисленномъ выше и изъясненномъ ниже.

[4]) Ἱερομηνία, священный мѣсяцъ или священный день мѣсяца, или вообще праздникъ, праздничный день; здѣсь означаетъ св. Пасху.

[5]) Быт. 26. 4.

τὸν πᾶσαν τὴν τοῦ Θεοῦ κτίσιν διαλαβόντα τῇ δυνάμει τῆς γνώσεως; ἰδού σοι τῆς πρώτης κοσμογενείας τὸ εὐλογημένον Σάβ-
5б. βατον. | Γνώρισον δι' ἐκείνου τοῦ Σαββάτου τοῦτο τὸ Σάββατον, τὴν τῆς καταπαύσεως ἡμέραν, ἣν εὐλόγησεν ὁ Θεὸς ὑπὲρ τὰς ἄλλας ἡμέρας. Ἐν ταυτῃ γὰρ κατέπαυσεν ἀληθῶς ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὁ Μονογενὴς Θεὸς, διὰ τῆς κατὰ τὸν θάνατον
6б οἰκονομίας τῇ σαρκὶ σαββατίσας· | καὶ εἰς ὃ ἦν πάλιν ἐπανελθὼν, διὰ τῆς ἀναςάσεως ἅπαν τὸ κείμενον ἑαυτῷ συνανέςησε, ζωὴ, καὶ ἀνάςασις, καὶ ἀνατολὴ, καὶ ἡμέρα τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις γενόμενος [1]). Πλήρης τοι ἡ ἱςορία τῆς συγγενοῦς εὐλογίας· ὁ πατὴρ τοῦ Ἰσαὰκ ἐκείνου τοῦ ἀγαπητοῦ μὴ φειδόμενος, καὶ ὁ μονογενὴς προσφορὰ καὶ θυσία γενόμενος, καὶ
7б ἀμνὸς ἀντὶ τούτου σφαγιαζόμενος [2]). | Ἔξεςι γὰρ ἰδεῖν ἐν τῇ ἱςορίᾳ πᾶν τὸ τῆς εὐσεβείας μυςήριον. Ὁ ἀμνὸς τοῦ ξύλου ἐξήρτηται, ἐκ τῶν κεράτων κατεχόμενος· ὁ δὲ μονογενὴς βαςάζει ἐφ' ἑαυτοῦ τὰ τῆς ὁλοκαρπώσεως ξύλα. Ὁρᾷς, ὁ πάντα φέρων τῷ ῥήματι τῆς δυνάμεως, ὁ αὐτὸς καὶ τὸ φορτίον φέρει τῶν ἡμετέρων ξύλων [3]), καὶ ὑπὸ τοῦ ξύλου ἀναλαμβάνεται, βαςά-
8б. ζων ὡς Θεὸς, καὶ ἀμνὸς βαςαζόμενος; | οὕτω τοῦ ἁγίου Πνεύματος τὸ μέγα μυςήριον τυπικῶς ἀμφοτέροις ἐπιμερίσαντος, τῷ τε ἠγαπημένῳ Υἱῷ καὶ τῷ συμπαραδειχθέντι προβάτῳ· ὥςε δειχθῆναι ἐν μὲν τῷ προβάτῳ τὸ τοῦ θανάτου μυςήριον, ἐν δὲ τῷ μονογενεῖ τὴν ζωὴν, τὴν μὴ διακοπτομένην
9б τῷ θανάτῳ. | Εἰ δὲ βούλει καὶ αὐτὸν τὸν Μωϋσέα λαβεῖν, τῇ τῶν χειρῶν ἐκτάσει τὸν ςαυρὸν διαγράφοντα, καὶ ὡς τῷ σχήματι τούτῳ τὸν Ἀμαλὴχ καταςρεφόμενον, ἔξεςί σοι βλέπειν ἐν τῇ ἀληθείᾳ τὸν τύπον, καὶ τῷ ςαυρῷ τὸν Ἀμαλὴχ ὑποπίπτοντα [4]). Ἔχεις καὶ τὸν Ἡσαΐαν, οὐ μικρά σοι πρὸς τὴν παροῦσαν συν-
10б εισφέροντα χάριν. | Παρ' αὐτοῦ γὰρ προεδιδάχθης τὴν ἀνύμφευτον μητέρα, τὴν ἀπάτορα σάρκα, τὴν ἀνώδυνον ὠδῖνα, τὸν ἀμόλυντον τόκον· οὕτως εἰπόντος τοῦ προφήτου· «ἰδοὺ ἡ παρθένος ἐν γαςρὶ λήψεται, καὶ τέξεται υἱόν· καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ

[1]) Иса. 9. 2. [2]) Быт. 22.
[3]) Т. е. нашихъ грѣховъ.
[4]) Исх. 17. 11.

Ἐμμανουήλ, ὅ ἐςι μεθ' ἡμῶν ὁ Θεός» [1]). | Ὅτι δὲ ἀπόνως 11б.
γέγονεν ἡ ὠδίς, πρῶτον μέν σε τὸ εἰκὸς διδαξάτω. Ἐπειδὴ γὰρ πᾶσα ἡδονὴ συνημμένον ἔχει τὸν πόνον, ἀνάγκη πᾶσα ἐπὶ τῶν συνημμένως θεωρουμένων, τοῦ ἑνὸς μὴ ὄντος, μηδὲ τὸ ἕτερον εἶναι.

2. Ὅπου τοίνυν ἡδονὴ τοῦ τόκου οὐ καθηγήσατο, οὐδὲ ὁ 12б.
πόνος ἐπηκολούθησεν. Ἔπειτα δὲ καὶ ἡ τοῦ προφήτου λέξις βεβαιοῖ τὸν λόγον, ἔχουσα οὕτω· «πρὶν εἰσελθεῖν τὸν πόνον τῶν ὠδίνων αὐτῆς, ἐξέφυγε, καὶ ἔτεκεν ἄρσεν» [2]) Ἤ, ὥς φησιν ἕτερος τῶν ἑρμηνέων, «πρὶν ὠδινῆσαι, ἔτεκεν» [3]). | Ἐκ ταύτης, 13б.
φησί, τῆς παρθένου μητρὸς «παιδίον ἐγεννήθη ἡμῖν, καὶ υἱὸς ἐδόθη ἡμῖν· οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ, μεγάλης βουλῆς ἄγγελος» [4]), καὶ τὰ ἑξῆς. Τοῦτο τὸ παιδίον, οὗτος ὁ υἱός, «ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος» [5]) | μᾶλλον δέ, ὥς φησιν 14б.
Ἱερεμίας, «τοῦτό ἐςι τὸ ἀρνίον τὸ ἄκακον, τὸ ἀγόμενον τοῦ θύεσθαι· οὗτος ὁ ἄρτος, ᾧ τὸ ξύλον ἐμβάλλουσιν οἱ καὶ τοῦ ἄρτου καὶ τοῦ ξύλου πολέμιοι [6]). | Μᾶλλον δὲ τὸ πάντων γνωρι- 15б.
μώτερόν τε καὶ φανερώτερον ἐκ τοῦ προφήτου λάβωμεν, δι' οὗ προγράφεται σαφῶς τὸ μυςήριον, τὸν Ἰωνᾶν λέγω, τὸν ἀπαθῶς κατὰ τοῦ κήτους καταδυόμενον, καὶ δίχα πάθους ἐκ τοῦ κήτους ἀναδυόμενον, τὸν καὶ τρισὶν ἡμέραις καὶ τοσαύταις νυξὶν ἐν τοῖς κητῴοις σπλάγχνοις τὴν ἐν ᾅδου διατριβὴν τοῦ Κυρίου προδιαγράψαντα [7]). | Ταῦτα καὶ τὰ τοιαῦτα δεῖ σε παρ' ἑκάςης Γρα- 16б.
φῆς ἀναζητεῖν καὶ ἐκλέγεσθαι. Πάντα γὰρ ἐκεῖνα διὰ τῶν παρόντων ὁρᾷς· καὶ ἐν τῇ παρούσῃ φαιδρότητι «ὅλος ὁ νόμος κρέμαται καὶ οἱ προφῆται» [8]). καθώς φησί που τὸ Εὐαγγέλιον· καὶ πᾶς θεόπνευςος λόγος καὶ νόμος ἐν ταύτῃ ἀνακεφαλαιοῦται τῇ χάριτι, κατὰ τὴν τοῦ Παύλου φωνήν [9]). | Τοῦτο γάρ ἐςι, καὶ 17б.
τῶν σκυθρωπῶν τὸ πέρας, καὶ τῶν ἀγαθῶν ἡ ἀρχή. Οἷόν τι

---

[1]) Иса. 7. 14. [2]) Иса. 66. 7.

[3]) Вѣроятно, разумѣется Симмахъ, Самарянинъ, жившій во 2-мъ и въ началѣ 3-го вѣка по Р. Хр. и переведшій книги св. Писанія ветхаго Завѣта на греческій языкъ; извѣстно, что онъ перевелъ настоящее мѣсто такъ: πρὶν ἢ ὠδινῆσαι ἔτεκε. О немъ см. Іеронима de vir. illustr. Cap. 64.

[4]) Иса. 9. 6. [5]) Иса. 53. 7. [6]) Іер. 11. 19. [7]) Іон. 2. Матѳ. 12. 40. [8]) Матѳ. 22. 40. [9]) 2 Тим. 3. 16.

λέγω· «ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδάμ» [1]), τῆς φθοροποιοῦ
δυνάμεως λαβὼν τὴν ἀρχὴν, ἀλλὰ καὶ μέχρι Μωϋσέως αὐτοῦ τὸ
πονηρὸν κράτος διέμεινεν, οὐδὲν τοῦ νόμου τὴν κακὴν τοῦ θανά-
του δυναςείαν ἀμβλύναντος. Ἦλθεν ἡ τῆς ζωῆς βασιλεία, καὶ
18δ κατελύθη τοῦ θανάτου τὸ κράτος. | Καὶ γέγονεν ἄλλη γέννησις,
βίος ἕτερος, ἄλλο ζωῆς εἶδος, αὐτῆς τῆς φύσεως ἡμῶν μεταςοι-
χείωσις. Τούτου ἡ γέννησις «οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήμα-
τος ἀνδρὸς, οὐδὲ ἐκ θελήματος σαρκὸς, ἀλλ' ἐκ Θεοῦ γενομένη» [2]).
Πῶς τοῦτο; σαφῶς σοι παραςήσω διὰ τοῦ λόγου τὴν χάριν.|
19δ Οὗτος ὁ τόκος διὰ πίςεως κυοφορεῖται· διὰ τῆς τοῦ βαπτίσματος
ἀναγεννήσεως εἰς φῶς ἄγεται· τροφὸς τούτου ἡ Ἐκκλησία γίνεται·
μαζὸς, τὰ διδάγματα· τροφὴ, ὁ ἄνωθεν ἄρτος· ἡλικίας τελείωσις,
ἡ ὑψηλὴ πολιτεία· γάμος, ἡ τῆς σοφίας συμβίωσις· τέκνα, αἱ
ἐλπίδες· οἶκοι, ἡ βασιλεία· κλῆρος καὶ πλοῦτος, ἡ ἐν τῷ παρα-
20δ δείσῳ τρυφή· | τέλος δὲ, ἀντὶ θανάτου ἡ ἀΐδιος ζωὴ ἐν τῇ ὑπο-
κειμένῃ τοῖς ἁγίοις μακαριότητι. Ταύτην ὁρᾷ καὶ ὁ μέγας Ζαχα-
ρίας τὴν ἀρχὴν πρὸς τὸ ἀγαθὸν ἀλλοιώσεως, καὶ ἀμφιβάλλει περὶ
τῆς τοῦ ὀνόματος κλήσεως, τί χρὴ κυρίως προσειπεῖν τὴν ἐνεςῶ-
σαν χάριν. Τὰ γὰρ ἄλλα τὰ περὶ τὸ πάθος θαύματα διεξελθὼν,
καὶ τοῦτό φησι περὶ τοῦ καιροῦ τούτου, ὅτι «οὐχ ἡμέρα, καὶ
21δ οὐχὶ νὺξ» [3]). | Δι' ὧν ἐνδείκνυται, ὅτι ἡμέρα μὲν κληθῆναι οὐ
δύναται, ἡλίου μὴ ὄντος, νὺξ δὲ οὐκ ἔςι τῷ μηδὲ σκότος εἶναι.
Τὸ γὰρ σκότος ἐκάλεσεν ὁ Θεὸς νύκτα, καθώς φησι Μωϋσῆς [4]).

3. Ἐπεὶ οὖν κατὰ μὲν τὸν χρόνον νὺξ, κατὰ δὲ τὸ φῶς
ἡμέρα· τούτου ἕνεκέν φησιν ὁ προφήτης· καὶ «οὐχ ἡμέρα, καὶ
22δ οὐχὶ νὺξ». | Εἰ οὖν μήτε νὺξ, κατὰ τὸν προφήτου λόγον, ὁ και-
ρὸς οὗτός ἐςιν, ἄλλο τι παρὰ ταῦτα πάντως ἡ παροῦσα χάρις
ἐςὶ καὶ ὀνομάζεται. Βούλεσθε εἴπω ὃ ἐντεθύμημαι; «αὕτη ἐςὶν
ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος» [5])· ἄλλη παρὰ τὰς ἐν ἀρχῇ ἐςιν
αὕτη. Ἐν ταύτῃ γὰρ ποιεῖ ὁ Θεὸς τῇ ἡμέρᾳ οὐρανὸν καινὸν
καὶ γῆν καινὴν, καθώς φησιν ὁ προφήτης [6]). Ποῖον οὐρανόν; τὸ
23δ ςερέωμα τῆς εἰς Χριςὸν πίςεως·| ποίαν γῆν; τὴν ἀγαθὴν καρδίαν

[1]) Рим. 5. 14. [2]) Іоан. 1. 13. [3]) Зах. 14. 7. [4]) Быт. 1. 5. [5]) Пс. 117. 24.
[6]) Иса. 65. 17.

φημί, καθὼς εἶπεν ὁ Κύριος, τὴν γῆν τὴν πίνουσαν τὸν ἐπ' αὐτῆ ἐρχόμενον ὑετὸν, καὶ τὸν πολύχουν ςάχυν ἀδρύνουσαν [1]. Ἐν ταύτῃ τῇ κτίσει, ἥλιος μὲν ἐςιν ὁ καθαρὸς βίος· ἄςρα δὲ, αἱ ἀρεταί· ἀὴρ δὲ, ἡ διαφανὴς πολιτεία· θάλασσα δὲ, τὸ βάθος ἐςὶ τοῦ πλούτου τῆς σοφίας τε καὶ γνώσεως· πόαι καὶ βλαςήματα, ἡ ἀγαθὴ διδασκαλία καὶ τὰ θεῖα δόγματα, ἅπερ ὁ λαὸς τῆς νομῆς, τουτέςιν ἡ ποίμνη τοῦ Θεοῦ ἐπινέμεται· δένδρα δὲ ποιοῦντα καρπὸν, ἡ τῶν ἐντολῶν ἐργασία. Ἐν ταύτῃ κτίζεται ὁ ἀληθινὸς ἄνθρωπος, ὁ κατ' εἰκόνα γενόμενος Θεοῦ καὶ ὁμοίωσιν. Ἆρά σοι οὐ κόσμος γίνεται ἡ ἀρχὴ αὕτη, «ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος»; περὶ ἧς φησιν ὁ προφήτης Ζαχαρίας, ὅτι οὔτε ἡμέρα κατὰ τὰς ἄλλας ἡμέρας, οὔτε νὺξ κατὰ τὰς ἄλλας νύκτας. Καὶ οὔπω τὸ ἐξαίρετον τῆς παρούσης χάριτος ὁ λόγος ἐκήρυξεν. Αὕτη ἔλυσε τὴν τοῦ θανάτου ὠδῖνα. Αὕτη τὸν τῶν νεκρῶν πρωτότοκον ἐμαιεύσατο. Ἐν ταύτῃ συνετρίβησαν αἱ σιδηραῖ τοῦ θανάτου πύλαι. Ἐν ταύτῃ οἱ χαλκοῖ τοῦ ᾅδου μοχλοὶ συνεθλάσθησαν. Νῦν ἀνοίγεται τοῦ θανάτου τὸ δεσμωτήριον. Νῦν κηρύσσεται τοῖς αἰχμαλώτοις ἡ ἄφεσις. Νῦν γίνεται τοῖς τυφλοῖς ἡ ἀνάβλεψις. Νῦν τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις ἡ ἐξ ὕψους ἀνατολὴ ἐπισκέπτεται [2]. Βούλεσθέ τι καὶ περὶ τῆς τριημέρου προθεσμίας μαθεῖν; ἀρκεῖ τοσοῦτον μαθεῖν, ὅτι ἐν οὕτω ὀλίγῳ τῷ χρονικῷ διαςήματι ἤρκεσεν ἡ παντοδύναμος σοφία ἐν τῇ καρδίᾳ τῆς γῆς γενομένη, ὁ Κύριος, τὸν μέγαν ἐκεῖνον νοῦν τὸν ἐν αὐτῇ διαιτώμενον καταμωρᾶναι. Οὕτω γὰρ ὁ προφήτης αὐτὸν κατονομάζει, μέγαν νοῦν αὐτὸν ἀποκαλῶν καὶ Ἀσσύριον [3]. Ἐπεὶ οὖν ἑςία τίς ἐςι τοῦ νοῦ ἡ καρδία (ἐν ταύτῃ γὰρ τὸ ἡγεμονικὸν εἶναι πιςεύεται), διὰ τοῦτο γίνεται ἐν τῇ καρδίᾳ τῆς γῆς ὁ Κύριος, ἥτις ἐςὶ τοῦ νοῦ ἐκείνου οὐράνιον ἐνδιαίτημα· ὥςε τὴν βουλὴν αὐτοῦ μωρᾶναι, καθὼς ὁ προφήτης φησὶ, καὶ δράξασθαι τὸν σοφὸν ἐν τῇ πανουργίᾳ αὐτοῦ καὶ περιτρέψαι αὐτῷ πρὸς τὸ ἐναντίον τὰ σοφὰ ἐγχειρήματα [4]. Ἐπειδὴ γὰρ ἀμήχανον ἦν τὸν ἄρχοντα τοῦ σκότους ἀκράτῳ προσμίξαι τῇ τοῦ φωτὸς παρουσίᾳ, μὴ σαρκός τινα μοῖραν θεωρήσαντα ἐν ἑαυτῷ· διὰ

[1]) Исаія 61. 11. Евр. 6. 7. [2]) Лук. 1. 58. [3]) Иса. 10. 12. [4]) Иса. 19. 11; 29. 14, 15. Іов. 5. 12.

τοῦτο ὡς εἶδε τὴν θεοφόρον σάρκα, εἶδε δὲ καὶ τὰ παρ᾽ αὐτῆς ἐνεργούμενα τῆς θεότητος θαύματα, ἤλπισεν, εἰ τῆς σαρκὸς διὰ τοῦ θανάτου κρατήσειε, καὶ πάσης τῆς ἐν αὐτῇ κρατήσειν δυνάμεως. Καὶ τούτου χάριν τὸ τῆς σαρκὸς δέλεαρ περιχανὼν, τῷ τῆς θεότητος ἀγκίςρῳ περιεπάρη, καὶ οὕτως ἤχθη ὁ δράκων διὰ τοῦ ἀγκίςρου, καθὼς φησὶν ὁ Ἰὼβ, ὁ προαναφωνήσας δι᾽ αὐτοῦ τὸ ἐσόμενον, λέγων, ὅτι «ἄξεις τὸν δράκοντα ἐν ἀγκίςρῳ» [1]). Ἀκούσωμεν δὲ παρὰ τῆς τοῦ προφήτου φωνῆς, τίνα ἦν, ἃ ἡ καρδία τῆς γῆς αὕτη κατὰ τοῦ παντὸς ἐβουλεύσατο, ὅτε κατὰ τῆς σαρκὸς τοῦ Κυρίου τὸ ςόμα ἤνοιξε. Τί λέγει πρὸς αὐτὸν Ἡσαΐας ἐλέγχων αὐτόν; «σὺ εἶπας ἐν τῇ καρδίᾳ σου· εἰς τὸν οὐρανὸν ἀναβήσομαι, ἐπάνω τῶν νεφελῶν θήσω τὸν θρόνον μου, καὶ ἔσομαι ὅμοιος τῷ Ὑψίςῳ» [2]). Ταῦτα ἡ πονηρὰ καρδία καθ᾽ ἑαυτῆς ἐβουλεύσατο. Καὶ ἔτι πρὸ τούτων, ὁ μέγας ἐν κακίᾳ νοῦς, ὁ πονηρὸς Ἀσσύριος, οἷα πρὸς αὐτὸν διεξῄει, ἀκούσωμεν πάλιν ἐκ τῆς Ἡσαΐου φωνῆς· «εἶπε· τῇ ἰσχύϊ τῆς χειρός μου ποιήσω, καὶ τῇ σοφίᾳ τῆς συνέσεως ἀφελῶ ὅρια ἐθνῶν, καὶ τὴν ἰσχὺν αὐτῶν προνομεύσω, καὶ σείσω πόλεις κατοικουμένας, καὶ τὴν οἰκουμένην ὅλην καταλήψομαι ὡς νοσσίαν. καὶ ὡς καταλελειμμένα ᾠὰ ἀρῶ, καὶ οὐκ ἔςιν ὃς διαφεύξεταί με, ἢ ἀντείπῃ μοι» [3]). Μετὰ ταύτης τῆς ἐλπίδος δέχεται ἐν ἑαυτῷ τὸν διὰ φιλανθρωπίαν τοῖς κάτω ἐπιδημήσαντα. Τί δὲ αὐτῷ ἀντὶ τῶν ἐλπισθέντων γίνεται, διηγεῖται σαφῶς ἡ προφητεία τὸ κατ᾽ ἐκείνου πάθος λέγουσα· «πῶς ἐξέπεσεν ἐκ τοῦ οὐρανοῦ ὁ ἑωσφόρος; πῶς συνετρίβη ἐπὶ τὴν γῆν, ὦ ὑπεςρώθη ἡ σῆψις, ὦ ἔνδυμα γίνεται ἡ περιβολὴ τῶν σκωλήκων» [4]); καὶ ὅσα ἄλλα περὶ τοῦ ἀφανισμοῦ αὐτοῦ διεξέρχεται, ἅπερ ἔξεςι τῷ βουλομένῳ ἐξ αὐτῶν τῶν γεγραμμένων δι᾽ ἀκριβείας μαθεῖν. Ἐμοὶ δὲ πρὸς τὸν σκοπὸν ἐπανακτέον τὸν λόγον.

4. Διὰ τοῦτο γίνεται ἡ ἀληθινὴ σοφία ἐν τῇ μεγαλορρήμονι ταύτῃ καρδίᾳ τῆς γῆς, ἵνα ἐξαφανίσῃ ἐξ αὐτῆς τὸν μέγαν ἐν κακίᾳ νοῦν, καὶ φωτισθῇ τὸ σκότος, καὶ καταποθῇ τὸ θνητὸν ὑπὸ τῆς ζωῆς, καὶ τὸ κακὸν εἰς ἀνυπαρξίαν μεταχωρήσῃ, τοῦ

[1]) Іов. 40. 19. [2]) Иса. 14. 13, 14. [3]) Иса. 10. 13, 14. [4]) Иса. 14. 11, 12.



ἐσχάτου ἐχθροῦ καταργηθέντος, ὅς ἐςιν ὁ θάνατος [1]). Ταῦτά σοι ἡ τριήμερος προθεσμία κατείργαςαι. Μὴ βραδεῖα ἡ χάρις; μὴ δι᾽ ἄκρας περιόδου τοσοῦτον ἀγαθὸν κατώρθωται; βούλει γνῶναι τὸ ὑπερβάλλον τῆς δυνάμεως, τῶν ἐν οὕτω βραχεῖ χρόνῳ κατορθωθέντων; ἀρίθμησόν μοι πάσας τὰς μεταξὺ γενεὰς τῶν ἀνθρώπων, ἀπὸ τῆς πρώτης τῶν κακῶν εἰσόδου καὶ μέχρι τῆς ἀναλύσεως, πόσοι καθ᾽ ἑκάςην γενεὰν ἄνθρωποι ἐν πόσαις ἀριθμούμενοι μυριάσιν. Ἀδύνατόν ἐςιν ἀριθμῷ διαληφθῆναι τὸ πλῆθος, ὧν ἐν ταῖς διαδοχαῖς ἡ κακία συνεπλατύνετο, καὶ ὁ κακὸς τῆς πονηρίας πλοῦτος εἰς τοὺς καθ᾽ ἕκαςον μεριζόμενος, δι᾽ ἑκάςου μείζων ἐγίνετο, καὶ οὕτω πολυγονοῦσα συνδιεξῄει ταῖς ἀεὶ ἐπιγενομέναις γενεαῖς ἡ κακία χεομένη τῷ πλήθει πρὸς ἄπειρον, ἕως εἰς τὸ ἀκρότατον τοῦ κακοῦ προελθοῦσα πάσης κατεκράτησε τῆς ἀνθρωπίνης φύσεως· οὕτω τοῦ προφήτου καθολικῶς ἀποφηναμένου, ὅτι «πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν» [2]), καὶ οὐκ ἦν ἐν τοῖς οὖσιν οὐδὲν, ὃ μὴ κακίας ὄργανον ἦν. Τὴν οὖν τοσαύτην τοῦ κακοῦ σωρείαν, τὴν ἀπὸ καταβολῆς κόσμου μέχρι τῆς κατὰ τὸ πάθος τοῦ Κυρίου οἰκονομίας συναθροισθεῖσαν, ὁ ἐν τρισὶ διαχέας ἡμέραις μικράν σοι πεποίηται τῆς ὑπερβαλλούσης δυνάμεως τὴν ἐπίδειξιν; ἢ οὐχὶ πασῶν τῶν ἐν ταῖς ἱςορίαις θαυματοποιῶν ἰσχυροτέραν; ὥσπερ γὰρ πλεονάζει τοῦ Σαμψὼν τὸ θαῦμα, οὐ κατὰ τὸ κατισχῦσαι μόνον τοῦ λέοντος, ἀλλὰ καὶ τὸ ἀπόνως αὐτὸν διαχειρίσασθαι, γυμναῖς καὶ ἀόπλοις χερσὶ τὸν θῆρα καταπαίζοντα διασπάσασθαι· οὕτω καὶ τὸ δίχα πάσης ἐργωδίας [3]) τὸν Κύριον τὴν τοσαύτην ἀφανίσαι κακίαν, ἀπόδειξις μείζων ἐςὶ τοῦ τῆς δυνάμεως ὑπερβάλλοντος. Οὐχ ὑδάτων ἀπείρων ἐπιῤῥοαὶ ἐκ τῶν ἄνωθεν καταρακτῶν τῷ ὑποκειμένῳ ἐγκαταπίπτουσαι, οὐδὲ ἄβυσσοι τῶν ἰδίων ὅρων ὑπεροιδαίνουσαι καὶ τοῖς πελάγεσι τὴν γῆν ἐπικλύζουσαι, οὐδὲ πᾶσα ἡ οἰκουμένη νηὸς δίκην αὐτάνδρος [4]) τῷ βυθῷ καλυπτομένη, οὐδὲ ὄρη γινόμενα βύθια, καὶ κορυφαὶ τῶν ὀρῶν ὑποβρύχιοι· οὐδὲ καθ᾽ ὁμοιότητα Σοδόμων αἱ τῆς φλογὸς ἐπομβρίαι τῷ πυρὶ τὸ διεφθορὸς ἐκκαθαίρουσαι· οὐδὲ

[1]) 2 Кор. 5. 3. 1 Кор. 15. 26. [2]) Пс. 13. 3.
[3]) Ἐργωδία (отъ ἐργώδης), трудность, затрудненіе.
[4]) Αὐτανδρος, вмѣстѣ съ самими людьми.

ἄλλο τι τοιοῦτον οὐδέν· ἀλλὰ ἁπλῆ τις καὶ ἀκατάληπτος ἐπιδημία μόνη ζωῆς, καὶ φωτὸς παρουσία, τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις ἔκλειψιν παντελῆ καὶ ἀφανισμὸν τοῦ τε σκότους καὶ τοῦ θανάτου πεποίηται. Εἴπω τι πρὸς τοῖς εἰρημένοις καὶ ἕτερον; ἐφύη τὸ κακὸν ἐν τῷ ὄφει· ἡττήθη ἡ γυνὴ τῆς πείρας τοῦ δράκοντος· ἡττήθη μετὰ ταῦτα τῆς γυναικὸς ὁ ἀνήρ. Διὰ τριῶν ἔσχε τὸ κακὸν τὴν γένεσιν. Πρὸς τί μοι βλέπει τούτων ἡ μνήμη; ἔστι τινὰ τοῦ ἀγαθοῦ τάξιν διὰ τῆς ἐν τῷ κακῷ τάξεως κατανοῆσαι. Τρία βλέπω ταῦτα τοῦ κακοῦ δοχεῖα· πρῶτον μὲν, ἐν ᾧ τὸ πρῶτον συνέστη· δεύτερον, εἰς ὃ μετερρύη· τρίτον, ἐν ᾧ μετὰ ταῦτα ἐπεγένετο. Ἐπειδὴ τοίνυν ἐν τοῖς τρισὶ τούτοις ἡ κακία ἐπλήμμυρε, τῇ διαβολικῇ, λέγω, φύσει, καὶ τῷ τῶν γυναικῶν γένει, καὶ τῷ πληρώματι τῶν ἀνδρῶν· τούτου χάριν ἀκολούθως ἐν τρισὶν ἡμέραις ἡ νόσος ἐξαφανίζεται, ἑκάστῳ γένει τῶν ἐν κακίᾳ νενοσηκότων μιᾶς ἡμέρας ἀποκληρωθείσης πρὸς ἴασιν· ἐν μιᾷ ἡμέρᾳ οἱ ἄνδρες τῆς νόσου καθαίρονται· ἐν τῇ δευτέρᾳ τὸ τῶν γυναικῶν θεραπεύεται γένος· ἐν τῇ τελευταίᾳ ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος καὶ περὶ αὐτὸν ἀρχαί τε, καὶ ἐξουσίαι, καὶ δυνάμεις τῶν ἀντικειμένων δυνάμεων τῶν τε προκαθημένων συναφανίζονται. Μὴ θαυμάσῃς δὲ, εἰ χρονικοῖς διαστήμασιν ἡ τοῦ ἀγαθοῦ κτίσις ἐπιμερίζεται. Καὶ γὰρ παρὰ τὴν πρώτην τοῦ κόσμου γένεσιν, οὐκ ἠτόνει ἡ θεία δύναμις ἅπαντα ἐν ἀκαρεῖ [1]) τελειῶσαι τὰ ὄντα, ἀλλ᾽ ὅμως συμπαραλαμβάνει τῇ δημιουργίᾳ τῶν ὄντων καὶ τὰ χρονικὰ διαστήματα, ὡς τόδε μέν τι κατὰ τὴν πρώτην ἡμέραν τελειωθῆναι τὸ μέρος τῆς κτίσεως, ἐν δὲ τῇ δευτέρᾳ τὸ ἕτερον· καὶ ἐφεξῆς ὁμοίως ἐπεραιώθη τὰ ὄντα, ῥηταῖς ἡμέραις τοῦ Θεοῦ τὴν κτίσιν ἅπασαν συναρμόσαντος. Οὕτω καὶ ἐνταῦθα κατὰ τὸν ἄρρητον αὐτοῦ τῆς σοφίας λόγον, ἐν τρισὶν ἡμέραις τῶν ὄντων τὸ κακὸν ἐξοικίζεται, ἐξ ἀνδρῶν, ἐκ γυναικῶν, καὶ τοῦ γένους τῶν ὄφεων, ἐν οἷς πρώτοις ἡ τῆς κακίας φύσις ἔσχε τὴν γένεσιν.

5. Ἀλλὰ περὶ μὲν τῆς τοῦ ἀριθμοῦ τῶν ἡμερῶν αἰτίας

---

[1]) Ἐν ἀκαρεῖ (изъ α и κείρω) т. е. χρόνῳ, въ самое короткое время, въ одну секунду.

ταῦτα ὑπενοήσαμεν· εἴτε δὲ ὀρθῶς, εἴτε καὶ μὴ, ἐν τῇ κρίσει τῶν ἀκροατῶν καταλείψομεν. Οὐ γὰρ ἀπόφασις ὁ λόγος ἐςὶν, ἀλλὰ γυμνασία καὶ ζήτησις. Εἰ δὲ ζητεῖς δι' ἀκριβείας ἰδεῖν ἐν τῷ πάθει τῶν ἡμερῶν τούτων τὴν προθεσμίαν (λείπει γὰρ τῷ ἀριθμῷ οὐκ ὀλίγον, εἰ μετὰ τὴν ἐννάτην τῆς παρασκευῆς ὥραν ἀριθμοίης τὸν χρόνον, ἀφ' ἧς ταῖς πατρικαῖς χερσὶ τὸ πνεῦμα παρέθετο), μικρὸν ἐπίσχες, καὶ παρέξει σοι τυχὸν ὁ λόγος τὴν περὶ τούτου σαφήνειαν. Τίς οὖν ὁ λόγος; ἀνάβλεψον εἰς τὸ μεγαλεῖον τῆς θείας δυνάμεως, καὶ οὐκ ἀγνοήσεις τὸ ἐν τόπῳ ζητούμενον. Μνήσθητι τῆς Δεσποτικῆς ἀποφάσεως, τί περὶ αὐτοῦ ἀποφαίνεται ὁ τοῦ παντὸς ἐξημμένος [1]) τὸ κράτος· πῶς αὐτοκρατορικῇ ἐξουσίᾳ, καὶ οὐ φύσεως ἀνάγκῃ διαζεύγνυσι τὴν ψυχὴν ἐκ τοῦ σώματος, ἐν οἷς φησιν, ὅτι «οὐδεὶς αἴρει τὴν ψυχήν μου, ἀλλ' ἐγὼ τίθημι αὐτὴν ἀφ' ἑαυτοῦ· ἐξουσίαν ἔχω θεῖναι αὐτὴν, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν» [2]). Τοῦτό μοι ςήτω, καὶ τὸ ζητούμενον σεσαφήνιςαι.

6. Ὁ γὰρ πάντα κατὰ τὴν δεσποτικὴν αὐθεντίαν οἰκονομῶν οὐκ ἀναμένει τὴν ἐκ τῆς προδοσίας ἀνάγκην καὶ τὴν λῃςρικὴν ἔφοδον τῶν Ἰουδαίων, καὶ τὴν τοῦ Πιλάτου παράνομον κρίσιν, ὥςε τὴν ἐκείνων κακίαν ἀρχηγὸν καὶ αἰτίαν τῆς κοινῆς τῶν ἀνθρώπων σωτηρίας γενέσθαι· ἀλλὰ προλαμβάνει τῇ οἰκονομίᾳ τὴν ἔφοδον, κατὰ τὸν ἄρρητον τῆς ἱερουργίας τρόπον καὶ τοῖς ἀνθρώποις ἀόρατον, καὶ ἑαυτὸν προσήνεγκε προσφορὰν καὶ θυσίαν ὑπὲρ ἡμῶν, ὁ ἱερεὺς ἅμα καὶ ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. Πότε τοῦτο; ὅτε βρωτὸν ἑαυτοῦ τὸ σῶμα εἰς βρῶσιν σαφῶς ἐνδείκνυται τῷ ἤδη γεγενῆσθαι ἐντελῆ τοῦ ἀμνοῦ τὴν θυσίαν. Οὐ γὰρ ἂν ἦν τὸ σῶμα τοῦ ἱερείου πρὸς ἐδωδὴν ἐπιτήδειον, εἴπερ ἔμψυχον ἦν. Οὐκοῦν ὅτε παρέσχε τοῖς μαθηταῖς ἐμφαγεῖν τοῦ σώματος καὶ τοῦ αἵματος ἐμπιεῖν, ἤδη κατὰ τὸ θελητὸν τῇ ἐξουσίᾳ τοῦ τὸ μυςήριον οἰκονομοῦντος ἀρρήτως τε καὶ ἀοράτως τὸ σῶμα ἐτέθυτο. Καὶ ἡ ψυχὴ ἐν ἐκείνοις ἦν, ἐν οἷς αὐτὴν ἡ ἐξουσία τοῦ οἰκονομοῦντος ἐναπέθετο

---

[1]) Ἐξημμένος (отъ ἐξάπτομαι), простирающій (власть свою на все).

[2]) Іоан. 10. 18.

μετὰ τῆς ἐγκεκραμένης αὐτῇ θείας δυνάμεως, τὸν ἐν καρδίᾳ ἐκεῖνον χῶρον περιπολοῦσα. Οὐκοῦν ἀφ' οὗ προσήχθη τῷ Θεῷ ἡ θυσία παρὰ τοῦ μεγάλου Ἀρχιερέως, τοῦ τὸν ἑαυτοῦ ἀμνὸν ὑπὲρ τῆς κοινῆς ἁμαρτίας ἀῤῥήτως τε καὶ ἀοράτως ἱερουργήσαντος, ἀπὸ τότε τις ἀριθμῶν τὸν χρόνον τῆς ἀληθείας οὐχ ἁμαρτήσεται. Ἑσπέρα μὲν γὰρ ἦν ὅτε ἐβρώθη τὸ ἱερὸν ἐκεῖνο καὶ ἅγιον σῶμα. Νὺξ δὲ τὴν ἑσπέραν ἐκείνην ἡ πρὸ τῆς παρασκευῆς διεδέξατο. Εἶτα ἡ τῆς παρασκευῆς ἡμέρα, τῇ ἐπεισάκτῳ νυκτὶ διατμηθεῖσα, εἰς μίαν νύκτα καὶ εἰς ἡμέρας δύο καταψηφίζεται. Εἰ γὰρ τὸ σκότος ὁ Θεὸς ἐκάλεσε νύκτα [1]), ἐν δὲ ταῖς τρισὶν ὥραις ἐγένετο σκότος ἐπὶ πᾶσαν τὴν οἰκουμένην [2])· αὕτη ἐςὶν ἡ κατὰ τὸ μέσον τῆς ἡμέρας καινοτομηθεῖσα νὺξ, τὰ δύο τρήματα τῶν ἡμερῶν δι' ἑαυτῆς περιγράφουσα, τὸ μὲν ἀπὸ τοῦ ὄρθρου ἐπὶ τὴν ἕκτην ὥραν, τὸ δὲ ἀπὸ τῆς ἐννάτης ἐπὶ τὴν ἑσπέραν· ὥςε εἶναι μέχρι τούτου δύο νύκτας καὶ ἡμέρας δύο. Εἶτα πρὸ τοῦ Σαββάτου νὺξ, καὶ μετὰ ταύτην ἡ τοῦ Σαββάτου ἡμέρα, ἔχεις τὰς τρεῖς νύκτας. Ζήτησόν μοι λοιπὸν τὴν ἀναςάσιμον ὥραν, καὶ εὑρήσεις τὴν ἐν τοῖς εἰρημένοις ἀλήθειαν. Πότε οὖν τοῦτο; «ὀψὲ Σαββάτων,» Ματθαῖος βοᾷ [3]). Αὕτη τοι ἡ ὥρα τῆς Ἀναςάσεως κατὰ τὴν τοῦ ἀγγέλου φωνήν. Οὗτος ὅρος τῆς ἐν καρδίᾳ τῆς γῆς διαγωγῆς τοῦ Κυρίου. Ἑσπέρας γὰρ ἤδη βαθείας γεγενημένης (ἀρχὴ δὲ ἦν τῆς νυκτὸς ἐκείνης ἡ ἑσπέρα, ἣν διαδέχεται ἡ μία τῶν Σαββάτων ἡμέρα), τότε ὁ σεισμὸς γίνεται. Τότε ὁ καταςράπτων τοῖς ἐνδύμασιν ἄγγελος ἀποκυλίει τὸν λίθον τοῦ μνημείου. Αἱ δὲ γυναῖκες μικρὸν ἐπορθρίσασαι, ὑποφαινούσης ἤδη τῆς ἡμέρας τὸ φέγγος, ὡς καί τινα ἡλιακὴν αὐγὴν τῆς ἀνατολῆς ὑπερφαίνεσθαι, τότε ἱςοροῦσι τὴν ἤδη γεγενημένην ἀνάςασιν· αἳ τὸ μὲν θαῦμα ἔγνωσαν, τὴν δὲ ὥραν οὐκ ἐδιδάχθησαν. Ὅτι μὲν γὰρ ἠγέρθη, εἶπε πρὸς αὐτὰς ὁ ἄγγελος· τὸ δὲ πότε, τῷ ῥήματι οὐ προσέθηκεν. Ἀλλ' ὁ μέγας Ματθαῖος μόνος τῶν εὐαγγελιςῶν πάντων τὸν καιρὸν δι' ἀκριβείας ἐπεσημήνατο εἰπὼν, τὴν ἑσπέραν εἶναι τοῦ Σαββάτου τὴν ὥραν τῆς Ἀναςάσεως.

---

[1]) Быт. 1. 5. [2]) Матө. 27. 45. [3]) Матө. 28. 1.

7. Εἰ δὲ ταῦτα τοῦτον ἔχει τὸν τρόπον, ἔςηκεν ἡμῖν ἡ προθεσμία, ἀπὸ τῆς μετὰ τὴν πέμπτην ἑσπέρας εἰς τὴν τοῦ Σαββάτου ἑσπέραν διαμετρουμένου τοῦ χρόνου, τῆς ἐμβολίμου νυκτὸς, καθὼς εἴρηται, τὴν παρασκευὴν εἰς ἡμέρας δύο καὶ νύκτα μίαν κερματιζούσης. Ἔδει γὰρ ἐπὶ τοῦ δεσπόζοντος, ἐν τῇ δυναςείᾳ αὐτοῦ τοῦ αἰῶνος, μὴ τοῖς συντεταγμένοις τοῦ χρόνου μέτροις τὰ ἔργα κατ᾽ ἀνάγκην συμπαρατείνεσθαι· ἀλλὰ πρὸς τὴν τῶν ὄντων χρείαν καινοτομεῖσθαι τοῦ χρόνου τὰ μέτρα, καὶ συντομώτερον τὴν τῶν ἀγαθῶν ἐνέργειαν τῆς θείας δυνάμεως ἐπιτελούσης, κολοβώτερα τοῦ χρόνου σχεδιασθῆναι τὰ μέτρα· ὡς μήτε ἐλάττονα τῶν τριῶν ἡμερῶν καὶ τῶν τοσούτων νυκτῶν ἀριθμηθῆναι τὸν χρόνον. Ἐπειδὴ τοῦτον τὸν ἀριθμὸν ὁ μυςικὸς καὶ ἀπόρρητος ἐπιζητεῖ λόγος, μήτε τὰ συνήθη τῶν ἡμερῶν τε καὶ νυκτῶν ἀναμένουσαν διαςήματα πρὸς τὸ τάχος τῆς ἐνεργείας τὴν θείαν ἐμποδίζεσθαι δύναμιν. Ὁ γὰρ ἐξουσίαν ἔχων καὶ θεῖναι ἀφ᾽ ἑαυτοῦ τὴν ψυχὴν καὶ ἀναλαβεῖν, ὅτε ἐβούλετο, ἐξουσίαν εἶχεν, ὡς ποιητὴς τῶν αἰώνων, οὐχὶ δουλεῦσαι διὰ τῶν ἔργων τῷ χρόνῳ, ἀλλὰ ποιῆσαι κατὰ τὰ ἔργα τὸν χρόνον. Ἀλλ᾽ οὔπω τοῦ μεγίςου τῶν κεφαλαίων ὁ λόγος ἥψατο. Ζητεῖν γὰρ τοὺς φιλομαθεςέρους εἰκὸς, πῶς ἐν τῷ χρόνῳ τρισὶν ἑαυτὸν ὁ Κύριος διδωσι, τῇ τε καρδίᾳ τῆς γῆς καὶ τῷ παραδείσῳ σὺν τῷ λῃςῇ καὶ ταῖς πατρῴαις χερσί. Πρὸς τοὺς Φαρισαίους μὲν γάρ φησιν, ὅτι «ὥσπερ Ἰωνᾶς μὲν ἦν ἐν τῇ κοιλίᾳ τοῦ κήτους, οὕτως ἔςαι καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς» [1], κατὰ τὸ τριήμερον τοῦ χρόνου διάςημα· πρὸς τὸν λῃςὴν, ὅτι «σήμερον μετ᾽ ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ» [2]· πρὸς δὲ τὸν Πατέρα, ὅτι «εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου» [3]. Οὔτε γὰρ ἐν ὑποχθονίοις τις ἂν τὸν παράδεισον, οὔτε ἐν παραδείσῳ τὰ ὑποχθόνια [4]· ὥςε κατὰ ταὐτὸν ἐν ἀμφοτέροις εἶναι, ἢ χεῖρα τοῦ Πατρὸς λέγεσθαι ταῦτα. Ἀλλὰ τοῦτο μὲν ἐν τοῖς εὐσεβῶς λογιζομένοις τυχὸν οὐδὲ ζητήσεως ἄξιον. Ὁ γὰρ πανταχοῦ ὢν διὰ τῆς θείας δυνάμεως, καὶ παντὶ πάρεςι καὶ οὐδενὸς ἀπολείπεται.

---

[1]) Матө. 12. 40. [2]) Лук. 23. 43. [3]) Лук. 23. 46.

[4]) Подразумѣвается: ἐστι.

Ἐγὼ δὲ καὶ ἕτερον οἶδα λόγον περὶ τούτου μαθών, ὃν βουλομένοις ὑμῖν δι᾽ ὀλίγων ἐκθήσομαι. Ὅτε ἦλθεν ἐπὶ τὴν Παρθένον τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ἡ τοῦ Ὑψίςου δύναμις αὐτῇ ἐπεσκίασεν [1]), ἐπὶ τῷ τὸν καινὸν ἄνθρωπον ἐν αὐτῇ συςῆναι (τὸν διὰ τοῦτο καινὸν ὠνομασμένον, ὅτι κατὰ Θεὸν ἐκτίσθη, οὐ κατὰ ἀνθρωπίνην συνήθειαν, ὥςε γενέσθαι Θεοῦ δοχεῖον ἀχειροποίητον· οὐ γὰρ κατοικεῖ ἐν χειροποιήτοις, τοῖς ὑπὸ ἀνθρώπων, λέγω, κατεσκευασμένοις, ὁ Ὕψιςος [2])· τότε αὐτῆς τὸν οἶκον τῆς Σοφίας οἰκοδομούσης [3]), καὶ τῷ τῆς δυνάμεως ἀποσκιάσματι οἱονεὶ τύπῳ σφραγῖδος ἔνδοθεν καταμορφωθέντος, τότε ἀμφοτέροις, δι᾽ ὧν ἡ ἀνθρωπίνη φύσις συνέςηκε (ψυχῇ τε, λέγω, καὶ σώματι), ἡ θεία κατακιρνᾶται δύναμις, ἑκατέρῳ καταλλήλως ἑαυτὴν καταμίξασα. Ἔδει γὰρ τῶν δύο τούτων διὰ τῆς παρακοῆς νεκρωθέντων (ἐπειδὴ νέκρωσις ἦν, τῆς μὲν ψυχῆς ἡ τῆς ὄντως ζωῆς ἀλλοτρίωσις· τοῦ σώματος δὲ ἡ φθορά τε καὶ διάλυσις), ἀμφοτέρων τούτων τῇ ἐπιμιξίᾳ τῆς ζωῆς ἐξοικισθῆναι τὸν θάνατον. Πρὸς ἑκάτερον τοίνυν τῶν τοῦ ἀνθρώπου τμημάτων καταλλήλως τῆς θεότητος ἐμμιχθείσης, δι᾽ ἀμφοτέρων ἐπίδηλα τῆς ὑπερεχούσης φύσεως τὰ γνωρίσματα ἦν. Τὸ μὲν γὰρ σῶμα τὴν ἐν αὐτῷ θεότητα διὰ τῆς ἀφῆς τὰς ἰάσεις ἐνεργοῦν ἐπεσήμαινε· ἡ δὲ ψυχὴ τῷ δυνατῷ ἐκείνῳ θελήματι τὴν θείαν ἐνεδείκνυτο δύναμιν. Ὥσπερ γὰρ ἡ κατὰ τὴν ἁφὴν αἴσθησις τοῦ σώματός ἐςιν ἰδία, οὕτω καὶ τῆς ψυχῆς ἡ κατὰ προαίρεσιν κίνησις. Προσέρχεται ὁ λεπρὸς διεῤῥυηκὼς ἤδη καὶ ἠχρειωμένος τῷ σώματι. Πῶς γίνεται ἐπὶ τούτου παρὰ τοῦ Κυρίου ἡ ἴασις; ἡ ψυχὴ θέλει καὶ τὸ σῶμα (ἥψατο, καὶ εὐθέως ἐκαθαρίσθη) ἡ λέπρα [4]). Πάλιν τοὺς ἐν πολλαῖς χιλιάσι κατὰ τὴν ἔρημον αὐτῷ προσεδρεύσαντας, ἀπολῦσαι μὲν νήςεις οὐ θέλει· ταῖς χερσὶ δὲ διακλᾶται τοὺς ἄρτους [5]).

8. Ὁρᾷς, πῶς δι᾽ ἀμφοτέρων ἡ ἐν ἑκατέρῳ συμπαρομαρτοῦσα θεότης δημοσιεύεται, τῷ τε ἐνεργοῦντι σώματι καὶ τῇ ὁρμῇ τοῦ ἐν τῇ ψυχῇ γινομένου θελήματος. Καὶ τί χρὴ πάντα

[1]) Лук. 1. 35. [2]) Дѣян. 17. 24. [3]) Прит. 9. 1. [4]) Матѳ. 8. 3. [5]) Матѳ. 15. 32—36.



διεξιέναι αὐτὰ θαύματα ὁμοιοτρόπως ἐπιτελούμενα, τοῖς προδήλοις ἐνασχολοῦντα τὸν λόγον; ἀλλ᾽ οὗ χάριν τῶν εἰρημένων ἐμνήσθην, πρὸς ἐκεῖνο καὶ μεταβήσομαι. Πῶς κατὰ ταὐτὸν καὶ ἐν τῷ ᾅδῃ καὶ ἐν τῷ παραδείσῳ ὁ Κύριος; οὗ ζητήματος λύσις ἐςὶ μία, τὸ μηδὲν ἄβατον εἶναι Θεῷ, ἐν ᾧ τὰ πάντα συνέςηκεν [1]). Ἕτερα δὲ, πρὸς ἣν νῦν ὁ λόγος βλέπει· ὅτι ὅλον τὸν ἄνθρωπον τοῦ Θεοῦ διὰ τῆς πρὸς ἑαυτὸν ἀνακράσεως εἰς τὴν θείαν φύσιν μετασκευάσαντος, ἐν τῷ καιρῷ τῆς κατὰ τὸ πάθος οἰκονομίας οὐ θατέρου μέρους τὸ ἅπαξ ἐγκραθὲν ἀνεχώρησεν (ἀμεταμέλητα γὰρ τοῦ Θεοῦ τὰ χαρίσματα) [2])· ἀλλὰ τὴν μὲν ψυχὴν τοῦ σώματος ἡ θεότης ἑκουσίως διέζευξεν, ἑαυτὴν δὲ ἐν ἀμφοτέροις μένουσαν ἔδειξεν. Διὰ μὲν γὰρ τοῦ σώματος, ἐν ᾧ τὴν ἐκ τοῦ θανάτου καταφθορὰν οὐκ ἐδέξατο [3]), κατήργησε τὸν ἔχοντα τοῦ θανάτου τὸ κράτος [4]), διὰ δὲ τῆς ψυχῆς ὡδοποίησε τῷ λῃςῇ τὴν ἐπὶ τὸν παράδεισον εἴσοδον· καὶ τὰ δύο κατ᾽ αὐτὸν [5]) ἐνεργεῖται, δι᾽ ἀμφοτέρων τῆς θεότητος τὸ ἀγαθὸν κατορθούσης· διὰ μὲν τῆς τοῦ σώματος ἀφθαρσίας τὴν τοῦ θανάτου κατάλυσιν, διὰ δὲ τῆς ψυχῆς πρὸς τὴν ἰδίαν ἑςίαν ἐπειγομένης τὴν ἐπὶ τὸν παράδεισον τῶν ἀνθρώπων ἐπάνοδον. Ἐπεὶ οὖν διπλοῦν μὲν τὸ ἀνθρώπινον σύγκραμα, ἁπλῆ δὲ καὶ μονοειδὴς ἡ τῆς θεότητος φύσις, ἐν τῷ καιρῷ τῆς τοῦ σώματος ἀπὸ τῆς ψυχῆς διαζεύξεως οὐ συνδιασχίζεται τῷ συνθέτῳ τὸ ἀδιαίρετον, ἀλλὰ τὸ ἔμπαλιν γίνεται. Τῇ γὰρ ἑνότητι τῆς θείας φύσεως τῆς κατὰ τὸ ἴσον ἐν ἀμφοτέροις οὔσης, πάλιν πρὸς ἄλληλα τὰ διεςῶτα συμφύεται. Καὶ οὕτω γίνεται, ὁ θάνατος μὲν ἐκ τῆς τῶν συμπεφυκότων διαιρέσεως, ἡ ἀνάςασις δὲ ἐκ τῆς τῶν διαιρεθέντων ἑνώσεως. Εἰ δὲ ζητεῖς, πῶς ἐν τῷ παραδείσῳ ὤν, ἐν ταῖς χερσὶ τοῦ Πατρὸς ἑαυτὸν παρατίθεται, ἑρμηνεύσει σοι ὁ ὑψηλὸς Ἠσαΐας τὸ περὶ τούτων ζητούμενον. Εἶπε γὰρ ἐκεῖνος ἐκ προσώπου τοῦ Θεοῦ περὶ τῆς ἄνω Ἱερουσαλὴμ, ἣν οὐκ ἄλλην παρὰ τὸν παράδεισον εἶναι πιςεύομεν, ὅτι «ἐπὶ τῶν χειρῶν μου ἐζωγράφησα σου τὰ τείχη» [6]). Εἰ οὖν ἐν ταῖς χερσὶ τοῦ Πατρὸς περιγέγραπται ἡ Ἱερουσαλὴμ, ἥτις

[1]) Кол. 1. 17. [2]) Рим. 11. 29. [3]) Дѣяніе 2. 27. [4]) Евр. 2. 14.
[5]) Подразумѣвастся: χρόνον.
[6]) Иса. 49. 16.

*

ἐςὶν ὁ παράδεισος, δηλονότι ὁ ἐν παραδείσῳ γενόμενος ταῖς πατρῴαις πάντως ἐνδιαιτᾶται παλάμαις, ἐν αἷς ἡ θεία πόλις τὴν περιγραφὴν ἔχει. Καὶ ταῦτα μὲν εἰς τοσοῦτον.

9. Ὅσα δὲ τῶν Ἰουδαίων ἀκούομεν κατατρεχόντων ἐν σφοδρᾷ κατηγορίᾳ τοῦ δόγματος, ἄξιον ἂν εἴη προσθεῖναι διὰ βραχέων τῷ λόγῳ. Λέγουσι γάρ, ἐν τῷ περὶ τοῦ Πάσχα λόγῳ τοῖς Ἰουδαίοις νενομοθετῆσθαι παρὰ τοῦ Μωϋσέως τὴν τεσσαρεσκαιδεκάτην τοῦ σεληναίου δρόμου περίοδον, καὶ τῶν ἑπτὰ ἡμερῶν τὴν ἀζυμοφαγίαν, καὶ ὄψον ἐπὶ τοῖς ἀζύμοις ποιεῖσθαι τῶν πικρίδων τὴν πόαν [1]). Εἰ οὖν ἐπιμελὴς ὑμῖν ἡ τῆς τεσσαρεσκαιδεκάτης ἐςὶ παρατήρησις, συμπαραφυλαττέσθω, φησὶν ὁ Ἰουδαῖος, καὶ ἡ πικρὶς καὶ τὸ ἄζυμον. Εἰ δὲ ταῦτα τοῦ παρορᾶσθαι ἄξια, τίς ἡ περὶ ἐκείνης σπουδή; οὐ γὰρ δὴ τοῦ αὐτοῦ νομοθέτου τὸ μέν τι δίκαιον καὶ ψυχωφελὲς, τὸ δὲ ἄχρηςον κρίνεται καὶ ἀπόβλητον· ὡς ἐπάναγκες εἶναι, ἢ πάντα κατορθοῦσθαι παρ' ἡμῶν, ὅσα περὶ τοῦ Πάσχα διηγόρευται, ἢ μηδενὸς ἡμᾶς περιέχεσθαι. Τί οὖν ἡμεῖς; μνησθῶμεν τοῦ παραγγείλαντος, μὴ φοβεῖσθαι τὸν ὀνειδισμὸν τῶν ἀνθρώπων, καὶ τῷ φαυλισμῷ αὐτῶν μὴ ἡττᾶσθαι [2]). Οἴδαμεν γὰρ τῶν ἀζύμων τὴν ψυχωφελῆ παρατήρησιν, καὶ τῶν πικρίδων τὸ κέρδος, καὶ τῆς τεσσαρεσκαιδεκάτης τὸ χρήσιμον [3]). Ὁ δὲ λόγος οὗτός ἐςιν, ὃν δι' ὀλίγων ἐπισκεψόμεθα· ὁ τὴν σκιὰν τῶν μελλόντων ἀγαθῶν ἔχων νόμος [4]), πρὸς ἕνα κατὰ τὸ προηγούμενον βλέπει σκοπὸν, ὅπως ἂν διὰ τῶν ποικίλων παραγγελμάτων καθαρθείη τῆς ἐμμιχθείσης κακίας ὁ ἄνθρωπος. Τοῦτο ἐν τῇ περιτομῇ, τοῦτο ἐν τῷ Σαββάτῳ, τοῦτο ἐν τῇ τῶν ἐδωδίμων παρατηρήσει, τοῦτο ἐν τῇ ποικίλῃ ζωοθυσίᾳ, τοῦτο ἐν τοῖς καθ' ἕκαςον παρατηρήμασι κατορθοῦται τοῦ νόμου. Καὶ μακρὸν ἂν εἴη τὰ περὶ ἑκάςου ἡμῖν αἰνιγματωδῶς εἰς τὸ τοῦ βίου καθάρσιον παρὰ τοῦ νόμου δηλούμενα δι' ἀκριβείας ἐκτίθεσθαι. Ὥσπερ τοίνυν διὰ τῆς περιτομῆς τῆς πνευματικῶς ἐπιτελουμένης ἡ φύσις τὸ ἐμπαθὲς ἀποτίθεται, περιαιρουμένη τὸν σαρκώδη βίον· διὰ δὲ τοῦ σαββατισ-

---

[1]) Исх. 12. 8. [2]) Мат. 5. 39.

[3]) Т. е. ἡμέρας, дни, въ который праздновалась Пасха.

[4]) Евр. 10. 1.

μου τὴν ἐν τῷ κακῷ ἀπραξίαν διδάσκεται· ἡ δὲ ζωοθυσία κατασφάζει τὰ πάθη, καὶ ἡ νενομισμένη περὶ τὰ βρώματα τῶν ἀκαθάρτων διάκρισις συμβουλεύει σοι τοῦ ῥυποῦντός τε καὶ ἀκαθάρτου βίου τὴν ἀλλοτρίωσιν· οὕτω καὶ ἡ ἑορτή σοι αὕτη τὴν ἑορτὴν ἐκείνην ἐνδείκνυται, πρὸς ἣν ἡ ψυχὴ διὰ τῶν ἀζύμων παρασκευάζεται, ἐν ἑπτὰ ἡμέραις τῆς τοῦ ζυμωτοῦ βρώσεως καθαρεύουσα, ὧν τὸ αἴνιγμα τοιοῦτόν ἐςιν· ὁ τῶν ἑπτὰ ἡμερῶν ἀριθμὸς τὸν παροδικόν σοι τοῦτον χρόνον ἐνδείκνυται, τὸν δι' ἑβδομάδων ἀνακυκλούμενον· ἐν ᾧ χρὴ δι' ἐπιμελείας εἰς τὴν ἐνεςῶσαν ἡμέραν μηδὲν τῆς χθιζῆς κακίας λείψανον διασώζεσθαι, ὡς ἂν μή τινα ζύψιν καὶ ὀξίδα τῷ σημερινῷ φυράματι ἡ τῆς ἑώλου κακίας ποιήσειεν. «Ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν» [1]), φησὶν ὁ Ἀπόςολος, ὁ «μὴ ἐν ζύμῃ παλαιᾷ, μηδὲ ἐν ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας» [2]) ἑορτάζειν ἐγκελευόμενος. Ὃ δὲ περὶ τοῦ ἑνὸς τῆς κακίας εἴδους ἔγνωμεν, ἀναλόγως τοῦτο περὶ τῶν λοιπῶν τῆς κακίας εἰδῶν διδασκόμεθα· ἡ δὲ πικρὶς ἐκβάλλει τὸ καταβεβλακευμένον ἐν τῷ βίῳ καὶ ἔκλυτον· ἀντεισάγει δὲ τὸν ἐγκρατῆ καὶ κατεσκληκότα καὶ τῇ αἰσθήσει δύσληπτον βίον. Ἐπειδὴ «πᾶσα παιδεία οὐ δοκεῖ πρὸς τὸ παρὸν χαρᾶς εἶναι, ἀλλὰ λύπης» [3]).

**10.** Ὁ τοίνυν διὰ πάσης τῆς τοῦ βίου τούτου ἑβδομάδος ἀνεπίμικτον παλαιᾶς κακίας καὶ ἄζυμον τὴν ἀεὶ ἐνεςῶσαν κατορθῶν ἡμέραν, ὄψον τῆς ζωῆς ποιούμενος τὴν ἐγκράτειαν, οὗτος ἑαυτὸν πάσης σκοτεινῆς ἐπιμιξίας χωρίζει. Τοῦτο γὰρ ἡ τεσσαρεσκαιδεκάτη τοῦ σεληναίου δρόμου ἐνδείκνυται. Ἐπειδὴ γὰρ ἐννέα εἰσὶν αἱ πᾶσαι τοῦ σεληναίου δρόμου καὶ εἴκοσι καὶ ἡμίσεια, ἐν αἷς ἐκ νεομηνίας ἡ σελήνη δι' αὐξήσεως τελειωθεῖσα τῷ κύκλῳ, πάλιν διὰ μειώσεως εἰς τὴν παντελῆ τοῦ φωτὸς ἔκλειψιν ἐπανέρχεται, δηλονότι τὸ ἥμισυ τοῦ μνημονευθέντος ἀριθμοῦ τεσσαρεσκαιδεκάτη ἐςί, καὶ μικρὸν ἔτι πρός. Οὐκοῦν, ὅταν ἐν τούτῳ τύχῃ οὖσα ἡ σελήνη τῷ σχήματι [4]), ἐπειδὴ, συμπροϊοῦσα

---

[1]) Еф. 4. 26. [2]) 1 Кор. 5. 8. [3]) Евр. 12. 11.
[4]) Въ видѣ полнолунія.

κατὰ τὸν ἴδιον δρόμον τῷ νυκτερινῷ διαστήματι, προστίθησι τὸ λεῖπον τῷ κύκλῳ, ὥστε πληρωθεῖσαν φωτὸς ταῖς αὐγαῖς τῆς ἡμέρας τὰς παρ' ἑαυτῆς λαμπηδόνας συμπαρακαταμίξαι, ὡς μήτε κατὰ τὴν ἑσπέραν, μήτε κατὰ τὸν ὄρθρον, σκότους τινὰ παρενθήκην διακόψαι τοῦ φωτὸς τὴν συνέχειαν, ἐν τῇ διαδοχῇ τῶν στοιχείων ἀδιαιρέτου τῆς αὐγῆς μενούσης. Πρὶν γὰρ ἀκριβῶς τὴν ἡλιακὴν ἀκτῖνα καταδῦναι, ἀντιφαίνεται δι' εὐθείας ἡ σελήνη τῷ ἡλίῳ κατὰ τὸ διάμετρον, καὶ τῷ ἰδίῳ φωτὶ καταλάμπει τὸ ὑποκείμενον [1]). Καὶ πάλιν πρὶν πάντως τὸν κύκλον αὐτῆς ὑπελθεῖν τὸν ὁρίζοντα, τοῖς λειψάνοις τοῦ σεληναίου φωτὸς ἡ τῆς ἡμέρας αὐγὴ καταμιγνῦται. Καὶ οὕτω τῆς πανσελήνου ἐκείνης ἡμέρας τὸ σκότος ἐξαφανίζεται, κατά τε τὸν ὄρθρον καὶ τὴν ἑσπέραν τῇ τῶν φωστήρων διαδοχῇ λαμπρυνόμενον. Ὅπερ τοίνυν τῷ αἰσθητῷ φωτὶ κατὰ τὴν τεσσαρεσκαιδεκάτην συμβαίνει, τὸ διὰ πάσης νυκτός τε καὶ ἡμέρας ἀπαράδεκτον εἶναι τῆς ἐπιμιξίας τοῦ σκότους, τοῦτο βούλεται ὁ πνευματικὸς νόμος σύμβολον γενέσθαι τοῖς πνευματικῶς ἑορτάζουσιν, ὥστε διὰ πάσης τῆς κατὰ τὴν ζωὴν ἑβδομάδος ἐν Πάσχα φωτεινὸν καὶ ἀσκότιστον ὅλον τὸν χρόνον αὐτοῖς τῆς ζωῆς ἐργάζεσθαι. Αὕτη γὰρ τῶν περὶ τὸ Πάσχα παραγγελμάτων τοῖς χριστιανοῖς ἡ κατάστασις. Διὰ τοῦτο πρὸς τὴν τεσσαρεσκαιδεκάτην βλέπομεν, διὰ τοῦ αἰσθητοῦ τούτου καὶ ὑλικοῦ φωτὸς τοῦ ἀΰλου τε καὶ νοητοῦ τὴν φαντασίαν ἀναλαμβάνοντες, ὡς τὸ μὲν δοκεῖν σελήνην πλήθουσαν ἐπιζητεῖν, τὸ παρ' ἑαυτῆς φέγγος διαρκὲς παρεχομένην ἡμῖν παννύχιον, τῇ δὲ ἀληθείᾳ νόμον ἡμῖν εἶναι τὸ παρατήρημα τοῦ πάντα τὸν χρόνον, τὸν νυκτὶ καὶ ἡμέρᾳ διαμετρούμενον, λαμπρὸν ἡμῖν διαρκῶς εἶναι καὶ τῶν ἔργων σκοτεινῶν ἀνεπίμικτον. Καὶ περὶ μὲν τούτων τοσαῦτα.

**11.** Ὅσα δὲ ὁ σταυρὸς ἐμπεριέχει νοήματα, δι' οὗ τελειοῦται τὸ περὶ τὸ πάθος μυστήριον, τίς ἂν ῥᾳδίως τῷ λόγῳ σαφηνίσειε; μὴ γὰρ οὐκ ἦσαν μυρίοι τρόποι πρὸς θάνατον φέροντες, δι' ὧν ἦν δυνατὸν πληρωθῆναι τὴν ὑπὲρ ἡμῶν τοῦ θανάτου οἰκονομίαν; ἀλλ' ἐκ πάντων οὗτος ὡρίσθη παρ' αὐτοῦ τοῦ ἑαυτῷ κατ' ἐξουσίαν τὸ πάθος ὁρίσαντος. «Δεῖ γάρ, φησι, τὸν Υἱὸν

[1]) Τὸ ὑποκείμενον, вселенная, видимый міръ.



τοῦ ἀνθρώπου». Οὐκ εἶπε· τὰ καὶ τὰ πείσεται ὁ Υἱὸς τοῦ ἀνθρώπου, ὡς ἄν τις ἁπλῶς εἴποι προαγορεύων τὸ λεγόμενον, ἀλλὰ τὸ ἀναγκαῖον κατά τινα λόγον ἀπόῤῥητον γενέσθαι ὀφεῖλον δογματίζει τῷ ῥήματι, ἐν τῷ εἰπεῖν, ὅτι «δεῖ τὸν Υἱὸν τοῦ ἀνθρώπου πολλὰ παθεῖν, καὶ ἀποδοκιμασθῆναι, καὶ σταυρωθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι» [1]). Κατανόησόν μοι γὰρ τοῦ «δεῖ» τὴν διάνοιαν, δι' ἧς εὑρίσκεται τὸ μὴ δεῖν ἄλλως ἢ διὰ τοῦ σταυροῦ γενέσθαι πάντως τὸ πάθος τὸ δογματιζόμενον. Τίς οὖν ὁ περὶ τούτου λόγος; μόνου τοῦ μεγάλου Παύλου ἐστί, τοῦ ἐκ τῶν ἀῤῥήτων ῥημάτων παιδευθέντος, ἃ ἐν τοῖς ἀδύτοις τοῦ παραδείσου μυηθεὶς ἠκροάσατο, καὶ τὸ περὶ τούτου μυστήριον διασαφῆσαι, καθὼς ἐν μέρει διὰ τῶν πρὸς Ἐφεσίους λόγων τὸ κρυπτὸν ὑπηνίξατο λέγων· «ἵνα ἐξισχύσητε καταλαβέσθαι σὺν πᾶσι τοῖς ἁγίοις, τί τὸ πλάτος καὶ μῆκος, τὸ βάθος καὶ ὕψος, γνῶναί τε τὴν ὑπερβάλλουσαν ἀγάπην τῆς γνώσεως τοῦ Χριστοῦ, ἵνα πληρωθῆτε εἰς πᾶν τὸ πλήρωμα τοῦ Θεοῦ» [2]). Οὐ γὰρ ἀργῶς ὁ θεῖος ἐκεῖνος ὀφθαλμὸς τοῦ Ἀποστόλου τὸ σχῆμα τοῦ σταυροῦ κατενόησεν· ἀλλ' ἔδειξε καὶ διὰ τούτου σαφῶς, ὅτι πᾶς τῆς ἀγνοίας λεπίδας ἀποβολὼν τῶν ὀμμάτων πρὸς αὐτὴν ὁρᾷ καθαρῶς τὴν ἀλήθειαν. Οἶδε γάρ, ὅτι τὸ σχῆμα τοῦτο τέτταρσι προβολαῖς ἀπὸ τῆς ἐν τῷ μέσῳ συμβολῆς μεριζόμενον, τὴν διὰ πάντων ἥκουσαν τοῦ ἐν αὐτῷ φανέντος δύναμίν τε καὶ πρόνοιαν διασημαίνει, καὶ τούτου χάριν ἑκάστην προβολὴν ἰδιαζούσαις κατονομάζει φωναῖς· βάθος λέγων τὸ ἐκ τοῦ μέσου κάτω, καὶ ὕψος τὸ ὑπερκείμενον· πλάτος δὲ καὶ μῆκος, τὸ ἐκ πλαγίου παρατεινόμενον μετὰ τὴν συμβολὴν ἑκατέρωθεν· ὡς τὸ μὲν ἔνθεν τοῦ μέσου πλάτος, τὸ δὲ ἑτέρωθεν μῆκος προσαγορεῦσαι· δι' ὧν τοῦτό μοι δοκεῖ σαφῶς διασημαίνειν τῷ λόγῳ, ὅτι οὐδὲν τῶν ὄντων ἐστίν, ὃ μὴ τῇ θείᾳ διακρατεῖται φύσει, τὸ ὑπερουράνιον, τὸ ὑποχθόνιον, τὸ ἐπὶ τὰ πέρατα τῶν ὄντων πάντοθεν ἐκ πλαγίου παρατεινόμενον. Σημαίνει γὰρ διὰ μὲν τοῦ ὕψους τὸ ὑπερκείμενον· διὰ δὲ τοῦ βάθους τὸ ὑποχθόνιον· τῷ μήκει δὲ καὶ τῷ πλάτει τὰ διὰ μέσου πέρατα, τὰ ὑπὸ τῆς πᾶν διακρατούσης δυνάμεως συνεχό-

[1]) Матѳ. 16. 21. Марка 8. 31. [2]) Еф. 3. 18, 19.

μενα. Ἔςω δὲ διὰ τῶν ἐν τῇ σῇ ψυχῇ γινομένων ἐν τῇ περὶ Θεοῦ ἐννοίᾳ ἡ τῶν λεγομένων ἀπόδειξις. Ἀνάβλεψον γὰρ εἰς τὸν οὐρανὸν, καὶ τὰ κάτω βάθη τῷ λογισμῷ κατανόησον, ἔκτεινον ἐπὶ τὰ πλάγια καὶ τὰ ἄκρα τῆς τοῦ παντὸς συςάσεως τὴν διάνοιαν, καὶ λόγισαι, τίς ἐςιν ἡ ταῦτα συνέχουσα δύναμις, οἷόν τις σύνδεσμος τοῦ παντὸς γινομένη. Καὶ ὄψει, ὡς αὐτομάτως ἐν τῇ διανοίᾳ ἡ περὶ τῆς θείας δυνάμεως ἔννοια τὸ σχῆμα τοῦ ςαυροῦ ἐγχαράσσεται, ἐκ τῶν ὑψηλοτέρων ἐπὶ τὰ βάθη καθῆκον, καὶ ἐπὶ τὰ πέρατα τῶν ἄκρων ἐγκαρσίως παρατεινόμενον.

12. Τοῦτο τὸ σχῆμα καὶ ὁ μέγας Δαβὶδ ἐν τῷ καθ' ἑαυτὸν ὕμνησε λόγῳ· «ποῦ πορευθῶ ἀπὸ τοῦ Πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; ἐὰν ἀναβῶ εἰς τὸν οὐρανὸν» (τοῦτο τὸ ὕψος)· «ἐὰν καταβῶ εἰς τὸν ᾅδην» (τοῦτο τὸ βάθος)· «ἐὰν ἀναλάβοιμι τὰς πτέρυγάς μου κατ' ὄρθρον,» ὅ ἐςιν ἡ ἀνατολὴ τοῦ ἡλίου (τοῦτο τὸ πλάτος)· «εἰ κατασκηνώσαιμι εἰς τὰ ἔσχατα τῆς θαλάσσης» (οὕτω γὰρ τὰς δυσμὰς ὀνομάζει)· τοῦτο τὸ μῆκος [1]). Ὁρᾷς πῶς διαζωγραφεῖ τὸ τοῦ ςαυροῦ σχῆμα διὰ τῶν λεγομένων; Σὺ εἶ, φησὶν, ὁ διὰ πάντων ἥκων, καὶ σύνδεσμος τῶν γινομένων, καὶ πάντα ἐν ἑαυτῷ διαλαμβάνων τὰ πέρατα· ἄνω σὺ εἶ, κάτω σὺ πάρει, ἐν τῷ πέρατι τούτῳ ἡ χεῖρ σοῦ ἐςιν, καὶ ἐν τῷ ἑτέρῳ ἡ δεξιά σου ὁδηγεῖ. Διὰ τοῦτο καὶ ὁ μέγας Ἀπόςολος, ἔνθα πληρωθῇ τὰ πάντα τῆς πίςεως καὶ ἐπιγνώσεως, προσκυνεῖσθαι λέγει τὸν ὑπὲρ πᾶν ὄνομα ὄντα ἐν τῷ ὀνόματι Ἰησοῦ Χριςοῦ, ὑπό τε τῶν οὐρανίων καὶ τῶν ἐπιγείων καὶ τῶν καταχθονίων [2])· πάλιν καὶ διὰ τούτων κατὰ τὸ σχῆμα τοῦ ςαυροῦ μερίζει τοῦ ςαυροῦ τὴν προσκύνησιν. Ἡ μὲν γὰρ ὑπερκόσμιος λῆξις ἐν τῷ ἄνω τοῦ ςαυροῦ μέρει τῷ Δεσπότῃ πληροῖ τὴν προσκύνησιν· ἡ δὲ ἐγκόσμιος ἐν τοῖς μέσοις· ἡ δὲ ὑποχθόνιος τοῦ βάθους ἔχεται. Τοῦτο καὶ τὸ «ἰῶτά» ἐςι κατὰ τὸν ἐμὸν λόγον, τὸ μετὰ τῆς κεραίας θεωρούμενον, ὃ καὶ τῶν οὐρανῶν μονιμώτερον, καὶ τῆς γῆς ςαθερώτερον, καὶ πάσης τῆς τῶν ὄντων συςάσεως διαρκέςερον. «Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται» [3])· καὶ «ὅλου τοῦ κόσμου παράγει τὸ σχῆμα» [4])· «τὸ

[1]) Пс. 138. 7—9. [2]) Фил. 2. 10. [3]) Мат. 24. 35. [4]) 1 Кор. 7. 31.



δὲ ἰῶτα ἐκ τοῦ νόμου, καὶ ἡ κεραία οὐ παραδέχεται» [1]). Ἡ ἐγκάθετος γραμμὴ, ἡ ἄνωθεν ἐπὶ τὸ βάθος καθήκουσα, ἰῶτα λέγεται· ἡ δὲ ἐγκαρσίως ἀγομένη διὰ πλαγίου, κεραία ὀνομάζεται, καθὼς ἔςι καὶ παρὰ τῶν ναυτιλλομένων τοῦτο μαθεῖν. Τὸ γὰρ ξύλον τὸ διὰ πλαγίου τῷ ἱςῷ ἐπικείμενον, οὗ καὶ τὴν ὀθόνην ἐξαπλοῦσι, κεραίαν λέγουσιν [2]), ἐκ τοῦ σχήματος ὀνομάζοντες. Διό μοι δοκεῖ πρὸς τοῦτο βλέπειν ἡ θεία τοῦ Εὐαγγελίου φωνή· ὅτι ἐκεῖνό ἐςιν, ἐν ᾧ τὰ πάντα συνέςηκε, τὸ τῶν ἐν αὐτῷ περικρατουμένων ἀϊδιώτερον, ὃ τὴν ἑαυτοῦ δύναμιν, τὴν συντηρητικὴν πάντων τῶν ὄντων, οἷον δι' αἰνίγματος καὶ ἐσόπτρου τινὸς τοῦ κατὰ τὸν ςαυρὸν σχήματος ὑποδείκνυσι. Διὰ δὴ τοῦτό φησιν, ὅτι δεῖ τὸν Υἱὸν τοῦ ἀνθρώπου, οὐχ ἁπλῶς ἀποθανεῖν, ἀλλὰ ςαυρωθῆναι, ἵνα γένηται τοῖς διορατικωτέροις θεολόγος ὁ ςαυρὸς τὴν παντοδύναμον ἐξουσίαν τοῦ ἐπ' αὐτῷ δειχθέντος, καὶ πάντα ἐν πᾶσιν ὄντος, ἀνακηρύσσων τῷ σχήματι. Μὴ παρασιωπήσωμεν, ἀδελφοὶ, μηδὲ τὸν εὐσχήμονα βουλευτὴν ἐκεῖνον, τὸν ἀπὸ Ἀριμαθίας Ἰωσὴφ, ὃς δῶρον τὸ ἄχραντον καὶ ἅγιον ἐκεῖνο σῶμα λαβὼν, καθαρὰν περιτίθησιν αὐτῷ σινδόνα, καὶ καθαρῷ μνημείῳ ἐναποτίθεται [3]). Νόμος ἡμῖν ἔςω τὸ τοῦ εὐσχήμονος ἐκείνου βουλευτοῦ ἔργον τοῦ καὶ ἡμᾶς ὁμοίως βουλεύεσθαι, ὅταν λάβωμεν ἐκεῖνο τὸ δῶρον τοῦ σώματος, μὴ ἐρρυπωμένῃ τῇ τῆς συνειδήσεως σινδόνι λαμβάνειν, μηδὲ ὀδωδότι ἐξ ὀζέων νεκρῶν καὶ πάσης ἀκαθαρσίας τῷ μνήματι τῆς καρδίας ἐναποτίθεσθαι· ἀλλὰ, καθώς φησιν ὁ Ἀπόςολος, δοκιμάζειν ἕκαςον ἑαυτὸν, ἵνα μὴ κρῖμα ἡ χάρις γένηται τῷ ἀναξίως δεχομένῳ τὴν χάριν [4]). Ἀλλὰ γὰρ μεταξὺ λέγων αἰσθάνομαι τῇ φωτεινῇ ςολῇ τοῦ ἀγγέλου καταςραπτόμενος, καὶ μου διασείει ὑφ' ἡδονῆς τὴν καρδίαν ὁ γλυκὺς ἐκεῖνος σεισμὸς, ὁ τὸν βαρὺν λίθον τοῦ ἀνθρωπίνου μνήματος ἀποκυλίων, δι' οὗ ἀνοίγεται πᾶσιν ἡ θύρα τῆς ἀναςάσεως. Δράμωμεν καὶ ἡμεῖς ἐπὶ τὴν θέαν τοῦ παραδόξου θεάματος· διαγέγονε γὰρ ἤδη τὸ

[1]) Мат. 5. 18.

[2]) Κεραία (отъ κέρας), вершина, apex; у корабля—поперечная перекладина, райна или рея, на которой укрѣпляются паруса, antenna; у грамматиковъ—черта, знакъ или удареніе, отличающія одну букву отъ другой сходной, festuca litterae.

[3]) Лук. 23. 50—53. [4]) 1 Кор. 11. 28.

Σάββατον· μὴ κατόπιν τῶν γυναικῶν ἀπαντήσωμεν. Ἔστω καὶ ἐν ταῖς ἡμετέραις χερσὶ τὰ ἀρώματα, ἡ πίστις καὶ ἡ συνείδησις. Αὕτη γὰρ τοῦ Χριστοῦ ἐστιν ἡ εὐωδία. Μηκέτι μετὰ τῶν νεκρῶν τὸν ζῶντα ζητήσωμεν. Τὸν γὰρ οὕτως αὐτὸν ζητοῦντα ἀπωθεῖται ὁ Κύριος, λέγων· «μή μου ἅπτου» [1]· ἀλλ' ὅταν ἀναβῶ πρὸς τὸν Πατέρα, τότε σοι ἔξεστιν ἅπτεσθαι [2]). Ἀκούσωμεν τί εὐαγγελίζεται καὶ ἡ γυνὴ ἡ προλαβοῦσα τὸν ἄνδρα διὰ τῆς πίστεως, καὶ καλῶς τοῦτο ποιήσασα, ἵνα διὰ τοῦ κατάρξασθαι πρὸς τὸ ἀγαθὸν περὶ τῆς τοῦ κακοῦ αἰτίας ἀπολογήσηται. Τί οὖν ἐστι τὸ τῆς γυναικὸς εὐαγγέλιον; ὄντως «οὐκ ἐξ ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπων, ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ» [3]). Ἄκουε γάρ, φησίν, ὃ ἐντέλλεται ἡμῖν ὁ Κύριος πρὸς ὑμᾶς εἰπεῖν, ὑμᾶς οὓς καὶ ἀδελφοὺς αὐτοῦ κατονομάζει, ὅτι «πορεύομαι πρὸς τὸν Πατέρα μου, καὶ Πατέρα ὑμῶν, καὶ Θεόν μου, καὶ Θεὸν ὑμῶν» [4]) Ὢ καλῶν τε καὶ ἀγαθῶν εὐαγγελίων! ὁ δι' ἡμᾶς γενόμενος καθ' ἡμᾶς, ἵνα διὰ τοῦ γενέσθαι ἡμῖν ὁμογενὴς ἀδελφοὺς ἡμᾶς ἑαυτοῦ ποιήσῃ, προσάγει τὸν ἑαυτοῦ ἄνθρωπον τῷ ἀληθινῷ Πατρί, ἵνα δι' αὐτοῦ ἅπαν τὸ ὁμογενὲς ἐφελκύσηται. ὡς μηκέτι ὄνειδος εἶναι τοῖς δουλεύσασι τοῖς μὴ φύσει οὖσι θεοῖς [5]), διὰ τὸ προσαχθῆναι πάλιν τῷ ζῶντι καὶ ἀληθινῷ Θεῷ, μηδ' ἀποβλήτους καὶ ἀποκηρύκτους τῆς πατρῴας κληρονομίας γενέσθαι, τοὺς τῷ Υἱῷ διὰ τῆς υἱοθεσίας ἀκολουθήσαντας· ὁ ἐν πολλοῖς ἀδελφοῖς πρωτότοκον διὰ τῆς σαρκὸς ποιήσας ἑαυτὸν [6]), πᾶσαν τὴν κτίσιν, ἧς ἐκοινώνησε, διὰ τῆς ἀνακραθείσης αὐτῷ σαρκὸς ἐπεσπάσατο. Ἀλλ' ἐπειδὴ ὁ πρὸ τοῦ Πάσχα σῖτος ὁ ἄζυμος, ὄψον τὴν πικρίδα ἔχει, ἴδωμεν τίνι ἡδύσματι ὁ μετὰ τὴν ἀνάστασιν ἄρτος ἡδύνεται. Ὁρᾷς τοῦ Πέτρου ἁλιεύοντος ἐν ταῖς χερσὶ τοῦ Κυρίου ἄρτον καὶ κηρίον μέλιτος [7]); νόησον τί σοι ἡ πικρία τοῦ βίου κατασκευάζεται. Οὐκοῦν ἀναστάντες καὶ ἡμεῖς ἐκ τῆς τῶν λόγων ἀλείας, ἤδη τῷ ἄρτῳ προσδράμωμεν, ὃν καταγλυκαίνει τὸ κηρίον τῆς ἀγαθῆς ἐλπίδος, ἐν Χριστῷ Ἰησοῦ

---

[1]) Іоан. 20. 17.

[2]) Т. е. вѣрою въ І. Христа, какъ Сына Божія.

[3]) Галат. 1. 1. [4]) Іоан. 20. 17. [5]) Гал. 4. 8. [6]) Рим. 8. 29.
[7]) Лук. 24. 42.

τῳ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῳ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

2.

## ΛΟΓΟΣ ΠΡΟΣ ΤΟΥΣ ΠΕΝΘΟΥΝΤΑΣ ἘΠΙ ΤΟΙΣ ἈΠΟ ΤΟΥ ΠΑΡΟΝΤΟΣ ΒΙΟΥ ΠΡΟΣ ΤΟΝ ΑΙΔΙΟΝ ΜΕΘΙΣΤΑΜΕΝΟΙΣ.

### Глав. 1—9.

1. Οἱ τὴν ἀναγκαίαν τῆς φύσεως ἡμῶν ἀκολουθίαν ἐν τοῖς ἐξιοῦσιν ἀπὸ τοῦ βίου συμφορὰν ποιούμενοι, καὶ βαρυπενθοῦντες ἐπὶ τοῖς μεθιςαμένοις ἀπὸ τοῦ τῇδε [1]) βίου πρὸς τὸν νοερὸν καὶ ἀσώματον, οὔ μοι δοκοῦσιν ἐπεσκέφθαι τὴν ζωὴν ἡμῶν ἥτις ἐςίν, ἀλλὰ τὸ τῶν πολλῶν πάσχειν [2]), οἵ διά τινος ἀλόγου συνηθείας τὸ παρὸν αὐτοῖς ὡς καλὸν ἀγαπῶσιν, οἷον δ᾽ ἂν εἴη. Καίτοι γε τὸν λόγῳ καὶ διανοίᾳ τῆς ἀλόγου φύσεως προτεταγμένον πρὸς τοῦτο μόνον τὴν ῥοπὴν ἔχειν προσῆκεν, ἵν᾽ ὃ τῇ τοῦ λόγου κρίσει καλόν τε καὶ αἱρετὸν ἀναφαίνεται, καὶ μὴ τοῦτο πάντως αἱρεῖσθαι, ὅπερ ἂν αὐτοῖς ἐκ συνηθείας τινὸς καὶ ἀκρίτου προσπαθείας ἡδύ τε καὶ καταθύμιον φαίνεται. Διό μοι δοκεῖ καλῶς ἔχειν ἐπινοίᾳ τινὶ τῆς πρὸς τὸ σύνηθες αὐτοὺς διαθέσεως ἀποςήσαντας μεταγαγεῖν, ὡς ἔςι δυνατὸν, ἐπὶ τὴν ἀμείνω τε καὶ πρέπουσαν τοῖς λελογισμένοις διάνοιαν. Οὕτω γὰρ ἂν ἐξορισθείη τῆς ἀνθρωπίνης ζωῆς ἡ σπουδαζομένη περὶ τὰ πάθη τοῖς πολλοῖς ἀλογία. Γένοιτο δ᾽ ἂν ἡμῖν ἀκόλουθος ἡ τοῦ λόγου σπουδὴ πρὸς τὴν προκειμένην ὑπόθεσιν, εἰ πρῶτον μὲν

---

[1]) Ὁ τῇδε—здѣшній, противоположный выраженію ὁ ἐκεῖσε—тамошній.

[2]) Выраженіе τό τινος πάσχειν значитъ: чувствовать тоже, что и другой кто-нибудь, находиться въ одинаковомъ съ кѣмъ-нибудь состояніи внѣшнемъ или внутреннемъ.

τὸ ἀληθῶς ἀγαθὸν, οἷόν ἐςιν, ἐξετασθείη· ἔπειτα δὲ τὸ ἴδιον τῆς ἐν σώματι ζωῆς θεωρήσαιμεν· πρὸς τούτοις δὲ εἰ διὰ συγκρίσεως ἀντιπαρατεθείη τοῖς παροῦσι τὰ δι' ἐλπίδος ἡμῖν ἀποκείμενα. Οὕτω γὰρ ἂν προέλθοι πρὸς τὸν σκοπὸν τοῦ λόγου ἡ θεωρία, ὥςε μετατεθῆναι τῶν πολλῶν ἀπὸ τοῦ συνήθους ἐπὶ τὸ καλὸν τὴν διάνοιαν [1]). Ἐπειδὴ γὰρ πᾶσιν ἀνθρώποις φυσική τις πρὸς τὸ καλὸν ἔγκειται σχέσις, καὶ πρὸς τοῦτο κινεῖται πᾶσα προαίρεσις, τὸν τοῦ καλοῦ σκοπὸν πάσης τῆς κατὰ τὸν βίον σπουδῆς προβαλλομένη· τούτου χάριν ἡ περὶ τὸ ὄντως καλὸν ἀκρισία τὰ πολλὰ τῶν ἁμαρτανομένων εἴωθεν ἐξεργάζεσθαι. Ὡς εἴ γε πρόδηλον πᾶσιν ἦν τὸ ἀληθῶς ἀγαθὸν, οὐκ ἂν ἐκείνου ποτὲ διημάρτομεν, ᾧ φύσις ἡ ἀγαθότης ἐςίν· οὐδ' ἂν ἑκουσίως τῇ τῶν κακῶν συνηνέχθημεν πείρᾳ, εἴπερ μὴ ἐπεκέχρωςο τὰ πράγματα διεψευσμένῃ τινὶ τοῦ καλοῦ φαντασίᾳ. Οὐκοῦν πρὸ πάντων τούτων τῷ λόγῳ κατανοήσωμεν, τί τὸ ἀληθῶς ἀγαθὸν, ὡς ἂν μὴ τῇ περὶ τούτου πλάνῃ σπουδασθείη ποτὲ τὸ χεῖρον ἀντὶ τοῦ κρείττονος. Φημὶ τοίνυν χρῆναι καθάπερ ὁρισμόν τινα καὶ χαρακτῆρα τοῦ ζητουμένου προϋποθέσθαι τῷ λόγῳ, δι' οὗ γένοιτ' ἂν ἡμῖν ἀσφαλὴς ἡ τοῦ καλοῦ κατανόησις. Τίς οὖν ὁ χαρακτὴρ τῆς ἀληθινῆς ἀγαθότητος; τὸ μὴ μόνον πρός τι τὸ ὠφέλιμον ἔχειν, μηδὲ κατὰ καιρούς τινας ἢ ἐπωφελὲς ἢ ἄχρηστον φαίνεσθαι, μηδὲ τινι μὲν εἶναι καλὸν, ἑτέρῳ δὲ οὐ τοιοῦτον· ἀλλ' ὅπερ καὶ ἐφ' ἑαυτοῦ κατὰ τὴν ἰδίαν φύσιν ἐςὶ καλὸν, καὶ παντὶ καὶ πάντοτε ὡσαύτως ἔχει, οὗτός ἐςι, κατά γε τὴν ἐμὴν κρίσιν, τῆς τοῦ καλοῦ κρίσεως ὁ χαρακτὴρ ἀπλανής τε καὶ ἄψευςος. Ὁ γὰρ μήτε πᾶσι, μήτε πάντοτε, μήτε ἐφ' ἑαυτοῦ δίχα τῆς ἔξωθεν περιςάσεώς ἐςι καλὸν, οὐκ ἂν κυρίως ἐν τῇ τοῦ καλοῦ κρίνοιτο φύσει. Διόπερ πολλοὶ τῶν ἀνεξετάςως προσεχόντων τοῖς οὖσιν, ἐν τοῖς τοῦ κόσμου ςοιχείοις εἶναι τὸ καλὸν ἐφαντάσθησαν· ὧν οὐδὲν εὕροι τις ἂν διεξετάζων καὶ ἐφ' ἑαυτοῦ, καὶ πάντοτε, καὶ παντὶ καλὸν εὑρισκόμενον. Μέμικται γὰρ τῷ ἐφ' ἑκάςου τούτων χρησίμῳ καὶ ἡ πρὸς τὸ ἐναντίον ἐνέργεια. Οἷον, τὸ ὕδωρ σωτήριον μὲν τοῖς ἐν αὐτῷ τρεφομένοις ἐςίν,

---

[1]) Многіе перемѣнятъ обычный образъ мыслей о благѣ.

ὀλέθριον δὲ τοῖς χερσαίοις, εἰ ἐπικλύσειεν. Ὡσαύτως δὲ καὶ ὁ ἀὴρ τοῖς μὲν ἐν αὐτῷ ζῆν πεφυκόσιν ἐςὶ σωτήριος, τοῖς δὲ τὸν ἔνυδρον εἰληχόσι βίον φθαρτικὸς εὑρίσκεται καὶ ὀλέθριος, ὅταν ἐν αὐτῷ τις γένηται τῶν ὑποβρυχίων. Οὕτω καὶ τὸ πῦρ, πρός τι χρήσιμον ἡμῖν γινόμενον, φθαρτικὸν ἐςι τοῖς πλείοσι. Καὶ αὐτὸν δὲ τὸν ἥλιον εὕροι τις ἂν οὔτε παντί, οὔτε πάντοτε, οὔτε κατὰ πάντα καλὸν τοῖς μετέχουσιν. Ἔςι γὰρ ἐν οἷς καὶ σφόδρα γίνεται βλαπτικὸς ὑπερζέων τε τοῦ καθήκοντος μέτρου, καὶ ξηραίνων ἐν ἀμετρίᾳ τὸ ὑποκείμενον, καὶ νοσώδεις αἰτίας πολλάκις ἐξεργαζόμενος, καὶ τοῖς ἐμπαθεςέροις τῶν ὀφθαλμῶν προσεπιτρίβων τὴν νόσον, καὶ διὰ τῆς σήψεως τῶν ὑγρῶν βλαβερά τε καὶ ἀηδῆ τινα ζωογονῶν ἐν τῇ κατεφθαρμένῃ τῶν ὑγρῶν σηπεδόνι.

2. Οὐκοῦν, καθὼς εἴρηται, μόνον ἐκ πάντων ὡς καλὸν προαιρεῖσθαι χρή, ὃ πάντοτε καὶ πᾶσιν ὁμοίως ἐν τῇ τοῦ καλοῦ καθορᾶται φύσει, ἀεὶ τοιοῦτον ὂν καὶ οὐ πρὸς τὰς ἔξωθεν περιςάσεις μεταβαλλόμενον. Περὶ γὰρ τῶν ἄλλων, ὅσα κατά τινα πρόληψιν ἀλογωτέραν καλὰ τοῖς ἀνθρώποις δοκεῖ, περὶ σῶμά τέ φημι καὶ τὰ ἔξωθεν, οἷον ἰσχύς τε καὶ κάλλος καὶ γένους λαμπρότης, χρήματά τε καὶ δυναςεῖαι καὶ περιφάνειαι, καὶ πάντα τὰ τοιαῦτα, ὡς αὐτόθεν πᾶσιν ὄντα φανερά, σιωπᾶν οἶμαι χρῆναι, καὶ μὴ μάτην διὰ τῶν ὁμολογουμένων ὄχλον [1]) ἐπεισάγειν τῷ λόγῳ. Τίς γὰρ οὐκ οἶδε τοῦ κάλλους τε καὶ τῆς δυνάμεως τὸ ὠκύμορον, ἢ τῆς δυναςείας τὸ εὐμετάπτωτον, ἢ τῆς δόξης τὸ ἀνυπόςατον, ἢ τὴν ματαίαν πρὸς τὰ χρήματα τῶν ἀνθρώπων προσπάθειαν, παρ' ὧν [2]) διὰ τὸ εὔχρουν τε καὶ τὸ σπάνιον ἐν ποιαῖς ὕλαις τὸ καλὸν ἐνομίσθη; τούτων δὲ οὕτως ἡμῖν διηρθρωμένων, σκεπτέον ἂν εἴη περὶ τῆς παρούσης ζωῆς, ταύτης φημὶ δὴ διὰ σαρκὸς ἐνεργουμένης, εἴτε τοιοῦτόν ἐςιν, ὡς ἐν τῷ χαρακτῆρι τοῦ καλοῦ θεωρεῖσθαι, εἴτε καὶ ἑτέρως ἔχει· τὸ γὰρ εὑρισκόμενον περὶ αὐτῆς ὑπὸ τοῦ λόγου ὁδηγήσει πάντως τὴν τῶν ἐπεσκεμμένων διάνοιαν, ὅπως χρὴ περὶ τὴν ἐνθένδε μετανάςασιν ἔχειν.

---

[1]) Ὄχλος, множество, толпа, и стѣсненіе, затрудненіе; ὄχλον παρέχειν τινί, безпокоить, затруднять, обременять кого-нибудь.

[2]) Т. е. ἀνθρώπων.

Ἔςι τοίνυν ἡ τοῦ σώματος ἡμῶν ζωή, πλήρωσίς τε καὶ κένωσις διχόθεν ἐνεργουμένη· ἡ μὲν διὰ βρώσεως τε καὶ πόσεως, ἡ δὲ διὰ τῆς τοῦ ἀέρος ὁλκῆς τε καὶ ἀποποιήσεως, ὧν ἄνευ ἡ κατὰ σάρκα ζωὴ συςῆναι φύσιν οὐκ ἔχει. Τότε γὰρ τοῦ ζῆν ὁ ἄνθρωπος παύεται, ὅταν ἡ τῶν ἐναντίων τούτων διαδοχὴ μηκέτι διοχλῇ τὴν φύσιν. Ἵςαται γὰρ μετὰ τοῦτο καθόλου ἡ τοιαύτη ἐνέργεια. οὐδενὸς τῶν ἔξωθεν ἐν τοῖς νεκρωθεῖσιν οὔτε εἰσρέοντος, οὔτε ἀπογινομένου, ἀλλὰ πρὸς τὰ συγγενῆ ςοιχεῖα τοῦ ἐκ τούτων συνεςηκότος σώματος διακριθέντος καὶ ἀναλύσαντος, ἠρεμεῖ τὸ λοιπὸν δι᾽ ἡσυχίας ἡ φύσις, τῷ οἰκείῳ ςοιχείῳ προσαναπαύσασα τὸ συγγενὲς καὶ ὁμόφυλον, τῇ γῇ τὸ γεῶδες, καὶ τῷ ἀέρι τὸ ἴδιον, καὶ τῷ ὑγρῷ τὸ οἰκεῖον, καὶ τῷ θερμῷ τὸ κατάλληλον. Μηκέτι γὰρ τοῦ ὄγκου τοῦ ἐκ τῶν ἑτερογενῶν συνεςηκότος, βιαίως τε καὶ κατηναγκασμένως συμπεπλεγμένου, ἀλλὰ κατ᾽ ἐξουσίαν ἑκάςου τῶν ἐν ἡμῖν πρὸς τὴν οἰκείαν ἑςίαν ἐπανελθόντος, παύεται ἀπὸ τούτου ἡ φύσις, συνέχουσα βιαίως ἐν αὐτῇ τῶν ἀλλοφύλων τὴν συμφυΐαν. Εἰ δέ τις καὶ τὸν ὕπνον καὶ τὴν ἐγρήγορσιν πρὸς τὸ τῆς ζωῆς ταύτης εἶδος μετὰ τῶν εἰρημένων παραλαμβάνει, οὐκ ἔξω τῆς ἀληθείας τὸν λόγον ποιήσεται. Κάμνει γὰρ καὶ διὰ τούτων ἡ φύσις, ἀεὶ πρὸς τὰ ἐναντία μεθελκομένη, καὶ νῦν μὲν λυομένη τῷ ὕπνῳ, πάλιν δὲ τονουμένη διὰ τῆς ἐγρηγόρσεως, δι᾽ ὧν ἀμφοτέρων πρὸς τὸ κενοῦσθαι καὶ πληροῦσθαι παρασκευάζεται. Εἰ τοίνυν πλήρωσίς τε καὶ κένωσις τῆς ζωῆς ἡμῶν ἐςὶ τὸ ἰδίωμα, καλῶς ἂν ἔχοι τὸν προῤῥηθέντα περὶ τῆς τοῦ καλοῦ κρίσεως χαρακτῆρα νῦν ἀντεξετάσαι τοῖς τῆς ζωῆς ἰδιώμασιν, ὥςε κατιδεῖν εἴτε τὸ ἀληθινόν ἐςι ἀγαθὸν ἡ ζωὴ αὕτη, εἴτε καὶ ἄλλο τι παρὰ τοῦτο. Ὅτι μὲν οὖν καθ᾽ ἑαυτὴν ἡ πλήρωσις οὐκ ἂν εἰκότως ἐν τῇ τοῦ καλοῦ φύσει κριθείη, πᾶσι δῆλον τὸ τοιοῦτόν ἐςιν [1]), ἐκ τοῦ καὶ τὸ ἐναντίον αὐτῇ, λέγω δὲ τὸ κενοῦσθαι, καλὸν εἶναι νομίζεσθαι. Ἐπὶ γὰρ τῶν ἀλλήλων ἐκ τοῦ ἐναντίου ἀντικαθεςηκότων, οὐκ ἔςι δυνατὸν τὸν τοῦ καλοῦ λόγον ἐπίσης τοῖς ἀντικαθεςῶσιν ἁρμόζεσθαι· ἀλλ᾽ εἰ τοῦτο καλὸν εἴη κατὰ τὴν ἑαυτοῦ φύσιν, τὸ ἀντικείμενον

1) Τὸ τοιοῦτον, такое свойство τῆς πληρώσεως.



αὐτῷ πάντως ἔςαι κακόν. Ἀλλὰ μὴν ἐνταῦθα ἐπίσης παρ᾽ ἑκατέρου τούτων τὸ χρήσιμον ἡ φύσις ἔχει. Οὐκ ἄρα τὸν τοῦ καλοῦ ὁρισμὸν δέξασθαι δυνατῶς ἔχει, οὔτε ἡ πλήρωσις, οὔτε ἡ κένωσις. Οὐκοῦν ἄλλο τι παρὰ τὸ ἀγαθὸν ἀποδέδεικται εἶναι ἡ πλήρωσις. Οὔτε γὰρ παντί, οὔτε πάντοτε, οὔτε κατὰ πᾶν εἶδος αἱρετὸν εἶναι τὸ τοιοῦτον παρὰ πάντων ὡμολόγηται. Οὐ μόνον γὰρ ἐν τοῖς βλαπτικοῖς γενέσθαι τὸν κόρον ἐςὶν ὀλέθριον, ἀλλὰ καὶ τὸ ἐν τοῖς καταλλήλοις παρελθεῖν τῇ ἀμετρίᾳ τὸ χρήσιμον, κινδύνων πολλάκις καὶ διαφθορᾶς αἴτιον γίνεται. Καὶ εἴ ποτε, πληθωρικῆς καταςάσεως ἐπιζητούσης τὴν κένωσιν, ἄλλη τις πληθώρα τὴν οὖσαν ἐπιφορτίσειεν, σωρεία γίνεται κακῶν τὸ τοιοῦτον, εἰς ἀνήκεςα προϊοῦσα πάθη. Οὐκοῦν οὔτε παντί, οὔτε πάντως ἀγαθόν τί ἐςιν ἡ πλήρωσις, ἀλλὰ καὶ πρός τι, καὶ ποτε, καὶ κατὰ τὸ ποσόν τε καὶ τὸ ποιόν, τὸ ἐξ αὐτοῦ γίνεται χρήσιμον. Οὕτω δ᾽ ἄν τις εὕροι καὶ τὸ ἐξ ἐναντίου νοούμενον, τὸ κατὰ τὴν κένωσιν λέγω, καὶ κινδυνῶδες τοῖς ὑπομένουσιν, εἰ παρέλθοι τῇ ἀμετρίᾳ τὸ χρήσιμον, καὶ πάλιν οὐκ ἀνονήτως γινόμενον, εἰ πρός τι τῶν ὠφελούντων συμβαίνει, τοῦ τε καιροῦ καὶ τοῦ ποσοῦ καὶ τοῦ ποιοῦ συμπαραλαμβανομένου πρὸς τὸ τῆς κενώσεως χρήσιμον. Ἐπειδὴ τοίνυν οὐ συμβαίνει πρὸς τὸν τοῦ καλοῦ χαρακτῆρα τὸ τῆς ζωῆς ταύτης εἶδος, ᾧ βιοτεύομεν· ὁμολογούμενον ἂν εἴη διὰ τῆς τῶν εἰρημένων ἀκολουθίας, ὅτι οὐδενὸς ἀγαθοῦ χωρισμός ἐςιν ἡ ἐκ τοῦ τοιούτου βίου μετάςασις· φανερὸν γάρ, ὅτι τὸ ἀληθινῶς καὶ κυρίως καὶ πρώτως ἀγαθὸν οὔτε κένωσίς ἐςιν, οὔτε πλήρωσις· ἅπερ καί ποτε, καὶ πρός τι, καὶ ἐπί τινων ἀποδέδεικται χρήσιμα, οἷς οὐκ ἔπεςιν ὁ τοῦ ἀληθινῶς ὄντος ἀγαθοῦ χαρακτήρ.

3. Ἐπεὶ οὖν τῷ ἀληθῶς ἀγαθῷ πρὸς τὸ μὴ ἀληθῶς ἀγαθόν ἐςιν ἡ ἀντίθεσις, ἄμεσος [1]) δὲ τῶν δύο τούτων ἡ ἐναντίωσις· ἀκόλουθον ἂν εἴη τοῖς χωριζομένοις τοῦ μὴ ἀληθῶς ὄντος καλοῦ πρὸς τὸ τῇ φύσει καλὸν ἐνθένδε πιςεύειν τὴν μετάςασιν γίνεσθαι, ὃ πάντοτε καὶ παντὶ καὶ διὰ πάντων ἐςὶν ἀγαθόν, οὔτε κατὰ

1) Ἄμεσος или ἄνευ μέσου, безъ посредства. безъ чего нибудь средняго между двумя крайностями.

καιρούς, οὔτε ἐπί τινων, οὔτε διά τι, ἀλλ᾽ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχον. Πρὸς τοῦτο τοίνυν μέτεισιν ἀπὸ τῆς σαρκώδους ζωῆς ἡ ἀνθρωπίνη ψυχὴ, ἄλλην τινὰ βίου κατάστασιν ἀντὶ τῆς παρούσης μεταλαμβάνουσα, ἣν δι' ἀκριβείας μὲν ἰδεῖν, ἥτις ἐστι, τῇ σαρκὶ συγκεκραμένοις ἀμήχανον· ἐκ δὲ τῆς κατὰ τὸν βίον τοῦτον γνωριζομένων ὑπεξαιρέσεως δυνατόν ἐστι στοχασμόν τινα δι' ἀναλογίας ἀναλαβεῖν. Οὐκέτι γὰρ ἔσται σωματικῇ παχύτητι συμπεπλεγμένη, οὔτε τῇ ἰσοκρατείᾳ τῶν ἀντιστοιχούντων ἐμβιοτεύουσα, ὧν ἡ ἰσόρροπος πρὸς ἄλληλα μάχη τὴν σύστασίν τε ἡμῶν καὶ τὴν ὑγίειαν ποιεῖ. Ὁ γὰρ πλεονασμὸς τῶν ἐναντίων τινὸς καὶ ἡ ἔλλειψις, πάθος καὶ ἀῤῥώστημα τῆς φύσεως γίνεται· ἐν ᾗ [1]) οὐδὲν οὔτε συστέλλεται κενούμενον, οὔτε δυσφορεῖ φορτιζόμενον· ἀλλὰ καὶ τῶν ἐκ τοῦ ἀέρος ἀηδῶν ἔξω παντάπασι γίνεται, κρύους τε λέγω καὶ θάλπους, και πάντων τῶν κατὰ τὸ ἐναντίον νοουμένων ἀπηλλαγμένη· ἐν ἐκείνοις δὲ γινομένη, ὅπου πάντων τῶν ἀναγκαίων καμάτων ἐλευθέρα τε καὶ ἀνετός ἐστιν ἡ ζωή· οὐ διὰ γεωργίας κακοπαθοῦσα, οὐ τοὺς διαποντίους ὑπομένουσα πόνους, οὐ διὰ τῆς ἐμπορικῆς καπηλείας ἀσχημονοῦσα· οἰκοδομικῆς τε καὶ ὑφαντικῆς, καὶ τῆς τῶν βαναύσων τεχνῶν ταλαιπωρίας κεχωρισμένη, ἠρεμόν τινα καὶ ἡσύχιον διάγει βίον, καθὼς ὁ Παῦλός φησιν [2]), οὐχ ἱππομαχοῦσα, οὐ ναυμαχοῦσα, οὐ σταδὴν διὰ τῆς πεζικῆς παρατάξεως συμπλεκομένη, οὐ πρὸς κατασκευὴν ὅπλων ἀσχολουμένη, οὐ φόρους ἐκλέγουσα, οὐ τάφρους καὶ τείχη κατασκευάζουσα, ἀλλὰ πάντων τῶν τοιούτων ἀτελής τίς ἐστι καὶ ἐλευθέρα· μήτε ἔχουσα πρᾶγμα, μήτε παρέχουσα, ἐν ᾗ δουλεία τε καὶ κυριότης καὶ πενία, εὐγένειά τε καὶ δυσγένεια, καὶ ἰδιωτικὴ ταπεινότης, καὶ ἀξιωματικὴ δυναστεία, καὶ πᾶσα τοιαύτη ἀνωμαλία χώραν οὐκ ἔχει. Παραιρεῖται γὰρ πάντων τούτων καὶ τῶν τοιούτων τὴν ἀνάγκην τὸ ἀνενδεὲς τῆς ζωῆς ἐκείνης καὶ ἄϋλον, ἐν ᾗ τὸ διακρατοῦν τῆς ψυχῆς τὴν ὑπόστασιν, οὐ ξηροῦ τε καὶ ὑγροῦ τινός ἐστι μετουσία, ἀλλ' ἡ τῆς θείας φύσεως κατανόησις, ἀντὶ δὲ τοῦ ἐναερίου πνεύματος τοῦ ἀληθινοῦ τε καὶ ἁγίου Πνεύματος εἶναι τὴν κοινωνίαν

[1]) Т. е. въ жизни загробной.

[2]) 1 Тим. 2. 2.

οὐκ ἀμφιβάλλομεν· ὧν ἡ ἀπόλαυσις οὐκ ἐνηλλαγμένη καθ' ὁμοιότητα τοῦ τῇδε βίου διὰ τῆς ἕξεως καὶ στερήσεως γίνεται, εἰσκρινομένη τε καὶ ἀποποιουμένη, ἀλλ' ἀεὶ πληρουμένη καὶ οὐδέποτε περιγράφουσα κόρῳ τὴν πλήρωσιν. Ἀβαρὴς γὰρ ἡ νοερὰ τρυφὴ, καὶ ἀπλήρωτος πάντοτε ταῖς ἐπιθυμίαις τῶν μετεχόντων ἀκορέστως ἐπιπλημμυρίζουσα. Διὰ τοῦτο μακαρία τίς ἐστιν ἐκείνη ἡ ζωὴ καὶ ἀκήρατος, μηκέτι ταῖς τῶν αἰσθητηρίων ἡδοναῖς πρὸς τὴν τοῦ καλοῦ κρίσιν ἐμπλανωμένη. Τί τοίνυν ἐστὶ σκυθρωπὸν ἐν τῷ πράγματι, δι' ὃ τῇ μεταστάσει τῶν ἐπιτηδείων ἐπιστυγνάζομεν; εἰ μὴ τοῦτό τις ἄρα λυπηρὸν ἡγεῖται, ὅτι πρὸς τὸν ἀπαθῆ τε καὶ ἀνενόχλητον βίον αὐτοῖς ἡ μετάστασις γίνεται, ὃς οὔτε πληγῶν ὀδύνας προσίεται. οὐ πυρὸς δέδοικεν ἀπειλὴν, οὐ τὰ διὰ σιδήρου τραύματα, οὐκ ἀπὸ σεισμῶν καὶ ναυαγίων καὶ αἰχμαλωσιῶν συμφορὰς, οὐ τὰς τῶν ὠμοβόρων θηρίων προσβολὰς, οὐ τὰ τῶν ἑρπυστικῶν τε καὶ ἰοβόλων κέντρα καὶ δήγματα. Ἐν ᾧ οὐδεὶς οὔτε ἐξογκοῦται τῷ τύφῳ, οὔτε πατεῖται ἐν ταπεινότητι, οὔτε ὑπὸ θράσους ἐκθηριοῦται, οὔτε ὑπὸ δειλίας καταπτοεῖται, οὔτε τῇ ὀργῇ περιοιδαίνει, ζέων τῷ θυμῷ καὶ μαινόμενος, οὔτε κλονεῖται ὑπὸ τοῦ φόβου, ἀντισχεῖν πρὸς τὴν τοῦ κρατοῦντος ὁρμὴν οὐ δυνάμενος. Ἐν ᾧ φροντὶς οὐκ ἔστιν, οἷα τῶν βασιλέων τὰ ἤθη, τίνες αἱ νομοθεσίαι, οἷοι τῶν τρόπων οἱ ἐπὶ τῶν ἀρχῶν τεταγμένοι, οἷα τὰ διαγράμματα, πόσος ὁ ἐτήσιος φόρος· οὔτε εἰ πολλὴ γέγονεν ἐπομβρία, κατακλύζουσα τῇ ἀμετρίᾳ τὸ γεωργούμενον, οὔτε εἰ χάλαζα τὰς ἐλπίδας τῶν γεωπόνων ἠχρείωσεν, οὔτε εἰ αὐχμὸς ἐπικρατήσας ἀποξηραίνει πᾶν τὸ φυόμενον. Ἀλλὰ καὶ τῶν λοιπῶν τοῦ βίου κακῶν πᾶσαν ἄδειαν ἔχει. Ὀρφανίας τε γὰρ τὸ σκυθρωπὸν οὐ λυπεῖ τὴν ζωὴν ἐκείνην, τὰ ἐκ χηρείας κακὰ χώραν οὐκ ἔχει· ἀργοῦσι δὲ καὶ αἱ πολύτροποι τοῦ σώματος ἀρρωστίαι, οἵ τε κατὰ τῶν εὐημερούντων φθόνοι, καὶ αἱ κατὰ τῶν δυσπραγούντων ὑπεροψίαι, καὶ πάντα τὰ τοιαῦτα τῆς ζωῆς ἐκείνης ἐξώρισται· ἰσηγορία [1]) δέ τις καὶ ἰσονομία

---

[1]) Ἰσηγορία—одинаковая свобода говорить въ народныхъ собраніяхъ, и ἰσονομία—равенство закона для всѣхъ; выраженія, употреблявшіяся у классическихъ писателей о демократическомъ правленіи въ древней Греціи. См. S. F. Schoeman, Griech. Alterthüm. B. I.

διὰ πάσης ἐλευθερίας εἰρηνικῆς τῷ τῶν ψυχῶν δήμῳ συμπολιτεύεται, ἐκεῖνο ἑκάστου ἔχοντος, ὅπερ ἂν ἑαυτῷ ἑτοιμάσῃ ἐκ προαιρέσεως.

4. Εἰ δέ τι χεῖρον ἔκ τινος ἀβουλίας τινὶ παρασκευασθῇ ἀντὶ τοῦ κρείττονος, ἀναίτιος τῶν τοιούτων ὁ θάνατος, κατ' ἐξουσίαν τὸ δοκοῦν ἑλόμενος [1]) τῆς προαιρέσεως. Ὑπὲρ τίνος οὖν δυσχεραίνουσιν οἱ θρηνοῦντες τὸν ἀποιχόμενον; καὶ μὴν εἰ παντάπασιν ἐκαθάρευεν πάσης ἐμπαθοῦς διαθέσεως ὁ συναποδυσάμενος τὴν ἡδονήν τε καὶ τὴν λύπην μετὰ τοῦ σώματος· ἐκεῖνος ἂν δικαιότερον τοὺς περιόντας ἐθρήνησεν, οἳ ταὐτὸν πάσχουσι τοῖς ἐν δεσμωτηρίῳ διάγουσιν· οὓς ἡ πρὸς τὰ σκυθρωπὰ συνήθεια, καὶ ἡ συντροφία τοῦ ζόφου, προσηνές τε καὶ ἄλυπον τὸ παρὸν νομίζειν ἐποίησεν. Καὶ τυχὸν κἀκεῖνοι τοῖς τῆς φυλακῆς ἐκβαλλομένοις ἐπιστυγνάζουσιν, ἀγνοίᾳ τῆς φαιδρότητος τῆς ἐκδεχομένης τοὺς ἀπαλλαγέντας τοῦ ζόφου. Εἰ γὰρ ᾔδεσαν τὰ ἐν τῷ ὑπαίθρῳ θεάματα, τό τε αἴθριον κάλλος, καὶ τὸ οὐράνιον ὕψος, καὶ τὰς τῶν φωστήρων αὐγάς, τήν τε τῶν ἀστέρων χορείαν, καὶ περιόδους ἡλιακάς, καὶ τὸν σεληναῖον δρόμον, καὶ τὴν πολυειδῆ τῆς γῆς ἐν τοῖς βλαστήμασιν ὥραν, καὶ τὴν ἡδεῖαν τῆς θαλάσσης ὄψιν, ἐν λειοειδεῖ τῇ αὐγῇ δι' ἠρεμαίου τοῦ πνεύματος γλαφυρῶς ἐπιφρίσσουσαν, τῶν τε κατὰ τὰς πόλεις οἰκοδομημάτων τὰ κάλλη, τά τε ἴδια καὶ τὰ δημόσια, δι' ὧν αἱ λαμπραί τε καὶ πολυτελεῖς τῶν πόλεων καλλωπίζονται· εἰ ταῦτα τοίνυν ᾔδεσαν καὶ τὰ τοιαῦτα οἱ ἐνταχθέντες τῷ δεσμωτηρίῳ, οὐκ ἂν τοὺς ἐκ τῆς φυλακῆς προαγομένους ὡς ἀγαθοῦ τινος χωριζομένους ἀπωλοφύροντο· ὅπερ οὖν εἰκὸς τοὺς ἔξω τοῦ δεσμωτηρίου περὶ τῶν ἔτι καθειργμένων διανοεῖσθαι, ὡς ἐλεεινῇ προσταλαιπωρούντων τῇ ζωῇ. Οὕτω μοι δοκοῦσι καὶ οἱ τῆς τοῦ βίου τούτου φυλακῆς ἔξω γινόμενοι, εἴπερ ὅλως δυνατὸν ἦν αὐτοῖς διὰ δακρύων ἐνδείξασθαι τὴν πρὸς τοὺς κακοπαθοῦντας συμπάθειαν, θρηνεῖν καὶ δακρύειν τοὺς ἐν ταῖς ὀδύναις τοῦ βίου τούτου παρατεινομένους, ὅτι μὴ ὁρῶσι τὰ ὑπερκόσμιά τε καὶ ἄϋλα κάλλη, θρόνους τε καὶ ἀρχάς, ἐξουσίας, καὶ κυριότητας, καὶ στρατιὰς

[1]) Не смерть виновна, а самъ человѣкъ, ἑλόμενός τις.

ἀγγελικὰς καὶ ἐκκλησιας, καὶ τὴν ἄνω πόλιν, καὶ τὴν ὑπερουράνιον τῶν ἀπογεγραμμένων πανήγυριν [1]" Τὸ γὰρ ὑπερκείμενον τούτων κάλλος, ὃ τοὺς καθαροὺς τῇ καρδίᾳ βλέπειν ὁ ἀψευδὴς ἀπεφήνατο λόγος [2], κρειττόν τε πάσης ἐλπίδος ἐςὶ καὶ τῆς ἐκ ςοχασμῶν εἰκασίας ἀνώτερον. Οὐ τοῦτο δὲ μόνον ςεναγμῶν τε καὶ λύπης ἄξιον ἐφ' ἡμῖν τοῖς μεταςᾶσιν ἂν ἐνομίσθη, ἀλλ' ὅτι τοσούτων ἀλγεινῶν περικειμένων τῷ βίῳ, τοσαύτη τις ἐντέτηκεν αὐτοῖς ἡ περὶ τὰ μοχθηρὰ συνδιάθεσις, ὅτι οὐχ ὡς ἀναγκαίαν τινὰ λειτουργιαν τὴν προσβολὴν αὐτῶν φέρουσιν, ἀλλ' ὅπως ἂν εἰς τὸ διηνεκὲς παραμένοι ταῦτα, τὴν σπουδὴν περιποιοῦνται. Ἡ γὰρ περὶ τὰς δυναςείας τε καὶ πλεονεξίας, καὶ τὰς ἀπολαυςικὰς ταύτας λαιμαργιας ἐπιθυμία, καὶ εἴ τι ἄλλο τοιοῦτον σπουδάζεται, ὧν χάριν καὶ ὅπλα, καὶ πόλεμοι, καὶ ἀλληλοφονίαι, καὶ πᾶσα ἡ ἑκουσίως ἐνεργουμένη ταλαιπωρία καὶ δολιότης, οὐδὲν ἄλλο, ἢ σωρεία τις ἐςὶ συμφορῶν, ἐκ προαιρέσεως μετὰ σπουδῆς τε καὶ προθυμίας ἐπεισαγομένη τῷ βίῳ. Ἀλλὰ δακρύων μὲν ἐν τοῖς κατοιχομένοις πάθος οὐκ ἐςιν, ὅτι μηδ' ἄλλο τι πάθος, νοῦς δὲ καὶ πνεῦμα τυγχάνοντες, οἷα σαρκὸς ἀπηλλαγμένοι καὶ αἵματος, τοῖς τῇ παχύτητι τοῦ σώματος ἐγκεχωσμένοις ὀφθῆναι φύσιν οὐκ ἔχουσιν, οὐδὲ νουθετῆσαι δι' ἑαυτῶν τοὺς ἀνθρώπους ἀποςῆναι τῆς πεπλανημένης περὶ τῶν ὄντων κρίσεως. Οὐκοῦν ὁ νοῦς ἡμῖν ὁ ἡμέτερος ἀντ' ἐκείνων διαλεχθήτω, και εἴπωμεν, ὡς ἐςὶ δυνατὸν, ἔξω τῶν σωμάτων τῇ διανοίᾳ γενόμενοι καὶ τῆς πρὸς τὴν ὕλην προσπαθείας τὴν ψυχὴν ἀποςήσαντες, ὅτι,—ὦ ἄνθρωπε, πᾶς ὁ μετέχων τῆς φύσεως πρόσεχε σεαυτῷ, κατὰ τὸ Μωϋσέως παράγγελμα [3], καὶ γνῶθι σεαυτὸν ἀκριβῶς, τις εἶ, διαςείλας τῷ λογισμῷ, τί μὲν ἀληθῶς εἶ σὺ, τί δὲ περί σε καθορᾶται· μήποτε τὰ ἔξω σου βλέπων σεαυτὸν καθορᾶν νομισῃς· μάθε παρὰ τοῦ μεγάλου Παύλου τοῦ δι' ἀκριβείας ἐπεσκεμμένου τὴν φύσιν, ὅς φησι, τὸν μὲν ἔξωθεν ἡμῶν εἶναι ἄνθρωπον, τὸν δὲ ἔσωθεν, κἀκείνου φθειρομένου τοῦτον ἀνακαινίζεσθαι [4]). Μὴ τοίνυν τὸν φθειρόμενον βλέπων, σεαυτὸν οἰηθῇς βλέπειν. Ἔςαι μὲν γάρ ποτε κἀκεῖνο φθορᾶς ἐλεύθερον, ὅταν

---

[1]) Εβρ. 12. 23. [2]) Ματ. 5. 8. [3]) Βτορ. 4. 9. [4]) 2 Κορ. 4. 16.

ἐν τῇ παλιγγενεσίᾳ τὸ θνητόν τε καὶ εὐδιάλυτον μετασχευασθῇ πρὸς τὸ ἀθάνατόν τε καὶ ἀδιάλυτον. Ἀλλὰ τό γε νῦν ῥέει καὶ διαπίπτει καὶ φθείρεται τὸ ἔξωθεν ἡμῶν προφαινόμενον. Οὐκοῦν οὐ πρὸς τοῦτο χρὴ βλέπειν, ὅτι μηδὲ πρὸς ἄλλο τι προσήκει τῶν βλεπομένων ὁρᾶν· οὕτως εἰπόντος τοῦ Παύλου, ὅτι μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα· «τὰ γὰρ βλεπόμενα πρόσκαιρα, τὰ δὲ μὴ βλεπόμενα αἰώνια» [1]· ἀλλ᾽ ἐπι τῶν ἀοράτων ἐν ἡμῖν τρέψαντας τὴν θεωρίαν ἐκεῖνο πιςεύειν ἀληθῶς εἶναι ἡμᾶς, ὃ διαφεύγει τὴν αἰσθητικὴν κατανόησιν.

5. Γενώμεθα τοίνυν, κατὰ τὸν παροιμιώδη λόγον, ἑαυτῶν γνώμονες [2]. Τὸ γὰρ ἑαυτὸν γνῶναι καθάρσιον τῶν ἐκ τῆς ἀγνοίας πλημμελημάτων γίνεται. Ἀλλ᾽ οὐκ ἔςι ῥάδιον ἑαυτὸν κατιδεῖν βουλόμενον, μή τινος ἐπινοίας δυνατὸν ποιούσης ἡμῖν τὸ ἀδύνατον. Ὅπερ γὰρ ἐπὶ τῶν σωματικῶν ὀφθαλμῶν ἡ φύσις ἐποίησεν, οἳ πάντα τὰ ἄλλα βλέποντες ἑαυτῶν ἀθέατοι μένουσιν· τὸν αὐτὸν τρόπον καὶ ἡ ψυχὴ, πάντα τὰ ἄλλα διερευνωμένη, καὶ τὰ ἔξω ἑαυτῆς πολυπραγμονοῦσα καὶ ἀνιχνεύουσα, ἑαυτὴν ἰδεῖν ἀδυνάτως ἔχει. Οὐκοῦν ὅπερ ἐπὶ τῶν ὀφθαλμῶν γίνεται, τοῦτο καὶ ἡ ψυχὴ μιμησάσθω. Καὶ γὰρ κἀκεῖνοι, ἐπειδὴ οὐκ ἔςιν αὐτοῖς ἐκ φύσεως δύναμις πρὸς τὴν ἑαυτῶν θεωρίαν τὴν ὀπτικὴν ἐνέργειαν ἀναςρέψαι καὶ ἑαυτοὺς κατιδεῖν, κατόπτρῳ τὸ εἶδός τε καὶ τὸ σχῆμα τοῦ ἰδίου θεασάμενοι κύκλου, διὰ τῆς εἰκόνος ἑαυτοὺς καθορῶσιν. Οὕτω χρὴ καὶ τὴν ψυχὴν πρὸς τὴν ἰδίαν ἀπιδεῖν εἰκόνα, και ὅπερ ἂν ἴδῃ ἐν τῷ χαρακτῆρι, ᾧ ἀφωμοίωται, ὡς ἴδιον ἑαυτῆς τοῦτο θεάσασθαι. Ἀλλὰ μικρὸν ὑπαλλάξαι τι προσήκει τοῦ ὑποδείγματος, ἵνα οἰκειωθῇ τῷ λόγῳ τὸ νόημα. Ἐπὶ μὲν γὰρ τῆς ἐν τῷ κατόπτρῳ μορφῆς ἡ εἰκὼν πρὸς τὸ ἀρχέτυπον σχηματίζεται· ἐπὶ δὲ τοῦ τῆς ψυχῆς χαρακτῆρος τὸ ἔμπαλιν [3] νενοήκαμεν· κατὰ γὰρ τὸ θεῖον κάλλος τὸ τῆς ψυχῆς εἶδος ἀπεικονίζεται. Οὐκοῦν ὅταν πρὸς τὸ ἀρχέτυπον

---

[1] **2 Кор. 4. 18.**

[2] **Изреченіе:** γνῶθι σεαυτον—**познай самого себя,—приписываемое многимъ изъ греческихъ мудрецовъ, употреблялось у Грековъ въ видѣ пословицы.**

[3] Τὸ ἔμπαλιν—обратное.

ἑαυτῆς βλέπῃ ἡ ψυχὴ, τότε δι' ἀκριβείας ἑαυτὴν καθορᾷ. Τί τοίνυν ἐςὶ τὸ Θεῖον, ᾧ ἡ ψυχὴ προσωμοίωται; οὐ σῶμα, οὐ σχῆμα, οὐκ εἶδος, οὐ πηλικότης, οὐκ ἀντιτυπία, οὐ βάρος, οὐ τόπος, οὐ χρόνος, οὐκ ἄλλο τι τοιοῦτον οὐδὲν, δι' ὧν ἡ ὑλικὴ κτίσις γνωρίζεται· ἀλλὰ πάντων τούτων καὶ τῶν τοιούτων ὑφαιρεθέντων, νοερόν τι καὶ ἄϋλον, καὶ ἀναφὲς, καὶ ἀσώματον, καὶ ἀδιάςατον χρὴ πάντως νοεῖν τὸ λειπόμενον. Εἰ τοίνυν τοιοῦτος ὁ χαρακτὴρ τοῦ ἀρχετύπου καταλαμβάνεται, ἀκόλουθον πάντως κατὰ τὸ εἶδος ἐκεῖνο μεμορφωμένην τὴν ψυχὴν διὰ τῶν αὐτῶν χαρακτήρων ἐπιγνωσθῆναι· ὥςε καὶ ταύτην ἄϋλόν τε εἶναι καὶ ἀειδῆ καὶ νοερὰν καὶ ἀσώματον. Λογισώμεθα τοίνυν πότε μᾶλλον τῷ ἀρχετύπῳ κάλλει προσεγγίζει ἡ ἀνθρωπίνη φύσις, ἐν τῷ διὰ σαρκὸς ζῆν, ἢ ὅταν ἔξω ταύτης γενώμεθα. Ἀλλὰ παντὶ δῆλον τὸ τοιοῦτόν ἐςιν, ὅτι ὥσπερ ἡ σὰρξ ὑλώδης οὖσα τῇ ὑλικῇ ταύτῃ ζωῇ προσῳκείωται, οὕτω καὶ ἡ ψυχὴ τότε μετέχει τῆς νοερᾶς καὶ ἀΰλου ζωῆς, ὅταν τὴν περιέχουσαν αὐτὴν ὕλην ἀποτινάξηται. Τί οὖν ἐν τούτοις συμφορᾶς ἐςιν ἄξιον; εἰ μὲν γὰρ σῶμα ἦν τὸ ἀληθῶς ἀγαθὸν, δυσχεραίνειν ἡμᾶς ἔδει πρὸς τὴν τῆς σαρκὸς ἀλλοτρίωσιν, ὡς ἐκπιπτόντων ἡμῶν ἐκείνου, συναποβαλλομένης πάντως μετὰ τοῦ σώματος καὶ τῆς πρὸς τὸ ἀγαθὸν οἰκειότητος. Ἐπειδὴ δὲ νοερόν τε καὶ ἀσώματον τὸ ὑπὲρ πᾶσαν ἔννοιαν ἀγαθὸν, οὗ κατ' εἰκόνα γεγόναμεν· ἀκόλουθον ἂν εἴη πεπεῖσθαι, ὅταν διὰ τοῦ θανάτου πρὸς τὸ ἀσώματον μεταβαίνωμεν, προσεγγίζειν ἐκείνῃ τῇ φύσει, ἣ πάσης σωματικῆς παχυμερείας κεχώριςαι, καὶ, οἷόν τι προσωπεῖον εἰδεχθὲς τὴν σαρκώδη περιβολὴν ἐκδυομένους, εἰς τὸ οἰκεῖον ἐπανιέναι κάλλος, ἐν ᾧ κατ' ἀρχὰς ἐμορφώθημεν, κατ' εἰκόνα τοῦ ἀρχετύπου γενόμενοι. Ἡ δὲ τοιαύτη διάνοια εὐφροσύνης, οὐ κατηφείας γένοιτ' ἂν τοῖς λεγομένοις ὑποθέσις, ὅτι τὴν ἀναγκαίαν ταύτην λειτουργίαν ἀποπληρώσας ὁ ἄνθρωπος, οὐκέτι ἐν ἀλλοτρίοις ζῇ, ἀποδοὺς μὲν ἑκάςῳ τῶν ςοιχείων τὸ ἴδιον, ὃ παρ' αὐτῶν ἠρανίσατο, εἰς δὲ τὴν οἰκείαν αὐτῷ καὶ κατὰ φύσιν ἐπανελθὼν ἑςίαν, τὴν καθαρὰν καὶ ἀσώματον. Ξένη γάρ τις ἐςιν ὄντως καὶ ἀλλοδαπὴς τῇ ἀσωμάτῳ φύσει ἡ τοῦ σώματος ὕλη, ᾗ κατ' ἀνάγκην ὁ νοῦς ἐν τῇ ζωῇ ταύτῃ συμπεπλεγμένος, ἐνταλαιπωρεῖ τῷ ἀλλοφύλῳ

βίῳ συνδιαιτώμενος. Τῆς γὰρ τῶν ϛοιχείων πρὸς ἄλληλα συμπλοκῆς, ὥσπερ τινῶν ἀλληλογλώσσων τε καὶ ἀπεξενωμένων τοῖς ἤθεσιν ἀνθρώπων, ἐκ διαφόρων ἐθνῶν ἕνα δῆμον ἀναπληρούντων, βεβιασμένη τε καὶ ἀσύμφωνος γίνεται ἡ κοινωνία, ἑκάϛου πρὸς τὸ συγγενὲς καὶ οἰκεῖον ὑπὸ τῆς ἰδίας φύσεως ἀφελκομένου. Ὁ δὲ νοῦς ὁ τούτοις ἐγκεκραμένος, ἀσύνθετος ὢν ἐν ἁπλῇ τε καὶ μονοειδεῖ τῇ φύσει, ἐν ξένοις καὶ ἀλλοτρίοις ζῇ, ἀσύμφυλος ὢν τῷ περιέχοντι αὐτὸν ἐκ τῶν ϛοιχείων δήμῳ, ὃς τῇ πολυμερείᾳ τῇ σωματικῇ δι' ἀνάγκης τινὸς ἐνσπειράμενος τὴν ἑαυτοῦ φύσιν βιάζεται, τοῖς ἀλλοφύλοις ἑνούμενος.

6. Τῶν δὲ ϛοιχείων πρὸς τὴν τῶν ἀπ' ἀλλήλων διάλυσιν φυσικῶς ἐπὶ τὸ συγγενές τε καὶ οἰκεῖον ἀφελκομένων, ἀνιᾶται, κατ' ἀνάγκην λυομένης τε καὶ σχιζομένης τῆς συμφυΐας, ἡ αἴσθησις· συνίϛαται δὲ τῇ αἰσθήσει τὸ διανοητικὸν τῆς ψυχῆς πρὸς τὸ ἀεὶ λυποῦν ἐκ συνηθείας ἐπικλινόμενον. Τότε οὖν ὁ νοῦς δυσφορῶν τε καὶ ἀνιώμενος παύεται, ὅταν ἔξω γένηται τῆς μάχης τῆς ἐν τῇ συμπλοκῇ τῶν ἀντιϛοιχούντων συνιϛαμένης. Ἐπειδὰν γὰρ ἢ τὸ ψυχρὸν ἡττηθῇ τοῦ θερμοῦ κατισχύσαντος, ἢ τὸ ἔμπαλιν φεύγῃ τὸν πλεονασμὸν τῆς ψύξεως ἡ θερμότης, τῷ τε ξηρῷ διὰ τῆς ἐπικρατήσεως τὸ ὑγρὸν ὑποχωρήσῃ, ἢ διαλυθῇ τοῦ ξηροῦ τὸ πάγιον ἐν τῷ πλεονασμῷ τῆς ὑγρότητος, τότε τοῦ ἐν ἡμῖν πολέμου διὰ τοῦ θανάτου λυθέντος, εἰρήνην ὁ νοῦς ἄγει, καταλιπὼν τὸ τῆς μάχης μεταίχμιον [1]), τὸ σῶμα λέγω, καὶ τῆς τῶν ϛοιχείων πρὸς ἄλληλα παρατάξεως ἔξω γενόμενος, καθ' ἑαυτὸν ζῇ, πεπονηκυῖαν ἐν τῇ τοῦ σώματος συμπλοκῇ τὴν ἰσχὺν ἑαυτοῦ δι' ἡσυχίας ἀναλαμβάνων. Ταῦτα τοίνυν καὶ τὰ τοιαῦτα τοῖς ἐν τῷ σώματι ζῶσιν ὁ νοῦς διαλέγεται, μονονουχὶ φωνὴν ἀφιείς, ὅτι—ὦ ἄνθρωποι, οὔτε, ἐν οἷς ἐϛε, ἀκριβῶς οἴδατε, καὶ εἰς ὅ τι μεταχωρήσετε, οὔπω ἐπίϛασθε· τὸ μὲν γὰρ παρὸν, οἷον τῇ φύσει ἐϛὶν, οὔπω ἐξευρεῖν ὁ λόγος δεδύνηται, ἀλλὰ πρὸς μόνην τὴν τοῦ ζῆν συνήθειαν βλέπει, μὴ δυνάμενος γνῶναι, τίς ἡ τοῦ σώματος φύσις, τίς ἡ τῶν αἰσθήσεων δύναμις, τίς ἡ τῶν

[1]) Μεταιχμιος (изъ μετα и αἰχμη), находящійся между копьями или вооруженными воинами; τὸ μεταίχμιον, мѣсто сраженія.

ὀργανικῶν μελῶν διασκευή, τίς ἡ τῶν σπλάγχνων οἰκονομία, τίς ἡ αὐτοκίνητος τῶν νεύρων ἐνέργεια. πῶς τῶν ἐν ἡμῖν τὸ μὲν εἰς ὀςέου πήγνυται φύσιν, τὸ δὲ εἰς τὴν φωτοειδῆ τοῦ ὀφθαλμοῦ αὐγὴν οὐσιοῦται, πῶς ἐκ τῆς αὐτῆς τροφῆς καὶ τοῦ αὐτοῦ πόματος τὸ μὲν εἰς τρίχας λεπτύνεται, τὸ δὲ εἰς ὄνυχας τοῖς ἄκροις τῶν δακτύλων ἐπιπλατύνεται, ἢ πῶς ἀεὶ τὸ ἐγκάρδιον ἀναφλέγεται πῦρ, διὰ τῶν ἀρτηριῶν [1]) ἐφ' ἅπαν τὸ σῶμα διαφερόμενον, ἢ πῶς τὸ πινόμενον, ἐπειδὰν ἐν τῷ ἥπατι γένηται, μεταβάλλει καὶ τὸ εἶδος καὶ τὴν ποιότητα διά τινος ἀλλοιώσεως αὐτομάτως ἐξαιματούμενον. Ὧν ἁπάντων ἡ γνῶσις μέχρι τοῦ παρόντος ἐςὶν ἀπόρρητος· ὡς ἀγνοεῖν ἡμᾶς τὴν ζωήν, ἐν ἧ βιοτεύομεν. Τὸν δὲ τῆς αἰσθήσεως κεχωρισμένον βίον οἱ τῇ αἰσθήσει συζῶντες ἀδυνατοῦσι καθόλου θεάσασθαι· πῶς γὰρ ἄν τις δι' αἰσθήσεως ἴδοι τὸ ἔξω τῆς αἰσθήσεως; ἀμφοτέρων τοίνυν τῶν βίων ὁμοίως ἀγνοουμένων, τούτου μὲν διὰ τὸ πρὸς μόνον τὸ φαινόμενον βλέπειν ὑμᾶς· ἐκείνου δὲ, διὰ τὸ μὴ καθικνεῖσθαι τὴν αἴσθησιν· τί πεπόνθατε, ἄνθρωποι, τούτου μὲν ὡς ἀγαθοῦ περιεχόμενοι, καίτοι ἀγνοουμένου· ἐκεῖνον δὲ δεδοικότες καὶ φρίττοντες, ὡς χαλεπὸν καὶ φόβου ἄξιον, δι' οὐδὲν ἄλλο, ἢ διὰ τοῦτο μόνον, ὅτι ἀγνοεῖτε οἷόν ἐςι; καίτοι πολλὰ καὶ ἄλλα καὶ τῶν κατ' αἴσθησιν ἡμῖν προφαινομένων καὶ ἀγνοουμένων οὐ δεδοίκαμεν. Τίς γὰρ ἡ φύσις τῶν κατ' οὐρανὸν φαινομένων, ἢ τί τὸ περιάγον τὸν πόλον ἐξ ἐναντίου τὴν κίνησιν, ἢ τί τὸ ἐρεῖδον τὴν τῆς γῆς παγιότητα· πῶς δὲ ἡ ῥευςὴ τῶν ὑδάτων φύσις ἀεὶ γίνεται ἐκ τῆς γῆς, καὶ οὐ δαπανᾶται ἡ γῆ· καὶ ἄλλα τοιαῦτα πολλὰ οὔτε ἐγνώκαμεν, οὔτε φόβων ἀξίαν τὴν ἄγνοιαν κρίνομεν. Ἀλλὰ καὶ αὐτὴν τὴν πάντα νοῦν ὑπερβαίνουσαν φύσιν, τὴν θείαν τε καὶ μακαρίαν καὶ ἀκατάληπτον, ὅτι μὲν ἐςι, πεπιςεύκαμεν, ἐν τίνι δὲ αὐτῆς τὸ εἶναι καταλαμβάνεται, οὔπω τις εὑρέθη διὰ ςοχασμοῦ κατανόησις, καὶ ὅμως ἀγαπῶμεν τὸ ἀγνοούμενον ἐξ ὅλης καρδίας τε καὶ ψυχῆς καὶ δυνάμεως τὸ καταληφθῆναι τοῖς λογισμοῖς οὐ δυνάμενον. Διὰ τί τοίνυν ἐπὶ μόνου τοῦ

---

[1]) Ἀρτηρία (отъ αἴρω), arteria, жила біющаяся, посредствомъ которой кровь изъ сердца выливается и распространяется по всему тѣлу.

μετὰ τὴν ζωὴν ταύτην ἐκδεχομένου ἡμᾶς βίου ὁ ἄλογος οὗτος συνίςαται φόβος, διὰ μόνην τὴν ἄγνοιαν δεδοικότων ἡμῶν ὃ οὐκ οἴδαμεν, καθάπερ ἐπὶ τῶν νηπίων γίνεται τῶν πρὸς τὰς ἀνυποςάτους ὑπονοίας δειματουμένων· ὁ γὰρ πρὸς τὴν ἀλήθειαν τῶν ὄντων ἐθέλων βλέπειν, πρῶτον ἐν περινοίᾳ τοῦ πράγματος γίνεται· εἶτα, οἷόν ἐςι κατὰ τὴν φύσιν, ἐπιλογίζεται, εἴτε τι χρήσιμον καὶ εὐπρόσιτον, εἴτε χαλεπόν τι καὶ ἀποτρόπαιον. Τὸ δὲ ἄδηλον καθόλου καὶ ἀγνοούμενον πῶς ἄν τις τῶν νοῦν ἐχόντων χαλεπὸν εἶναι κρίνοι, τὴν τῆς συνηθείας ἀναχώρησιν μόνην, ὡς πυρός τινος, ἢ θηρίου προσβολὴν ὑποπτεύων; καίτοι παιδευόμεθα διὰ τοῦ βίου σαφῶς, μὴ πάντοτε πρὸς τὴν συνήθειαν βλέπειν, ἀλλὰ πρὸς τὸ καλὸν ταῖς ἐπιθυμίαις ἀεὶ μετατίθεσθαι. Οὔτε γὰρ διὰ παντὸς ἐν ἐμβρύῳ τοῖς πλασσομένοις ἐςὶν ἡ ζωή, ἀλλ᾽ ἕως ἂν ἐν τοῖς σπλάγχνοις ὦσιν, ἠδεῖαν αὐτοῖς καὶ κατάλληλον ἡ φύσις ποιεῖ τὴν ἐν τῇ νηδύϊ ζωήν· οὔτε ἐπειδὰν ἔξω γένωνται, τῇ θηλῇ διὰ παντὸς παραμένουσιν, ἀλλ᾽ ἐφ᾽ ὅσον τῷ ἀτελεῖ τῆς ἡλικίας καλὸν τὸ τοιοῦτόν ἐςι καὶ κατάλληλον. Μετὰ τοῦτο δὲ πρὸς ἄλλην ἀκολουθίαν βίου μετέρχονται, οὐδὲν ὑπὸ τῆς συνηθείας πρὸς τὸ μαζῷ συμπαραμένειν ἀναπειθόμενοι. Εἶτα μετὰ τὴν νηπιώδη κατάςασιν, ἄλλα τῶν μειρακίων καὶ ἄλλα τῶν παρηλικεςέρων ἐπιτηδεύματα γίνεται, πρὸς ἃ μεταβαίνει δι᾽ ἀκολούθου ὁ ἄνθρωπος, ἀλύπως συμμεταβάλλων ταῖς ἡλικίαις καὶ τὴν συνήθειαν.

7. Ὥσπερ τοίνυν, εἰ φωνή τις ἦν τῷ τρεφομένῳ ἐν τῇ μητρῴᾳ νηδύϊ, ἠγανάκτησεν ἂν διὰ γεννήσεως τῶν σπλάγχνων ἐξοικιζόμενος, καὶ δεινὰ πάσχειν ἐβόα τῆς καταθυμίου διαγωγῆς ἀποσπώμενος, ὅπερ δὴ καὶ ποιεῖ, τῇ πρώτῃ ἀναπνοῇ συνεκβάλλων ἅμα τῇ γεννήσει τὸ δάκρυον, ὥσπερ ἀγανακτῶν τε καὶ ὀδυρόμενος ἐπὶ τῷ χωρισμῷ τῆς συνήθους ζωῆς· οὕτω μοι δοκοῦσιν οἱ πρὸς τὴν μεταβολὴν τοῦ παρόντος δυσχεραίνοντες βίου, τὸ τῶν ἐμβρύων πάσχειν, ἐν τῷ διὰ παντὸς ἐθέλειν τῷ χωρισμῷ τῆς ὑλικῆς ταύτης ἀηδίας ἐμβιοτεύειν. Ἐπειδὰν γὰρ ἡ ὠδὶς τοῦ θανάτου πρὸς ἕτερον βίον τοὺς ἀνθρώπους μαιεύηται, αὐτοὶ μέν, ὅταν εἰς τὸ φῶς ἐκεῖνο μετέλθωσιν καὶ τοῦ καθαροῦ σπάσωσι πνεύματος, τῇ πείρᾳ γινώσκουσιν, ὅσον ἐςὶ τῆς ζωῆς ἐκείνης πρὸς τὴν νῦν τὸ διάφορον. Οἱ δὲ ὑπολειφθέντες τῷ ὑγρῷ τούτῳ καὶ πλαδῶντι

βίῳ, ἔμβρυα ὄντες ἀτεχνῶς, καὶ οὐκ ἄνθρωποι, ταλανίζουσι τὸν προεξελθόντα τῆς περιεχούσης ἡμᾶς συνοχῆς, ὡς ἀγαθοῦ τινος ἔξω γενόμενον· οὐκ εἰδότες, ὅτι καθ' ὁμοιότητα τοῦ τεχθέντος βρέφους, ἀνοίγεται μὲν ὁ ὀφθαλμός, ὅταν ἔξω τοῦ νῦν συνέχοντος γένηται (νοεῖν δὲ χρὴ πάντως τὸν ὀφθαλμὸν τῆς ψυχῆς, ᾧ διορᾷ τὴν τῶν ὄντων ἀλήθειαν)· ἀνοίγεται δὲ τὸ ἀκουστικὸν αἰσθητήριον, δι' οὗ τῶν ἀρρήτων ἐπακούει ῥημάτων, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι, καθώς φησιν ὁ Ἀπόστολος [1]· ἀνοίγεται δὲ τὸ στόμα καὶ ἕλκει τὸ καθαρόν τε καὶ ἄϋλον πνεῦμα, δι' ὃ τονοῦται πρὸς τὴν νοητὴν φωνὴν καὶ τὸν ἀληθινὸν λόγον, ὅταν καταμιχθῇ τῷ ἤχῳ τῶν ἑορταζόντων ἐν τῷ τῶν ἁγίων χορῷ· οὕτω δὲ καὶ γεύσεως ἀξιοῦται θείας, δι' ἧς γινώσκει κατὰ τὴν ψαλμῳδίαν, ὅτι χρηστὸς ὁ Κύριος [2]· καὶ διὰ τῆς ὀσφραντικῆς ἐνεργείας τῆς τοῦ Χριστοῦ εὐωδίας ἀντιλαμβάνεται· καὶ τὴν ἁπτικὴν προσλαμβάνει δύναμιν ἐφαπτομένη τῆς ἀληθείας ἡ ψυχὴ καὶ ψηλαφῶσα τὸν Λόγον, κατὰ τὴν Ἰωάννου μαρτυρίαν [3]). Εἰ ταῦτα τοίνυν καὶ τὰ τοιαῦτα μετὰ τὸν διὰ τοῦ θανάτου τόκον τοῖς ἀνθρώποις ἀπόκειται, τί βούλεται τὸ πένθος, καὶ ἡ σκυθρωπότης, καὶ ἡ κατήφεια; νῦν ἡμῖν ὁ πρὸς τὴν τῶν πραγμάτων φύσιν βλέπων ἀποκρινέσθω, εἰ προτιμότερον οἴεται τὸ τοῖς σωματικοῖς αἰσθητηρίοις περὶ τὴν τοῦ καλοῦ κρίσιν διαπλανᾶσθαι τοῦ γυμνῷ τῷ τῆς ψυχῆς ὀφθαλμῷ πρὸς αὐτὴν τὴν τῶν πραγμάτων βλέπειν ἀλήθειαν. Ἐνταῦθα γὰρ ἀνάγκη τις ἔπεστι τῇ ψυχῇ ἀλλοτρίᾳ κρίσει δουλεύειν ἐν τῇ περὶ τοῦ καλοῦ ὑπονοίᾳ. Ἐπειδὴ γὰρ ἡ τελεία τῆς ψυχῆς δύναμις ἀχώρητός ἐστιν ἐπὶ τῷ νηπιάζοντι σώματι, ἡ δὲ τῶν αἰσθητηρίων ἐνέργεια εὐθὺς τελεία τῷ βρέφει συναποτίκτεται· τούτου χάριν προλαμβάνεται ὑπὸ τῆς αἰσθήσεως ἡ διάνοια ἐν τῇ τοῦ καλοῦ κρίσει, καὶ τὸ τοῖς αἰσθητηρίοις φανὲν ἤδη καὶ νομισθὲν εἶναι καλόν, καὶ διὰ συνηθείας προειλημμένον, ἀβασανίστως [4]) δέχεται ἡ ψυχή. ἐκεῖνο καλὸν εἶναι πεισθεῖσα, ὅπερ ἂν προλαβοῦσα προσμαρτυρήσῃ ἡ αἴσθησις, ἐν χρώμασί τισι καὶ χυμοῖς καὶ τοῖς τοιούτοις λήροις τὸ καλὸν θεωροῦσα·

---

[1]) 2 Кор. 12. 4. [2]) Пс. 117. 1—3. [3]) 1 Іоан. 1. 1.

[4]) Ἀβασανίστως (изъ α и βάσανος—оселокъ), безъ испытанія, безъ изслѣдованія.

ὧν μηκέτι προφαινομένων μετὰ τὴν ἐκ τοῦ σώματος ἔξοδον, ἀνάγκη πᾶσα τὸ ἀληθῶς ἀγαθὸν τῇ ψυχῇ φανῆναι, πρὸς ὃ κατὰ φύσιν ᾠκείωται. Οὔτε γὰρ πρὸς τὸ εὔχρουν ἔτι ἡ ὄψις δελεασθήσεται, τοῦ ὀφθαλμοῦ τούτου μηκέτι ὄντος· οὔτε πρὸς ἄλλο τι τῶν καταγλυκαινόντων τὰ αἰσθητήρια ἡ ἰσοῤῥοπὴ τῆς προαιρέσεως ἔςαι. πάσης σωματικῆς αἰσθήσεως ἀποσβεσθείσης· μόνης δὲ τῆς νοερᾶς ἐνεργείας ἀΰλως τε καὶ ἀσωμάτως τοῦ νοητοῦ κάλλους ἐφαπτομένης. ἀκωλύτως ἡ φύσις τὸ ἴδιον ἀπολήψεται ἀγαθὸν, ὃ μήτε χρῶμα, μήτε σχῆμα, μήτε διάςασις, μήτε πηλικότης ἐςὶν, ἀλλ' ὃ πᾶσαν ςοχαςικὴν εἰκασίαν παρέρχεται. Τί οὖν, ἴσως ἐρεῖ τις δυσχεραίνων πρὸς τὴν παροῦσαν ζωὴν, ἵνα τί τὸ σῶμα, καὶ ἀντὶ τίνος ἡμῖν, εἴπερ ἄμεινον ὁ χωρὶς τούτου βίος ἀπεδείχθη τῷ λόγῳ: πρὸς ὃν ἐροῦμεν, ὅτι οὐ μικρὸν ἐςὶ τὸ ἐκ τούτων κέρδος τοῖς δυναμένοις εἰς πᾶσαν βλέπειν τὴν οἰκονομίαν τῆς φύσεως. Μακάριος μὲν γὰρ ὄντως ἐκεῖνος τῶν ἀγγέλων ὁ βίος, ὁ μηδὲν τοῦ σωματικοῦ προσδεόμενος βάρους. Οὐ μὴν οὐδὲ οὗτος ἀσυντελὴς ὡς πρὸς ἐκεῖνόν ἐςιν. Ὁδὸς γὰρ πρὸς τὸ ἐλπιζόμενον ὁ παρὼν γίνεται βίος. Καθάπερ ἐπὶ τῶν βλαςημάτων ἐςὶν ἰδεῖν, ἐφ' ὧν ὁ καρπὸς ἀπὸ τοῦ ἄνθους ἀρξάμενος, δι' αὐτοῦ πρόεισιν εἰς τὸ γενέσθαι καρπὸς, κἂν μὴ καρπὸς ᾖ τὸ ἄνθος. Ἀλλὰ καὶ τὰ λήια τῶν σπερμάτων ἐκφυόμενα οὐκ εὐθὺς ἐν τῷ ςάχυϊ φαίνεται, ἀλλὰ χόρτος τὸ πρῶτον γίνεται βλάςημα, εἶτα ἀπὸ τούτου καλάμη συνίςαται, περιφθαρέντος τοῦ χόρτου· καὶ οὕτω τῇ κεφαλῇ τοῦ ἀςάχυος ὁ καρπὸς ἐμπεπαίνεται.

8. Πλὴν οὐκ αἰτιᾶται τὴν ἀναγκαίαν ταύτην περίοδόν τε καὶ ἀκολουθίαν ὁ γεηπόνος, διὰ τί, λέγων, πρὸ τοῦ καρποῦ καὶ ἄνθος; ἢ ὑπὲρ τίνος ὁ ἐκ τοῦ σπέρματος προανατέλλων χόρτος, εἴ γε καὶ τὸ ἄνθος ἀποῤῥέει, καὶ ὁ χόρτος μάτην ξηραίνεται, πρὸς οὐδὲν συντελῶν τῇ ἀνθρωπίνῃ τροφῇ: οἶδεν γὰρ ὁ πρὸς τὴν θαυματοποιίαν βλέπων τῆς φύσεως, ὅτι οὐκ ἂν ἄλλως ἐκ τῶν σπερμάτων τε καὶ βλαςημάτων ὁ καρπὸς τελειωθείη, μὴ τῆς τεχνικῆς ταύτης ἀκολουθίας ὁδοποιούσης αὐτοῦ τὴν τελείωσιν. Οὐ γὰρ ἐπειδὴ πρὸς ἀπόλαυσιν ἡμετέραν ὁ προεκβαλλόμενος ἐκ τῶν σπερμάτων χόρτος ἀχρήςως ἔχει, διὰ τοῦτο περιττόν τε



καὶ πάρελκον ἐςὶ τὸ γινόμενον. Ὁ μὲν γὰρ τῆς τροφῆς χρήζων πρὸς τὴν ἑαυτοῦ χρείαν ὁρᾷ· ὁ δὲ τῆς φύσεως λόγος οὐ πρὸς ἄλλο τι βλέπει, ἀλλ' ὅπως ἂν προσαγάγοι τὴν καρπογονίαν διὰ τῆς τεταγμένης ἀκολουθίας ἐπὶ τὸ τέλειον. Διὸ πρῶτον πολυμερῶς διὰ ῥιζῶν τοῦ ὑποκειμένου ἐμφύεται [1]), δι' ὧν ἕλκει τὴν κατάλληλον ἑαυτῷ διὰ τῆς ἰκμάδος τροφήν· εἶτα χόρτον βλαςάνει, διὰ τὴν ἐκ τοῦ ἀέρος βλάβην, προκάλυμμα τῆς ῥίζης τὴν πόαν ποιούμενος· ὅπερ καρπὸς μὲν οὐκ ἔςι, συνεργία δέ τις καὶ ὁδὸς γίνεται τῆς τοῦ καρποῦ τελειώσεως. Πρῶτον μὲν ἐκκαθαίρων δι' ἑαυτοῦ τὴν ἐγκειμένην τῷ σπέρματι δύναμιν, οἷόν τι περίττωμα τοῦ καρποῦ τὸν χόρτον προαποσκευαζομένης τῆς φύσεως. σκέπασμα γίνεται [2]) τῇ ῥίζῃ πρὸς τὰς ἐκ τοῦ ἀέρος βλάβας, τὰς διὰ κρύους τε καὶ θάλπους ἐγγινομένας. Εὐτονώτερον δὲ ἤδη διὰ βάθους ἐν ταῖς ῥίζαις ὑποσκευασθέντος τοῦ σπέρματος, τότε τοῦ χόρτου λοιπὸν ἀμεληθέντος, διὰ τὸ μηκέτι δεῖσθαι τὴν ῥίζαν τοῦ προκαλύμματος, πρὸς τὴν τῆς καλάμης ἀναδρομὴν πᾶσα συνδίδοται δύναμις, μηχανικῇ τινι σοφίᾳ τὴν [illegible] κατασκευὴν φιλοτεχνούσης τῆς φύσεως, ἧς εὐθυτενὴς μὲν ἡ βλάςη, χιτῶσιν ἐπαλλήλοις ἐν κύκλῳ διειλημμένη. Χρὴ γὰρ τούτοις ὑγρὰν οὖσαν καὶ ἄτονον τὴν καλάμην παρὰ τὴν πρώτην ἐντρέφεσθαι, τοῖς διὰ μέσου συνδέσμοις ἀσφαλείας χάριν ὑπεζωσμένην. Εἰ δὲ πρὸς τὸ σύμμετρον ἀναδράμοι μῆκος, τότε κομᾷ ἡ καλάμη, τοῦ τελευταίου χιτῶνος ἀφ' ἑαυτοῦ τὸν ςάχυν προδείξαντος, ὃς εἰς πολλοὺς ἀθέρας τριχοειδῶς διαιρούμενος, κρύπτει τὴν κόμην κατὰ τὴν βάσιν τῶν ἀθέρων τοῖς ἐλύτροις ὑποςρεφόμενος. Εἰ τοίνυν οὔτε πρὸς τὰς ῥίζας τῶν σπερμάτων ὁ γεωργὸς δυσχεραίνει, οὔτε πρὸς τὸν προεκβαλλόμενον ἐκ τοῦ σπέρματος χόρτον, οὔτε εἰς τοὺς ἀθέρας τοῦ ςάχυος, ἀλλ' ἐν ἑκάςῳ τούτων ἐνθεωρεῖ τινα χρείαν ἀναγκαίαν, δι' ἧς τεχνικῶς ἡ φύσις ὁδεύουσα προάγει τὸν καρπὸν εἰς τελείωσιν, διὰ τῆς τῶν ἀχρείων ἀποποιήσεως τὴν γόνιμον ἐκκαθαίρουσα δύναμιν· ὥρα καί σοι μὴ δυσχεραίνειν διὰ τῶν ἀναγκαίων ὁδῶν προϊούσης ἡμῶν τῆς φύσεως

[1]) Το ὑποκείμενον, здѣсь въ смыслѣ почвы окружающей сѣмя, которое въ ней ἐμφύεται.

[2]) Подразумѣвается: ὁ χόρτος

ἐπὶ τὸ ἴδιον τέλος, ἀλλ' ἡγεῖσθαι κατὰ τὴν ἐν τοῖς σπέρμασιν ἀναλογίαν, τὸ ἀεὶ παρὸν πρός τι πάντως χρησίμως τε καὶ ἀναγκαίως ἔχειν, οὐ μὴν τοῦτο εἶναι οὗ χάριν εἰς γένεσιν ἤλθομεν. Οὐ γὰρ ἐπὶ τὸ ἔμβρυον γενέσθαι παρὰ τοῦ δημιουργήσαντος ἡμᾶς ὑπέςημεν, οὐδὲ πρὸς τὸν βρεφώδη βίον ὁ σκοπὸς τῆς φύσεως βλέπει, οὐδὲ πρὸς τὰς ἐφεξῆς ἡλικίας ὁρᾷ, ἃς ἀεὶ διὰ τῆς ἀλλοιώσεως μετενδύεται τῷ χρόνῳ τὸ εἶδος συνεξαλλάσσουσα, οὐδὲ πρὸς τὴν ἐπιγινομένην διὰ τοῦ θανάτου λύσιν τῷ σώματι· ἀλλὰ πάντα ταῦτα καὶ τὰ τοιαῦτα τῆς ὁδοῦ δι' ἧς παρευόμεθα μέρη ἐςίν· ὁ δὲ σκοπὸς καὶ τὸ πέρας τῆς διὰ τούτων πορείας ἡ πρὸς τὸ ἀρχαῖον ἀποκατάςασις. ὅπερ οὐδὲν ἕτερον, ἢ ἡ πρὸς τὸ Θεῖον ἐςιν ὁμοίωσις. Καὶ ὥσπερ ἐπὶ τῆς κατὰ τὸν ςάχυν εἰκόνος, ἀναγκαῖος μὲν ἐφάνη τῷ λόγῳ τῆς φύσεως καὶ ὁ προεκβαλλόμενος χόρτος· ου μὴν δὲ δι' ἐκεῖνόν ἐςιν ἡ γεωργία. οὐδὲ χιτῶνες, καὶ ἀθέρες, καὶ καλάμη, καὶ ὑποζώματα πρόκεινται τῇ τῆς γεωργίας σπουδῇ, ἀλλ' ὁ τρόφιμος καρπος ὁ διὰ τούτων προϊὼν [illegible]είωσιν· οὕτω καὶ τῆς ζωῆς τὸ μὲν προσδοκώμενον πέρας μα[illegible]ιότης ἐςιν. Τὰ δὲ ὅσα περὶ τὸ σῶμα νῦν καθορᾶται, θάνατος, καὶ γῆρας, καὶ νεότης, καὶ νηπιότης, καὶ ἡ ἐν ἐμβρύῳ διάπλασις, πάντα ταυτα οἷον τινες χόρτοι καὶ ἀθέρες καὶ κάλαμοι, ὁδὸς καὶ ἀκολουθία καὶ δύναμις τῆς ἐλπιζομένης ἐςὶ τελειώσεως· πρὸς ἣν βλέπων, ἐὰν εὐφρανῇς, οὔτε ἀπεχθῶς ἕξεις πρὸς ταυτα, οὔτε μὴν ἐμπαθῶς τε καὶ επιθυμητικῶς διατεθήσῃ, ὡς ἢ χωριζόμενος αὐτῶν ἀνιᾶσθαι, ἢ αὐτομολεῖν πρὸς τὸν θάνατον. Εἰ δὲ χ[illegible] προσθεῖναι καὶ τοῦτο τῷ λόγῳ, οὐκ ἄχρηςον ἴσως ἐςὶ, κἂν ἐ[illegible]ῆς ἀκολουθίας εἶναι δοκῇ, ὅτι ἐμμελετᾷ τῷ θανάτῳ διὰ παντὸς ἡ φύσις, καὶ συμπέφυκε διὰ τοῦ χρόνου προϊούσῃ τῇ ζωῇ πάντως ὁ θάνατος. Πρὸς γὰρ τὸ μέλλον τοῦ παρῳχηκότος τῆς ζωῆς πάντοτε κινουμένης, καὶ οὐδέποτε πρὸς τὸ κατόπιν [1]) ἀναλυούσης, θάνατός ἐςι τὸ πάντοτε τῇ ζωτικῇ ἐνεργείᾳ συνημμένως ἑπόμενον. Ἐν γὰρ τῷ παρῳχηκότι τοῦ χρόνου παύεται πάντως πᾶσα κίνησις ζωτικὴ καὶ ἐνέργεια. Ἐπεὶ οὖν ἴδιόν ἐςι τοῦ θανάτου τὸ ἄπρακτόν τε καὶ ἀνενέργητον· τοῦτο δὲ

[1]) Τὸ κατόπιν, оставшееся позади, прошедшее.

κατόπιν ἀεὶ τῇ ζωτικῇ ἐνεργείᾳ πάντως ἐφέπεται· οὐκ ἔξω τῆς ἀληθείας ἐςὶ τὸ συμπεπλέχθαι τῇ ζωῇ ταύτῃ τὸν θάνατον λέγειν. Καὶ ἄλλως δ᾽ ἄν τις εὕροι τὸ τοιοῦτον νόημα διὰ τῆς ἀληθείας ἡμῖν κρατυνόμενον, αὐτῆς τῆς πείρας μαρτυρούσης τῷ δόγματι, ὅτι οὐχ ὁ αὐτός ἐςι τῷ χθιζῷ ὁ σήμερον ἄνθρωπος κατὰ τὸ ὑλικῶς ὑποκείμενον, ἀλλά τι πάντως αὐτοῦ διὰ παντὸς νεκροῦται, καὶ ὄζει, καὶ διαφθείρεται, καὶ ἐκβάλλεται, καθάπερ οἰκίας τινὸς τῆς τοῦ σώματος λέγω κατασκευῆς τὴν νεκρώδη δυσωδίαν ἐκφερούσης τῆς φύσεως, καὶ τῇ γῇ παραδιδούσης τὸ ἤδη τῆς ζωτικῆς δυνάμεως ἔξω γενόμενον. Διὸ κατὰ τὴν τοῦ μεγάλου φωνὴν Παύλου καθ᾽ ἡμέραν ἀποθνήσκομεν [1], οὐχ οἱ αὐτοὶ διὰ παντὸς ἐκ τῷ αὐτῷ διαμένοντες οἴκῳ τοῦ σώματος, ἀλλ᾽ ἑκάςοτε ἄλλοι ἐξ ἄλλου γινόμενοι διὰ προσθήκης τε καὶ ἀποποιήσεως, ὡς πρὸς καινὸν σῶμα διὰ παντὸς ἀλλοιούμενοι. Τί οὖν ξενιζόμεθα πρὸς τὸν θάνατον, οὗ ἀπεδείχθη μελέτη διηνεκὴς καὶ γυμνάσιον ἡ διὰ σαρκὸς οὖσα ζωή; κἂν τὸν ὕπνον εἴπῃς καὶ την ἐγρήγοραιν, ἄλλην θανάτου λέγεις πρὸς τὴν ζωὴν συμπλοκὴν, κατασβεννυμένης ἐν τοῖς καθεύδουσι τῆς αἰσθήσεως, καὶ πάλιν τῆς ἐγρηγόρσεως ἐνεργούσης ἡμῖν ἐκ αὐτῇ τὴν ἐλπιζομένην ἀνάςασιν. Ἀλλ᾽ οὔπω τὸ προκείμενον ἡμῖν εὐσαφηνίσθη διὰ τῶν εἰρημένων, τοῦ ἐπεισοδίου νοήματος πρὸς ἑτέραν θεωρίαν παραγαγόντος τὸν λόγον [2]).

9. Εἰ οὖν τι μεμαθήκαμεν σπουδῆς ἄξιον περὶ τῶν κεκοιμημένων, δι᾽ ὧν ἡμῖν ὁ λόγος τὰ περὶ τούτων ἐφιλοσόφησε, μηκέτι τὴν δυσγενῆ ταύτην καὶ ἀνδραποδώδη λύπην παραδεξώμεθα. Ἀλλ᾽ εἰ χρὴ καὶ λυπεῖσθαι, ἐκείνην ἑλώμεθα τὴν λύπην, τὴν ἐπαινετὴν καὶ ἐνάρετον. Ὡς γὰρ τῆς ἡδονῆς τὸ μὲν ἐςι κτηνῶδες καὶ ἄλογον, τὸ δὲ καθαρόν τε καὶ ἄϋλον· οὕτω καὶ τὸ ἀντικείμενον τῇ ἡδονῇ πρὸς κακίαν καὶ ἀρετὴν διαςέλλεται. Ἔςιν οὖν τι καὶ πένθους εἶδος μακαριζόμενον, καὶ πρὸς κτῆσιν ἀρετῆς οὐκ ἀπόβλητον, ὅπερ ἐναντίως ἔχει πρὸς τὴν ἄλογον ταύτην καὶ

---

[1]) 1 Кор. 15. 31.

[2]) Далѣе, до заключенія (Гл. 9) св. Отецъ подробнѣе раскрываетъ вышесказанную мысль, что и тѣло человѣка будетъ не безполезно для души его въ будущей жизни, по очищеніи ихъ отъ земныхъ недостатковъ и страстей.

ἀνδραποδώδη κατήφειαν. Ὁ μὲν γὰρ ἐν ταύτῃ γενόμενος ἑαυτοῦ μετὰ ταῦτα διὰ μεταμελείας καθάψεται, ὡς ἔξω τοῦ καθεςῶτος [1]) παρενεχθεὶς, ὅτε τοῦ πάθους ἥττων ἐγένετο. Τὸ δὲ μακαριζόμενον πένθος, ἀμεταμέλητον καὶ ἀνεπαίσχυντον ἔχει τὴν σκυθρωπότητα τοῖς δι᾽ αὐτοῦ τὸν ἐνάρετον κατορθοῦσι βίον. Πενθεῖ γὰρ ὡς ἀληθῶς ὁ ἐν συναισθήσει τῶν ἀγαθῶν ἐκείνων γενόμενος, ὧν ἀποπέπτωκεν, ἀντιπαραθεὶς τὴν ἐπίκηρον ταύτην καὶ ῥυπῶσαν ζωὴν τῇ ἀκηράτῳ ἐκείνῃ μακαριότητι, ἧς ἐν ἐξουσίᾳ ἦν, πρὶν τῇ ἐξουσίᾳ εἰς κακὸν ἀποχρήσασθαι· καὶ ὅσῳ πλέον ἐπὶ τῷ τοιούτῳ βίῳ βαρύνει τὸ πένθος, τοσούτῳ μᾶλλον ἐπιταχύνει ἑαυτῷ τὴν τῶν ποθουμένων ἀγαθῶν κτῆσιν. Ἡ γὰρ τῆς τοῦ καλοῦ ζημίας συναίσθησις τῆς περὶ τὸ ποθούμενον σπουδῆς ὑπέκκαυμα γίνεται. Οὐκοῦν ἐπειδή πέρ ἐςι καὶ σωτήριον πένθος, καθὼς ὁ λόγος ὑπέδειξεν, ἀκούσατε οἱ πρὸς τὸ τῆς λύπης πάθος εὐκόλως καταφερόμενοι, ὅτι οὐ κωλύομεν τὴν λύπην, ἀλλ᾽ ἀντὶ τῆς κατεγνωσμένης τὴν ἀγαθὴν συμβουλεύομεν. Μὴ λυπεῖσθε τοίνυν τὴν τοῦ κόσμου λύπην τὴν κατεργαζομένην τὸν θάνατον, καθώς φησιν ὁ Ἀπόςολος [2]), ἀλλὰ τὴν κατὰ Θεὸν, ἧς τὸ πέρας ἡ τῆς ψυχῆς ἐςι σωτηρία. Τὸ γὰρ εἰκῆ καὶ μάτην τοῖς κεκοιμημένοις ἐπιχεόμενον δάκρυον τάχα καὶ κατακρίσεως αἴτιον γίνεται τῷ κακῶς οἰκονομοῦντι τὸ χρήσιμον. Εἰ γὰρ ἐπὶ τούτῳ λυπηρὰν ταύτην διάθεσιν ἐνετεκτήνατο τῇ φύσει ὁ πάντα ἐν σοφίᾳ ποιήσας, ἐφ᾽ ᾧ τε καθάρσιον μὲν αὐτὴν εἶναι προκατασχούσης κακίας, ἐφόδιον δὲ τῆς τῶν ἐλπιζομένων ἀγαθῶν μετουσίας· τάχα ὁ μάτην καὶ ἀνωφελῶς ἐκχέων τὸ δάκρυον διαβληθήσεται τῷ ἰδίῳ δεσπότῃ, κατὰ τὸν εὐαγγελικὸν λόγον, ὡς κακὸς οἰκονόμος διασπείρων ἀχρήςως τὸν πιςευθέντα πλοῦτον [3]). Πᾶν γὰρ τὸ ἐπ᾽ ἀγαθῷ χρησιμεῦον πλοῦτός ἐςι, τοῖς τιμίοις τῶν κειμηλίων ἐναριθμούμενος. Οὐ θέλω οὖν ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ, περὶ τῶν κεκοιμημένων ταῦτα, ἃ μεμαθήκαμεν, καὶ εἴ τι ἄλλο πρὸς τούτοις παρὰ τοῦ Πνεύματος τοῦ ἁγίου τοῖς τελειοτέροις ἀποκαλύπτεται μάθημα, ἵνα μὴ λυπῆσθε, ὡς καὶ οἱ λοιποὶ οἱ

---

[1]) Ὁ καθεςὼς или καθεςηκὼς, установившійся, надлежащій, правильный; οἱ καθεςηκότες иногда значитъ: люди средняго возраста, мужественные.

[2]) 2 Кор. 2. 10. [3]) Лук. 16. 1. 2.

μὴ ἔχοντες ἐλπίδα [1]). Μόνων γὰρ ἐςὶ τῶν ἀπίςων τὸ τῷ παρόντι βίῳ τὰς τοῦ ζῆν ἐλπίδας περιορίζειν, καὶ διὰ τοῦτο συμφορᾶς ἄξιον ποιοῦνται τὸν θάνατον, ὅτι αὐτοῖς τὸ πιςευόμενον παρ' ἡμῶν οὐκ ἐλπίζεται. Ἡμεῖς δὲ τῷ μεγάλῳ ἐγγυητῇ τῆς ἐκ νεκρῶν ἀναςάσεως πεπιςευκότες, αὐτῷ τῷ Δεσπότῃ πάσης τῆς κτίσεως, ὃς διὰ τοῦτο καὶ ἀπέθανε καὶ ἀνέςη, ἵνα τῷ ἔργῳ τὸν περὶ τῆς ἀναςάσεως λόγον πιςώσηται, ἀναμφιβόλως ἔχωμεν τῶν ἀγαθῶν τὴν ἐλπίδα, ἧς παρούσης ἡ ἐπὶ τοῖς κατοιχομένοις λύπη χώραν οὐχ ἕξει. Ὁ δὲ Θεὸς ἡμῶν καὶ Κύριος Ἰησοῦς Χριςὸς, ὁ παρακαλῶν τοὺς ταπεινοὺς, παρακαλέσῃ ὑμῶν τὰς καρδίας, καὶ ςηρίξῃ εἰς τὴν ἑαυτοῦ ἀγάπην διὰ τῶν οἰκτιρμῶν αὐτοῦ, ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

## 3.

### Ἐπιςολή

Ταῖς κοσμιωτάταις ἀληθῶς καὶ εὐλαβεςάταις ἀδελφαῖς Εὐςαθίᾳ καὶ Ἀμβροσίᾳ, καὶ τῇ κοσμιωτάτῃ καὶ σεμνοτάτῃ θυγατρὶ Βασιλίσσῃ, Γρηγόριος ἐν Κυρίῳ χαίρειν [2]).

## Глав. 1—3.

1. Ἡ μὲν τῶν ἀγαθῶν καὶ καταθυμίων [3]) συντυχία, καὶ τὰ γνωρίσματα τῆς μεγάλης τοῦ Δεσπότου ὑπὲρ ἡμῶν φιλανθρωπίας, τὰ ἐν τοῖς τόποις [4]) δεικνύμενα, τῆς μεγίςης ἐγένετό μοι χαρᾶς τε καὶ εὐφροσύνης ὑπόθεσις. Ἀμφοτέρων γὰρ ἐδηλώθη μοι ἡ κατὰ Θεὸν ἑορτὴ, διά τε τοῦ ἰδεῖν τὰ σωτήρια σύμβολα τοῦ ζωοποι-

---

1) 1 Сол. 4. 13.

2) Писано вѣроятно въ 382 году, по возвращеніи св. Григорія изъ Іерусалима.

3) Καταθυμίων (изъ κατὰ и θυμὸς), желательныхъ, пріятныхъ; подразумѣвается ἀνθρώπων.

4) Подъ τοῖς τόποις разумѣются священныя мѣста г. Іерусалима и Палестины.

ησαντος ἡμᾶς Θεοῦ, και διὰ τοῦ ψυχαῖς συντυχεῖν, ἐν αἷς τὰ τοιαῦτα τῆς τοῦ Κυρίου χάριτος σημεῖα πνευματικῶς θεωρεῖται, ὥϛε πιϛεύειν, ὅτι ἀληθῶς ἐν τῇ καρδίᾳ ἐϛὶ τοῦ τὸν Θεὸν ἔχοντος ἡ Βηθλεὲμ, ὁ Γολγοθᾶς, ὁ Ἐλαιὼν, ἡ Ἀνάϛασις. Ὅτε γὰρ διὰ τῆς ἀγαθῆς συνειδήσεως ὁ Χριϛὸς ἐμμορφωθῇ, καὶ καθηλώσας τῷ θείῳ φόβῳ τὰς σάρκας αὐτοῦ, και συϛαυρωθεὶς τῷ Χριϛῷ, καὶ ἀποκυλίσας ἀφ᾽ ἑαυτοῦ τὸν βαρὺν τῆς βιωτικῆς ἀπάτης λίθον, καὶ ἐξελθὼν τοῦ σωματικοῦ μνημείου, ὡς ἐν καινότητι ζωῆς περιεπάτησε, καὶ ὁ καταλιπὼν τὴν κοίλην καὶ χαμαίζηλον τῶν ἀνθρώπων ζωὴν, ἀναβὰς δὲ διὰ τῆς ὑψηλῆς ἐπιθυμίας εἰς τὴν ἐπουράνιον πολιτείαν, καὶ τὰ ἄνω φρονῶν, οὗ ὁ Χριϛὸς [1]), καὶ μὴ βαρυνόμενος τῷ ἄχθει τοῦ σώματος, ἀλλ᾽ ἐξελαφρύνας διὰ καθαρωτέρας ζωῆς, ὥϛε αὐτῷ νεφέλης δίκην συμμετεωροπορεῖν ἐπὶ τὰ ἄνω τὴν σάρκα· οὗτος, κατά γε τὴν ἐμὴν κρίσιν, ἐκείνων ἐϛὶ τῶν κατωνομασμένων [2]), ἐν οἷς τὰ ὑπομνήματα τῆς τοῦ Δεσπότου ὑπὲρ ἡμῶν φιλανθρωπίας ὁρᾶται. Ἐπειδὴ τοίνυν εἶδον μὲν καὶ αἰσθητῶς τοὺς ἁγίους τόπους, εἶδον δὲ καὶ ἐν ὑμῖν τῶν τοιούτων τόπων ἐναργῆ τὰ σημεῖα, τοσαύτης ἐπληρώθην χαρᾶς, ὥϛε ὑπὲρ λόγον εἶναι τοῦ ἀγαθοῦ τὴν διήγησιν. Ἀλλ᾽ ἐπειδὴ ἔοικεν ἄνθρωπον ὄντα δύσκολον εἶναι, ἵνα μὴ εἴπω ὅτι ἀδύνατον, ἀμιγὲς τοῦ κακοῦ τὸ ἀγαθὸν καρποῦσθαι· διὰ τοῦτό μοι τῇ γεύσει τῶν γλυκέων συγκατεμίχθη τι καὶ τῶν πικραινόντων τὴν αἴσθησιν· ἐφ᾽ οἷς μετὰ τὴν ἀγαθὴν τῶν εὐφραινόντων ἀπόλαυσιν, πάλιν ἐπὶ τὴν πατρίδα σκυθρωπάζων ἐπορευόμην, λογιζόμενος, ὅτι ἀληθὴς ὁ τοῦ Κυρίου λόγος ὁ εἰπὼν ὅλον τὸν κόσμον ἐν τῷ πονηρῷ κεῖσθαι [3]), ὡς μηδὲν τῆς οἰκουμένης μέρος ἐλεύθερον εἶναι τῆς μοίρας τοῦ χείρονος. Εἰ γὰρ ὁ τὸ ἅγιον τῆς ὄντως ζωῆς ἴχνος ὑποδεξάμενος τόπος τῆς πονηρᾶς ἀκάνθης οὐ καθαρεύει, τί χρὴ περὶ τῶν λοιπῶν ἐννοεῖν τόπων, οἷς ἡ τοῦ ἀγαθοῦ μετουσία κατεσπάρη διὰ ψιλῆς ἀκοῆς καὶ κηρύγματος; ταῦτα δὲ πρὸς ὅ τι βλέπων φημὶ, πάντως οὐδὲν χρὴ γυμνότερον διὰ τῶν λόγων

---

[1]) Кол. 3. 2.

[2]) Т. е. вышеупомянутыхъ Іерусалимскихъ и Палестинскихъ мѣстностей

[3]) 1 Іоан. 5. 19.

ἐκτίθεσθαι, αὐτῶν τῶν πραγμάτων πάσης φωνῆς γνωρίμου γεγωνότερον διαβοώντων τὰ λυπηρά. Μίαν ἔχθραν ἐνομοθέτησεν ἡμῖν ὁ τῆς ζωῆς ἡμῶν νομοθέτης, τὴν πρὸς τὸν ὄφιν λέγω· πρὸς οὐδὲν ἄλλο τὴν τοῦ μισεῖν δύναμιν ἐνεργεῖσθαι προστάξας, εἰ μὴ πρὸς τὴν ἀποστροφὴν τῆς κακίας. «Ἔχθραν» γὰρ «θήσω», φησίν, «ἀνὰ μέσον σου, καὶ ἀνὰ μέσον ἐκείνου» [1]. Ἐπειδὴ ποικίλη τις καὶ πολυειδής ἐςιν ἡ κακία, διὰ τοῦ ὄφεως ὁ λόγος ταύτην αἰνίττεται, τῇ πυκνῇ τῶν φολίδων θέσει τὸ πολύτροπον τῆς κακίας χαρακτηρίζων. Ἡμεῖς δὲ πρὸς μὲν τὸν ὄφιν ἔνσπονδοι, διὰ τοῦ τὰ θελήματα τοῦ ἀντικειμένου ποιεῖν, ἐγενόμεθα· τὸ δὲ μῖσος κατ' ἀλλήλων ἐτρέψαμεν· τάχα δὲ οὐδὲ καθ' ἡμῶν, ἀλλὰ κατὰ τοῦ τὴν ἐντολὴν δεδωκότος. Ὁ μὲν γάρ φησιν· «ἀγαπήσεις τὸν πλησίον σου, καὶ μισήσεις τὸν ἐχθρόν σου» [2], τὸν τῆς φύσεως ἡμῶν πολέμιον μόνον ἐχθρὸν ἡγεῖσθαι προστάξας· πάντα δὲ τὸν κοινωνοῦντα τῆς φύσεως πλησίον ἑκάςου εἶναι εἰπών· ἡ δὲ βαρυκάρδιος ἡμῶν γενεὰ τοῦ πλησίον ἡμᾶς διατήσασα, θάλπειν τὸν ὄφιν ἐποίησε, καὶ τοῖς τῶν φολίδων αὐτοῦ ςίγμασιν ἐπιτέρπεσθαι. Ἐγὼ γὰρ τὸ μὲν τοὺς ἐχθροὺς τοῦ Θεοῦ μισεῖν ἔννομον εἶναί φημι, καὶ ἀρέσκειν τῷ Δεσπότῃ τὸ τοιοῦτον μῖσος· ἐχθροὺς δὲ λέγω τοὺς κατὰ πάντα τρόπον τὴν τοῦ Δεσπότου δόξαν ἀπαρνουμένους, εἴτε τοὺς Ἰουδαίους, εἴτε τοὺς φανερῶς εἰδωλολατροῦντας, εἴτε τοὺς διὰ τῶν Ἀρείου δογμάτων εἰδωλοποιοῦντας τὴν κτίσιν, καὶ τὴν Ἰουδαϊκὴν πλάνην ἀναλαμβάνοντας. Εἰ δὲ Πατὴρ, καὶ Υἱός, καὶ ἅγιον Πνεῦμα εὐσεβῶς δοξάζοιτο καὶ προσκυνοῖτο παρὰ τῶν πιςευόντων, ἐν ἀσυγχύτῳ καὶ διακεκριμένῃ τῇ ἁγίᾳ Τριάδι μίαν εἶναι καὶ φύσιν, καὶ δόξαν, καὶ βασιλείαν, καὶ δύναμιν, καὶ τὴν ἐπὶ πάντων ἐξουσίαν· ἐνταῦθα ὁ πόλεμος τίνα εὔλογον αἰτίαν ἔχει;

2. Ὅτε ἐπεκράτει τὰ τῆς αἱρέσεως δόγματα, καὶ τὸ παρακινδυνεῦσαι πρὸς τὰς ἐξουσίας, δι' ὧν ἐδόκει τὸ τῶν ἀντικειμένων δόγμα κρατύνεσθαι, καλῶς εἶχεν, ὡς ἂν μὴ καταδυναςεύοιτο ταῖς ἀνθρωπίναις δυναςείαις ὁ σωτήριος λόγος· νυνὶ δὲ κατὰ πᾶσαν τὴν οἰκουμένην ἀπ' ἄκρου τοῦ οὐρανοῦ καὶ ἕως τοῦ ἄκρου αὐτοῦ ἴσως κηρυσσομένης ἐν φανερῷ τῆς εὐσεβείας, ὁ τοῖς κηρύσσουσι

[1]) Быт. 3. 15. [2]) Левит. 19. 18. Мат. 5. 43.

τὴν εὐσέβειαν πολεμῶν οὐκ ἐκείνοις μάχεται, ἀλλὰ τῷ παρ' αὐτῶν εὐσεβῶς κηρυσσομένῳ. Τίς γὰρ εἶναι σκοπὸς ἄλλος ὀφείλει τῷ τὸν θεῖον ἔχοντι ζῆλον, εἰ μὴ τὸ παντὶ τρόπῳ τὴν δόξαν τοῦ Θεοῦ καταγγέλλεσθαι; ἕως γὰρ οὖν ἐξ ὅλης καρδίας τε καὶ ψυχῆς καὶ διανοίας προσκυνῆται ὁ μονογενὴς Θεός, ἐκεῖνο εἶναι πεπιςευμένος ἐν πᾶσιν ὅπερ ἐςὶν ὁ Πατὴρ, ὡσαύτως δὲ καὶ τὸ Πνεῦμα τὸ ἅγιον ὁμοτίμῳ προσκυνήσει δοξάζηται, οἱ τὰ περισσὰ σοφιζόμενοι ποίαν τοῦ πολέμου εὐπρόσωπον ἔχουσιν ἀφορμὴν, σχίζοντες τὸν χιτῶνα τὸν ἄρρηκτον [1]), καὶ πρὸς Παῦλον καὶ Κηφᾶν τὸ ὄνομα τοῦ Κυρίου καταμερίζοντες [2]), καὶ τὸν προσεγγισμὸν τῶν τὸν Χριςὸν προσκυνούντων βδελυκτὸν ἀποφαίνοντες, μονονοὺ φανερῶς ἐκεῖνο βοῶντες τοῖς ῥήμασι· «πόῤῥω ἀπ' ἐμοῦ· μὴ ἐγγίσῃς μοι· ὅτι καθαρός εἰμι»; δεδόσθω δὲ καὶ πλέον τι αὐτοῖς κατὰ τὴν γνῶσιν, ἥνπερ αὐτοὶ οἴονται κατειληφέναι, προσεῖναι· μὴ πλέον τοῦ πιςεύειν ἀληθινὸν εἶναι Θεὸν τὸν τοῦ Θεοῦ ἀληθινὸν Υἱὸν ἔχουσιν; τῇ γὰρ τοῦ ἀληθινοῦ Θεοῦ ὁμολογίᾳ πάντα συμπεριλαμβάνεται τὰ εὐσεβῆ καὶ σώζοντα ἡμᾶς νοήματα· ὅτι ἀγαθὸς, ὅτι δίκαιος, ὅτι δυνατὸς, ἄτρεπτός τε καὶ ἀναλλοίωτος, καὶ ἀεὶ ὁ αὐτὸς, οὔτε πρὸς τὸ χεῖρον, οὔτε πρὸς τὸ βέλτιον τραπῆναι δυνάμενος· τὸ μὲν γὰρ οὐ πέφυκε, τὸ δὲ οὐκ ἔχει· τί γὰρ ὑψίςου ὑψηλότερον; τί τοῦ ἀγαθοῦ ἀγαθώτερον; ὥςε ἐν πάσῃ τοῦ ἀγαθοῦ τελειότητι θεωρούμενος, κατὰ πᾶν εἶδος τροπῆς τὸ ἀναλλοίωτον ἔχει· οὐ κατὰ καιρούς τινας τὸ τοιοῦτον ἐν ἑαυτῷ δεικνὺς, ἀλλ' ἀεὶ ὡσαύτως ἔχων, καὶ πρὸ τῆς κατὰ ἄνθρωπον οἰκονομίας, καὶ ἐν ἐκείνῳ, καὶ μετὰ τοῦτο, οὐδὲν τῆς ἀτρέπτου καὶ ἀναλλοιώτου φύσεως ἐν ταῖς ὑπὲρ ἡμῶν ἐνεργείαις πρὸς τὸ ἀπεμφαῖνον [3]) μεθαρμοζόμενος. Τὸ γὰρ φύσει ἄφθαρτον καὶ ἀναλλοίωτον ἀεὶ τοιοῦτόν ἐςιν, οὐ συναλλοιούμενον τῇ ταπεινῇ φύσει, ὅταν ἐν ἐκείνῃ κατ' οἰκονομίαν γένηται, κατὰ τὸ τοῦ ἡλίου ὑπόδειγμα· ὃς ὑποβαλὼν τὴν ἀκτῖνα τῷ ζόφῳ, τὸ φῶς τῆς ἀκτῖνος οὐχ ἠμαύρωσεν,

---

[1]) Вѣроятно, слѣдуетъ читать ἄῤῥαφον, какъ сказано о хитонѣ Спасителя въ Евангеліи Іоан. 19. 23.

[2]) 1 Кор: 1. 12, 13.

[3]) Πρὸς τὸ ἀνεμφαῖνον — во что-нибудь несоотвѣтствующее (Его божественной природѣ).

ἀλλὰ τὸ σκότος διὰ τῆς ἀκτῖνος εἰς φῶς μετεποίησεν· οὕτως καὶ τὸ ἀληθινὸν φῶς ἐν τῇ σκοτίᾳ ἡμῶν λάμψαν, οὐχ αὐτὸ ὑπὸ τοῦ σκότους κατεσκιάσθη, ἀλλὰ δι' ἑαυτοῦ τὸν ζόφον ἐφώτισεν. Ἐπειδὴ τοίνυν ἐν σκότῳ τὸ ἀνθρώπινον ἦν, καθὼς γέγραπται, ὅτι «οὐκ ἔγνωσαν, οὐδὲ συνῆκαν, ἐν σκότῳ διαπορεύονται» [1], ὁ ἐλλάμψας τῇ ἐσκοτισμένῃ φύσει, διὰ παντὸς τοῦ συγκρίματος ἡμῶν τῆς θεότητος τὴν ἀκτῖνα διαγαγών, διὰ ψυχῆς, λέγω, καὶ σώματος, ὅλον τὸ ἀνθρώπινον τῷ ἰδίῳ φωτὶ προσῳκείωσε, τῇ πρὸς ἑαυτὸν ἀνακράσει ὅπερ ἐςὶν αὐτὸς κἀκεῖνο ἀπεργασάμενος· καὶ ὡς οὐκ ἐφθάρη ἡ θεότης ἐν τῷ φθαρτῷ σώματι γινομένη, οὕτως οὔτε εἰς τροπὴν ἠλλοιώθη, τὸ τρεπτὸν τῆς ψυχῆς ἡμῶν ἰασαμένη. Καὶ ἐπὶ τῆς ἰατρικῆς τέχνης ὁ θεραπεύων τὰ σώματα, ἐπειδὰν ἅψηται τοῦ πεπονθότος, οὐκ αὐτὸς ἐμπαθὴς γίνεται, ἀλλὰ τὸ νοσοῦν ἐξιάσατο. Μηδεὶς δὲ διὰ τοῦτο τὸ τοῦ Εὐαγγελίου μὴ δεόντως ἐκλαμβάνων ἡγείσθω, κατὰ προκοπήν τινα καὶ ἀκολουθίαν κατ' ὀλίγον πρὸς τὸ θειότερον μεταποιεῖσθαι τὴν ἡμετέραν φύσιν ἐν τῷ Χριςῷ. Τὸ γὰρ «προκόπτειν ἡλικίᾳ, καὶ σοφίᾳ, καὶ χάριτι» [2], εἰς ἀπόδειξιν τοῦ ἀληθῶς ἐν τῷ ἡμετέρῳ φυράματι γεγενῆσθαι τὸν Κύριον παρὰ τῆς Γραφῆς ἱςόρηται, ὡς ἂν μή τινα χώραν ἔχοι τὸ τῶν ἀντὶ τῆς ἀληθοῦς θεοφανίας δόκησίν τινα γεγενῆσθαι δογματιζόντων, ἐν σωματικῇ μορφῇ κατεσχηματισμένην. Διὰ τοῦτο ὅσα τῆς φύσεως ἡμῶν ἴδια ἀνεπαισχύντως καὶ περὶ αὐτὸν ἱςορεῖ ἡ Γραφή, τὴν βρῶσιν, τὴν πόσιν, τὸν ὕπνον, τὸν κόπον, τὴν τροφήν, τὴν προκοπὴν τῆς σωματικῆς ἡλικίας, τὴν αὔξησιν· πάντα δι' ὧν ἡ ἡμετέρα χαρακτηρίζεται φύσις, πλὴν τῆς καθ' ἁμαρτίαν ὁρμῆς. Ἡ γὰρ ἁμαρτία ἀπότευγμα φύσεώς ἐςιν, οὐκ ἰδίωμα. Ὡς καὶ ἡ νόσος καὶ ἡ πήρωσις οὐκ ἐξ ἀρχῆς ἡμῖν συμπέφυκεν, ἀλλὰ παρὰ φύσιν συμβαίνει· οὕτως καὶ ἡ κατὰ κακίαν ἐνέργεια καθάπερ τις πήρωσις τοῦ ἐμπεφυκότος ἡμῖν ἀγαθοῦ νοεῖται, οὐκ ἐν τῷ αὐτὴν ὑφεςάναι καταλαμβανομένη, ἀλλ' ἐν τῇ τοῦ ἀγαθοῦ ἀπουσίᾳ θεωρουμένη. Ὁ οὖν τὴν φύσιν ὑμῶν πρὸς τὴν θείαν δύναμιν μεταςοιχειώσας ἄπηρον αὐτὴν καὶ ἄνοσον ἐν ἑαυτῷ διεσώσατο, τὴν ἐξ ἁμαρτίας γινομένην τῇ προαιρέσει πήρωσιν οὐ προσδεξάμενος. «Ἁμαρτίαν

---

[1]) Пс. 81. 5. [2]) Лук. 2. 52.

γὰρ, φησίν, οὐκ ἐποίησεν· οὐδ' εὑρέθη δόλος ἐν τῷ ϛόματι αὐτοῦ» [1]. Τοῦτο δὲ οὐ κατά τι χρονικὸν διάϛημα περὶ αὐτὸν θεωροῦμεν, ἀλλ' εὐθὺς ὁ ἐν Μαρίᾳ ἄνθρωπος, ἐν ᾧ ᾠκοδόμησεν ἡ Σοφία τὸν ἴδιον οἶκον [2], τῇ μὲν ἑαυτοῦ φύσει ἐκ τοῦ ἐμπαθοῦς φυράματος ἦν· ὁμοῦ δὲ τῇ ἐπελεύσει τοῦ ἁγίου Πνεύματος καὶ τῇ ἐπισκηνώσει τῆς τοῦ Ὑψίϛου δυνάμεως, ὅπερ τὸ ἐπισκηνῶσαν ἦν φύσει τῇ ἰδίᾳ, εὐθὺς ἐκεῖνο ἐγένετο. «Χωρὶς γὰρ πάσης ἀντιλογίας τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται» [3].

3. Ἐπεὶ οὖν ἄπειρόν τί ἐϛι καὶ ἀμέτρητον ἡ τῆς θεότητος δύναμις, βραχὺ δὲ καὶ οὐτιδανὸν τὸ ἀνθρώπινον· ἅμα τε ἐπῆλθε τὸ Πνεῦμα τῇ Παρθένῳ καὶ ἡ τοῦ Ὑψίϛου ἐπεσκίασε δύναμις, τὸ διὰ τῆς τοιαύτης ἀφορμῆς πηγνύμενον σκήνωμα οὐδὲν τῆς ἀνθρωπίνης σαπρίας συνεπεσπάσατο, ἀλλ' ὥσπερ ἦν ἐν τῷ συϛήματι, εἰ καὶ ἄνθρωπος ἦν, πλὴν ἀλλὰ καὶ πνεῦμα καὶ χάρις καὶ δύναμις ἦν, ἐν τῇ ὑπερβολῇ τῆς θείας δυνάμεως τῆς κατὰ τὴν φύσιν ἡμῶν ἰδιότητος ἐκλαμπούσης. Καὶ ἐπειδὴ δύο πέρατα τῆς ἀνθρωπίνης ἐϛὶ ζωῆς, ὅθεν ἀρχόμεθα καὶ εἰς ὃ καταλήγομεν· ἀναγκαίως ὁ πᾶσαν ἡμῶν τὴν ζωὴν θεραπεύων διὰ τῶν δύο ἄκρων ἡμᾶς περιπτύσσεται, καὶ τῆς ἀρχῆς ἡμῶν καὶ τοῦ τέλους περιδρασσόμενος, ἵνα ἐξ ἀμφοτέρων ὑψώσῃ τὸν κείμενον. Ὅπερ οὖν ἐπὶ τοῦ κατὰ τὸ τέλος μέρους καταλαμβάνομεν, τοῦτο καὶ περὶ τῆς ἀρχῆς λογιζόμεθα. Ὡς γὰρ ἐκεῖ τὸ μὲν σῶμα τῆς ψυχῆς διαζευχθῆναι κατ' οἰκονομίαν ἐποίησεν· ἡ δὲ ἀμέριϛος θεότης ἅπαξ ἀνακραθεῖσα τῷ ὑποκειμένῳ, οὔτε τοῦ σώματος, οὔτε τῆς ψυχῆς ἀνεσπάσθη· ἀλλὰ μετὰ μὲν τῆς ψυχῆς ἐν τῷ παραδείσῳ γίνεται ὁδοποιοῦσα διὰ τοῦ λῃϛοῦ τοῖς ἀνθρωπίνοις τὴν εἴσοδον, διὰ δὲ τοῦ σώματος ἐν τῇ καρδίᾳ τῆς γῆς, ἀναιροῦσα τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου· καὶ διὰ τοῦτο καὶ τὸ σῶμα Κύριος λέγεται, διὰ τὴν ἐγκειμένην θεότητα· οὕτω καὶ ἐπὶ τῆς ἀρχῆς λογιζόμεθα, ὅτι ὅλῃ τῇ φύσει ἡμῶν ἡ τοῦ Ὑψίϛου δύναμις διὰ τῆς ἐπελεύσεως τοῦ ἁγίου Πνεύματος ἐγκραθεῖσα, καὶ ἐν τῇ ψυχῇ ἡμῶν γίνεται, καθὸ εἰκὸς ἐν ψυχῇ γενέσθαι, καὶ τῷ σώματι καταμίγνυται, ὡς ἂν διὰ πάντων ὁλοτελὴς ἡ σωτηρία γένηται· φυλασ-

[1] 1 Петр. 2. 22. [2] Притч. 9. 1. [3] Евр. 7. 7.



σομένης τῇ θεότητι καὶ ἐν τῇ ἀρχῇ τῆς ἀνθρωπίνης ζωῆς καὶ ἐν τῷ τέλει τῆς θεοπρεποῦς τε καὶ ὑψηλῆς ἀπαθείας· οὔτε γὰρ ἡ ἀρχὴ κατὰ τὴν ἡμετέραν ἀρχὴν, οὔτε τὸ τέλος κατὰ τὸ ἡμέτερον τέλος, ἀλλὰ ἔδειξε κἀκεῖ καὶ ὧδε τὴν θεϊκὴν ἐξουσίαν, μήτε τῆς ἀρχῆς ἐν ἡδονῇ μολυνθείσης, μήτε τοῦ τέλους εἰς φθορὰν καταλήξαντος. Εἰ οὖν ταῦτα βοῶμεν καὶ διαμαρτυρόμεθα, ὅτι Χριϛὸς Θεοῦ δύναμις καὶ Θεοῦ σοφία, ἀεὶ ἄτρεπτος, ἀεὶ ἄφθαρτος, κἂν ἐν τῷ τρεπτῷ καὶ φθαρτῷ γένηται, οὐκ αὐτὸς μολυνόμενος, ἀλλὰ τὸ μολυνθὲν καθαρίζων· τί ἀδικοῦμεν, καὶ ὑπὲρ τίνος μισούμεθα; καὶ τί βούλεται ἡ τῶν καινῶν θυσιαϛηρίων ἀντεξαγωγή [1]; μὴ ἄλλον Ἰησοῦν καταγγέλλομεν; μὴ ἕτερον ὑποδεικνύομεν; μὴ ἄλλας Γραφὰς ἐκτιθέμεθα; μὴ τὴν ἁγίαν Παρθένον τὴν Θεοτόκον ἐτόλμησέ τις ἡμῶν καὶ Ἀνθρωποτόκον εἰπεῖν, ὅπερ ἀκούομέν τινας ἐξ αὐτῶν ἀφειδῶς λέγειν; μὴ τρεῖς ἀναϛάσεις μυθοποιοῦμεν; μὴ χιλίων ἐτῶν γαϛριμαργίας ἐπαγγελλόμεθα; μὴ τὴν Ἰουδαϊκὴν ζωοθυσίαν πάλιν ἐπαναληφθήσεσθαι λέγομεν; μὴ περὶ τὴν κάτω Ἱερουσαλὴμ τὰς ἐλπίδας τῶν ἀνθρώπων κλίνομεν, ἀνοικισμὸν αὐτῆς διὰ τῆς εὐφανεϛέρας τῶν λίθων ὕλης ἀναπλάσσοντες [2]; τί τοιοῦτον ἔχοντες ἐγκαλεῖσθαι φευκτοὶ ἐνομίσθημεν, καὶ ἄλλο παρά τινων ἀντεγείρεται ἡμῖν θυσιαϛήριον, ὡς ἡμῶν βεβηλούντων τὰ ἅγια; ὑπὲρ τούτων ἐν φλεγμονῇ καὶ λύπῃ τὴν καρδίαν ἔχων, ὁμοῦ τῷ ἐπιβῆναι τῆς μητροπόλεως [3], ἀποκενῶσαι τῆς ψυχῆς τὴν πικρίαν διὰ τοῦ γράψαι πρὸς τὴν ἀγάπην ὑμῶν προεθυμήθην. Ὑμεῖς δὲ ἐφ' ὅπερ ἂν ὑμᾶς χειραγωγήσῃ τὸ Πνεῦμα τὸ ἅγιον, ἐν ἐκείνῳ εἴητε, ὀπίσω τοῦ Θεοῦ πορευόμεναι, σαρκὶ δὲ καὶ αἵματι μὴ προσανέχουσαι, μηδὲ ἀφορμὴν παρασκευάζουσαί τισι καυχήματος, ἵνα μὴ ἐν ὑμῖν καυχήσωνται, διὰ τοῦ ὑμετέρου

[1] Ἀντεξαγωγή (изъ ἀντί, ἐξ и ἄγω), устроеніе чего нибудь въ противоположность другому строенію. Разумѣется устроеніе еретиками храмовъ (θυσιαϛηρίων) отдѣльно отъ православныхъ, съ которыми они не хотѣли имѣть общенія въ богослуженіи.

[2] Предложенные вопросы направлены противъ хиліастовъ, получившихъ начало отъ Керинеа, еретика 1-го вѣка, которыхъ мнѣнія продолжались и въ слѣдующіе вѣка, а въ концѣ 4-го вѣка держались въ сектѣ Аполлинаристовъ.

[3] Подъ митрополіею, вѣроятно, разумѣется Кесарія Каппадокійская, къ области которой принадлежала епископія Нисская.

βίου τῆς φιλοδοξίας αὐτῶν ἐπαυξανομένης. Ἀναμνήσθητε τῶν ἁγίων πατέρων, οἷς παρὰ τοῦ μακαρίου πατρὸς ὑμῶν ἐνεχειρίσθητε, ὧν καὶ ἡμεῖς κατὰ Θεοῦ χάριν τὴν διαδοχὴν ἔχειν κατηξιώθημεν. Καὶ μὴ μεταίρετε ὅρια, ἃ ἔθεντο οἱ πατέρες ἡμῶν, μηδὲ ἀτιμάζετε τὸν ἰδιωτισμὸν τοῦ ἁπλουςέρου κηρύγματος, μηδὲ ποικίλαις διαδοχαῖς τὸ πλέον νείματε [1]), ἀλλὰ ςοιχεῖτε τῷ ἀρχαίῳ κανόνι τῆς πίςεως, καὶ ὁ Θεὸς τῆς εἰρήνης ἔςαι μεθ' ὑμῶν ἐῤῥωμένων ψυχῇ καὶ σώματι. Ὁ Κύριος φυλάσσοι ὑμᾶς ἐν ἀφθαρσίᾳ, καθὼς εὐχόμεθα.

---

## Ἐπιςολὴ
## τοῖς ἐν Νικομηδείᾳ πρεσβυτέροις [2]).

## Глав. 1—4.

1. Ὑμᾶς μὲν «ὁ Πατὴρ τῶν οἰκτειρμῶν καὶ Θεὸς πάσης παρακλήσεως» [3]), ὁ πάντα ἐν σοφίᾳ πρὸς τὸ συμφέρον οἰκονομῶν, διὰ τῆς ἰδίας ἐπισκοπήσειε χάριτος, καὶ παρακαλέσειεν ἑαυτῷ ποιῶν ἐν ὑμῖν τὸ εὐάρεςον, καὶ ἔλθοι ἐφ' ὑμᾶς ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριςοῦ, καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος αὐτοῦ, εἰς τὸ γενέσθαι ὑμῖν θεραπείαν μὲν πάσης θλίψεως καὶ δυσχερείας, προκοπὴν δὲ πρὸς πᾶν ἀγαθὸν, εἰς καταρτισμὸν τῆς Ἐκκλησίας, καὶ οἰκοδομὴν τῶν ὑμετέρων ψυχῶν, καὶ εἰς ἔπαινον τῆς δόξης τοῦ ὀνόματος αὐτοῦ. Ἡμεῖς δὲ ταύτην ὑπὲρ αὐτῶν τὴν ἀπολογίαν πρὸς τὴν ἀγάπην ὑμῶν ποιούμενοι, οὐκ ἠμελήσαμεν πρὸς τὴν ἀπόδοσιν τῆς κεχρεωςημένης ἡμῖν ἐπισκέψεως [4]), ἢ ἐν τῷ παρελθόντι χρόνῳ, ἢ μετὰ τὴν γενομένην τοῦ μακαρίου Πατρικίου μετάςασιν [5]), ἀλλ' ὅτι πολλαὶ μὲν αἱ τῶν καθ' ἡμᾶς

---

[1]) Μηδὲ.... νείματε, не отдавайте предпочтенія разнообразнымъ перемѣннымъ ученіямъ.

[2]) Писано около 382 года, послѣ 2-го вселенскаго Собора (381 г.).

[3]) 2 Кор. 1. 3.

[4]) Подъ ἐπίσκεψις вѣроятно разумѣется порученное св. Григорію обозрѣніе церквей разныхъ областей для устроенія церковныхъ дѣлъ и утвержденія православія.

[5]) Патрикій, бывшій епископъ Никомидійскій; μετάςασις, перемѣщеніе, переселеніе, но при словѣ μακαρίου (блаженной памяти) можетъ означать: смерть.

ἐκκλησιῶν ταραχαὶ, πολλὴ δὲ ἡ τοῦ σώματος σαθρότης, ὡς εἰκὸς, προϊόντι τῷ χρόνῳ συνεπιδιδοῦσα, πολλὴ δὲ καὶ ἡ τῆς ὑμετέρας ἀγαθότητος εἰς ἡμᾶς ῥαθυμία, ὅτι οὐδεὶς οὐδέποτε λόγος εἰς προτροπὴν ἐν γράμματι, οὐδὲ σχέσις πρὸς τὴν καθ᾽ ἡμῶν ἐκκλησίαν, τοῦ μακαρίου Εὐφρασίου τοῦ ἐπισκόπου [1]) διὰ πάσης ὁσιότητος ἑαυτῷ τε καὶ ὑμῖν, οἷον σειραῖς τισι, τῇ ἀγάπῃ τὴν βραχύτητα ἡμῶν συνδήσαντος. Ἀλλ᾽ εἰ καὶ μὴ πρότερον τὸ τῆς ἀγάπης χρέος, ἢ παρ᾽ ἡμῶν διὰ τῆς ἐπισκέψεως, ἢ παρὰ τῆς ὑμετέρας εὐλαβείας διὰ τῆς προτροπῆς ἀπεπληρώθη, νῦν γοῦν εὐχόμεθα τῷ Θεῷ, σύμμαχον πρὸς τὴν ἐπιθυμίαν ἡμῶν καὶ τὴν ὑμετέραν εὐχὴν πρὸς Θεὸν συμπαραλαβόντες, διὰ τάχους, ὡς ἔςι δυνατὸν, ἐπιδημῆσαί τε ὑμῖν, καὶ συμπαρακληθῆναι, καὶ συσπουδάσαι, ὡς ἂν ὑφηγῆται ὁ Κύριος, ὥςε καὶ τῶν ἤδη γεγενημένων λυπηρῶν διόρθωσιν ἐξευρεῖν, καὶ εἰς τὸν ἐφεξῆς χρόνον ἀσφάλειαν· ὥςε μηκέτι ὑμᾶς ἐν τῇ ἀσυμφωνίᾳ ταύτῃ διεσπασμένους, ἄλλου κατ᾽ ἄλλην ὁρμὴν ἑαυτὸν τῆς ἐκκλησίας ἀπάγοντος, γέλωτα προκεῖσθαι τῷ διαβόλῳ, ᾧ βούλημα καὶ ἔργον ἐςὶν ἐξ ἐναντίου τῷ θείῳ θελήματι, τὸ μηδένα σωθῆναι, μηδὲ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν [2]). Πῶς γὰρ οἴεσθε ἡμᾶς, ἀδελφοὶ, θλίβεσθαι πρὸς τὴν ἀκοὴν τῶν διαγγειλάντων ἡμῖν τὰ ὑμέτερα, ὅτι οὐδεμία γέγονε τῶν ἐφεςώτων ἐπιςροφή· ἀλλ᾽ ἡ τῶν ἅπαξ ἀποκλινάντων προαίρεσις ἐπὶ τῆς αὐτῆς ὁρμῆς ἀεὶ φέρεται, καὶ ὥσπερ ἐκ τοῦ ὀχετοῦ ὕδωρ πολλάκις εἰς τὴν παρακειμένην ὄχθην ὑπερεκχεῖται, καὶ κατὰ τὸ πλάγιον διαδυὲν ἀποῤῥέει, μὴ ἀποσφαλέντος δὲ τοῦ ὑπαιτίου τόπου, δυσανάκλητον γίνεται, κοιλανθέντος τοῦ ὑποκειμένου πρὸς τὴν τοῦ ῥείθρου φοράν· οὕτως ἡ τῶν ἀποςάντων ὁρμὴ, ἅπαξ τῆς εὐθείας τε καὶ ὀρθῆς πίςεως ἐκ φιλονεικίας παραῤῥυεῖσα, ἐνεβάθυνεν ἤδη τῇ συνηθείᾳ, καὶ οὐκ εὐχερῶς ἐπὶ τὴν ἀρχαίαν ἐπανέρχεται χάριν. Διὸ σοφοῦ τινος καὶ μεγάλου χρῄζει τὰ καθ᾽ ὑμᾶς ἐπιςάτου, καλῶς τὰ τοιαῦτα ὀχετεύειν ἐπιςαμένου, ὥςε δυνηθῆναι πάλιν τὴν ἄτακτον τοῦ ῥεύματος τούτου

---

[1]) Евфрасій, также епископъ Никомидійскій, присутствовавшій на 2-мъ вселенскомъ соборѣ и вскорѣ умершій; послѣ его смерти, до избранія новаго епископа, въ Никодиміи и произошли тѣ смуты, о которыхъ говорится въ настоящемъ письмѣ.

[2]) 1 Тим. 2. 4.

περιτροπὴν εἰς τὸ ἀρχαῖον κάλλος ἀνακαλέσασθαι, ὡς ἂν πάλιν ὑμῖν τὰ τῆς εὐσεβείας ἀδρύνοιτο λήϊα, τῇ τῆς εἰρήνης ἐπιῤῥοῇ καταρδόμενα. Διὰ ταῦτα πολλὴ χρεωστεῖται τῷ πράγματι παρὰ πάντων ὑμῶν σπουδή τε καὶ ἐπιθυμία, πρὸς τὸ ἀναδειχθῆναι προςάτην ὑπὸ τοῦ ἁγίου Πνεύματος τοιοῦτον, ὃς ὅλῳ τῷ ὀφθαλμῷ τὰ τοῦ Θεοῦ βλέψῃ μόνα, πρὸς οὐδὲν τῶν ἐν τῇ ζωῇ σπουδαζομένων μετεωρίζων τὸ ὄμμα.

2. Διὰ τούτου γάρ οἶμαι τὸν παλαιὸν νόμον ἀπόκληρον τῆς γηΐνης κληρονομίας τὸν Λευΐτην ποιεῖν [1]), ὡς ἂν μερίδα κτήσεως καθ' ἑαυτὸν τὸν Θεὸν μόνον ἔχοι, καὶ τοῦτο περιέποι διὰ παντὸς ἐν ἑαυτῷ τὸ κτῆμα, πρὸς οὐδὲν ὑλῶδες ἀποβλέπων· εἰ δὲ τινές εἰσιν, ἢ καὶ ἐσμὲν ἀδιάφοροι [2]), μηδεὶς πρὸς τοῦτο βλέπων ἐπὶ τῶν μὴ δεόντων ἀπτέσθω. Οὐ γὰρ νόμος ἐςὶ τοῖς ἁπλοῖς πρὸς τὸ μὴ τὰ δέοντα πράσσειν τὸ παρ' ἑτέροις γινόμενον· ἀλλ' ὑμᾶς χρὴ τὰ ἑαυτῶν βλέπειν, ὅπως ἂν τὸ κρεῖττον γένοιτο, τῶν διεσκορπισμένων πάλιν εἰς τὴν τοῦ ἑνὸς σώματος ἁρμονίαν ἐπανελθόντων, καὶ τῆς πνευματικῆς εἰρήνης ἐν τῷ πλήθει τῶν εὐσεβῶς τὸν Θεὸν δοξαζόντων εὐθηνουμένης. Πρὸς τοῦτο καλῶς ἔχει, οἶμαι, σκοπεῖν τὰ καλὰ τῇ ἐκλογῇ, ὡς ἂν ὁ ἀναδεικνύμενος εἰς προςασίαν ἐπιτηδείως ἔχοι· γένος δὲ, καὶ πλοῦτον, καὶ κοσμικὴν περιφάνειαν ἐν τοῖς ἐπισκοπικοῖς κατορθώμασιν ὁ ἀποςολικὸς οὐκ ἐνομοθέτησε λόγος· ἀλλ' εἰ πᾶν τοῦτο αὐτόματον ἕποιτο τοῖς προηγουμένοις, ὡς σκιὰν κατὰ τὸ συμβὰν ἀκολουθοῦσαν, οὐκ ἀποβάλλομεν, ἀλλ' οὐδὲν ἧττον ἀγαπήσομεν τὰ προτιμότερα, κἂν χωρὶς τύχῃ. Αἰπόλος ἦν ὁ προφήτης Ἀμὼς, ἁλιεὺς ὁ Πέτρος, καὶ τῆς αὐτῆς τέχνης ὅ τε τούτου ἀδελφὸς Ἀνδρέας, καὶ ὁ ὑψηλὸς Ἰωάννης, σκηνοῤῥάφος ὁ Παῦλος, καὶ ὁ Ματθαῖος τελώνης, καὶ οἱ ἄλλοι κατὰ τὸν αὐτὸν τρόπον ὁμοίως ἅπαντες, οὐχ ὕπατοί τινες, καὶ ςρατηλάται, καὶ ὕπαρχοι, ἢ κατὰ ῥητορικὴν καὶ φιλοσοφίαν περίβλεπτοι, ἀλλὰ πένητες, καὶ ἰδιῶται, καὶ ἀπὸ τῶν ταπεινοτέρων ἐπιτηδευμάτων ὁρμώμενοι· καὶ ὅμως «εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκου-

---

[1]) Числ. 3. 33.

[2]) Ἀδιάφορος въ смыслѣ: равнодушный, невнимательный.

μένης τὰ ῥήματα αὐτῶν» [1]). Βλέπετε, φησί, τὴν κλῆσιν ὑμῶν, ἀδελφοί, ὅτι «οὐ πολλοὶ σοφοὶ κατὰ σάρκα, οὐ πολλοὶ δυνατοί, οὐ πολλοὶ εὐγενεῖς· ἀλλὰ τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ Θεός» [2]). Ἴσως τι μωρὸν καὶ νῦν ἐν τοῖς φαινομένοις τῶν ὀφθαλμῶν τῶν ἀνθρωπίνων νομίζεται, ὅταν ἀσθενὲς ὑπὸ πενίας, ἢ ἄδοξον ἢ διὰ τὴν σωματικὴν δυσγένειαν. Ἀλλὰ τίς οἶδεν, εἰ μὴ τούτῳ τὸ κέρας τῆς κρίσεως παρὰ τῆς χάριτος ἐπικλίνεται, κἂν τῶν ὑψηλῶν τε καὶ ἐμφανεστέρων μικρότερος ᾖ; τί λυσιτελέστερον ἦν τῇ Ῥωμαίων πόλει τὸ καταρχὰς τῶν εὐπατριδῶν τινα καὶ ὑπερόγκων ἐκ τῆς ὑπάτου βουλῆς εἰς προστασίαν λαβεῖν, ἢ τὸν ἁλιέα Πέτρον, ᾧ μηδὲν ἦν ἐκ τοῦ κόσμου τούτου πρὸς εὐδοξίαν ἐφόλκιον [3]); τίς οἰκία, τίνες οἰκέται, ποία κτῆσις διὰ προσόδων τρυφὴν χορηγοῦσα; ἀλλ' ὁ ξένος, καὶ ἄστεγος, καὶ ἀτράπεζος τῶν τὰ πάντα ἐχόντων πλουσιώτερος ἦν, ὅτι διὰ τοῦ μηδὲν ἔχειν τὸν Θεὸν εἶχεν ὅλον. Οὕτω καὶ οἱ Μεσοποταμῖται, βαρυπλούτους ἔχοντες ἐν ἑαυτοῖς σατραπείας, πάντων ἐδοκίμασαν τὸν Θωμᾶν εἰς ἐπιστασίαν ἑαυτῶν προτιμότερον, καὶ Τίτον Κρῆτες, καὶ Ἱεροσολυμῖται Ἰάκωβον, καὶ ἡμεῖς οἱ Καππαδόκαι τὸν Ἑκατόνταρχον, τὸν ἐπὶ τοῦ πάθους τὴν θεότητα τοῦ Κυρίου ὁμολογήσαντα, πολλῶν ὄντων κατὰ τὸν χρόνον ἐκεῖνον λαμπρῶν ἐν γένει καὶ ἱπποτρόφων καὶ τοῖς ἐν τῇ συγκλήτῳ πρωτείοις σεμνυνομένων, καὶ κατὰ πᾶσαν δὲ Ἐκκλησίαν ἰδεῖν ἔστι τοὺς κατὰ Θεὸν μεγάλους τῆς κοσμικῆς περιφανείας προτιμηθέντας.

3. Πρὸς ταῦτα βλέπειν ἐπὶ τοῦ παρόντος οἶμαι δεῖν καὶ ὑμᾶς, εἴ γε μέλλοιτε πάλιν τὸ ἀρχαῖον τῆς ἐκκλησίας ὑμῶν ἀνακαλεῖσθαι ἀξίωμα. Οἴδατε γὰρ παντὸς μᾶλλον τὰ ὑμέτερα διηγήματα, ὅτι ἐξ ἀρχαίου πρὶν τὴν γείτονα ὑμῶν ἐξανθῆσαι πόλιν, παρ' ὑμῖν ἦν τὰ βασίλεια [4]), καὶ τὸ προέχον ἐν πόλεσιν ὑπὲρ τὴν ὑμετέραν οὐκ ἦν· καὶ νῦν ὁ τῶν οἰκοδομημάτων καλλωπισμὸς ἠφανίσθη [5]), ἀλλ' ἡ ἐν τοῖς ἀνθρώποις πόλις ἐν πλήθει

---

[1]) Пс. 18. 5. [2]) 1 Кор. 1. 26, 27.

[3]) Ἐφόλκιον, судно для переправы: въ переносномъ смыслѣ: средство для достиженія чего-нибудь.

[4]) Никомидія была столицею Виѳинскихъ правителей, пока Никея Виѳинская не сдѣлалась Митрополіею.

[5]) Никомидія подвергалась разрушенію отъ сильныхъ землетрясеній, напр. въ 368 году (Сократ. Церк. Ист. 2. 39) и другихъ годахъ.

τε καὶ δοκιμωτάτοις τῶν πολιτῶν πρὸς τὸ ἀρχαῖον ἐξισοῦται κάλλος. Οὐκοῦν πρέπον ἂν εἴη, μὴ ταπεινότερον τῶν προσόντων ὑμῖν ἀγαθῶν φρονεῖν, ἀλλὰ συνεπαίρειν τῇ περιφανείᾳ τῆς πόλεως τὴν περὶ τῶν προκειμένων σπουδὴν, ὡς ἂν τοιοῦτον εὕρητε ἐπὶ τοῦ λαοῦ καθηγούμενον, ὡς μὴ ἀνάξιον ὑμῖν ἐπιδειχθῆναι. Αἰσχρὸν γὰρ, ἀδελφοὶ, καὶ παντάπασιν ἄτοπον, τὸν μὲν κυβερνήτην μὴ γίνεσθαι, εἰ μὴ τῆς κυβερνητικῆς ἐπιςήμων εἴη· τὸν δὲ ἐπὶ τῶν οἰάκων τῆς Ἐκκλησίας καθήμενον ἀγνοεῖν, ὅπως ἂν τὰς τῶν συμπλεόντων ψυχὰς εἰς τὸν λιμένα τοῦ Θεοῦ καθορμίσειε. Πόσα γὰρ γέγονε δι' ἀπειρίας τῶν καθηγουμένων αὔτανδρα τῶν ἐκκλησιῶν ἤδη ναυάγια! Τίς ἂν ἐξαριθμήσηται τὰ ἐν ὀφθαλμοῖς, μὴ ἂν συμβάντα, εἴ τις ἦν που ἐν τοῖς καθηγουμένοις κυβερνητικὴ ἐμπειρία; ἀλλὰ καὶ τὸν σίδηρον οὐ τοῖς ἀτέχνοις, τοῖς δὲ ἐπιςήμοσι τῆς χαλκευτικῆς εἰς τὴν τῶν σκευῶν ἀπεργασίαν καταπιςεύομεν. Οὐκοῦν καὶ τὰς ψυχὰς τῷ καλῶς ἐπιςαμένῳ τῇ τοῦ ἁγίου Πνεύματος ζέσει καταμαλάσσειν ἐγχειριςέον, ὃς διὰ τῆς τῶν λογικῶν ὀργάνων τυπώσεως [1]), σκεῦος ἐκλογῆς τε καὶ εὔχρηςον ἕκαςον ὑμῶν ἐπιτελέσειε. Τοιαῦτα ποιεῖσθαι τὴν πρόνοιαν ὁ θεῖος Ἀπόςολος ἐγκελεύεται, διὰ τῆς πρὸς Τιμόθεον ἐπιςολῆς πᾶσι νομοθετῶν τοῖς ἀκούουσιν, ἐν οἷς φησι δεῖν τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι [2]). Ἆρ' οὖν τούτου μόνου τῷ Ἀποςόλῳ μέλει, ὅπως ὁ τῆς ἱερωσύνης προεςηκὼς τοιοῦτος εἴη; καὶ τί τοσοῦτον κέρδος, εἰ ἐν ἑνὶ τὸ ἀγαθὸν κατακλείοιτο; ἀλλ' οἶδεν, ὅτι τῷ προσχόντι [3]) συμμορφοῦται τὸ ὑποχείριον, καὶ τὰ κατορθώματα τοῦ καθηγουμένου τῶν ἑπομένων γίνεται. Ὃ γάρ ἐςιν ὁ διδάσκαλος, τοῦτο καὶ τὸν μαθητὴν ἀπεργάζεται· οὐ γὰρ ἔςι τὸν τῇ χαλκευτικῇ τέχνῃ μαθητευόμενον ὑφαντικὴν ἐξασκῆσαι, ἢ ἰςουργεῖν διδασκόμενον ῥήτορα ἢ γεωμέτρην γενέσθαι· ἀλλ' ὅπερ ἐν τῷ καθηγουμένῳ βλέπει ὁ μαθητὴς, τοῦτο καὶ εἰς ἑαυτὸν μετατίθησι. Διὰ τοῦτό φησι· «κατηρτισμένος ἔςαι πᾶς μαθητὴς, ὡς ὁ διδάσκαλος αὐτοῦ» [4]).

---

[1]) Словесными способами, какъ бы ударами орудій.

[2]) 1 Тим. 3. 2.

[3]) Вм. προέχοντι, имѣющему преимущество предъ другими, начальствующему.

[4]) Лук. 6. 40.

4. Τί οὖν, ἀδελφοί; ἆρα δυνατὸν ταπεινόφρονα γενέσθαι, καὶ κατεσταλμένον τῷ ἤθει, καὶ μέτριον, καὶ φιλοκερδείας κρείττονα, καὶ τὰ θεῖα σοφὸν, καὶ πεπαιδευμένον τὴν ἐν τοῖς τρόποις ἀρετήν τε καὶ ἐπιείκειαν, ταῦτα ἐν τῷ διδασκάλῳ μὴ βλέποντας; ἀλλ' οὐκ οἶδα, πῶς οἷόν τε τὸν κοσμικῶς μαθητευθέντα πνευματικὸν γενέσθαι. Πῶς γὰρ ἂν μὴ κατ' ἐκεῖνον εἶεν οἱ πρὸς αὐτὸν ὁμοιούμενοι; τί κέρδος ἐςὶ τοῖς διψῶσι τῆς τοῦ ὑδρείου μεγαλουργίας, ὕδατος ἐν αὐτῷ μὴ ὄντος; κἂν ἐν ποικίλοις σχήμασιν ἡ τῶν κιόνων ἐπάλληλος θέσις ἐπὶ τοῦ ὕψους ἀνέχει τὸν πέτασον, τί μᾶλλον ἂν ὁ διψῶν ἕλοιτο πρὸς τὴν ἑαυτοῦ χρείαν, λίθους εὖ διακειμένους βλέπειν, ἢ κρουνὸν εὑρεῖν, κἂν ἀπὸ ξυλίνου σωλῆνος ῥέῃ, μόνον διειδές τε καὶ πότιμον τὸ νᾶμα προχέοντα; οὕτως, ἀδελφοὶ, τοῖς πρὸς τὴν εὐσέβειαν βλέπουσιν ἀμελητέον ἂν εἴη τῆς ἔξω σκηνῆς [1]), ἢ εἴ τις κομᾷ φίλοις, καὶ καταλόγοις ἀξιωμάτων ἁβρύνεται, καὶ πολλὰς ἐτησίας προσόδους λαμβάνων καυχᾶται, καὶ πρὸς τὸ γένος ἑαυτοῦ ἀφορῶν μεγαλύνεται, καὶ πανταχόθεν τῷ τύφῳ περιαυτίζεται, τοιοῦτον ἐὰν, ὡς ξηρὸν ὑδρεῖον, εἴπερ μὴ ἔχοι ἐν τῷ βίῳ τὰ προηγούμενα· ἀναζητεῖν δὲ [2]), καθὼς ἂν ᾖ δυνατὸν, τῷ λύχνῳ τοῦ Πνεύματος πρὸς τὴν ἔρευναν κεχρημένοι, εἴ που τίς ἐςι «κῆπος κεκλεισμένος, καὶ πηγὴ ἐσφραγισμένη» [3]), καθά φησιν ἡ Γραφὴ, ἵνα διὰ τῆς χειροτονίας ἀνεῳγμένου τοῦ κήπου τρυφῆς, καὶ ἀνασομωθέντος τοῦ τῆς πηγῆς ὕδατος, κοινὸν γένηται κτῆμα τῆς καθολικῆς Ἐκκλησίας. Γένοιτο δὲ καὶ παράσχοι ὁ Κύριος εὑρεθῆναι διὰ τάχους ἐν ὑμῖν τοιοῦτον, ὃς ἔςαι σκεῦος ἐκλογῆς, ςῦλος Ἐκκλησίας. Πιςεύομεν δὲ τῷ Κυρίῳ, ἔσεσθαι ταῦτα, εἴπερ ὑμεῖς βουληθείητε διὰ τῆς ὁμονοητικῆς χάριτος τὸ ἀγαθὸν συμφώνως ἰδεῖν, προτιμήσαντες τῶν ἰδίων θελημάτων τὸ θέλημα τοῦ Κυρίου ἡμῶν καὶ τὸ αὐτῷ δοκίμιον καὶ εὐάρεςον καὶ τέλειον, ἵνα κατορθούμενον ἐν ὑμῖν τοιοῦτον ᾖ, ᾧ καὶ ἡμεῖς χαίρομεν, καὶ ὑμεῖς ἐντρυφήσετε, καὶ ὁ Θεὸς τῶν ὅλων ἐνδοξασθήσεται, ᾧ πρέπει ἡ δόξα εἰς τοὺς αἰῶνας.

---

[1]) Ἡ ἔξω σκηνή, внѣшняя оболочка, въ смыслѣ внѣшнихъ или житейскихъ отличій.

[2]) Т. е. ἀναζητεῖτε.... κεχρημένοι, и т. д.

[3]) Пѣсн. Пѣсн. 4. 12.

## XII.

# СВ. ІОАННЪ ЗЛАТОУСТЪ, АРХІЕПИСКОПЪ КОНСТАНТИНОПОЛЬСКІЙ.

Св. Іоаннъ, одинъ изъ знаменитѣйшихъ отцевъ и славнѣйшій духовный ораторъ восточной церкви, названный за свое краснорѣчіе «Златоустымъ», родился около 344 года въ Антіохіи сирійской, гдѣ отецъ его Секундъ занималъ высокую должность въ римскомъ войскѣ. Вскорѣ послѣ рожденія лишившись отца, Іоаннъ былъ воспитанъ благочестивою матеріею Анѳусою, преподавшею ему первыя наставленія въ христіанской вѣрѣ и нравственности и употребившей всѣ средства для доставленія сыну образованія въ свѣтскихъ наукахъ; учителемъ его по краснорѣчію былъ знаменитый риторъ Либаній, а по прочимъ наукамъ другіе мѣстные ученые, отъ которыхъ онъ къ двадцатилѣтнему возрасту пріобрѣлъ отличныя познанія для того, чтобы вступить на поприще народнаго оратора и адвоката. Но понявшій тщету подобныхъ занятій и благочестивый юноша немедленно рѣшился прекратить всѣ связи съ міромъ и предался строгимъ аскетическимъ упражненіямъ и изученію предметовъ христіанской вѣры сначала въ домѣ своей матери, подъ руководствомъ опытнаго толкователя Св. Писанія Діодора, впослѣдствіи епископа Тарсійскаго, и Мелетія епископа Антіохійскаго, совершившаго надъ нимъ св. крещеніе и поставившаго его въ званіе церковнаго чтеца, въ сообществѣ съ своими сверстниками

и друзьями Василіемъ, бывшимъ послѣ епископомъ Рафаны сирійской, Θеодоромъ, впослѣдствіи епископомъ Селевкійскимъ, и другими (между 369 и 373 годами). Когда же въ 374 году собравшіеся въ Антіохіи епископы вознамѣрились поставить Іоанна и Василія епископами, то св. Іоаннъ, считая себя неприготовленнымъ къ столь высокому служенію, скрылся въ горы антіохійскія и тамъ въ теченіи четырехъ лѣтъ между отшельниками и монахами, а потомъ еще два года въ уединенной пещерѣ предавался подвигамъ христіанскаго благочестія и богомыслія, пока тѣлесная болѣзнь не принудила его возвратиться въ Антіохію. Здѣсь онъ былъ посвященъ епископомъ Мелетіемъ въ діакона въ 380 или 381 году, а слѣдующимъ епископомъ Флавіаномъ въ пресвитера въ 386 году, съ назначеніемъ его, какъ образованнѣйшаго пресвитера, на должность проповѣдника въ главной антіохійской церкви. Вся Антіохія много лѣтъ съ восхищеніемъ слушала одушевленныя, любвеобильныя и въ высшей степени назидательныя бесѣды Златоустаго оратора, который со всею силою дивнаго таланта непрестанно поучалъ православныхъ и неправославныхъ, іудеевъ и язычниковъ, то объясняя Св. Писаніе, то возставая противъ лжеученій, то восхваляя подвиги святыхъ, то обличая пороки слушателей. Слава его, какъ необыкновеннаго пастыря и проповѣдника, достигла Константинополя; императоръ Аркадій пожелалъ имѣть его на константинопольской архіепископской каѳедрѣ по смерти Нектарія въ 397 году, и св. Іоаннъ былъ посвященъ въ этотъ санъ 26 Февраля 398 года патріархомъ александрійскимъ Θеофиломъ съ другими епископами, бывшими въ Константинополѣ.

На высокомъ мѣстѣ новаго служенія св. Іоаннъ явилъ себя доблестнѣйшимъ христіанскимъ архипастыремъ. Продолжая строгую аскетическую жизнь, онъ

постоянно заботился о стройности и торжественности богослуженія, особенно литургіи, которой чинъ вновь начерталъ по примѣру св. Василія великаго, избиралъ лучшихъ наставниковъ для константинопольскаго училища, имѣлъ отеческое попеченіе о бѣдныхъ и больныхъ, основавъ для нихъ пріюты и больницы, внимательно слѣдилъ за точнымъ исполненіемъ обязанностей и поведеніемъ подчиненнаго духовенства, очищалъ мѣстную церковь отъ гнѣздившихся въ ней еретиковъ, и былъ неутомимъ въ проповѣданіи слова Божія и обличеніи пороковъ, господствовавшихъ тогда въ столичномъ обществѣ. Въ тоже время онъ простиралъ свою благотворную дѣятельность и за предѣлы константинопольской епархіи: для обращенія дикихъ варваровъ къ религіи мира и любви посылалъ миссіонеровъ въ Финикію и Персію, Аравію и Палестину, къ Скиѳамъ и Готамъ, устроивъ для послѣднихъ богослуженіе на собственномъ ихъ языкѣ близь Константинополя; а для приведенія въ порядокъ церковныхъ дѣлъ въ Малой Азіи самъ предпринималъ путешествіе въ 400 году и, пробывъ тамъ сто дней, многихъ недостойныхъ по образу дѣйствій или неправомыслящихъ епископовъ устранилъ отъ служенія и замѣстилъ достойнѣйшими. Но вскорѣ послѣ того для ревностнаго и неуклонно вѣрнаго своему призванію архипастыря настали годы испытаній и страданій. Неудовольствіе клириковъ за строгое исправленіе ихъ нравовъ, недоброжелательство Ѳеофила александрійскаго, противившагося самому избранію св. Іоанна на константинопольскую каѳедру и оказавшаго явную вражду къ нему по поводу египетскихъ оригенистовъ, поселившихся, хотя и не принятыхъ въ церковное общеніе, въ Константинополѣ, и наконецъ гнѣвъ императорской супруги Евдоксіи за сопротивленіе непристойнымъ ея требованіямъ, причинили много огорче-

ній и безпокойствъ Златоустому Святителю въ 402—404 годахъ и окончились удаленіемъ его съ константинопольской каѳедры. Въ 403 году враждебные ему 36 епископовъ, собравшись подъ предсѣдательствомъ Ѳеофила въ предмѣстіи г. Халкидона «подъ Дубомъ» и составивъ обвиненія противъ св. Іоанна, требовали его къ себѣ на судъ,—на который онъ въ сознаніи своей невинности и власти не явился,—и безъ оправданія со стороны обвиняемаго произнесли несправедливый и незаконный приговоръ о низложеніи его съ архіепископской каѳедры. Св. Златоустъ, подчиняясь повелѣнію императора, охотно удалился изъ Константинополя въ Пренесту Виѳинскую; но на этотъ разъ православный народъ константинопольской церкви, любившій Святителя не меньше того, какъ любилъ его народъ антіохійскій, угрожалъ возмущеніемъ за гоненіе своего архипастыря; случившееся въ тоже время землетрясеніе устрашило враговъ его съ императрицею Евдоксіею во главѣ; и св. Іоаннъ чрезъ нѣсколько дней былъ возвращенъ въ столицу и съ торжествомъ опять занялъ свою каѳедру. Въ 404 году враги Святителя, вновь составивъ соборъ въ Константинополѣ и вмѣнивъ ему въ преступленіе самое возвращеніе его въ столицу, повторили свой приговоръ противъ него, который былъ утвержденъ императоромъ и приведенъ въ исполненіе съ жестокимъ гоненіемъ всѣхъ вѣрныхъ Святителю клириковъ и съ великимъ насиліемъ православному народу, изъ рукъ котораго онъ исторгнутъ и отправленъ въ ссылку. Мѣстомъ изгнанія былъ назначенъ Кукусъ въ Арменіи, до котораго св. Іоаннъ съ трудомъ и большими лишеніями подъ присмотромъ воинской стражи достигъ чрезъ Никею Виѳинскую и Кесарію Каппадокійскую, и гдѣ имѣлъ для себя единственными утѣшеніями переписку съ

своими друзьями и миссіонерами разныхъ странъ и благоговѣйное почитаніе отъ всѣхъ православныхъ, между тѣмъ какъ враги продолжали преслѣдовать его и въ изгнаніи: въ 406 году они испросили повелѣніе императора отправить св. Златоуста еще дальше въ Питіунтъ Колхидскій близь Понта Евксинскаго, куда онъ и былъ отводимъ, но не достигъ по судьбамъ Божіимъ. До крайности изнуренный тѣлесною болѣзнію, усилившеюся отъ переходовъ съ одного мѣста изгнанія на другое въ неблагопріятныя времена года, отъ непрестанныхъ огорченій и разнообразныхъ лишеній, онъ скончался 14 Сентября 407 года на пути въ Команѣ Понтійской области, гдѣ и почивалъ до перенесенія св. мощей его въ Константинополь въ 438 г. Славное и святое имя этого «величайшаго свѣтильника вселенной», свѣтлаго «ока Византійской и всей Церкви», и «богоноснаго и боголюбезнаго» архипастыря, какъ называютъ его послѣдующіе учители Церкви (Учен. объ Отц. Цер. Т. II, стр. 227), было внесено въ диптихи во всѣхъ восточныхъ церквахъ около 418 года и воспоминается въ нихъ 13 Ноября и 27 и 30 Января.

Св. Іоаннъ прославился сколько высотою своего духа и великими дѣяніями своей жизни, столько же и произведеніями своего слова, необыкновеняо многочисленными и превосходными какъ по внутреннимъ въ ихъ содержаніи, такъ и по внѣшнимъ литературнымъ достоинствамъ; они увѣковѣчили его имя, какъ истинно православнаго отца Церкви и вселенскаго учителя по чистотѣ догматическаго ученія, какъ неподражаемаго церковнаго проповѣдника по ораторскому искусству и любвеобильнаго христіанскаго воспитателя, умѣвшаго благотворно дѣйствовать на умы и сердца слушателей, и остались для потомства драгоцѣннымъ и неистощимымъ сокровищемъ разумѣнія

христіанскихъ истинъ и нравственнаго назиданія. Патріархъ Фотій, характеризуя ихъ обычными имъ качествами: «блистательностію и ясностію рѣчи, убѣдительностію и пріятностію, богатствомъ и важностію мыслей и чувствованій, стройнымъ и увлекательнымъ ихъ изложеніемъ, и всестороннею превосходною обработкою», прибавляетъ: «если онъ что-нибудь въ выраженіяхъ или толкованіяхъ или глубочайшемъ изслѣдованіи предметовъ выполнилъ не вполнѣ отчетливо, этому не должно удивляться; онъ сдѣлалъ все, доступное силамъ слушателей и способствовавшее ихъ спасенію; ибо этотъ дивный и преблаженный мужъ всегда и во всемъ имѣлъ цѣлію своихъ рѣчей—душевную пользу слушателей» (Bibl. cod. LXXXVI, CLXXII—CLXXIV). Эти сочиненія написаны Святителемъ частію въ уединеніи прежде его діаконства и пресвитерства, частію во время діаконства и пресвитерства въ Антіохіи, частію во время архіепископства въ Константинополѣ, и наконецъ въ ссылкѣ, и могутъ быть раздѣлены на экзегетическія, гомилетическія, догматико-полемическія, нравственно-аскетическія и письма.

1. Къ первымъ относятся *толкованія* Св. Писанія въ формѣ бесѣдъ, обыкновенно раздѣляющихся на двѣ части: объясненіе текста св. писателей и нравственное назиданіе примѣнительно къ состоянію слушателей; таковы бесѣды: на всю книгу Бытія (67 б.) и на нѣкоторыя мѣста ея (9), на Псалмы (9 б.), на восемь первыхъ главъ книги пр. Исаіи (7), о матери Самуила Аннѣ (5), о Давидѣ и Саулѣ (5), о темнотѣ пророчествъ (2), о царѣ Осіи и Серафимахъ (6); изъ Новаго Завѣта, на евангеліе Матѳея (90 б.), Луки (7 б.), Іоанна (88), Дѣянія апостольскія (55), и на всѣ посланія ап. Павла (246 б.).

2. Ко вторымъ относятся собственно проповѣдни-

ческія *Слова* и *бесѣды* на разные случаи какъ то: Слова по случаю ниспроверженія императорскихъ статуй въ Антіохіи (21), Бесѣды на праздники церковные и другіе торжественные случаи въ Антіохіи и Константинополѣ, Слова похвальныя св. апостолу Павлу (7 б.), мученикамъ, святителямъ и другимъ святымъ, довольно многочисленныя.

3. Къ третьимъ, *догматико-полемическимъ*, относятся: «Разсужденіе противъ Іудеевъ и Еллиновъ о томъ, что Христосъ есть Богъ», 8 словъ «противъ Іудеевъ», Слово «о блаженномъ Вавилѣ и противъ Юліана и Еллиновъ», 12 словъ «противъ Аномеевъ, о непостижимомъ», и нѣкоторыя другія, краткія.

4. Четвертый отдѣлъ составляютъ *нравственно-аскетическія* сочиненія въ формѣ разсужденій, бесѣдъ, увѣщаній и разговоровъ, какъ то: Увѣщанія «Ѳеодору падшему», 2 книги «о сокрушеніи», 3 книги «о промыслѣ Божіемъ», 3 книги «противъ порицателей монашеской жизни», «Сравненіе царя и инока», 6 словъ «о священствѣ», «О дѣвствѣ», 2 книги «къ молодой вдовѣ», о томъ, что «Никто не можетъ вредить тому, кто не вредитъ самъ себѣ», 2 огласительныхъ поученія «готовящимся къ просвѣщенію», 9 бесѣдъ «о покаяніи», и еще около 20 бесѣдъ, въ которыхъ раскрываются свойственныя христіанину добродѣтели (напрм. о любви ко врагамъ, о милостынѣ и пр.), или говорится о современныхъ порокахъ (напр. противъ зрѣлищъ и пр.).

5. *Писемъ*, несомнѣнно принадлежащихъ св. Златоусту и адресованныхъ изъ мѣстъ ссылки къ его друзьямъ и приверженцамъ, духовнымъ и мірянамъ, насчитывается до 238; всѣ они, съ великимъ пастырскимъ назиданіемъ для нихъ, проникнуты живою вѣрою самаго Святителя въ благое провидѣніе Божіе и свѣтлымъ взглядомъ на жизнь будущаго вѣка.

Изъ всѣхъ этихъ произведеній предлагаются здѣсь немногія, изъ которыхъ два первыя относятся къ началу служенія св. Іоанна въ Церкви, а послѣднія къ концу его жизни, но одинаково превосходныя по содержанію и изложенію; именно: 1) Третье изъ 6 словъ «о священствѣ», раскрывающее высоту священническаго и епископскаго служенія и важность разнообразныхъ обязанностей пастыря церкви, внушающія и пасомымъ должныя отношенія къ пастырямъ; 2) Увѣщаніе «Θеодору падшему», сверстнику и другу Златоуста, впослѣдствіи епископу мопсюестскому, который въ юности съ ревностію посвятилъ себя подвигамъ пустынической жизни и потомъ на время оставилъ ихъ для занятій и удовольствій міра,—увѣщаніе къ раскаянію и возвращенію въ пустыню представленіями гибельнаго состоянія грѣшниковъ, кратковременности и суетности настоящихъ благъ и грозныхъ и утѣшительныхъ истинъ христіанской вѣры; 3) Письма: а) первое изъ 17-ти «къ достопочтенной госпожѣ и боголюбезной діакониссѣ Олимпіадѣ», содержащее высокія по мыслямъ и проникнутыя теплотою чувства убѣжденія къ терпѣнію въ несчастіяхъ и утѣшеніе въ скорби о современныхъ ей и самому Святителю обстоятельствахъ Церкви; б) «къ епископамъ, пресвитерамъ и діаконамъ, заключеннымъ въ темницу за благочестіе», находившимся въ близкихъ отношеніяхъ къ Святителю въ Константинополѣ и невинно подвергшимся гоненію одновременно съ нимъ, имѣющее цѣлію ободрить и утѣшить ихъ въ страданіяхъ.

Лучшія и новѣйшія изданія твореній его суть:

1. S. Patris nostri I. Chrysostomi opera omnia, quae exstant, vel quae ejus nomine circumferuntur. Cura et studio D. Bernardi de Montfaucon. Wol. I—XIII. Paris. 1718—1738.—Тоже собраніе съ дополненіями. Wol. I—XIII. Paris. 1835—1839. Edit. apud Gaume Fratres.

2. Patrologiae curs. Compl. Edit. I. P. Migne. Ser. graec. T. XLVII—LXIV. Paris. 1862—1863.

Изъ неполныхъ изданій:

3. Ioannis Chrysostomi selecta, graece et latine. Ed. Ioan. wan Woorst. Wol. I—II. Lugd. Batau. 1827—1830.

4. Ioannis Chrysostomi de sacerdotio Libr. VI. Ed. Eduar. Leo. Lips. 1834.

5. Ioannis Chrysostomi Homiliae in Euangelium Matthaei. Ed. Fried. Field. T. 1—3. Lips. 1839.

6. Ioannis Chrysostomi opera praestantissima. Cura Fr. Guil. Lomler. Rudolphopoli. 1840.

Текстъ помѣщенныхъ въ настоящемъ сборникѣ статей заимствованъ изъ послѣдняго изданія.

---

## 1.

## ΤΟΥ ’ΕΝ ‘ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ‘ΗΜΩΝ ’ΙΩΑΝΝΟΥ, ’ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΠΟΛΕΩΣ, ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ,

### Περὶ ἱερωσύνης λογος Γ′.

### Глав. 1—18.

**1.** Τῆς μὲν οὖν ὕβρεως ἕνεκεν τῆς εἰς τοὺς τετιμηκότας, καὶ ὅτι αὐτοὺς οὐ καταισχῦναι βουλόμενοι ταύτην ἐφύγομεν τὴν τιμὴν, ταῦτα ἂν ἔχοιμεν λέγειν, ἅπερ εἰρήκαμεν· ὅτι δὲ οὐδὲ ὑπὸ ἀπονοίας τινὸς φυσηθέντες, καὶ τοῦτο νῦν εἰς δύναμιν τὴν ἐμὴν πειράσομαί σοι [1]) ποιῆσαι φανερόν. Εἰ μὲν γὰρ στρατηγίας ἡμῖν

---

[1]) Слова «о священствѣ» написаны въ формѣ разговора между св. Іоанномъ и другомъ его Василіемъ, къ которому здѣсь и обращается рѣчь. Въ предъидущемъ словѣ св. Отецъ объяснилъ, что онъ, уклонившись отъ избранія въ епископа, не хотѣлъ оскорбить лицъ, намѣревавшихся почтить его этимъ саномъ.

ἢ βασιλείας αἵρεσις προὔκειτο, εἰ ταύτην εἶχον τὴν γνώμην, εἰκότως ἄν τις τοῦτο ὑπέλαβεν· ἢ τότε μὲν απονοίας οὐδεὶς, ἀνοίας δὲ πάντες ἂν ἡμᾶς ἔκριναν· ἱερωσύνης δὲ προκειμένης, ἣ τοσοῦτον ἀνωτέρω βασιλείας ἕςηκεν, ὅσον πνεύματος καὶ σαρκὸς τὸ μέσον, τολμήσει τις ἡμᾶς ὑπεροψίας γράφεσθαι [1]; καὶ πῶς οὐκ ἄτοπον, τοὺς μὲν τὰ μικρὰ διαπτύοντας, ὡς παραπαίοντας αἰτιᾶσθαι· τοὺς δὲ ἐπὶ τῶν ἄγαν ὑπερεχόντων τοῦτο ποιοῦντας, τῶν μὲν τῆς παραπληξίας ἐγκλημάτων ἐξαιρεῖν, ταῖς δὲ τῆς ὑπερηφανίας ὑποβάλλειν αἰτίαις; ὥσπερ ἂν εἴ τις τὸν ἀγέλης βοῶν καταφρονοῦντα καὶ μὴ βουλόμενον εἶναι βουκόλον, εἰς ὑπερηφανίαν μὲν οὐδαμῶς, εἰς δὲ φρενῶν ἔκςασιν αἰτιώμενος, τὸν ἁπάσης τῆς οἰκουμένης τὴν βασιλείαν καὶ τὸ γενέσθαι κύριον των ἁπανταχοῦ ςρατοπέδων μὴ δεχόμενον, ἀντὶ τοῦ μαίνεσθαι, τετυφῶσθαι φαίη. Ἀλλ' οὐκ ἔςι ταῦτα, οὐκ ἔςιν· οὐδὲ ἡμᾶς μᾶλλον, ἢ ἑαυτοὺς, οἱ ταῦτα λέγοντες διαβάλλουσι· τὸ γὰρ ἐννοῆσαι μόνον, ὅτι δυνατὸν ἀνθρωπείᾳ φύσει τῆς ἀξίας ὑπερφρονῆσαι ἐκείνης [2], δεῖγμα κατ' αὐτῶν τῶν ἐκφερόντων ἐςὶν, ἧς ἔχουσι περὶ τοῦ πράγματος δόξης· εἰ γὰρ μὴ τῶν τυχόντων αὐτὸ, καὶ ὧν οὐ πολὺς ὁ λόγος, ἐνόμιζον εἶναι, οὐδ' ἂν ὑποπτεῦσαι τοῦτο ἐπῆλθεν αὐτοῖς. Διὰ τί γὰρ περὶ τῆς τῶν ἀγγέλων ἀξίας οὐδεὶς ἐτόλμησέ τι τοιοῦτον ὑποπτεῦσαί ποτε καὶ εἰπεῖν, ὅτι ἔςιν ἀνθρωπίνη ψυχὴ, δι' ἀπόνοιαν οὐκ ἂν ἑλομένη ἐπὶ τὸ τῆς φύσεως ἐκείνης ἀξίωμα ἐλθεῖν; μεγάλα γάρ τινα φανταζόμεθα περὶ τῶν δυνάμεων ἐκείνων, καὶ τοῦτο ἡμᾶς οὐκ ἀφίησι πιςεῦσαι, ὅτι δύναται ἄνθρωπος τῆς τιμῆς φρονῆσαί τι μεῖζον ἐκείνης. Ὥςε αὐτοὺς μᾶλλον δικαίως ἄν τις γράψαιτο ἀπονοίας, τοὺς ἡμῶν τοῦτο κατηγοροῦντας· οὐ γὰρ ἄν ποτε περὶ ἑτέρων τοῦτο ὑπέλαβον, εἰ μὴ πρότερον αὐτοὶ τοῦ πράγματος, ὡς οὐδενὸς ὄντος, κατέγνωσαν.

2. Εἰ δὲ πρὸς δόξαν ὁρῶντας τοῦτο πεποιηκέναι φασὶν, περιπίπτοντες ἑαυτοῖς [3]) ἐλεγχθήσονται καὶ μαχόμενοι φανερῶς.

---

[1]) Γράφεσθαι τινά τινος—обвинять кого-нибудь въ чемъ-нибудь предъ судомъ—юридическое выраженіе аттическаго судопроизводства.

[2]) Подъ словомъ ἀξίας и далѣе τοῦ πράγματος разумѣется священство.

[3]) Ἑαυτῷ περιπίπτειν, подвергать самаго себя затрудненію или несчастію, попадать въ собственныя свои сѣти. Ὁ λόγος αὐτὸς ἑαυτῷ περιπίπτει употребляется вм. ἀντιλέγει ἑαυτῷ, противорѣчитъ самому себѣ.

οὐδὲ γὰρ οἶδα, ποίους ἂν ἑτέρους πρὸ τούτων ἐζήτησαν λόγους, εἰ τῶν τῆς κενοδοξίας ἡμᾶς ἠθέλησαν ἀπαλλάξαι ἐγκλημάτων. Εἰ γὰρ οὗτός μέ ποτε εἰσῆλθεν ὁ ἔρως, καταδέξασθαι μᾶλλον ἐχρῆν, ἢ φυγεῖν· διὰ τί; ὅτι πολλὴν ἡμῖν τοῦτο τὴν δόξαν ἤνεγκεν ἄν· τὸ γὰρ ἐν τούτῳ τῆς ἡλικίας ὄντα [1]), καὶ πρὸ βραχέος ἀποςάντα τῶν βιωτικῶν φροντίδων, ἐξαίφνης οὕτω δόξαι παρὰ πᾶσιν εἶναι θαυμαςὸν, ὥςε τῶν τὸν ἅπαντα χρόνον ἐν τοῖς τοιούτοις ἐξαναλωθέντων πόνοις προτιμηθῆναι, καὶ πλείονας ψήφους πάντων ἐκείνων λαβεῖν, θαυμαςά τινα καὶ μεγάλα περὶ ἡμῶν πάντας ἂν ὑποπτεύειν ἔπεισε, καὶ σεμνοὺς ἂν ἡμᾶς καὶ περιβλέπτους κατέςησε. Νῦν δὲ, πλὴν ὀλίγων, τὸ πλέον τῆς ἐκκλησίας μέρος, οὐδ᾽ ἐξ ὀνόματος ἡμᾶς ἴσασιν· ὥς τε οὐδὲ, ὅτι παρῃτήμεθα, πᾶσιν ἔςαι φανερὸν, ἀλλ᾽ ὀλίγοις τισὶν, οὓς οὐδ᾽ αὐτοὺς οἶμαι τὸ σαφὲς εἰδέναι πάντας· εἰκὸς δὲ, καὶ τούτων πολλοὺς ἢ μηδόλως ἡμᾶς ᾑρῆσθαι νομίσαι, ἢ παρεῶσθαι μετὰ τὴν αἵρεσιν, ἀνεπιτηδείους εἶναι δόξαντας, οὐχ ἑκόντας φυγεῖν.

3. ΒΑΣ. Ἀλλ᾽ οἱ τἀληθὲς εἰδότες θαυμάσονται. ΙΩ. Καὶ μὴν τούτους, ἔφης, ὡς κενοδόξους καὶ ὑπερηφάνους διαβάλλειν ἡμᾶς. Πόθεν οὖν ἔςιν ἐλπίσαι τὸν ἔπαινον; ἀπὸ τῶν πολλῶν; ἀλλ᾽ οὐκ ἴσασι τὸ σαφές· ἀλλ᾽ ἐκ τῶν ὀλίγων; ἀλλὰ κἀνταῦθα ἡμῖν εἰς τοὐναντίον τὸ πρᾶγμα περιτέτραπται· οὐδὲ γὰρ ἑτέρου τινὸς ἕνεκεν ἐνθάδε εἰσῆλθες νῦν, ἀλλ᾽ ἵνα μάθῃς, τί πρὸς ἐκείνους ἀπολογήσασθαι δέοι. Καὶ τί τούτων ἕνεκεν ἀκριβολογοῦμαι νῦν; ὅτι γὰρ, εἰ καὶ πάντες ᾔδεσαν τἀληθὲς, οὐδὲ οὕτως ἡμᾶς ἀπονοίας ἢ φιλοδοξίας ἔδει κρίνειν, μικρὸν ἀνάμεινον καὶ τοῦτο εἴσῃ σαφῶς· καὶ πρὸς τούτῳ πάλιν ἐκεῖνο, ὅτι οὐ τοῖς ταύτην τολμῶσι τὴν τόλμαν μόνον,—εἴπερ τίς ἐςιν ἀνθρώπων, οὐ γὰρ ἔγωγε πείθομαι,—ἀλλὰ καὶ τοῖς περὶ ἑτέρων ὑποπτεύουσι, κίνδυνος ἐπικείσεται οὐ μικρός.

4. Ἡ γὰρ ἱερωσύνη τελεῖται μὲν ἐπὶ τῆς γῆς, τάξιν δὲ ἐπουρανίων ἔχει πραγμάτων· καὶ μάλα γε εἰκότως· οὐ γὰρ ἄνθρωπος, οὐκ ἄγγελος, οὐκ ἀρχάγγελος, οὐκ ἄλλη τις κτιςὴ δύναμις, ἀλλ᾽ αὐτὸς ὁ παράκλητος ταύτην διετάξατο τὴν ἀκολουθίαν, καὶ

[1]) Св. Іоанну было въ то время около 30 лѣтъ отъ роду.

ἔτι μένοντας ἐν σαρκὶ τὴν τῶν ἀγγέλων ἔπεισε φαντάζεσθαι διακονίαν· διὸ χρὴ τὸν ἱερωμένον ὥσπερ ἐν αὐτοῖς ἑστῶτα τοῖς οὐρανοῖς μεταξὺ δυνάμεων ἐκείνων οὕτως εἶναι καθαρόν. Φοβερὰ μὲν γὰρ καὶ φρικωδέστατα καὶ τὰ πρὸ τῆς χάριτος, οἷον οἱ κώδωνες, οἱ ῥοΐσκοι, οἱ λίθοι οἱ ἐπὶ τοῦ στήθους, οἱ τῆς ἐπωμίδος, ἡ μίτρα, ἡ κίδαρις, ὁ ποδήρης, τὸ πέταλον τὸ χρυσοῦν, τὰ ἅγια τῶν ἁγίων, ἡ πολλὴ τῶν ἔνδον ἠρεμία [1]· ἀλλ' εἴ τις τὰ τῆς χάριτος ἐξετάσειε, μικρὰ ὄντα εὑρήσει τὰ φοβερὰ καὶ φρικωδέστατα ἐκεῖνα, καὶ τὸ περὶ τοῦ νόμου λεχθέν, κἀνταῦθα ἀληθὲς ὄν, ὅτι «οὐ δεδόξασται τὸ δεδοξασμένον ἐν τούτῳ μέρει, ἕνεκεν τῆς ὑπερβαλλούσης δόξης» [2]. Ὅταν γὰρ ἴδῃς τὸν Κύριον τεθυμένον καὶ κείμενον, καὶ τὸν ἱερέα ἐφεστῶτα τῷ θύματι καὶ ἐπευχόμενον, καὶ πάντας ἐκείνῳ τῷ τιμίῳ φοινισσομένους αἵματι· ἆρα ἔτι μετὰ ἀνθρώπων εἶναι νομίζεις, καὶ ἐπὶ τῆς γῆς ἑστάναι; ἀλλ' οὐκ εὐθέως ἐπὶ τοὺς οὐρανοὺς μετανίστασαι, καὶ πᾶσαν σαρκικὴν διάνοιαν τῆς ψυχῆς ἐκβάλλων, γυμνῇ τῇ ψυχῇ καὶ τῷ νῷ καθαρῷ περιβλέπεις τὰ ἐν οὐρανοῖς; ὢ τοῦ θαύματος! ὢ τῆς τοῦ Θεοῦ φιλανθρωπίας! ὁ μετὰ τοῦ Πατρὸς ἄνω καθήμενος, κατὰ τὴν ὥραν ἐκείνην ταῖς ἁπάντων κατέχεται χερσί, καὶ δίδωσιν αὐτὸν τοῖς βουλομένοις περιπτύξασθαι καὶ περιλαβεῖν· ποιοῦσι δὲ τοῦτο πάντες διὰ τῶν ὀφθαλμῶν τῆς πίστεως· ἆρά σοι τοῦ καταφρονεῖσθαι ταῦτα ἄξια καταφαίνεται; ἢ τοιαῦτα εἶναι, ὡς δυνηθῆναί τινα καὶ ἐπαρθῆναι κατ' αὐτῶν; βούλει καὶ ἐξ ἑτέρου θαύματος τῆς ἁγιασίας ταύτης ἰδεῖν τὴν ὑπερβολήν; ὑπόγραψόν μοι τὸν Ἠλίαν τοῖς ὀφθαλμοῖς, καὶ τὸν ἄπειρον ὄχλον περιεστῶτα, καὶ τὴν θυσίαν ἐπὶ τῶν λίθων κειμένην, καὶ πάντας μὲν ἐν ἡσυχίᾳ τοὺς λοιποὺς καὶ πολλῇ τῇ σιγῇ, μόνον δὲ τὸν προφήτην εὐχόμενον· εἶτα ἐξαίφνης τὴν φλόγα ἐκ τῶν οὐρανῶν ἐπὶ τὸ ἱερεῖον ῥιπτουμένην [3]. Θαυμαστὰ ταῦτα καὶ πάσης ἐκπλήξεως γέμοντα. Μετάβηθι τοίνυν ἐκεῖθεν ἐπὶ τὰ νῦν τελούμενα, καὶ οὐ θαυμαστὰ ὄψει μόνον, ἀλλὰ καὶ πᾶσαν ἔκπληξιν ὑπερβαίνοντα· ἕστηκε γὰρ ὁ ἱερεύς, οὐ πῦρ καταφέρων, ἀλλὰ τὸ Πνεῦμα τὸ ἅγιον· καὶ τὴν ἱκετηρίαν ἐπὶ πολὺ ποιεῖται, οὐχ ἵνα τις λαμπὰς ἄνωθεν ἀφεθεῖσα καταναλώσῃ τὰ προκείμενα, ἀλλ'

---

[1]) Исх. 28. [2]) 2 Кор. 3. 10. [3]) 3 Цар. 18. 30—38.

ἵνα ἡ χάρις ἐπιπεσοῦσα τῇ θυσίᾳ, δι' ἐκείνης τὰς ἁπάντων ἀνάψῃ ψυχάς, καὶ ἀργυρίου λαμπροτέρας ἀποδείξῃ πεπυρωμένου. Ταύτης οὖν τῆς φρικωδεςάτης τελετῆς τίς μὴ σφόδρα μαινόμενος, μηδὲ ἐξεςηκώς, ὑπερφρονῆσαι δυνήσεται; ἢ ἀγνοεῖς, ὅτι οὐκ ἄν ποτε ἀνθρωπίνη ψυχὴ τὸ πῦρ ἐκεῖνο τῆς θυσίας ἐβάςασεν, ἀλλ' ἄρδην ἂν ἅπαντες ἠφανίσθησαν, εἰ μὴ πολλὴ τῆς τοῦ Θεοῦ χάριτος ἦν ἡ βοήθεια;

5. Εἰ γάρ τις ἐννοήσειεν, ὅσον ἐςίν, ἄνθρωπον ὄντα καὶ ἔτι σαρκὶ καὶ αἵματι περιπεπλεγμένον, τῆς μακαρίας καὶ ἀκηράτου φύσεως ἐκείνης ἐγγὺς δυνηθῆναι γενέσθαι· τότε ὄψεται καλῶς, ὅσης τοὺς ἱερεῖς τιμῆς ἡ τοῦ Πνεύματος ἠξίωσε χάρις· διὰ γὰρ ἐκείνων καὶ ταῦτα τελεῖται, καὶ ἕτερα τούτων οὐδὲν ἀποδέοντα [1]), καὶ εἰς ἀξιώματος καὶ εἰς σωτηρίας τῆς ἡμετέρας λόγον. Οἱ γὰρ τὴν γῆν οἰκοῦντες καὶ ἐν ταύτῃ ποιούμενοι τὴν διατριβὴν τὰ ἐν οὐρανοῖς διοικεῖν ἐπετράπησαν, καὶ ἐξουσίαν ἔλαβον, ἣν οὔτε ἀγγέλοις οὔτε ἀρχαγγέλοις ἔδωκεν ὁ Θεός· οὐ γὰρ πρὸς ἐκείνους εἴρηται· «ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔςαι δεδεμένα καὶ ἐν τῷ οὐρανῷ· καὶ ὅσα ἂν λύσητε, ἔςαι λελυμένα ἐν τῷ οὐρανῷ» [2])· ἔχουσι μὲν γὰρ καὶ οἱ κρατοῦντες ἐπὶ τῆς γῆς τὴν τοῦ δεσμεῖν ἐξουσίαν, ἀλλὰ σωμάτων μόνον· οὗτος δὲ ὁ δεσμὸς αὐτῆς ἅπτεται τῆς ψυχῆς, καὶ διαβαίνει τοὺς οὐρανούς· καὶ ἅπερ ἂν ἐργάσωνται κάτω οἱ ἱερεῖς, ταῦτα ὁ Θεὸς ἄνω κυροῖ, καὶ τὴν τῶν δούλων γνώμην ὁ δεσπότης βεβαιοῖ. Καὶ τί γὰρ ἀλλ' ἢ πᾶσαν αὐτοῖς τὴν οὐράνιον ἔδωκεν ἐξουσίαν; «ὧν γὰρ ἄν, φησιν, ἀφῆτε τὰς ἁμαρτίας, ἀφέωνται· καὶ ὧν ἂν κρατῆτε, κεκράτηνται» [3])· τίς ἂν γένοιτο ταύτης ἐξουσία μείζων; πᾶσαν τὴν κρίσιν ἔδωκεν ὁ Πατὴρ τῷ Υἱῷ [4])· ὁρῶ δὲ πᾶσαν αὐτὴν τούτους ἐγχειρισθέντας ὑπὸ τοῦ Υἱοῦ· ὥσπερ γὰρ εἰς οὐρανοὺς ἤδη μετατεθέντες, καὶ τὴν ἀνθρωπείαν ὑπερβάντες φύσιν, καὶ τῶν ἡμετέρων ἀπαλλαγέντες παθῶν, οὕτως εἰς ταύτην ἤχθησαν τὴν ἀρχήν. Εἶτα, ἂν μὲν βασιλεύς τινι τῶν ὑπ' αὐτὸν ὄντων ταύτης μεταδῷ τῆς τιμῆς, ὥςε ἐμβάλλειν εἰς δεσμωτήριον, οὓς ἂν ἐθέλῃ, καὶ ἀφιέναι πάλιν, ζηλωτὸς καὶ

---

[1]) Ἀποδέειν (изъ ἀπὸ и δέειν, буд. δεήσω), не доставать, быть меньше или ниже.

[2]) Мат. 18. 18. [3]) Іоан. 20. 23. [4]) Іоан. 5. 22.

περίβλεπτος παρὰ πᾶσιν οὗτος· ὁ δὲ παρὰ Θεοῦ τοσούτῳ μείζονα ἐξουσίαν λαβὼν, ὅσῳ γῆς τιμιώτερος ὁ οὐρανὸς καὶ σωμάτων ψυχαὶ, οὕτω μικράν τισιν ἔδοξεν εἰληφέναι τιμὴν, ὡς δυνηθῆναι κἂν ἐννοῆσαι, ὅτι τῶν ταῦτά τις πιςευθέντων καὶ ὑπερφρονήσει τῆς δωρεᾶς. Ἄπαγε τῆς μανίας! μανία γὰρ περιφανὴς, ὑπερορᾶν τῆς τοσαύτης ἀρχῆς, ἧς ἄνευ οὔτε σωτηρίας ἡμῖν, οὔτε τῶν ἐπηγγελμένων τυχεῖν ἔςιν ἀγαθῶν. Εἰ γὰρ οὐ δύναταί τις εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἐὰν μὴ δι᾿ ὕδατος καὶ πνεύματος ἀναγεννηθῇ [1]· καὶ ὁ μὴ τρώγων τὴν σάρκα τοῦ Κυρίου καὶ τὸ αἷμα αὐτοῦ πίνων, ἐκβέβληται τῆς αἰωνίου ζωῆς [2]· πάντα δὲ ταῦτα δι᾿ ἑτέρου μὲν οὐδενὸς, μόνον δὲ διὰ τῶν ἁγίων ἐκείνων ἐπιτελεῖται χειρῶν, τῶν τοῦ ἱερέως λέγω· πῶς ἄν τις τούτων ἐκτὸς, ἢ τὸ τῆς γεέννης ἐκφυγεῖν δυνήσεται πῦρ, ἢ τῶν ἀποκειμένων ςεφάνων τυχεῖν; οὗτοι γάρ εἰσιν, οὗτοι, οἱ τὰς πνευματικὰς πιςευθέντες ὠδῖνας, καὶ τὸν διὰ τοῦ βαπτίσματος ἐπιτραπέντες τόκον· διὰ τούτων ἐνδυόμεθα τὸν Χριςὸν, καὶ συνθαπτόμεθα τῷ Υἱῷ τοῦ Θεοῦ, μέλη γινόμεθα τῆς μακαρίας ἐκείνης κεφαλῆς, ὥςε ἡμῖν οὐκ ἀρχόντων μόνον οὐδὲ βασιλέων φοβερώτεροι, ἀλλὰ καὶ πατέρων τιμιώτεροι δικαίως ἂν εἶεν· οἱ μὲν γὰρ ἐξ αἱμάτων καὶ ἐκ θελήματος σαρκὸς ἐγέννησαν· οἱ δὲ τῆς ἐκ τοῦ Θεοῦ γεννήσεως ἡμῖν εἰσιν αἴτιοι, τῆς μακαρίας παλιγγενεσίας ἐκείνης, τῆς ἐλευθερίας τῆς ἀληθοῦς, καὶ τῆς κατὰ χάριν υἱοθεσίας.

6. Λέπραν σώματος ἀπαλλάττειν, μᾶλλον δὲ ἀπαλλάττειν μὲν οὐδαμῶς, τοὺς δὲ ἀπαλλαγέντας δοκιμάζειν μόνον, εἶχον ἐξουσίαν οἱ τῶν Ἰουδαίων ἱερεῖς [3]· καὶ οἶσθα, πῶς περιμάχητον ἦν τὸ [4]) τῶν ἱερέων τότε; οὗτοι δὲ οὐ λέπραν σώματος, ἀλλ᾿ ἀκαθαρσίαν ψυχῆς, οὐκ ἀπαλλαγεῖσαν δοκιμάζειν, ἀλλ᾿ ἀπαλλάττειν παντελῶς ἔλαβον ἐξουσίαν. Ὥςε οἱ τούτων ὑπερορῶντες πολλῷ καὶ τῶν περὶ Δαθὰν εἶεν ἐναγέςεροι, καὶ μείζονος ἄξιοι τιμωρίας· οἱ μὲν γὰρ εἰ καὶ μὴ προσηκούσης αὐτοῖς ἀντεποιοῦντο τῆς ἀρχῆς, ἀλλ᾿ ὅμως θαυμαςήν τινα περὶ αὐτῆς εἶχον δόξαν, καὶ τοῦτο τῷ μετὰ πολλῆς ἐφίεσθαι σπουδῆς ἔδειξαν [5]· οὗτοι

---

[1]) Іоан. 3. 5. [2]) Іоан 6. 53. [3]) Лев. 14.

[4]) Подразумѣвается ἀξίωμα.

[5]) Числ. 16.

δὲ [1]), ὅτε ἐπὶ τὸ κρεῖττον διεκοσμήθη καὶ τοσαύτην ἔλαβεν ἐπίδοσιν τὸ πρᾶγμα, τότε ἐξ ἐναντίας μὲν ἐκείνοις, πολλῷ δὲ ἐκείνων μείζονα τετολμήκασιν· οὐδὲ γὰρ ἴσον εἰς καταφρονήσεως λόγον, ἐφίεσθαι μὴ προσηκούσης τιμῆς, καὶ ὑπερορᾶν τοσούτων ἀγαθῶν· ἀλλὰ τοσούτῳ μεῖζον ἐκεῖνο τούτου, ὅσῳ τοῦ διαπτύειν καὶ θαυμάζειν τὸ μέσον ἐστίν. Τίς οὖν οὕτως ἀθλία ψυχή, ὡς τοσούτων ὑπεριδεῖν ἀγαθῶν; οὐκ ἄν ποτε φαίην ἔγωγε, πλὴν εἰ μή τις οἶςρον ὑπομείνειεν δαιμονικόν. Ἀλλα γὰρ ἐπάνειμι πάλιν, ὅθεν ἐξέβην· οὐ γὰρ ἐν τῷ κολάζειν μόνον, ἀλλὰ καὶ ἐν τῷ ποιεῖν εὖ, μείζονα τοῖς ἱερεῦσιν ἔδωκε δύναμιν τῶν φυσικῶν γονέων ὁ Θεός· καὶ τοσοῦτον ἀμφοτέρων τὸ διάφορον, ὅσον τῆς παρούσης καὶ τῆς μελλούσης ζωῆς· οἱ μὲν γὰρ εἰς ταύτην, οἱ δὲ εἰς ἐκείνην γεννῶσι· κἀκεῖνοι μὲν οὐδὲ τὸν σωματικὸν αὐτοῖς δύναιντ' ἂν ἀμῦναι θάνατον, οὐ νόσον ἐπενεχθεῖσαν ἀποκρούσασθαι· οὗτοι δὲ καὶ κάμνουσαν καὶ ἀπόλλυσθαι μέλλουσαν τὴν ψυχὴν πολλάκις ἔσωσαν, τοῖς μὲν πρᾳοτέραν τὴν κόλασιν ἐργασάμενοι, τοὺς δὲ οὐδὲ παρὰ τὴν ἀρχὴν ἀφέντες ἐμπεσεῖν, οὐ τῷ διδάσκειν μόνον καὶ νουθετεῖν, ἀλλὰ καὶ τῷ δι' εὐχῶν βοηθεῖν· οὐ γὰρ ὅτ' ἂν ἡμᾶς ἀναγεννῶσι μόνον, ἀλλὰ καὶ τὰ μετὰ ταῦτα συγχωρεῖν ἔχουσιν ἐξουσίαν ἁμαρτήματα· «ἀσθενεῖ γάρ τις, φησιν, ἐν ὑμῖν; προκαλεσάσθω τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας, καὶ προσευξάσθωσαν ἐπ' αὐτόν, ἀλείψαντες αὐτὸν ἐλαίῳ, ἐν τῷ ὀνόματι τοῦ Κυρίου, καὶ ἡ εὐχὴ τῆς πίςεως σώσει τὸν κάμνοντα, καὶ ἐγερεῖ αὐτὸν ὁ Κύριος· κἂν ἁμαρτίας ᾖ πεποιηκώς, ἀφεθήσονται αὐτῷ» [2]). Ἔπειτα οἱ μὲν φυσικοὶ γονεῖς, εἰ μέν τισι τῶν ὑπερεχόντων καὶ μεγάλα ὧδε δυναμένων προσκρούσαιεν οἱ παῖδες, οὐδὲν αὐτοὺς ἔχουσιν ὠφελεῖν· οἱ δὲ ἱερεῖς οὐκ ἄρχοντας, οὐδὲ βασιλεῖς, ἀλλ' αὐτὸν αὐτοῖς πολλάκις ὀργισθέντα κατήλλαξαν τὸν Θεόν. Ἔτι οὖν ἡμᾶς μετὰ ταῦτα τολμήσει τις ἀπονοίας κρίνειν; ἐγὼ μὲν γὰρ ἐκ τῶν εἰρημένων τοσαύτην εὐλάβειαν οἶμαι τὰς τῶν ἀκουόντων κατασχεῖν ψυχάς, ὡς μηκέτι τοὺς φεύγοντας, ἀλλὰ καὶ τοὺς ἀφ' ἑαυτῶν προσιόντας καὶ σπουδάζοντας ταύτην ἑαυτοῖς κτήσασθαι τὴν τιμήν, ἀπονοίας καὶ τόλμης κρίνειν. Εἰ γὰρ οἱ τὰς τῶν πόλεων ἀρχὰς

---

[1]) Т. е. презирающіе новозавѣтное священство.

[2]) Іак. 5. 14, 15.

πιςευθέντες. ὅτ' ἂν μὴ συνετοὶ καὶ λίαν ὀξεῖς τυγχάνωσιν ὄντες, καὶ τὰς πόλεις ἀνέτρεψαν, καὶ ἑαυτοὺς προσαπώλεσαν· ὁ τοῦ Χριςοῦ τὴν νύμφην κατακοσμεῖν λαχὼν, πόσης σοι δοκεῖ δεῖσθαι δυνάμεως, καὶ τῆς παρ' αὐτοῦ καὶ τῆς ἄνωθεν, πρὸς τὸ μὴ διαμαρτεῖν;

7. Οὐδεὶς μᾶλλον Παύλου τὸν Χριςὸν ἠγάπησεν, οὐδεὶς μείζονα ἐκείνου σπουδὴν ἐπεδείξατο, οὐδεὶς πλείονος ἠξιώθη χάριτος· ἀλλ' ὅμως μετὰ τοσαῦτα πλεονεκτήματα δέδοικεν ἔτι καὶ τρέμει περὶ ταύτης τῆς ἀρχῆς, καὶ τῶν ἀρχομένων ὑπ' αὐτοῦ· «φοβοῦμαι γάρ, φησιν, μή πως, ὡς ὁ ὄφις Εὔαν ἐξηπάτησεν ἐν τῇ πανουργίᾳ αὐτοῦ, οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν ἀπὸ τῆς ἁπλότητος τῆς εἰς τὸν Χριςόν» [1]· καὶ πάλιν· «ἐν φόβῳ καὶ ἐν τρόμῳ πολλῷ ἐγενόμην πρὸς ὑμᾶς» [2]. Ἄνθρωπος εἰς τρίτον ἁρπαγεὶς οὐρανὸν, καὶ ἀπορρήτων κοινωνήσας Θεοῦ [3], καὶ τοσούτους ὑπομείνας θανάτους, ὅσας μετὰ τὸ πιςεῦσαι ἔζησεν ἡμέρας· ἄνθρωπος μηδὲ τῇ δοθείσῃ παρὰ τοῦ Χριςοῦ χρήσασθαι ἐξουσίᾳ βουληθεὶς, ἵνα μή τις τῶν πιςευσάντων σκανδαλισθῇ [4]· εἰ τοίνυν ὁ τὰ προστάγματα ὑπερβαίνων τοῦ Θεοῦ, καὶ μηδαμοῦ τὸ ἑαυτοῦ ζητῶν, ἀλλὰ τὸ τῶν ἀρχομένων, οὕτως ἔμφοβος ἦν ἀεὶ, πρὸς τὸ τῆς ἀρχῆς μέγεθος ἀφορῶν· τί πεισόμεθα ἡμεῖς οἱ πολλαχοῦ τὰ ἑαυτῶν ζητοῦντες, οἱ τὰς ἐντολὰς τοῦ Χριςοῦ οὐ μόνον οὐχ ὑπερβαίνοντες, ἀλλὰ καὶ ἐκ πλείονος παραβαίνοντες μοίρας; «τίς ἀσθενεῖ, φησι, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι» [5]; τοιοῦτον εἶναι δεῖ τὸν ἱερέα, μᾶλλον δὲ οὐ τοιοῦτον μόνον· μικρὰ γὰρ ταῦτα, καὶ τὸ μηδὲν, πρὸς ὃ μέλλω λέγειν· τί δὲ τοῦτό ἐςιν; «ηὐχόμην, φησὶν, ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριςοῦ ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου τῶν κατὰ σάρκα» [6]. Εἴ τις δύναται ταύτην ἀφιέναι τὴν φωνὴν, εἴ τις ἔχει τὴν ψυχὴν ταύτης ἐφικνουμένην τῆς εὐχῆς, ἐγκαλεῖσθαι δίκαιος ἂν εἴη φεύγων [7]· εἰ δέ τις ἀποδέοι τῆς ἀρετῆς ἐκείνης τοσοῦτον, ὅσον ἡμεῖς, οὐχ ὅταν φεύγῃ, ἀλλ' ὅταν δέχηται, μισεῖσθαι δίκαιος· οὐδὲ γάρ, εἴ τις ςρατιωτικῆς ἀξίας αἵρεσις προὔκειτο, εἶτα χαλκοτύπον, ἢ σκυτοτόμον, ἤ τινα τῶν τοιούτων δημιουργῶν,

---

[1]) 2 Кор. 11. 3. [2]) 1 Кор. 2. 3. [3]) 2 Кор. 12. 2. [4]) 1 Кор. 10. [5]) 2 Кор. 11. 29. [6]) Рим. 9. 3.

[7]) Подразумѣвается: священства.

ἑλκύσαντες εἰς τὸ μέσον οἱ δοῦναι κύριοι τὴν τιμὴν, ἐνεχειρίζον τὸν ϛρατὸν, ἐπῄνεσαν ἂν τὸν δείλαιον ἐκεῖνον οὐ φεύγοντα καὶ πάντα ποιοῦντα, ὥϛε μὴ εἰς προὖπτον ἑαυτὸν ἐμβαλεῖν κακόν. Εἰ μὲν γὰρ ἁπλῶς, τὸ κληθῆναι ποιμένα καὶ μεταχειρίσαι τὸ πρᾶγμα, ὡς ἔτυχεν, ἀρκεῖ καὶ κίνδυνος οὐδεὶς, ἐγκαλείτω κενοδοξίας ἡμῖν ὁ βουλόμενος· εἰ δὲ πολλὴν μὲν σύνεσιν, πολλὴν δὲ πρὸ τῆς συνέσεως τὴν παρὰ τοῦ Θεοῦ χάριν, καὶ τρόπων ὀρθότητα, καὶ καθαρότητα βίου, καὶ μείζονα ἢ κατὰ ἄνθρωπον ἔχειν δεῖ τὴν ἀρετὴν τὸν ταύτην ἀναδεχόμενον τὴν φροντίδα, μή με ἀποϛερήσῃς συγγνώμης μάτην ἀπολέσθαι μὴ βουλόμενον καὶ εἰκῇ. Καὶ γὰρ εἰ μυριάγωγόν τις ὁλκάδα ἄγων, πεπληρωμένην ἐρετῶν καὶ φορτίων γέμουσαν πολυτελῶν, εἶτα ἐπὶ τῶν οἰάκων καθίσας ἐκέλευέ με περᾶν τὸ Αἰγαῖον ἢ τὸ Τυῤῥηνικὸν πέλαγος [1]), ἐκ πρώτης ἂν ἀπεπήδησα τῆς φωνῆς· καὶ εἴ τις ἤρετο, διὰ τί; ἵνα μὴ καταδύσω τὸ πλοῖον, εἶπον ἄν.

8. Εἶτα ἔνθα μὲν εἰς χρήματα ἡ ζημία, καὶ ὁ κίνδυνος σωματικοῦ μέχρι θανάτου, οὐδεὶς ἐγκαλέσει πολλῇ κεχρημένοις προνοίᾳ· ὅπου δὲ τοῖς ναυαγοῦσιν οὐκ εἰς τὸ πέλαγος τοῦτο, ἀλλ᾽ εἰς τὴν ἄβυσσον τοῦ πυρὸς ἀπόκειται πεσεῖν, καὶ θάνατος αὐτοὺς οὐχ ὁ τὴν ψυχὴν ἀπὸ τοῦ σώματος διαιρῶν, ἀλλ᾽ ὁ ταύτην μετ᾽ ἐκείνου εἰς κόλασιν παραπέμπων αἰώνιον ἐκδέχεται, ἐνταῦθα, ὅτι μὴ προπετῶς εἰς τοσοῦτον ἑαυτοὺς ἐῤῥίψαμεν κακὸν, ὀργιεῖσθε καὶ μισήσετε; μὴ, δέομαι καὶ ἀντιβολῶ· οἶδα τὴν ἐμαυτοῦ ψυχὴν, τὴν ἀσθενῆ ταύτην καὶ μικράν· οἶδα τῆς διακονίας ἐκείνης τὸ μέγεθος καὶ τὴν πολλὴν τοῦ πράγματος δυσκολίαν. Πλείονα γὰρ τῶν τὴν θάλατταν ταραττόντων πνευμάτων χειμάζει κύματα τὴν τοῦ ἱερωμένου ψυχήν.

9. Καὶ πρῶτον ἁπάντων ὁ δεινότατος τῆς κενοδοξίας σκόπελος, χαλεπώτερος ὢν οὗπερ οἱ μυθοποιοὶ τερατεύονται τῶν Σειρήνων [2]). Τοῦτον γὰρ πολλοὶ μὲν ἴσχυσαν διαπλεύσαντες διαφυγεῖν ἀσινεῖς· ἐμοὶ δὲ οὕτω τοῦτο χαλεπὸν, ὡς μηδὲ νῦν, ὅτε

---

[1]) Эгейское море между Грецiею и Малою Азiею и Тирренское между Италiею и Сицилiею извѣстны своею бурностiю и опасностiю для мореплавателей. О нихъ см. въ Lübkers Reallexicon.

[2]) Одисс. μ. 39—110.

οὐδὲ μία μέ τις ἀνάγκη πρὸς ἐκεῖνο ὠθεῖ τὸ βάραθρον, δύνασθαι καθαρεύειν τοῦ δεινοῦ· εἰ δὲ καὶ τὴν ἐπιςασίαν τις ἐγχειρίζοι ταύτην, μονονουχὶ δήσας ὀπίσω τὼ χεῖρε, παραδώσει τοῖς ἐν ἐκείνῳ τῷ σκοπέλῳ κατοικοῦσι θηρίοις, καθ' ἑκάςην με σπαράττειν τὴν ἡμέραν. Τίνα δέ ἐςι τὰ θηρία: θυμός, ἀθυμία, φθόνος, ἔρις, διαβολαί, κατηγορίαι, ψεῦδος, ὑπόκρισις, ἐπιβουλαί, ὀργαὶ κατὰ τῶν ἠδικηκότων οὐδέν, ἡδοναὶ ἐπὶ ταῖς τῶν λειτουργούντων ἀσχημοσύναις, πένθος ἐπὶ ταῖς εὐημερίαις, ἐπαίνων ἔρως, τιμῆς πόθος (τοῦτο δὴ τὸ μάλιςα πάντων τὴν ἀνθρωπείαν ἐκτραχηλίζον ψυχήν), διδασκαλίαι πρὸς ἡδονήν, ἀνελεύθεροι κολακεῖαι, θωπεῖαι ἀγεννεῖς, καταφρονήσεις πενήτων, θεραπεῖαι πλουσίων, ἀλόγιςοι τιμαὶ καὶ ἐπιβλαβεῖς, χάριτες κίνδυνον φέρουσαι καὶ τοῖς παρέχουσι καὶ τοῖς δεχομένοις αὐτάς, φόβος δουλοπρεπὴς καὶ τοῖς φαυλοτάτοις τῶν ἀνδραπόδων προσήκων μόνοις, παῤῥησίας ἀναίρεσις, ταπεινοφροσύνης τὸ μὲν σχῆμα πολύ, ἡ ἀλήθεια δὲ οὐδαμοῦ, ἔλεγχοι δὲ ἐκποδὼν καὶ ἐπιτιμήσεις, μᾶλλον δὲ κατὰ μὲν τῶν ταπεινῶν καὶ πέρα τοῦ μέτρου, ἐπὶ δὲ τῶν δυναςείαν περιβεβλημένων οὐδὲ διᾶραί τις τὰ χείλη τολμᾷ. Ταῦτα γὰρ ἅπαντα καὶ τὰ τούτων πλείονα ὁ σκόπελος ἐκεῖνος τρέφει θηρία, οἷς τοὺς ἅπαξ ἁλόντας εἰς τοσοῦτον ἀνάγκη καθελκυσθῆναι δουλείας, ὡς καὶ εἰς γυναικῶν ἀρέσκειαν πράττειν πολλὰ πολλάκις, ἃ μηδὲ εἰπεῖν καλόν. Ὁ μὲν γὰρ θεῖος νόμος αὐτὰς ταύτης ἐξέωσε τῆς λειτουργίας, ἐκεῖναι δὲ ἑαυτὰς εἴσω θεῖναι βιάζονται· καὶ ἐπειδὴ δι' ἑαυτῶν ἰσχύουσιν οὐδέν, δι' ἑτέρων ἅπαντα πράττουσι· καὶ τοσαύτην περιβέβληνται δύναμιν, ὡς τῶν ἱερέων καὶ ἐγκρίνειν καὶ ἐκβάλλειν οὓς ἂν ἐθέλωσι· καὶ τὰ ἄνω κάτω [1]) (τοῦτο δὴ τὸ τῆς παροιμίας λεγόμενόν ἐςιν ἰδεῖν γιγνόμενον), τοὺς ἄρχοντας ἄγουσιν οἱ ἀρχόμενοι· καὶ εἴθε μὲν ἄνδρες· ἀλλ' αἷς οὐδὲ διδάσκειν ἐπιτέτραπται [2])· τί λέγω διδάσκειν; οὐδὲ λαλεῖν μὲν οὖν αὐταῖς ἐν ἐκκλησίᾳ συνεχώρησεν ὁ μακάριος Παῦλος [3]). Ἐγὼ δέ τινος ἤκουσα λέγοντος, ὅτι καὶ τοσαύτης αὐταῖς μετέδωκε παῤῥησίας, ὡς καὶ ἐπιτιμᾶν τοῖς τῶν ἐκκλησιῶν προεςῶσι καὶ καθάπτεσθαι πικρό-

---

[1]) Τὰ ἄνω κάτω—греческая пословица, означающая извращенный порядокъ, положеніе къ верху дномъ.

[2]) 1 Тим. 2. 12. [3]) 1 Кор. 14. 34.

τερον ἐκείνων, ἢ τῶν ἰδίων οἰκετῶν οἱ δεσπόται. Καὶ μή με τις οἰέσθω πάντας ταῖς εἰρημέναις ὑποβάλλειν αἰτίαις· εἰσὶ γάρ, εἰσὶ πολλοὶ οἱ τούτων ὑπερενεχθέντες τῶν δικτύων, καὶ τῶν ἁλόντων πλείους.

10. Ἀλλ' οὐδὲ τὴν ἱερωσύνην αἰτιάσαιμι ἂν τούτων τῶν κακῶν· μή ποτε οὕτω μανείην ἐγώ· οὔτε γὰρ τὸν σίδηρον τῶν φόνων, οὔτε τὸν οἶνον τῆς μέθης, οὔτε τὴν ῥώμην τῆς ὕβρεως, οὔτε τὴν ἀνδρείαν τῆς ἀλόγου τόλμης, ἀλλὰ τοὺς οὐκ εἰς δέον χρωμένους ταῖς παρὰ τοῦ Θεοῦ δεδομέναις δωρεαῖς ἅπαντες οἱ νοῦν ἔχοντες αἰτίους εἶναί φασι, καὶ κολάζουσιν. Ἐπεὶ ἥ γε ἱερωσύνη καὶ ἐγκαλέσει δικαίως ἡμῖν, οὐκ ὀρθῶς αὐτὴν μεταχειρίζουσιν· οὐ γὰρ αὐτὴ τῶν εἰρημένων ἡμῖν αἰτία κακῶν· ἀλλ' ἡμεῖς αὐτὴν τοσούτοις, τό γε εἰς ἡμᾶς ἧκον, κατερρυπάναμεν μολυσμοῖς, ἀνθρώποις τοῖς τυχοῦσιν ἐγχειρίζοντες αὐτήν· οἵ γε οὔτε τὰς ἑαυτῶν πρότερον καταμαθόντες ψυχάς, οὔτε εἰς τὸν τοῦ πράγματος ὄγκον ἀποβλέψαντες, δέχονται μὲν προθύμως τὸ διδόμενον· ἡνίκα δ' ἂν εἰς τὸ πράττειν ἔλθωσιν, ὑπὸ τῆς ἀπειρίας σκοτούμενοι, μυρίων ἐμπιπλῶσι κακῶν, οὓς ἐπιστεύθησαν λαούς. Τοῦτο δή, τοῦτο, ὅπερ καὶ ἐφ' ἡμῶν μικροῦ δεῖν ἔμελλε γίνεσθαι, εἰ μὴ ταχέως ἡμᾶς ὁ Θεὸς τῶν κινδύνων ἐκείνων ἐξείλκυσε, καὶ τῆς ἐκκλησίας τῆς αὐτοῦ καὶ τῆς ἡμετέρας φειδόμενος ψυχῆς. Ἐπεὶ πόθεν, εἰπέ μοι, νομίζεις τὰς τοσαύτας ἐν ταῖς ἐκκλησίαις τίκτεσθαι ταραχάς; ἐγὼ μὲν γὰρ οὐδὲ ἄλλοθέν ποθεν, οἶμαι, ἢ ἐκ τοῦ τὰς τῶν προεστώτων αἱρέσεις καὶ ἐκλογὰς ἁπλῶς καὶ ὡς ἔτυχε γίνεσθαι. Τὴν γὰρ κεφαλὴν ἰσχυροτάτην εἶναι ἐχρῆν, ἵνα τοὺς ἐκ τοῦ λοιποῦ σώματος κάτωθεν πεμπομένους ἀτμοὺς πονηροὺς διοικεῖν, καὶ εἰς τὸ δέον καθιστᾶν δύνηται· ὅταν γὰρ καθ' ἑαυτὴν ἀσθενὴς οὖσα τύχῃ, τὰς νοσοποιοὺς ἐκείνας προσβολὰς ἀποκρούσασθαι μὴ δυναμένη, αὐτή τε ἀσθενεστέρα μᾶλλον, ἥπερ ἐστί, καθίσταται, καὶ τὸ λοιπὸν μεθ' ἑαυτῆς προσαπόλλυσι σῶμα· ὅπερ ἵνα μὴ καὶ νῦν γένηται, ἐν τῇ τάξει τῶν ποδῶν ἡμᾶς ἐφύλαξεν ὁ Θεός, ἥνπερ καὶ ἐλάχομεν ἐξ ἀρχῆς. Πολλὰ γάρ ἐστιν, ὦ Βασίλειε, πρὸς τοῖς εἰρημένοις πολλὰ ἕτερα, ἃ τὸν ἱερωμένον ἔχειν χρή, ἡμεῖς δὲ οὐκ ἔχομεν, καὶ πρό γε τῶν ἄλλων ἐκεῖνο· πανταχόθεν αὐτῷ τῆς τοῦ πράγματος ἐπιθυμίας



καθαρεύειν δεῖ τὴν ψυχήν· ὡς ἐὰν προσπαθῶς πρὸς ταύτην διακείμενος τύχῃ τὴν ἀρχήν, γενόμενος ἐπ' αὐτῆς ἰσχυροτέραν ἀνάπτει τὴν φλόγα, καὶ κατὰ κράτος ἁλούς, ὑπὲρ τοῦ βεβαίαν ἔχειν αὐτήν, μυρία ὑπομένει δεινά, κἂν κολακεῦσαι δέῃ, κἂν ἀγεννές τι καὶ ἀνάξιον ὑπομεῖναι, κἂν χρήματα ἀναλῶσαι πολλά· ὅτι γὰρ καὶ φόνων τὰς ἐκκλησίας ἐπέπλησάν τινες, καὶ πόλεις ἀναστάτους ἐποίησαν, ὑπὲρ ταύτης μαχόμενοι τῆς ἀρχῆς, παρίημι νῦν, μὴ καὶ ἄπιστα δόξω λέγειν τισίν. Ἐχρῆν δέ, οἶμαι, τοσαύτην τοῦ πράγματος ἔχειν εὐλάβειαν, ὡς καὶ τῆς ἀρχῆς ἐκφυγεῖν τὸν ὄγκον· καὶ μετὰ τὸ γενέσθαι ἐν αὐτῷ, μὴ περιμένειν τὰς παρ' ἑτέρων κρίσεις, εἴ ποτε συμβαίη καθαίρεσιν ἱκανὸν [2] ἐργάσασθαι ἁμάρτημα, ἀλλὰ προλαβόντα ἐκβάλλειν ἑαυτὸν τῆς ἀρχῆς· οὕτω μὲν γὰρ καὶ ἔλεον ἐπισπάσασθαι παρὰ τοῦ Θεοῦ εἰκὸς ἦν· τὸ δὲ ἀντέχεσθαι παρὰ τὸ πρέπον τῆς ἀξίας, πάσης ἑαυτὸν ἀποστερεῖν συγγνώμης ἐστί, καὶ μᾶλλον ἐκκαίειν τοῦ Θεοῦ τὴν ὀργήν, δεύτερον χαλεπώτερον προσθέντα πλημμέλημα. Ἀλλ' οὐδεὶς ἀνέξεταί ποτε· δεινὸν γὰρ ἀληθῶς, δεινὸν τὸ ταύτης γλίχεσθαι τῆς τιμῆς· καὶ οὐ μαχόμενος τῷ μακαρίῳ Παύλῳ λέγω, ἀλλὰ καὶ πάνυ συνᾴδων αὐτοῦ τοῖς ῥήμασι· τί γὰρ ἐκεῖνός φησιν; «εἴ τις ἐπισκοπῆς ὀρέγεται, καλοῦ ἔργου ἐπιθυμεῖ» [1])· ἐγὼ δὲ οὐ τοῦ ἔργου, τῆς δὲ αὐθεντίας καὶ δυναστείας ἐπιθυμεῖν, εἶπον εἶναι δεινόν.

11. Καὶ τοῦτον οἶμαι δεῖν τὸν πόθον πάσῃ σπουδῇ τῆς ψυχῆς ἐξωθεῖν, καὶ μηδὲ τὴν ἀρχὴν κατασχεθῆναι αὐτὴν ὑπ' αὐτοῦ συγχωρεῖν, ἵνα μετ' ἐλευθερίας ἅπαντα αὐτῷ πράττειν ἐξῇ. Ὁ γὰρ οὐκ ἐπιθυμῶν ἐπὶ ταύτης δειχθῆναι τῆς ἐξουσίας, οὐδὲ τὴν καθαίρεσιν αὐτῆς δέδοικεν· οὐ δεδοικὼς δέ, μετὰ τῆς προσηκούσης χριστιανοῖς ἐλευθερίας πάντα πράττειν δύναιτ' ἄν· ὡς οἵ γε φοβούμενοι καὶ τρέμοντες κατενεχθῆναι ἐκεῖθεν, πικρὰν ὑπομένουσι δουλείαν καὶ πολλῶν γέμουσαν τῶν κακῶν, καὶ ἀνθρώποις καὶ Θεῷ προσκρούειν ἀναγκάζονται πολλάκις. Δεῖ δὲ οὐχ οὕτω διακεῖσθαι τὴν ψυχήν· ἀλλ' ὥσπερ ἐν τοῖς πολέμοις τοὺς γενναίους τῶν στρατιωτῶν ὁρῶμεν καὶ πολεμοῦντας προθύμως, καὶ

---

[1]) Ἱκανός τι, или εἴς τι, достаточный для чего-нибудь, достойный чего-нибудь.

[2]) 1 Тим. 3. 1.

πίπτοντας ἀνδρείως· οὕτω καὶ τοὺς ἐπὶ ταύτην ἥκοντας τὴν οἰκονομίαν, καὶ ἱερᾶσθαι καὶ παραλύεσθαι τῆς ἀρχῆς, ὡς χριςιανοῖς ἐςὶ προσῆκον ἀνδράσιν, εἰδότας, ὡς ἡ τοιαύτη καθαίρεσις οὐκ ἐλάττονα φέρει τῆς ἀρχῆς τὸν ςέφανον. Ὅταν γάρ τις, ὑπὲρ τοῦ μηδὲν ἀπρεπὲς μήδ᾽ ἀνάξιόν τι τῆς ἀξίας ὑπομεῖναι ἐκείνης, πάθῃ τι τοιοῦτο, καὶ τοῖς ἀδίκως καθελοῦσι τὴν κόλασιν, καὶ ἑαυτῷ μείζονα προξενεῖ τὸν μισθόν. «Μακάριοι γάρ, φησιν, ἐςὲ, ὅταν ὀνειδίσωσι καὶ διώξωσιν ὑμᾶς, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ᾽ ὑμῶν, ψευδόμενοι, ἕνεκεν ἐμοῦ· χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι πολὺς ἐςιν ὁ μισθὸς ὑμῶν ἐν τοῖς οὐρανοῖς» [1])· καὶ ταῦτα μὲν ὅταν ὑπὸ τῶν ὁμοταγῶν, ἢ διὰ φθόνον, ἢ πρὸς ἑτέρων χάριν, ἢ πρὸς ἀπέχθειαν, ἢ ἑτέρῳ τινὶ μὴ ὀρθῷ τις ἐκβάλληται λογισμῷ· ὅταν δὲ καὶ ὑπὸ τῶν ἐναντίων τοῦτο πάσχειν συμβαίνῃ, οὐδὲ λόγου δεῖν οἶμαι πρὸς τὸ δεῖξαι τὸ κέρδος, ὅσον αὐτῷ διὰ τῆς ἑαυτῶν συλλέγουσι πονηρίας ἐκεῖνοι. Τοῦτο οὖν δεῖ πανταχόθεν περισκοπεῖν καὶ ἀκριβῶς διερευνᾶν, μή πού τις σπινθὴρ τῆς ἐπιθυμίας ἐκείνης ἐντυφώμενος λάθῃ. Ἀγαπητὸν γὰρ καὶ τοὺς ἐξ ἀρχῆς καθαρεύοντας τοῦ πάθους, ἡνίκα ἂν ἐμπέσωσιν εἰς τὴν ἀρχὴν, δυνηθῆναι τοῦτο διαφυγεῖν· εἰ δέ τις καὶ πρὶν ἢ τυχεῖν τῆς τιμῆς, τρέφει παρ᾽ ἑαυτῷ τὸ δεινὸν καὶ ἀπηνὲς τοῦτο θηρίον, οὐδέ ἐςιν εἰπεῖν, εἰς ὅσην ἑαυτὸν ἐμβαλεῖ κάμινον μετὰ τὸ τυχεῖν. Ἡμεῖς δὲ (καὶ μή τοι νομίσῃς μετριάζοντας ἡμᾶς ἐθελῆσαι ἄν τί ποτε ψεύσασθαι πρός σε) πολλὴν ταύτην κεκτήμεθα τὴν ἐπιθυμίαν· καὶ μετὰ τῶν ἄλλων ἁπάντων οὐχ ἧττον ἡμᾶς καὶ τοῦτο ἐφόβησε, καὶ πρὸς ταύτην ἔτρεψε τὴν φυγήν. Καθάπερ γὰρ οἱ σωμάτων ἐρῶντες, ἕως μὲν ἂν πλησίον εἶναι τῶν ἐρωμένων ἐξῇ, χαλεπωτέραν τοῦ πάθους τὴν βάσανον ἔχουσιν· ὅταν δὲ ὡς πορρωτάτω τῶν ποθουμένων ἑαυτοὺς ἀπαγάγωσι, καὶ τὴν μανίαν ἀπήλασαν· οὕτω καὶ τοῖς ταύτης ἐπιθυμοῦσι τῆς ἀρχῆς, ὅταν μὲν πλησίον αὐτῆς γένωνται, ἀφόρητον γίγνεται τὸ κακόν· ὅταν δὲ ἀπελπίσωσι, καὶ τὴν ἐπιθυμίαν μετὰ τῆς προσδοκίας ἔσβεσαν. Μία μὲν οὖν αὕτη πρόφασις οὐ μικρά· ἀλλ᾽ εἰ καὶ μόνη καθ᾽ ἑαυτὴν οὖσα ἐτύγχανεν, ἱκανὴ ταύτης ἡμᾶς ἀπεῖρξαι τῆς ἀξίας.

[1]) Ματ. 5. 11, 12.

12. Νῦν δὲ καὶ ἑτέρα ταύτης οὐχ ἧττων προστέθειται· τίς δέ ἐςιν αὕτη; νηφάλιον εἶναι δεῖ τὸν ἱερέα, καὶ διορατικὸν, καὶ μυρίους πανταχόθεν κεκτῆσθαι τοὺς ὀφθαλμοὺς, ὡς οὐχ ἑαυτῷ μόνον, ἀλλὰ καὶ πλήθει ζῶντα τοσούτῳ [1]). Ἡμεῖς δὲ ὅτι νωθροὶ καὶ παρειμένοι, καὶ πρὸς τὴν ἑαυτῶν μόλις ἀρκοῦντες σωτηρίαν, καὶ αὐτὸς ἂν ὡμολογήσειας, ὁ μάλιςα πάντων τὰ ἡμέτερα, διὰ τὸ φιλεῖν, κρύπτειν σπουδάζων κακά. Μὴ γάρ μοι νηςείαν ἐνταῦθα εἴπῃς, μηδὲ ἀγρυπνίαν, μηδὲ χαμευνίαν καὶ τὴν λοιπὴν τοῦ σώματος σκληραγωγίαν· καὶ τούτων μὲν γὰρ ὅσον ἀπέχομεν, οἶδας· εἰ δὲ καὶ εἰς ἀκρίβειαν ἡμῖν κατώρθωτο, οὐδὲ οὕτως μετὰ τῆς παρούσης νωθρότητος ἴσχυσεν ἄν τι πρὸς τὴν ἐπιςασίαν ἡμᾶς ταῦτα ὠφελῆσαι ἐκείνην. Ἀνθρώπῳ μὲν γὰρ εἰς οἰκίσκον τινὰ κατακλεισθέντι, καὶ τὰ αὐτοῦ μεριμνῶντι μόνον, πολλὴν ἂν ταῦτα παράσχοι τὴν ὠφέλειαν· εἰς δὲ τοσοῦτον σχιζομένῳ πλῆθος, καὶ καθ' ἕκαςον τῶν ἀρχομένων ἰδίας κεκτημένῳ φροντίδας, τί δύναιτ' ἂν πρὸς τὴν ἐκείνων ἐπίδοσιν ἀξιόπιςον συμβάλλεσθαι κέρδος, ἐὰν μὴ ψυχὴν εὔτονον καὶ ἰσχυροτάτην ἔχων τύχῃ;

13. Καὶ μὴ θαυμάσῃς, εἰ μετὰ τοσαύτης καρτερίας ἑτέραν βάσανον ζητῶ τῆς ἐν τῇ ψυχῇ ἀνδρείας. Τὸ μὲν γὰρ σίτων καὶ ποτῶν καὶ ςρωμνῆς καταφρονεῖν ἁπαλῆς, πολλοῖς οὐδὲ ἔργον ὁρῶμεν ὄν, καὶ μάλιςά γε τοῖς ἀγροικότερον διακειμένοις, καὶ οὕτως ἐκ πρώτης τραφεῖσι τῆς ἡλικίας, καὶ πολλοῖς δὲ ἑτέροις, τῆς τε τοῦ σώματος κατασκευῆς καὶ τῆς συνηθείας ἐξευμαριζούσης τὴν ἐν ἐκείνοις τοῖς πόνοις τραχύτητα· ὕβριν δὲ, καὶ ἐπήρειαν, καὶ λόγον φορτικὸν, καὶ τὰ παρὰ τῶν ἐλαττόνων σκώμματα, τά τε ἁπλῶς καὶ τὰ ἐν δίκῃ λεγόμενα, καὶ μέμψεις, τὰς εἰκῇ καὶ μάτην παρὰ τῶν ἀρχόντων καὶ παρὰ τῶν ἀρχομένων γινομένας, οὐ τῶν πολλῶν ἐνεγκεῖν, ἀλλ' ἑνός που καὶ δευτέρου, καὶ ἴδοι τις ἂν τοὺς ἐν ἐκείνοις ἰσχυροὺς πρὸς ταῦτα οὕτως ἰλιγγιῶντας, ὡς μᾶλλον τῶν χαλεπωτάτων ἀγριαίνειν θηρίων· τοὺς δὲ τοιούτους μάλιςα τῶν τῆς ἱερωσύνης ἀπείρξομεν περιβόλων. Τὸ μὲν γὰρ μήτε πρὸς τὰ σῖτα ἀπηγχονίσθαι, μήτε ἀνυπόδετον εἶναι τὸν προεςῶτα, οὐδὲν ἂν βλάψειε τὸ κοινὸν τῆς ἐκκλησίας· θυμὸς δὲ ἄγριος, εἰς τε τὸν

[1]) 1 Тим. 3. 2.

κεκτημένον, εἴς τε τοὺς πλησίον μεγάλας ἐργάζεται συμφοράς· καὶ τοῖς μὲν ἐκεῖνα μὴ ποιοῦσιν οὐδεμία ἀπειλὴ παρὰ τοῦ Θεοῦ κεῖται· τοῖς δὲ ἁπλῶς ὀργιζομένοις, γέεννα καὶ τὸ τῆς γεέννης ἠπείληται πῦρ [1]). Ὥσπερ οὖν ὁ δόξης ἐρῶν κενῆς, ὅταν τῆς τῶν πολλῶν ἀρχῆς ἐπιλάβηται, μείζονα τῷ πυρὶ παρέχει τὴν ὕλην· οὕτως ὁ καθ' ἑαυτὸν καὶ ἐν ταῖς πρὸς ὀλίγους ὁμιλίαις κρατεῖν ὀργῆς μὴ δυνάμενος, ἀλλ' ἐκφερόμενος εὐχερῶς, ὅταν πλήθους ὅλου προστασίαν ἐμπιστευθῇ, καθάπερ τι θηρίον πανταχόθεν καὶ ὑπὸ μυρίων κεντούμενον, οὔτε αὐτὸς ἐν ἡσυχίᾳ δύναιτ' ἄν ποτε διάγειν, καὶ τοὺς ἐμπιστευθέντας αὐτῷ μυρία διατίθησι κακά.

14. Οὐδὲν γὰρ οὕτω καθαρότητα νοῦ καὶ τὸ διειδὲς θολοῖ τῶν φρενῶν, ὡς θυμὸς ἄτακτος καὶ μετὰ πολλῆς φερόμενος τῆς ῥύμης· θυμὸς γάρ, φησιν, ἀπόλλυσι καὶ τοὺς φρονίμους [2]), καθάπερ γὰρ ἔν τινι νυκτομαχίᾳ σκοτωθεὶς ὁ τῆς ψυχῆς ὀφθαλμὸς οὐχ εὑρίσκει διακρῖναι τοὺς φίλους τῶν πολεμίων, οὐδὲ τοὺς ἐντίμους τῶν ἀτίμων, ἀλλὰ πᾶσιν ἐφεξῆς ἑνὶ κέχρηται τρόπῳ, κἂν λαβεῖν τι δέῃ κακόν, ἅπαντα εὐκόλως ὑπομένων, ὑπὲρ τοῦ πληρῶσαι τὴν τῆς ψυχῆς ἡδονήν. Ἡδονὴ γάρ τίς ἐστιν ἡ τοῦ θυμοῦ πύρωσις, καὶ ἡδονῆς χαλεπώτερον τυραννεῖ τὴν ψυχήν, πᾶσαν αὐτῆς τὴν ὑγιῆ κατάστασιν ἄνω καὶ κάτω ταράττουσα. Καὶ γὰρ πρὸς ἀπόνοιαν αἴρει ῥᾳδίως, καὶ ἔχθρας ἀκαίρους, καὶ μῖσος ἄλογον, καὶ προσκρούματα ἁπλῶς καὶ εἰκῆ προσκρούειν παρασκευάζει συνεχῶς· καὶ πολλὰ ἕτερα τοιαῦτα καὶ λέγειν καὶ πράττειν βιάζεται, πολλῷ τῷ ῥοίζῳ τοῦ πάθους τῆς ψυχῆς ὑποσυρομένης καὶ οὐκ ἐχούσης, ὅπου τὴν αὐτῆς ἐρείσασα δύναμιν ἀντιστήσεται πρὸς τοσαύτην ὁρμήν. ΒΑΣ. Ἀλλ' οὐκ ἔτι σε εἰρωνευόμενον ἀνέξομαι περαιτέρω· τίς γὰρ οὐκ οἶδε, φησιν, ὅσον ταύτης ἀπέχεις τῆς νόσου; ΙΩ. Τί οὖν, ἔφην, ὦ μακάριε, βούλει πλησίον με τῆς πυρᾶς ἀγαγεῖν καὶ παροξῦναι τὸ θηρίον ἠρεμοῦν; ἢ ἀγνοεῖς, ὡς οὐκ οἰκείᾳ τοῦτο κατωρθώσαμεν ἀρετῇ, ἀλλ' ἐκ τοῦ τὴν ἡσυχίαν ἀγαπᾶν, τὸν δὲ οὕτω διακείμενον, ἀγαπητὸν ἐφ' ἑαυτοῦ μένοντα καὶ ἑνὶ μόνῳ ἢ δευτέρῳ χρώμενον φίλῳ, δυνηθῆναι τὸν ἐκεῖθεν διαφυγεῖν ἐμπρησμόν, μὴ ὅτι εἰς τὴν ἄβυσσον τῶν τοσούτων

---

[1]) Мат. 5. 22. [2]) Прит. 15. 1.

ἐμπεσόντα φροντίδων; τότε γὰρ οὐχ ἑαυτὸν μόνον, ἀλλὰ καὶ ἑτέρους πολλοὺς ἐπισύρει μεθ' ἑαυτοῦ πρὸς τὸν τῆς ἀπωλείας κρημνὸν, καὶ περὶ τὴν τῆς ἐπιεικείας ἐπιμέλειαν ἀργοτέρους καθίςησι. Πέφυκε γὰρ, ὡς τὰ πολλὰ, τὸ τῶν ἀρχομένων πλῆθος. ὥσπερ εἰς ἀρχέτυπόν τινα εἰκόνα, τοὺς τῶν ἀρχόντων τρόπους ὁρᾶν καὶ πρὸς ἐκείνους ἐξομοιοῦν ἑαυτούς. Πῶς οὖν ἄν τις τὰς ἐκείνων παύσειε φλεγμονὰς, οἰδαίνων αὐτός; τίς δ' ἂν ἐπιθυμήσειε ταχέως τῶν πολλῶν γενέσθαι μέτριος, τὸν ἄρχοντα ὀργίλον ὁρῶν; οὐ γάρ ἐςιν, οὐκ ἔςι δυνατὸν, τὰ τῶν ἱερέων κρύπτεσθαι ἐλαττώματα, ἀλλὰ καὶ τὰ μικρὰ ταχέως κατάδηλα γίνεται. Καὶ γὰρ ἀθλητὴς, ἕως μὲν ἂν οἴκοι μένῃ καὶ μηδενὶ συμπλέκηται, δύναται λανθάνειν, κἂν ἀσθενέςατος ὢν τύχῃ· ὅταν δὲ αποδύσηται πρὸς τοὺς ἀγῶνας [1]), ῥαδίως ἐλέγχεται. Καὶ τῶν ἀνθρώπων τοίνυν οἱ μὲν τὸν ἰδιωτικὸν τοῦτον καὶ ἀπράγμονα βιοῦντες βίον, ἔχουσι παραπέτασμα τῶν ἰδίων ἁμαρτημάτων τὴν μόνωσιν· εἰς δὲ τὸ μέσον ἀχθέντες, καθάπερ ἱμάτιον τὴν ἠρεμίαν ἀποδῦναι ἀναγκάζονται, καὶ πᾶσι γυμνὰς ἐπιδεῖξαι τὰς ψυχὰς διὰ τῶν ἔξωθεν κινημάτων. Ὥσπερ οὖν αὐτῶν τὰ κατορθώματα πολλοὺς ὤνησε, πρὸς τὸν ἴσον παρακαλοῦντα ζῆλον· οὕτω καὶ τὰ πλημμελήματα ῥαθυμοτέρους κατέςησε περὶ τὴν τῆς ἀρετῆς ἐργασίαν, καὶ βλακεύειν πρὸς τοὺς ὑπὲρ τῶν σπουδαίων παρεσκεύασε πόνους. Διὸ χρὴ πάντοθεν αὐτοῦ [2]) τὸ κάλλος ἀποςίλβειν τῆς ψυχῆς, ἵνα καὶ εὐφραίνειν ἅμα καὶ φωτίζειν δύνηται τὰς τῶν ὁρώντων ψυχάς. Τὰ μὲν γὰρ τῶν τυχόντων ἁμαρτήματα, ὥσπερ ἐν τινι σκότῳ πραττόμενα, τοὺς ἐργαζομένους ἀπώλεσε μόνους· ἀνδρὸς δὲ ἐπιφανοῦς καὶ πολλοῖς γνωρίμου πλημμέλεια κοινὴν ἅπασι φέρει τὴν βλάβην, τοὺς μὲν ἀναπεπτωκότας πρὸς τους ὑπὲρ τῶν ἀγαθῶν ἱδρῶτας, ὑπτιωτέρους ποιοῦσα, τοὺς δὲ προσέχειν ἑαυτοῖς βουλομένους ἐρεθίζουσα πρὸς ἀπόνοιαν. Χωρὶς δὲ τούτων τὰ μὲν τῶν εὐτελῶν παραπτώματα, κἂν εἰς τὸ μέσον ἔλθῃ, οὐδένα ἐπληξεν ἀξιόλογον πληγήν· οἱ δὲ ἐν τῇ κορυφῇ ταύτης καθήμενοι τῆς τιμῆς πρῶτον μὲν πᾶσίν εἰσι κατάδηλοι, ἔπειτα κἂν ἐν τοῖς μικροτάτοις

---

[1]) Ἀποδῦναι πρός τι, или ἐπί τι, или ἐπί τινι, **употребляется вм.** ἑτοιμάζεσθαι, **готовиться къ чему-нибудь. приступать къ какому-либо дѣлу.**

[2]) **Т. е. человѣка, стоящаго выше другихъ по своему сану.**

σφαλῶσι, μεγάλα τὰ μικρὰ τοῖς ἄλλοις φαίνεται· οὐ γὰρ τῷ τοῦ γεγονότος μεγέθει, ἀλλὰ τῇ τοῦ διαμαρτόντος ἀξίᾳ τὴν ἁμαρτίαν μετροῦσιν ἅπαντες. Καὶ δεῖ τὸν ἱερέα καθάπερ τισὶν ἀδαμαντίνοις ὅπλοις πεφράχθαι πάντοθεν· τῇ τε συντόνῳ σπουδῇ, καὶ τῇ διηνεκεῖ περὶ τὸν βίον νήψει, πάντοθεν περισκοποῦντα, μή πού τις γυμνὸν εὑρὼν τόπον καὶ παρημελημένον, πλήξῃ καιρίαν πληγήν· πάντες γὰρ περιεστήκασι, τρῶσαι ἕτοιμοι καὶ καταβαλεῖν, οὐ τῶν ἐχθρῶν μόνον καὶ πολεμίων, ἀλλὰ καὶ αὐτῶν πολλοὶ τῶν προσποιουμένων φιλίαν. Τοιαύτας οὖν ἐπιλέγεσθαι δεῖ ψυχὰς, οἷα τὰ τῶν ἁγίων ἐκείνων ἀπέδειξε σώματα ἡ τοῦ Θεοῦ χάρις, ἐν τῇ Βαβυλωνίᾳ καμίνῳ ποτέ [1]). Οὐ γὰρ κληματὶς καὶ πίσσα καὶ στυππεῖον ἡ τοῦ πυρὸς τούτου τροφὴ, ἀλλὰ πολὺ τούτων χαλεπωτέρα· ἐπεὶ μηδὲ πῦρ τὸ αἰσθητὸν ὑπόκειται ἐκεῖνο, ἀλλ' ἡ παμφάγος αὐτὸν τῆς βασκανίας περιστοιχίζεται φλὸξ, πανταχόθεν αἰρομένη καὶ ἀκριβέστερον αὐτῶν ἐπιοῦσα καὶ διερευνωμένη τὸν βίον, ἢ τὸ πῦρ τότε τῶν παίδων ἐκείνων τὰ σώματα. Ὅταν οὖν εὕρῃ καλάμης ἴχνος μικρὸν, προσπλέκεται ταχέως, καὶ τὸ μὲν σαθρὸν ἐκεῖνο κατέκαυσε μέρος, τὴν δὲ λοιπὴν ἅπασαν οἰκοδομὴν, κἂν τῶν ἡλιακῶν ἀκτίνων λαμπροτέρα οὖσα τύχῃ, ἀπ' ἐκείνου τοῦ καπνοῦ προσέφλεξε καὶ ἠμαύρωσεν ἅπασαν. Ἕως μὲν γὰρ ἂν πανταχόθεν ἡρμοσμένος ᾖ καλῶς ὁ τοῦ ἱερέως βίος, ἀνάλωτος γίνεται ταῖς ἐπιβουλαῖς· ἂν δὲ τύχῃ μικρόν τι παριδὼν, οἷα εἰκὸς ἄνθρωπον ὄντα καὶ τὸ πολυπλανὲς τοῦ βίου τούτου περαιοῦντα πέλαγος, οὐδὲν αὐτῷ τῶν λοιπῶν κατορθωμάτων ὄφελος, πρὸς τὸ δυνηθῆναι τὰ τῶν κατηγόρων στόματα διαφυγεῖν, ἀλλ' ἐπισκιάζει παντὶ τῷ λοιπῷ τὸ μικρὸν ἐκεῖνο παράπτωμα· καὶ οὐχ ὡς σάρκα περικειμένῳ, οὐδὲ ἀνθρωπείαν λαχόντι φύσιν, ἀλλ' ὡς ἀγγέλῳ καὶ τῆς λοιπῆς ἀσθενείας ἀπηλλαγμένῳ, δικάζειν ἅπαντες ἐθέλουσι τῷ ἱερεῖ. Καὶ καθάπερ τύραννον, ἕως μὲν ἂν κρατῇ, ἅπαντες πεφρίκασι καὶ κολακεύουσι, διὰ τὸ μὴ δύνασθαι καθελεῖν· ὅταν δὲ ἴδωσιν εἰς τοὐναντίον προχωροῦντα ἐκείνου τὰ πράγματα, τὴν μεθ' ὑποκρίσεως ἀφέντες τιμὴν οἱ πρὸ μικροῦ φίλοι γεγόνασιν ἐξαίφνης ἐχθροὶ καὶ πολέμιοι, καὶ πάντα αὐτοῦ τὰ σαθρὰ κατα-

[1]) Дан. 3. 22—46.

μαθόντες ἐπιτίθενται παραλύοντες τῆς ἀρχῆς· οὕτω δὴ καὶ ἐπὶ τῶν ἱερέων, οἱ πρὸ βραχέος, καὶ ἡνίκα ἐκράτει, τιμῶντες καὶ θεραπεύοντες, ὅταν μικρὰν εὕρωσι λαβὴν, παρασκευάζονται σφοδρῶς οὐχ ὡς τύραννον μόνον, ἀλλὰ καὶ τι τούτου χαλεπώτερον καθαιρήσειν μέλλοντες. Καὶ ὥσπερ ἐκεῖνος τοὺς τοῦ σώματος φύλακας δέδοικεν· οὕτω καὶ οὗτος τοὺς πλησίον καὶ συλλειτουργοῦντας αὐτῷ μάλιςα πάντων τρέμει· οὔτε γὰρ ἕτεροί τινες οὕτω τῆς ἀρχῆς ἐπιθυμοῦσι τῆς ἐκείνου, καὶ τὰ ἐκείνου μάλιςα πάντων ἴσασιν, ὡς οὗτοι· ἐγγύθεν γὰρ ὄντες, εἴ τι συμβαίη τοιοῦτο, πρὸ τῶν ἄλλων αἰσθάνονται· καὶ δύναιντ' ἂν εὐχερῶς καὶ διαβάλλοντες πιςευθῆναι, καὶ τὰ μικρὰ μεγάλα ποιοῦντες τὸν συκοφαντούμενον ἑλεῖν· τὸ γὰρ ἀποςολικὸν ἐκεῖνο ῥῆμα ἀντέςραπται [1]· «καὶ εἴτε πάσχει ἓν μέλος, συγχαίρει πάντα τὰ μέλη· εἴτε δοξάζεται ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη» [2]· πλὴν εἴ τις εὐλαβείᾳ πολλῇ πρὸς ἅπαντα ςῆναι δυνηθείη. Εἰς τοσοῦτον οὖν ἡμᾶς ἐκπέμπεις πόλεμον; καὶ πρὸς μάχην οὕτω καὶ ποικίλην καὶ πολυειδῆ τὴν ἡμετέραν ἐνόμισας ἀρκέσειν ψυχήν; πόθεν, καὶ παρὰ τίνος μαθών; εἰ μὲν γὰρ ὁ Θεὸς ἐγνώρισε τοῦτο, ἐπίδειξον τὸν χρησμὸν, καὶ πείθομαι· εἰ δὲ οὐκ ἔχεις, ἀλλ' ἀπὸ δόξης ἀνθρωπίνης φέρεις τὴν ψῆφον, ἀπαλλάγηθί ποτε ἐξαπατώμενος· ὑπὲρ γὰρ τῶν ἡμετέρων ἡμῖν μᾶλλον, ἢ ἑτέροις πείθεσθαι δίκαιον, ἐπειδὴ τὰ τοῦ ἀνθρώπου οὐδεὶς οἶδεν, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ [3]. Ὅτι γὰρ καὶ ἡμᾶς αὐτοὺς καὶ τοὺς ἑλομένους [4] καταγελάςους ἂν ἐποιήσαμεν, ταύτην δεξάμενοι τὴν ἀρχὴν, καὶ μετὰ πολλῆς τῆς ζημίας εἰς ταύτην ἂν ἐπανήλθομεν τοῦ βίου τὴν κατάςασιν, ἐν ᾗ καὶ νῦν ἐσμὲν, εἰ καὶ μὴ πρότερον, ἀλλὰ νῦν σε τούτοις οἶμαι πεπεικέναι τοῖς ῥήμασιν. Οὐδὲ γὰρ βασκανία μόνον, ἀλλὰ πολλῷ καὶ τῆς βασκανίας σφοδρότερον, ἡ τῆς ἀρχῆς ταύτης ἐπιθυμία, τοὺς πολλοὺς ὁπλίζειν εἴωθε κατὰ τοῦ ταύτην ἔχοντος. Καὶ καθάπερ οἱ φίλαρχοι [5]) τῶν παίδων βαρύνονται τὸ

---

[1]) Ἀντέςραπται (изъ ἀντί и ςρέφω), получаетъ обратное направленіе, оправдывается въ обратномъ смыслѣ.

[2]) 1 Кор. 12. 26. [3]) 1 Кор. 2. 11.

[4]) Οἱ ἑλόμενοι (отъ αἱρέομαι), избиратели.

[5]) Въ другихъ спискахъ: φιλάργυροι.

τῶν πατέρων γῆρας· οὕτω καὶ τούτων τινές, ὅτ' ἂν ἴδωσιν εἰς μακρὸν παραταθεῖσαν τὴν ἱερωσύνην χρόνον, ἐπειδὴ ἀνελεῖν οὐκ εὐαγές, παραλῦσαι σπεύδουσιν αὐτὸν τῆς ἀρχῆς, πάντες ἀντ' ἐκείνου γενέσθαι ἐπιθυμοῦντες, καὶ εἰς ἑαυτὸν ἕκαστος μεταπεσεῖσθαι τὴν ἀρχὴν προσδοκῶντες.

15. Βούλει σοι καὶ ἕτερον ἐπιδείξω ταύτης τῆς μάχης εἶδος, μυρίων ἐμπεπλησμένον κινδύνων; ἴθι δή, καὶ διάκυψον εἰς τὰς δημοτελεῖς ἑορτάς, ἐν αἷς μάλιστα τῶν ἐκκλησιαστικῶν ἀρχῶν τὰς αἱρέσεις ποιεῖσθαι νόμος· καὶ τοσαύταις ὄψει κατηγορίαις τὸν ἱερέα βαλλόμενον, ὅσον τῶν ἀρχομένων τὸ πλῆθός ἐστι. Πάντες γὰρ οἱ δοῦναι κύριοι τὴν τιμὴν εἰς πολλὰ τότε σχίζονται μέρη, καὶ οὔτε πρὸς ἀλλήλους, οὔτε πρὸς αὐτὸν τὸν λαχόντα τὴν ἐπισκοπήν, τὸ τῶν πρεσβυτέρων συνέδριον ὁμογνωμονοῦν ἴδοι τις ἄν, ἀλλ' ἕκαστος καθ' ἑαυτὸν ἕστηκασιν, ὁ μὲν τοῦτον, ὁ δὲ ἐκεῖνον αἱρούμενος. Τὸ δὲ αἴτιον, οὐχ εἰς ἓν πάντες ὁρῶσιν, εἰς ὃ μόνον ὁρᾶν ἐχρῆν, τῆς ψυχῆς τὴν ἀρετήν, ἀλλ' εἰσὶ καὶ ἕτεραι προφάσεις αἱ ταύτης πρόξενοι τῆς τιμῆς· οἷον, ὁ μέν, ὅτι γένους ἐστὶ λαμπροῦ, ἐγκρινέσθω, φησίν· ὁ δέ, ὅτι πλοῦτον περιβέβληται πολύν, καὶ οὐκ ἂν δέοιτο τρέφεσθαι ἐκ τῶν τῆς ἐκκλησίας προσόδων· ὁ δέ, ὅτι παρὰ τῶν ἐχθρῶν ηὐτομόλησε· καὶ ὁ μὲν τὸν οἰκείως πρὸς αὐτὸν διακείμενον, ὁ δὲ τὸν γένει προσήκοντα, ὁ δὲ τὸν κολακεύοντα πάλιν τῶν ἄλλων προτιμᾶν σπουδάζουσιν· εἰς δὲ τὸν ἐπιτήδειον οὐδεὶς ὁρᾶν βούλεται, οὐδὲ ψυχῆς τινα ποιεῖσθαι βάσανον. Ἐγὼ δὲ τοσούτου δέω, ταύτας ἡγεῖσθαι τὰς αἰτίας ἀξιοπίστους εἶναι πρὸς τὴν τῶν ἱερέων δοκιμασίαν, ὡς μηδὲ εἴ τις πολλὴν εὐλάβειαν ἐπιδείξαιτο, τὴν οὐ μικρὸν ἡμῖν πρὸς τὴν ἀρχὴν συντελοῦσαν ἐκείνην, μηδὲ τοῦτον ἀπὸ ταύτης εὐθέως ἐγκρίνειν τολμᾶν, εἰ μὴ μετὰ τῆς εὐλαβείας πολλὴν καὶ τὴν σύνεσιν ἔχων τύχοι. Καὶ γὰρ οἶδα πολλοὺς ἐγὼ τῶν ἅπαντα τὸν χρόνον καθειρξάντων ἑαυτοὺς καὶ νηστείαις δαπανηθέντων, ὅτι, ἕως μὲν αὐτοῖς μόνοις εἶναι ἐξῆν καὶ τὰ αὐτῶν μεριμνᾶν, εὐδοκίμουν παρὰ Θεῷ καὶ καθ' ἑκάστην ἡμέραν ἐκείνῃ προσετίθεσαν τῇ φιλοσοφίᾳ μέρος οὐ μικρόν· ἐπειδὴ δὲ εἰς τὸ πλῆθος ἦλθον, καὶ τὰς τῶν πολλῶν ἀμαθίας ἐπανορθοῦν ἠναγκάσθησαν, οἱ μὲν οὐδὲ τὴν ἀρχὴν ἤρκεσαν πρὸς τὴν τοσαύτην πραγματείαν, οἱ δὲ

βιασθέντες ἐπιμεῖναι, τὴν προτέραν ἀκρίβειαν ῥίψαντες, ἑαυτούς τε ἐζημίωσαν τὰ μέγιστα, καὶ ἑτέρους ὤνησαν οὐδέν. Ἀλλ' οὐδὲ εἴ τις τὸν ἅπαντα χρόνον ἀνήλωσεν ἐν τῇ ἐσχάτῃ τῆς λειτουργίας τάξει μένων, καὶ εἰς ἔσχατον ἤλασε γῆρας, τοῦτον ἁπλῶς διὰ τὴν ἡλικίαν αἰδεσθέντες, ἐπὶ τὴν ἀρχὴν οἴσομεν τὴν ἀνωτέρω· τί γάρ, εἰ καὶ μετὰ τὴν ἡλικίαν ἐκείνην ἀνεπιτήδειος ὢν μένοι; καὶ οὐ τὴν πολιὰν ἀτιμάσαι βουλόμενος, οὐδὲ νομοθετῶν, τοὺς ἀπὸ χοροῦ μοναζόντων ἥκοντας πάντως ἀπείργεσθαι τῆς τοιαύτης ἐπιστασίας, ταῦτα εἶπον νῦν (συνέβη γὰρ πολλοὺς καὶ ἐξ ἐκείνης ἐλθόντας τῆς ἀγέλης, εἰς ταύτην διαλάμψαι τὴν ἀρχήν)· ἀλλ' ἐκεῖνο δεῖξαι σπουδάζων, ὅτι εἰ μήτε εὐλάβεια καθ' ἑαυτὴν, μήτε γῆρας μακρὸν, ἱκανὰ γένοιτ' ἂν δεῖξαι τὸν κεκτημένον ἱερωσύνης ἄξιον ὄντα, σχολῇ γ' [1]) ἂν αἱ προειρημέναι προφάσεις τοῦτο ἐργάσαιντο. Οἱ δὲ καὶ ἑτέρας προστιθέασιν ἀτοπωτέρας [2])· καὶ γὰρ οἱ μὲν, ἵνα μὴ μετὰ τῶν ἐναντίων τάξωσιν ἑαυτοὺς, εἰς τὴν τοῦ κλήρου καταλέγονται τάξιν· οἱ δὲ διὰ πονηρίαν, καὶ ἵνα μὴ παροφθέντες μεγάλα ἐργάσωνται κακά. Ἆρα γένοιτ' ἄν τι τούτου παρανομώτερον; ὅτ' ἂν ἄνθρωποι μοχθηροὶ, καὶ μυρίων γέμοντες κακῶν, διὰ ταῦτα θεραπεύωνται, δι' ἃ κολάζεσθαι ἔδει, καὶ ὧν ἕνεκεν μηδὲ τὸν οὐδὸν τῆς ἐκκλησίας ὑπερβαίνειν ἐχρῆν, ὑπὲρ τούτων καὶ εἰς τὴν ἱερατικὴν ἀναβαίνωσιν ἀξίαν; ἔτι οὖν ζητήσομεν, εἰπέ μοι, τοῦ Θεοῦ τῆς ὀργῆς τὴν αἰτίαν, πράγματα οὕτως ἅγια καὶ φρικωδέστατα ἀνθρώποις τοῖς μὲν πονηροῖς, τοῖς δὲ οὐδενὸς ἀξίοις λυμαίνεσθαι παρέχοντες; ὅτ' ἂν γὰρ οἱ μὲν μηδὲν αὐτοῖς προσηκόντων, οἱ δὲ τῶν πολλῷ μειζόνων τῆς οἰκείας δυνάμεως προστασίαν ἐμπιστευθῶσιν, οὐδὲν Εὐρίπου [3]) τὴν ἐκκλησίαν διαφέρειν ποιοῦσιν. Ἐγὼ δὲ πρότερον τῶν ἔξωθεν ἀρχόντων κατεγέλων, ὅτι τὰς τῶν τιμῶν διανομὰς οὐκ ἀπὸ τῆς ἀρετῆς τῆς ἐν ταῖς ψυχαῖς, ἀλλ' ἀπὸ τῶν χρημάτων

---

[1]) Σχολῇ вм. μόλις или οὐδαμῶς, съ трудомъ, едвали, никакимъ образомъ. Σχολῇ γε, послѣ предшествующихъ εἰ δὲ μή, значитъ: гораздо менѣе.

[2]) Подразумѣвается προφάσεις.

[3]) Еврипъ, узкій проливъ, отдѣляющій островъ Евбею отъ Віотіи и Аттики, въ которомъ вода, по сказанію Грековъ, прибываетъ и убываетъ семь разъ въ день и семь разъ ночью. См. Pauly Real-Encyclopädie der class. Alterthums подъ словомъ Euripus.

καὶ πλήθους ἐτῶν καὶ ἀνθρωπίνης ποιοῦνται προςασίας· ἐπεὶ δὲ ἤκουσα, ὅτι αὕτη ἡ ἀλογία καὶ εἰς τὰ ἡμέτερα εἰσεκώμασεν, οὐκ ἔτι ὁμοίως ἐποιούμην τὸ πρᾶγμα δεινόν. Τί γὰρ θαυμαςόν, ἀνθρώπους βιωτικοὺς καὶ δόξης τῆς παρὰ τῶν πολλῶν ἐρῶντας καὶ χρημάτων ἕνεκα πάντα πράττοντας, ἁμαρτάνειν τοιαῦτα, ὅπουγε οἱ πάντων ἀπηλλάχθαι προσποιούμενοι τούτων, οὐδὲν ἄμεινον ἐκείνων διάκεινται, ἀλλ' ὑπὲρ τῶν οὐρανίων τὸν ἀγῶνα ἔχοντες, ὡς περὶ πλέθρων γῆς, ἢ ἑτέρου τινὸς τοιούτου, τῆς βουλῆς αὐτοῖς προκειμένης, ἁπλῶς ἀνθρώπους ἀγελαίους λαβόντες ἐφιςᾶσι πράγμασι τοιούτοις, ὑπὲρ ὧν καὶ τὴν ἑαυτοῦ κενῶσαι δόξαν, καὶ ἄνθρωπος γενέσθαι, καὶ δούλου μορφὴν λαβεῖν, καὶ ἐμπτυσθῆναι, καὶ ῥαπισθῆναι, καὶ θάνατον τὸν ἐπονείδιςον ἀποθανεῖν διὰ τῆς σαρκός, οὐ παρῃτήσατο ὁ μονογενὴς τοῦ Θεοῦ παῖς; καὶ οὐδὲ μέχρι τούτων οὗτοι ἵςανται μόνον, ἀλλὰ καὶ ἕτερα προστιθέασιν ἀτοπώτερα· οὐ γὰρ τοὺς ἀναξίους ἐγκρίνουσι μόνον, ἀλλὰ καὶ τοὺς ἐπιτηδείους ἐκβάλλουσιν. Ὥσπερ γὰρ δέον ἀμφοτέρωθεν λυμήνασθαι τῆς ἐκκλησίας τὴν ἀσφάλειαν, ἢ ὥσπερ οὐκ ἀρκούσης τῆς προτέρας προφάσεως ἐκκαῦσαι τοῦ Θεοῦ τὴν ὀργήν, οὕτω τὴν δευτέραν συνῆψαν, οὐχ ἧττον οὖσαν χαλεπήν· καὶ γὰρ ἐξ ἴσης οἶμαι εἶναι δεινόν, τό τε τοὺς χρησίμους ἀπείργειν, καὶ τὸ τοὺς ἀχρείους εἰσωθεῖν· καὶ τοῦτο δὲ γίνεται, ἵνα μηδαμόθεν παραμυθίαν εὑρεῖν μηδὲ ἀναπνεῦσαι δυνηθῇ τοῦ Χριςοῦ τὸ ποίμνιον. Ταῦτα οὖν οὐ μυρίων ἄξια σκηπτῶν; ταῦτα οὐ γεέννης σφοδροτέρας, οὐ ταύτης μόνον τῆς ἠπειλημένης ἡμῖν; ἀλλ' ὅμως ἀνέχεται καὶ φέρει τὰ τοσαῦτα κακὰ ὁ μὴ βουλόμενος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιςρέψαι αὐτὸν καὶ ζῆν [1]). Καὶ πῶς ἄν τις αὐτοῦ τὴν φιλανθρωπίαν θαυμάσειε; πῶς ἂν ἐκπλαγείη τὸν ἔλεον; οἱ τοῦ Χριςοῦ τὰ τοῦ Χριςοῦ διαφθείρουσιν ἐχθρῶν καὶ πολεμίων μᾶλλον· ὁ δὲ ἀγαθὸς ἔτι χρηςεύεται, καὶ εἰς μετάνοιαν καλεῖ. Δόξα σοι, Κύριε, δόξα σοι· πόση φιλανθρωπίας ἄβυσσος παρά σοι! πόσος ἀνεξικακίας πλοῦτος! Οἱ, διὰ τὸ ὄνομα τὸ σόν, ἐξ εὐτελῶν καὶ ἀτίμων ἔντιμοι καὶ περίβλεπτοι γεγονότες, τῇ τιμῇ κατὰ τοῦ τετιμηκότος κέχρηνται, καὶ τολμῶσι τὰ ἀτόλ-

---

[1]) Ιεζ. 18. 23, 32; 33. 11.

μητα, καὶ ἐνυβρίζουσιν εἰς τὰ ἅγια, τοὺς σπουδαίους ἀπωθούμενοι καὶ ἐκβάλλοντες, ἵνα ἐν ἠρεμίᾳ πολλῇ καὶ μετὰ ἀδείας τῆς ἐσχάτης οἱ πονηροὶ πάντα, ὅσαπερ ἂν ἐθέλωσιν, ἀνατρέπωσι. Καὶ τούτου δὲ τοῦ δεινοῦ τὰς αἰτίας εἰ θέλεις μαθεῖν, ὁμοίας ταῖς προτέραις εὑρήσεις· τὴν μὲν γὰρ ῥίζαν καὶ (ὡς ἄν τις εἴποι) μητέρα μίαν ἔχουσι, τὴν βασκανίαν· αὗται δὲ οὐ μιᾶς εἰσιν ἰδέας, ἀλλὰ διεστήκασιν. Ὁ μὲν γὰρ, ἐπειδὴ νέος ἐστὶν, ἐκβαλλέσθω, φησίν· ὁ δὲ, ἐπειδὴ κολακεύειν οὐκ οἶδεν· ὁ δὲ, ἐπειδὴ τῷ δεῖνι προσέκρουσεν· καὶ ὁ μὲν, ἵνα μὴ ὁ δεῖνα λυπῆται, τὸν μὲν ὑπ' αὐτοῦ δοθέντα ἀποδοκιμασθέντα, τοῦτον δὲ ἐγκεκριμένον ὁρῶν· ὁ δὲ, ἐπειδὴ χρηστός ἐστι καὶ ἐπιεικής· ὁ δὲ, ἐπειδὴ τοῖς ἁμαρτάνουσι φοβερός· ὁ δὲ, δι' ἄλλην αἰτίαν τοιαύτην· οὐδὲ γὰρ ἀποροῦσι προφάσεων, ὅσων ἂν ἐθέλωσιν· ἀλλὰ καὶ τὸ πλῆθος τῶν ὄντων ἐστὶν αὐτοῖς αἰτιᾶσθαι, ὅτ' ἂν μηδὲν ἔχωσιν ἕτερον· ἀλλὰ καὶ τὸ μὴ δεῖν ἀθρόως εἰς ταύτην ἄγεσθαι τὴν τιμὴν, ἀλλ' ἠρέμα καὶ κατὰ μικρόν· καὶ ἑτέρας, ὅσας ἂν βούλωνται, δύναιντ' ἂν αἰτίας εὑρεῖν. Ἐγὼ δὲ ἡδέως ἐνταῦθα ἐρήσομαι, τί οὖν δεῖ τὸν ἐπίσκοπον ποιεῖν τοσούτοις μαχόμενον πνεύμασι; πῶς πρὸς τοσαῦτα στήσεται κύματα; πῶς πάσας ταύτας ἀπώσεται τὰς προσβολάς; ἂν μὲν γὰρ ὀρθῷ λογισμῷ τὸ πρᾶγμα διαθῇ, ἐχθροὶ καὶ πολέμιοι καὶ αὐτῷ καὶ τοῖς αἱρεθεῖσιν ἅπαντες· καὶ πρὸς φιλονεικίαν τὴν ἐκείνου ἅπαντα πράττουσι, στάσεις καθ' ἑκάστην ἐμβάλλοντες τὴν ἡμέραν, καὶ σκώμματα μυρία τοῖς αἱρεθεῖσιν ἐπιτιθέντες, ἕως ἂν ἢ τούτους ἐκβάλωσιν ἢ τοὺς αὐτῶν εἰσαγάγωσιν· καὶ γίγνεται παραπλήσιον, οἷον ἂν εἴ τις κυβερνήτης ἔνδον ἐν τῇ νηῒ τῇ πλεούσῃ πειρατὰς ἔχοι συμπλέοντας, καὶ αὐτῷ καὶ τοῖς ναύταις καὶ τοῖς ἐπιβάταις συνεχῶς καὶ καθ' ἑκάστην ἐπιβουλεύοντας ὥραν. Ἂν δὲ τὴν πρὸς ἐκείνους χάριν προτιμήσῃ τῆς αὐτοῦ σωτηρίας, δεξάμενος οὓς οὐκ ἔδει, ἕξει μὲν τὸν Θεὸν ἀντ' ἐκείνων ἐχθρὸν, οὗ τί γένοιτ' ἂν χαλεπώτερον; καὶ τὰ πρὸς ἐκείνους δὲ αὐτῷ δυσκολώτερον ἢ πρότερον διακείσεται, πάντων συμπραττόντων ἀλλήλοις, καὶ τούτων μᾶλλον ἰσχυρῶν γενομένων· ὥσπερ γὰρ ἀγρίων ἀνέμων ἐξ ἐναντίας προσπεσόντων ἀλλήλοις, τὸ τέως ἡσυχάζον πέλαγος μαίνεται ἐξαίφνης καὶ κορυφοῦται, καὶ τοὺς ἐμπλέοντας ἀπόλλυσιν, οὕτω καὶ ἡ τῆς ἐκκλησίας γαλήνη,

δεξαμένη φθόρους ἀνθρώπους, ζάλης καὶ ναυαγίων πληροῦται πολλῶν.

16. Ἐννόησον οὖν, ὁποῖόν τινα εἶναι χρὴ τὸν πρὸς τοσοῦτον μέλλοντα ἀνθέξειν χειμῶνα, καὶ τοσαῦτα κωλύματα τῶν κοινῇ συμφερόντων διαθήσειν καλῶς. Καὶ γὰρ καὶ σεμνὸν καὶ ἄτυφον, καὶ φοβερὸν καὶ προσηνῆ, καὶ ἀρχικὸν καὶ κοινωνικὸν, καὶ ἀδέκαστον καὶ θεραπευτικὸν, καὶ ταπεινὸν καὶ ἀδούλωτον, καὶ σφοδρὸν καὶ ἥμερον εἶναι δεῖ· ἵνα πρὸς ἅπαντα ταῦτα εὐκόλως μάχεσθαι δύνηται. καὶ τὸν ἐπιτήδειον μετὰ πολλῆς τῆς ἐξουσίας, κἂν ἅπαντες ἀντιπίπτωσι, παράγειν, καὶ τὸν οὐ τοιοῦτον μετὰ τῆς αὐτῆς ἐξουσίας, κἂν ἅπαντες συμπνέωσι, μὴ προσίεσθαι, ἀλλ' εἰς ἓν μόνον ὁρᾶν, τὴν ἐκκλησιαστικὴν οἰκοδομὴν, καὶ μηδὲν πρὸς ἀπέχθειαν ἢ χάριν ποιεῖν. Ἆρά σοι δοκοῦμεν εἰκότως παρῃτῆσθαι τοῦ πράγματος τούτου τὴν διακονίαν; καί τοι γε οὔπω πάντα διῆλθον πρός σε, ἔχω γὰρ καὶ ἕτερα λέγειν· ἀλλὰ μὴ ἀποκάμῃς ἀνδρὸς φίλου καὶ γνησίου, βουλομένου σε πείθειν, ὑπὲρ ὧν ἐγκαλεῖς, ἀνεχόμενος. Οὐδὲ γὰρ πρὸς τὴν ἀπολογίαν σοι τὴν ὑπὲρ ἡμῶν ταῦτα χρήσιμά ἐστι μόνον, ἀλλὰ καὶ πρὸς αὐτὴν τοῦ πράγματος τὴν διοίκησιν τάχα οὐ μικρὸν συμβαλεῖται κέρδος. Καὶ γὰρ ἀναγκαῖον, τὸν μέλλοντα ἐπὶ ταύτην ἔρχεσθαι τοῦ βίου τὴν ὁδὸν, πρότερον ἅπαντα διερευνησάμενον καλῶς οὕτως ἅψασθαι τῆς διακονίας· τί δήποτε; ὅτι εἰ καὶ μηδὲν ἄλλο, τὸ γοῦν μὴ ξενοπαθεῖν, ἡνίκα ἂν ταῦτα προσπίπτῃ, περιέσται τῷ πάντα εἰδότι σαφῶς. Βούλει οὖν ἐπὶ τὴν τῶν χηρῶν προστασίαν ἴωμεν πρότερον, ἢ τὴν τῶν παρθένων κηδεμονίαν, ἢ τοῦ δικαστικοῦ μέρους τὴν δυσχέρειαν; καὶ γὰρ ἐφ' ἑκάστου τούτων διάφορος ἡ φροντὶς, καὶ τῆς φροντίδος μείζων ὁ φόβος. Καὶ πρῶτον, ἵνα ἀπὸ τοῦ τῶν ἄλλων εὐτελεστέρου δοκοῦντος εἶναι ποιησώμεθα τὴν ἀρχὴν, ἡ τῶν χηρῶν θεραπεία, δοκεῖ μὲν μέχρι τῆς τῶν χρημάτων δαπάνης τοῖς ἐπιμελουμένοις αὐτῶν παρέχειν τὴν φροντίδα [1]· τὸ δὲ οὐ τοιοῦτόν ἐστιν, ἀλλὰ πολλῆς δεῖται κἀνταῦθα τῆς ἐξετάσεως, ὅτ' ἂν αὐτὰς καταλέγειν δέῃ· ὡς τό γε ἁπλῶς καὶ ὡς ἔτυχεν αὐτὰς ἐγγράφεσθαι, μυρία εἰργάσατο δεινά. Καὶ γὰρ οἴκους διέφ-

---

[1]) 1 Тим. 5. 16.

θειραν καὶ γάμους διέσπασαν, καὶ ἐπὶ κλοπαῖς πολλάκις καὶ ἐπὶ καπηλείαις καὶ ἑτέροις τοιούτοις ἀσχημονοῦσαι ἑάλωσαν· τὸ δὲ τὰς τοιαύτας ἀπὸ τῶν τῆς ἐκκλησίας τρέφεσθαι χρημάτων, καὶ παρὰ Θεοῦ τιμωρίαν καὶ παρὰ ἀνθρώπων φέρει τὴν ἐσχάτην κατάγνωσιν, καὶ τοὺς εὖ ποιεῖν βουλομένους ὀκνηροτέρους καθίςησι· τίς γὰρ ἂν ἕλοιτό ποτε, ἃ τῷ Χριςῷ προσετάγθη δοῦναι χρήματα, ταῦτα ἀναλίσκειν εἰς τοὺς τὸ τοῦ Χριςοῦ διαβάλλοντας ὄνομα; διὰ ταῦτα πολλὴν δεῖ καὶ ἀκριβῆ ποιεῖσθαι τὴν ἐξέτασιν, ὡς μὴ μόνον τὰς εἰρημένας, ἀλλὰ μηδὲ τὰς ἑαυταῖς ἀρκεῖν δυναμένας τὴν τῶν ἀδυνάτων λυμαίνεσθαι τράπεζαν. Μετὰ δὲ τὴν ἐξέτασιν ταύτην ἑτέρα διαδέχεται φροντὶς οὐ μικρὰ, ἵνα αὐταῖς τὰ τῆς τροφῆς ἀθρόως, ὥσπερ ἐκ πηγῶν, ἐπιῤῥέῃ καὶ μὴ διαλιμπάνῃ ποτέ. Καὶ γὰρ ἀκόρεςόν πως κακὸν ἡ ἀκούσιος πενία, καὶ μεμψίμοιρον, καὶ ἀχάριςον· καὶ δεῖ πολλῆς μὲν τῆς συνέσεως, πολλῆς δὲ τῆς σπουδῆς, ὥςε αὐτῶν ἐμφράττειν τὰ ςόματα, πᾶσαν ἐξαιροῦντα κατηγορίας πρόφασιν. Οἱ μὲν οὖν πολλοὶ, ὅτ' ἄν τινα ἴδωσι χρημάτων κρείττονα, εὐθέως αὐτὸν ἐπιτήδειον εἶναι πρὸς ταύτην ἀποφαίνονται τὴν οἰκονομίαν· ἐγὼ δὲ οὐχ ἡγοῦμαί ποτε ταύτην αὐτῷ τὴν μεγαλοψυχίαν ἀρκεῖν μόνον, ἀλλὰ δεῖν μὲν αὐτὴν πρὸ τῶν ἄλλων ἔχειν (χωρὶς γὰρ ταύτης λυμεὼν ἂν εἴη μᾶλλον ἢ προςάτης, καὶ λύκος ἀντὶ ποιμένος)· μετὰ δὲ αὐτῆς καὶ ἑτέραν δεῖ ζητεῖν, εἰ κεκτημένος τυγχάνοι. Αὕτη δέ ἐςιν ἡ πάντων αἰτία ἀνθρώποις τῶν ἀγαθῶν, ἀνεξικακία, ὥσπερ εἴς τινα εὔδιον λιμένα ὁρμίζουσα καὶ παραπέμπουσα τὴν ψυχήν. Τὸ γὰρ τῶν χηρῶν γένος καὶ διὰ τὴν πενίαν, καὶ διὰ τὴν ἡλικίαν, καὶ διὰ τὴν φύσιν, ἀμέτρῳ τινὶ κέχρηται παῤῥησίᾳ (οὕτω γὰρ ἄμεινον εἰπεῖν)· καὶ βοῶσιν ἀκαίρως, καὶ αἰτιῶνται μάτην, καὶ ἀποδύρονται ὑπὲρ ὧν χάριν εἰδέναι ἐχρῆν, καὶ κατηγοροῦσιν ὑπὲρ ὧν ἀποδέχεσθαι ἔδει· καὶ δεῖ τὸν προεςῶτα ἅπαντα φέρειν γενναίως, καὶ μήτε πρὸς τὰς ἀκαίρους ἐνοχλήσεις, μήτε πρὸς τὰς ἀλόγους παροξύνεσθαι μέμψεις. Ἐλεεῖσθαι γὰρ ἐκεῖνο τὸ γένος, ὑπὲρ ὧν δυςυχοῦσιν, οὐχ ὑβρίζεσθαι δίκαιον· ὡς τόγε ἐπεμβαίνειν αὐτῶν ταῖς συμφοραῖς, καὶ τῇ διὰ τὴν πενίαν ὀδύνῃ τὴν ἀπὸ τῆς ὕβρεως προστιθέναι, τῆς ἐσχάτης ὠμότητος ἂν εἴη. Διὰ τοῦτο καί τις ἀνὴρ σοφώτατος, εἴς τε τὸ φιλοκερδὲς καὶ τὸ ὑπεροπ-

τικὸν τῆς ἀνθρωπίνης φύσεως ἀπιδὼν, καὶ τῆς πενίας τὴν φύσιν καταμαθὼν, δεινὴν οὖσαν καὶ τὴν γενναιοτάτην ψυχὴν καταβαλεῖν, καὶ πεῖσαι περὶ τῶν αὐτῶν ἀναισχυντεῖν πολλάκις,—ἵνα μή τις αἰτούμενος παρ' αὐτῶν ὀργίζηται, μηδὲ τῷ συνεχεῖ τῆς ἐντεύξεως παροξυνθεὶς, πολέμιος, ὁ βοηθεῖν ὀφείλων, γένηται,—παρασκευάζει προσηνῆ τε αὐτὸν καὶ εὐπρόσιτον εἶναι τῷ δεομένῳ, λέγων· «κλῖνον πτωχῷ ἀλύπως τὸ οὖς σου, καὶ ἀποκρίθητι αὐτῷ ἐν πραότητι εἰρηνικά» [1]). Καὶ τὸν παροξύνοντα ἀφεὶς,—τί γὰρ ἂν τις τῷ κειμένῳ [2]) λέγοι;—τῷ δυναμένῳ τὴν ἐκείνου φέρειν ἀσθένειαν διαλέγεται, παρακαλῶν, τῷ τε ἡμέρῳ τῆς ὄψεως καὶ τῇ τῶν λόγων πραότητι πρὸ τῆς δόσεως αὐτὸν ἀνορθοῦν. Ἂν δὲ τις τὰ μὲν ἐκείνων μὴ λαμβάνῃ, μυρίοις δὲ αὐτὰς ὀνείδεσι περιβάλλῃ, καὶ ὑβρίζῃ, καὶ παροξύνηται κατ' αὐτῶν· οὐ μόνον οὐκ ἐπεκούφισε τὴν ἀπὸ τῆς πενίας ἀθυμίαν τῷ δοῦναι, ἀλλὰ καὶ μεῖζον ταῖς λοιδορίαις εἰργάσατο τὸ δεινόν. Κἂν γὰρ λίαν ἀναισχυντεῖν βιάζωνται διὰ τὴν τῆς γαστρὸς ἀνάγκην, ἀλλ' ὅμως ἀλγοῦσιν ἐπὶ τῇ βίᾳ ταύτῃ, ὅτ' ἂν οὖν διὰ μὲν τὸ τοῦ λιμοῦ δέος προσαιτεῖν ἀναγκάζωνται, διὰ δὲ τὸ προσαιτεῖν ἀναιδεύεσθαι, διὰ δὲ τὸ ἀναιδεύεσθαι πάλιν ὑβρίζωνται· ποικίλη τις καὶ πολὺν φέρουσα τὸν ζόφον ἐπὶ τὴν ψυχὴν ἐκείνων κατασκήπτει τῆς ἀθυμίας ἡ δύναμις. Καὶ δεῖ τὸν τούτων ἐπιμελούμενον ἐπὶ τοσοῦτον εἶναι μακρόθυμον, ὡς μὴ μόνον αὐταῖς μὴ πλεονάζειν τὴν ἀθυμίαν ταῖς ἀγανακτήσεσιν, ἀλλὰ καὶ τῆς οὔσης τὸ πλέον κοιμίζειν διὰ τῆς παρακλήσεως· ὥσπερ γὰρ ἐκεῖνος ὁ ὑβρισθεὶς ἐν πολλῇ περιουσίᾳ οὐκ αἰσθάνεται τῆς ἀπὸ τῶν χρημάτων ὠφελείας, διὰ τὴν ἀπὸ τῆς ὕβρεως πληγὴν, οὕτω καὶ οὗτος ὁ προσηνῆ λόγον ἀκούσας, καὶ μετὰ παρακλήσεως τὸ διδόμενον δεξάμενος, γάννυται πλέον, καὶ χαίρει, καὶ διπλοῦν αὐτῷ τὸ δοθὲν τῷ τρόπῳ γίγνεται. Καὶ ταῦτα οὐκ ἀπ' ἐμαυτοῦ, ἀλλ' ἀπ' ἐκείνου τοῦ τὰ πρότερα παραινέσαντος φθέγγομαι. «Τέκνον γάρ, φησιν· ἐν ἀγαθοῖς μὴ δῷς μῶμον, καὶ ἐν πάσῃ δόσει λύπην λόγων· οὐχὶ καύσωνα ἀναπαύσει δρόσος; οὕτω κρεῖσσον λόγος ἢ δόσις· ἰδοὺ γὰρ λόγος ὑπὲρ δόμα

---

[1]) Сир. 4. 8.

[2]) Ὁ κείμενος въ смыслѣ: больный, неспособный къ внимательному слушанію.

ἀγαθὸν, καὶ ἀμφότερα παρὰ ἀνδρὶ κεχαριτωμένῳ» [1]). Οὐκ ἐπιεικῆ δὲ μόνον καὶ ἀνεξίκακον τὸν τούτων προστάτην, ἀλλὰ καὶ οἰκονομικὸν οὐχ ἧττον εἶναι χρή· ὡς ἐὰν τοῦτο ἀπῇ, πάλιν εἰς τὴν ἴσην περιίσταται ζημίαν τὰ τῶν πενήτων χρήματα. Ἤδη γάρ τις ταύτην πιστευθεὶς τὴν διακονίαν, καὶ χρυσὸν συναγαγὼν πολὺν, αὐτὸς μὲν οὐ κατέφαγεν, ἀλλ᾿ οὐδὲ εἰς τοὺς δεομένους, πλὴν ὀλίγων, ἀνάλωσε, τὸ δὲ πλέον κατορύξας ἐφύλαττεν, ἕως οὗ καιρὸς χαλεπὸς ἐπιστὰς παρέδωκεν αὐτὰ ταῖς τῶν ἐναντίων χερσί. Πολλῆς οὖν δεῖ τῆς προμηθείας, ὡς μήτε πλεονάζειν, μήτε ἐλλείπειν τῆς ἐκκλησίας τὴν περιουσίαν· ἀλλὰ πάντα μὲν σκορπίζειν ταχέως τοῖς δεομένοις τὰ ποριζόμενα, ἐν δὲ ταῖς τῶν ἀρχομένων προαιρέσεσι συνάγειν τῆς ἐκκλησίας τοὺς θησαυρούς. Τὰς δὲ τῶν ξένων ὑποδοχὰς, καὶ τὰς τῶν ἀσθενούντων θεραπείας, πόσης μὲν οἴει δεῖσθαι χρημάτων δαπάνης, πόσης δὲ τῆς τῶν ἐπιστατούντων ἀκριβείας τε καὶ συνέσεως; καὶ γὰρ τῆς εἰρημένης ἀναλώσεως ταύτην ἥττονα μὲν οὐδαμῶς, πολλάκις δὲ καὶ μείζονα εἶναι ἀνάγκη, καὶ τὸν ἐπιστατοῦντα ποριστικόν τινα μετ᾿ εὐλαβείας καὶ φρονήσεως, ὡς παρασκευάζειν καὶ φιλοτίμως καὶ ἀλύπως διδόναι τοὺς κεκτημένους τὰ παρ᾿ ἑαυτῶν, ἵνα μὴ, τῆς τῶν ἀσθενούντων ἀναπαύσεως προνοῶν, τὰς τῶν παρεχόντων πλήττῃ ψυχάς. Τὴν δὲ προθυμίαν καὶ τὴν σπουδὴν πολλῷ πλείονα ἐνταῦθα ἐπιδείκνυσθαι δεῖ· δυσάρεστον γάρ πως οἱ νοσοῦντες χρῆμα καὶ ῥᾴθυμον· κἂν μὴ πολλὴ πανταχόθεν εἰσφέρηται ἀκρίβεια καὶ φροντὶς, ἀρκεῖ καὶ τὸ μικρὸν ἐκεῖνο παροφθὲν μεγάλα ἐργάσασθαι τῷ νοσοῦντι κακά.

17. Ἐπὶ δὲ τῆς τῶν παρθένων ἐπιμελείας τοσούτῳ μείζων ὁ φόβος, ὅσῳ καὶ τὸ κτῆμα τιμιώτερον, καὶ βασιλικωτέρα αὕτη τῶν ἄλλων ἡ ἀγέλη (ἤδη γὰρ καὶ εἰς τὸν τῶν ἁγίων τούτων χορὸν μυρίαι, μυρίων γέμουσαι κακῶν, εἰσεκώμασαν)· μεῖζον δὲ ἐνταῦθα τὸ πένθος. Καὶ καθάπερ οὐκ ἴσον, κόρην τε ἐλευθέραν καὶ τὴν ταύτης θεράπαιναν ἁμαρτεῖν, οὕτως οὐδὲ παρθένον καὶ χήραν· ταῖς μὲν γὰρ καὶ ληρεῖν, καὶ λοιδορεῖσθαι πρὸς ἀλλήλας, καὶ κολακεύειν καὶ ἀναισχυντεῖν, καὶ πανταχοῦ φαίνεσθαι. καὶ

---

[1]) Сир. 18. 15—17.

τὸ περιϊέναι τὴν ἀγορὰν, γέγονεν ἀδιάφορον· ἡ δὲ παρθένος ἐπὶ μείζοσιν ἀπεδύσατο, καὶ τὴν ἀνωτάτω φιλοσοφίαν ἐζήλωσε, καὶ τὴν τῶν ἀγγέλων πολιτείαν δεῖξαι ἐπὶ τῆς γῆς ἐπαγγέλλεται, καὶ μετὰ τῆς σαρκὸς ταύτης τὰ τῶν ἀσωμάτων αὐτῇ δυνάμεων κατορθῶσαι πρόκειται· καὶ οὐ δεῖ οὔτε προόδους περιττὰς ποιεῖσθαι καὶ πολλὰς, οὔτε ῥήματα αὐτῇ φθέγγεσθαι εἰκῇ καὶ μάτην ἐφεῖται· λοιδορίας δὲ καὶ κολακείας οὐδὲ τοὔνομα εἰδέναι χρή. Διὰ τοῦτο ἀσφαλεστάτης φυλακῆς καὶ πλείονος δεῖται τῆς συμμαχίας· ὅτε γὰρ τῆς ἁγιωσύνης ἐχθρὸς ἀεὶ καὶ μᾶλλον αὐταῖς ἐφεστηκε καὶ προσεδρεύει, καταπιεῖν ἕτοιμος, εἴπου τις ἐξολισθήσειε καὶ καταπέσοι, ἀνθρώπων τε οἱ ἐπιβουλεύοντες πολλοὶ, καὶ μετὰ τούτων ἁπάντων ἡ τῆς φύσεως μανία· καὶ ἁπλῶς πρὸς διπλοῦν τὸν πόλεμον ἡ παράταξις αὐτῇ, τὸν μὲν ἔξωθεν προσβάλλοντα, τὸν δὲ ἔσωθεν ἐνοχλοῦντα. Διὰ ταῦτα τῷ γοῦν ἐπιστατοῦντι πολὺς μὲν ὁ φόβος, μείζων δὲ ὁ κίνδυνος, καὶ ἡ ὀδύνη, εἴ ποτέ τι τῶν ἀβουλήτων (ὃ μὴ γένοιτο) συμβαίη ποτέ. Εἰ γὰρ «πατρὶ θυγάτηρ ἀπόκρυφος ἀγρυπνία, καὶ ἡ μέριμνα αὐτῆς ἀφιστᾷ ὕπνον» [1]), ὅπου περὶ τοῦ στειρωθῆναι ἢ παρακμάσαι ἢ μισηθῆναι τοσοῦτον δέος, τί πείσεται ὁ τούτων μὲν οὐδὲν, ἕτερα δὲ τούτων πολλῷ μείζονα μεριμνῶν; οὐ γὰρ ἀνὴρ ἐνταῦθα ὁ ἀθετούμενος, ἀλλ' αὐτὸς ὁ Χριστός· οὐδὲ μέχρις ὀνειδῶν ἡ στείρωσις, ἀλλ' εἰς ἀπώλειαν ψυχῆς τελευτᾷ τὸ δεινόν· «πᾶν γὰρ δένδρον, φησὶ, μὴ ποιοῦν καρπὸν καλὸν, ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται» [2])· καὶ μισηθείσῃ δὲ παρὰ τοῦ νυμφίου, οὐκ ἀρκεῖ λαβεῖν ἀποστασίου βιβλίον καὶ ἀπελθεῖν, ἀλλὰ κόλασιν αἰώνιον τοῦ μίσους δίδωσι τὴν τιμωρίαν. Καὶ ὁ μὲν κατὰ σάρκα πατὴρ πολλὰ ἔχει τὰ ποιοῦντα αὐτῷ τὴν φυλακὴν εὔκολον τῆς θυγατρός· καὶ γὰρ καὶ ἡ μήτηρ. καὶ τροφὸς, καὶ θεραπαινῶν πλῆθος, καὶ οἰκίας ἀσφάλεια συναντιλαμβάνεται τῷ γεννησαμένῳ πρὸς τὴν τῆς παρθένου τήρησιν· οὔτε γὰρ εἰς ἀγορὰν αὐτὴν ἐμβάλλειν ἐφίεται συνεχῶς, οὔτε, ἡνίκα ἂν ἐμβάλλῃ, φαίνεσθαί τινι τῶν ἐντυγχανόντων ἀναγκάζεται, τοῦ σκότους τῆς ἑσπέρας οὐχ ἧττον τῶν τῆς οἰκίας τοίχων καλύπτοντος τὴν φανῆναι μὴ βουλομένην· χωρὶς δὲ τούτων

---

[1]) Сир. 42. 9. [2]) Лук. 3. 9.

πάσης αἰτίας ἀπήλλακται, ὡς μὴ ἄν ποτε εἰς ἀνδρῶν ὄψιν βιασθῆναι ἐλθεῖν· οὔτε γὰρ ἡ τῶν ἀναγκαίων φροντίς, οὔτε αἱ τῶν ἀδικούντων ἐπήρειαι, οὐδ' ἄλλο τοιοῦτον οὐδὲν εἰς ἀνάγκην αὐτὴν τοιαύτης συντυχίας καθίστησιν, ἀντὶ πάντων αὐτῇ γινομένου τοῦ πατρός· αὕτη δὲ μίαν ἔχει φροντίδα μόνον, τὸ μηδὲν ἀνάξιον μήτε πρᾶξαι μήτε εἰπεῖν τῆς αὐτῇ προσηκούσης κοσμιότητος. Ἐνταῦθα δὲ πολλὰ τὰ ποιοῦντα τῷ πατρὶ δύσκολον, μᾶλλον δὲ καὶ ἀδύνατον, τὴν φυλακήν· οὔτε γὰρ ἔνδον ἔχειν αὐτὴν μεθ' ἑαυτοῦ δύναιτ' ἄν· οὔτε γὰρ εὐσχήμων οὔτε ἀκίνδυνος ἡ τοιαύτη συνοίκησις· κἂν γὰρ μηδὲν αὐτοὶ ζημιωθῶσιν, ἀλλ' ἀκεραίαν μείνωσι τὴν ἁγιωσύνην φυλάττοντες, οὐκ ἐλάττονα δώσουσι λόγον, ὑπὲρ ὧν ἐσκανδάλισαν ψυχῶν, ἢ εἰ εἰς ἀλλήλους ἁμαρτάνοντες ἔτυχον. Τούτου δὲ οὐκ ὄντος δυνατοῦ, οὔτε τὰ κινήματα τῆς ψυχῆς καταμαθεῖν εὔπορον, καὶ τὰ μὲν ἀτάκτως φερόμενα περικόψαι, τὰ δὲ ἐν τάξει καὶ ῥυθμῷ μᾶλλον ἀσκῆσαι καὶ ἐπὶ τὸ βέλτιον ἀγαγεῖν· οὔτε τὰς ἐξόδους περιεργάζεσθαι ῥᾴδιον. Ἡ γὰρ πενία, καὶ τὸ ἀπροστάτευτον, οὐκ ἀφίησιν αὐτὸν ἀκριβῆ τῆς ἐκείνης προσηκούσης εὐκοσμίας γενέσθαι ἐξεταστήν· ὅταν γὰρ ἑαυτῇ πάντα διακονεῖν ἀναγκάζηται, πολλάς, εἴ γε βούλοιτο μὴ σωφρονεῖν, τῶν προόδων τὰς προφάσεις ἔχει· καὶ δεῖ τὸν κελεύοντα διαπαντὸς οἴκοι μένειν καὶ ταύτας περικόψαι τὰς προφάσεις, καὶ τὴν τῶν ἀναγκαίων αὐτάρκειαν παρασχόντα καὶ τὴν πρὸς ταῦτα διακονησαμένην αὐτῇ· δεῖ δὲ καὶ ἐκφορῶν καὶ παννυχίδων ἀπείργειν· οἶδε γάρ, οἶδεν ὁ πολυμήχανος ὄφις ἐκεῖνος, καὶ διὰ χρηστῶν πράξεων τὸν αὑτοῦ παρασπείρειν ἰόν· καὶ χρὴ τὴν παρθένον πανταχόθεν τειχίζεσθαι, καὶ ὀλιγάκις τοῦ παντὸς ἐνιαυτοῦ προβαίνειν τῆς οἰκίας, ὅτ' ἂν ἀπαραίτητοι καὶ ἀναγκαῖαι κατεπείγωσι προφάσεις. Εἰ δὲ λέγοι τις, οὐδὲν εἶναι τούτων ἔργον τῷ ἐπισκόπῳ μεταχειρίζειν, εὖ ἴσω, ὅτι τῶν ἐφ' ἑκάστῳ γινομένων αἱ φροντίδες καὶ αἱ αἰτίαι εἰς ἐκεῖνον ἔχουσι τὴν ἀναφοράν. Πολλῷ δὲ λυσιτελέστερον αὐτὸν ἅπαντα διακονούμενον ἀπηλλάχθαι ἐγκλημάτων, ἃ διὰ τὰς τῶν ἑτέρων ἁμαρτίας ὑπομένειν ἀνάγκη, ἢ τῆς διακονίας ἀφειμένον, τὰς ὑπὲρ ὧν ἔπραξαν ἕτεροι τρέμειν εὐθύνας. Πρὸς δὲ τούτοις ὁ μὲν δι' ἑαυτοῦ ταῦτα πράττων μετὰ πολλῆς τῆς εὐκολίας ἅπαντα διεξέρχεται· ὁ δὲ ἀναγκαζόμενος μετὰ τοῦ

πείθειν τὰς ἁπάντων γνώμας τοῦτο ποιεῖν; οὐ τοσαύτην ἔχει τὴν ἄνεσιν ἐκ τοῦ τῆς αὐτουργίας ἀφεῖσθαι, ὅσα πράγματα καὶ θορύβους διὰ τοὺς ἀντιπίπτοντας καὶ ταῖς αὐτοῦ κρίσεσι μαχομένους. Ἀλλὰ πάσας μὲν οὐκ ἂν δυναίμην καταλέγειν τὰς ὑπὲρ τῶν παρθένων φροντίδας· καὶ γὰρ καὶ ὅτ' ἂν αὐτὰς ἐγγράφεσθαι δέοι, οὐ τὰ τυχόντα παρέχουσι πράγματα τῷ ταύτην πεπιςευμένῳ τὴν οἰκονομίαν.

18. Τὸ τῶν κρίσεων μέρος [1]) μυρίας μὲν ἔχει τὰς ἀπεχθείας, πολλὴν δὲ τὴν ἀσχολίαν, καὶ δυσκολίας τοσαύτας, ὅσας οὐδὲ οἱ τοῖς ἔξωθεν δικάζειν καθήμενοι φέρουσι· καὶ γὰρ εὑρεῖν αὐτὸ τὸ δίκαιον, ἔργον· καὶ εὑρόντα μὴ διαφθεῖραι, χαλεπόν. Οὐκ ἀσχολία δὲ μόνον καὶ δυσκολία, ἀλλα καὶ κίνδυνος πρόσεςιν οὐ μικρός· ἤδη γάρ τινες τῶν ἀσθενεςέρων πράγμασιν ἐμπεσόντες, ἐπειδὴ προςασίας οὐκ ἔτυχον, ἐναυάγησαν περὶ τὴν πίςιν. Πολλοὶ γὰρ τῶν ἠδικημένων οὐχ ἧττον τῶν ἠδικηκότων τοὺς μὴ βοηθοῦντας μισοῦσι· καὶ οὔτε πραγμάτων διαςροφὴν, οὔτε καιρῶν χαλεπότητα, οὔτε ἱερατικῆς δυναςείας μέτρον, οὔτε ἄλλο τοιοῦτον οὐδὲν λογίζεσθαι βούλονται· ἀλλ' εἰσὶν ἀσύγγνωςοι δικαςαὶ, μίαν ἀπολογίαν εἰδότες, τὴν τῶν συνεχόντων αὐτοὺς κακῶν ἀπαλλαγήν· ὁ δὲ μὴ δυνάμενος ταύτην παρασχεῖν, κἂν μυρίας λέγῃ προφάσεις, οὐδέποτε τὴν κατάγνωσιν φεύξεται τὴν παρ' ἐκείνων. Ἐπειδὴ δὲ προςασίας ἐμνήσθην, φέρε σοι καὶ ἑτέραν μέμψεων ἀποκαλύψω πρόφασιν· εἰ γὰρ μὴ καθ' ἑκάςην ἡμέραν μᾶλλον τῶν ἀγοραίων [2]) περινοςεῖ τὰς οἰκίας ὁ τὴν ἐπισκοπὴν ἔχων, προσκρούματα ἐντεῦθεν ἀμύθητα. Οὐδὲ γὰρ ἀῤῥωςοῦντες μόνον, ἀλλὰ καὶ ὑγιαίνοντες ἐπισκοπεῖσθαι βούλονται, οὐ τῆς εὐλαβείας αὐτοὺς ἐπὶ τοῦτο προσκαλουμένης, τιμῆς δὲ καὶ ἀξιώματος οἱ πολλοὶ ἀντιποιούμενοι μᾶλλον. Εἰ δέ ποτε συμβαίη, τινὰ τῶν πλουσιωτέρων καὶ δυνατωτέρων, χρείας τινὸς κατεπειγούσης, εἰς τὸ κοινὸν τῆς ἐκκλησίας κέρδος, συνεχέςερον ἰδεῖν· εὐθέως ἐντεῦθεν θωπείας καὶ κολακείας προσετρίψατο δόξαν. Καὶ τί λέγω προςασίας καὶ ἐπισκέψεις; ἀπὸ γὰρ τῶν προσρήσεων μόνον τοσοῦτον φέρουσιν

---

[1]) Разумѣются дѣла церковнаго суда.

[2]) Οἱ ἀγοραῖοι, городскіе смотрители, или блюстители порядка въ городѣ.

ἐγκλημάτων ἄχθος, ὡς καὶ βαρύνεσθαι καὶ καταπίπτειν ὑπὸ τῆς ἀθυμίας πολλάκις. Ἤδη δὲ καὶ βλέμματος εὐθύνας ὑπέχουσι· τα γὰρ ἁπλῶς παρ᾽ αὐτῶν γινόμενα βασανίζουσιν ἀκριβῶς οἱ πολλοί, καὶ μέτρον φωνῆς ἐξετάζοντες, καὶ διάθεσιν ὄψεως, καὶ ποσότητα γέλωτος· πρὸς τὸν δεινά, φησι. δαψιλῶς ἐπεγέλασε καὶ φαιδρῷ τῷ προσώπῳ καὶ μεγάλῃ προσεῖπε τῇ φωνῇ, ἐμὲ δὲ ἔλαττον καὶ ὡς ἔτυχε· καὶ ἄν, πολλῶν συγκαθημένων, μὴ πανταχοῦ περιφέρει τοὺς ὀφθαλμοὺς διαλεγόμενος, ὕβριν τὸ πρᾶγμά φασιν οἱ πολλοί. Τίς οὖν μὴ λίαν ἰσχυρὸς ὢν τοσούτοις ἂν ἀρκέσειε κατηγόροις, ἢ πρὸς τὸ μήδ᾽ ὅλως γραφῆναι παρ᾽ αὐτῶν, ἢ πρὸς τὸ διαφυγεῖν μετὰ τὴν γραφήν; δεῖ μὲν γὰρ μηδὲ ἔχειν κατηγόρους· εἰ δὲ τοῦτο ἀδύνατον, ἀπολύεσθαι τὰ παρ᾽ ἐκείνων ἐγκλήματα· εἰ δὲ οὐδὲ τοῦτο εὔπορον, ἀλλὰ τέρπονταί τινες εἰκῇ καὶ ἁπλῶς αἰτιώμενοι, γενναίως πρὸς τὴν τῶν μέμψεων τούτων ἀθυμίαν ἵςασθαι. Ὁ μὲν γὰρ δικαίως ἐγκαλούμενος κἂν ἐνέγκῃ τὸν ἐγκαλοῦντα ῥαδίως· ἐπειδὴ γὰρ οὐκ ἔςι πικρότερός τις τοῦ συνειδότος κατήγορος, διὰ τοῦτο, ὅτ᾽ ἂν ὑπ᾽ ἐκείνου τοῦ χαλεπωτάτου πρότερον ἁλῶμεν, τοὺς ἔξωθεν ἡμερωτέρους ὄντας εὐκόλως φέρομεν· ὁ δὲ οὐδὲν ἑαυτῷ συνειδέναι πονηρὸν ἔχων, ὅτ᾽ ἂν ἐγκαλῆται μάτην, καὶ πρὸς ὀργὴν ἐκφέρεται ταχέως, καὶ πρὸς ἀθυμίαν καταπίπτει ῥαδίως, ἂν μὴ πρότερον ᾖ τῇ ψυχῇ μεμελετηκὼς τὰς τῶν πολλῶν φέρειν ἀνοίας· οὐ γάρ ἐςιν, οὐκ ἔςι συκοφαντούμενον εἰκῇ καὶ καταδικαζόμενον μὴ ταράττεσθαι καὶ πάσχειν τι πρὸς τὴν τοσαύτην ἀλογίαν. Τί ἄν τις λέγοι τὰς λύπας, ἃς ὑπομένουσιν, ἡνίκα ἂν δέῃ τινὰ τοῦ τῆς ἐκκλησίας περικόψαι πληρώματος; εἴθε μὲν οὖν μέχρι λύπης ἵςατο τὸ δεινόν· νῦν δὲ καὶ ὄλεθρος οὐ μικρός. Δέος γάρ, μή ποτε πέρα τοῦ δέοντος κολασθεὶς ἐκεῖνος πάθῃ τοῦτο δὴ τὸ ὑπὸ τοῦ μακαρίου Παύλου λεχθέν, καὶ ὑπὸ τῆς περισσοτέρας λύπης καταποθῇ [1]· πλείςης οὖν κἀνταῦθα δέοι τῆς ἀκριβείας, ὥςε μὴ τὴν τῆς ὠφελείας ὑπόθεσιν μείζονος αὐτῷ γενέσθαι ζημίας ἀφορμήν. Ὧν γὰρ ἂν ἁμάρτῃ μετὰ τὴν τοιαύτην θεραπείαν ἐκεῖνος, κοινωνεῖ τῆς ἐφ᾽ ἑκάςῳ τούτων ὀργῆς ὁ μὴ καλῶς τὸ τραῦμα τεμὼν ἰατρός.

[1] 2 Κορ. 2. 7.

Πόσας οὖν χρὴ προσδοκᾶν τιμωρίας, ὅτ' ἂν μὴ μόνον, ὑπὲρ ὧν αὐτὸς ἕκαςος ἐπλημμέλησεν, ἀπαιτῆται λόγον, ἀλλὰ καὶ ὑπὲρ τῶν ἑτέροις ἁμαρτηθέντων εἰς ἔσχατον καθίσηται κίνδυνον; εἰ γὰρ τῶν οἰκείων πλημμελημάτων εὐθύνας ὑπέχοντες φρίττομεν, ὡς οὐ δυνησόμενοι τὸ πῦρ ἐκφυγεῖν ἐκεῖνο· τί χρὴ πείσεσθαι προσδοκᾶν τὸν ὑπὲρ τοσούτων ἀπολογεῖσθαι μέλλοντα; ὅτι γὰρ τοῦτό ἐςιν ἀληθές, ἄκουσον τοῦ μακαρίου Παύλου λέγοντος, μᾶλλον δὲ οὐκ ἐκείνου, ἀλλὰ τοῦ ἐν αὐτῷ λαλοῦντος Χριςοῦ· «πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε, ὅτι αὐτοὶ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες» [1]). Ἆρα μικρὸς οὗτος ὁ τῆς ἀπειλῆς φόβος; οὐκ ἔςιν εἰπεῖν. Ἀλλὰ καὶ τοὺς σφόδρα ἀπειθεῖς καὶ σκληροὺς ἱκανὰ ταῦτα πεῖσαι, ὡς οὔτε ἀπονοίᾳ οὔτε φιλοδοξίᾳ ἁλόντες, ὑπὲρ δὲ ἑαυτῶν δεδοικότες μόνον, καὶ εἰς τὸν τοῦ πράγματος ὄγκον ἀποβλέψαντες, ταύτην ἐφύγομεν τὴν φυγήν.

---

## 2.

## ΛΟΓΟΣ ΠΑΡΑΙΝΕΤΙΚΟΣ

## ΕΙΣ ΘΕΟΔΩΡΟΝ ἘΚΠΕΣΟΝΤΑ [2]).

## Глав. 1—19.

1. «Τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ καὶ τοῖς ὀφθαλμοῖς μου πηγὴν δακρύων» [3]); εὔκαιρον καὶ ἐμοὶ νῦν εἰπεῖν, καὶ πολλῷ μᾶλλον, ἢ τῷ προφήτῃ τότε ἐκείνῳ. Εἰ γὰρ καὶ μὴ πόλεις πολλὰς, μηδὲ ὁλόκληρα ἔθνη μέλλοιμι πενθεῖν, ἀλλὰ πολλῶν τοιούτων ἐθνῶν ψυχὴν ἀνταξίαν, μᾶλλον δὲ καὶ τιμιωτέραν. Καὶ γὰρ εἰ κρείττων εἷς ποιῶν τὸ θέλημα τοῦ Θεοῦ, ἢ μύριοι πα-

---

[1]) Евр. 13. 17.

[2]) Это увѣщаніе считается первымъ изъ двухъ, писанныхъ къ тому же Өеодору и дошедшихъ до насъ; во второмъ большею частію повторяется содержаніе перваго.

[3]) Іер. 9. 1.

ράνομαι, κρείττων ἄρα καὶ σοῦ πρότερον ἦσθα τῶν μυριάδων τῶν Ἰουδαϊκῶν· ὥστε οὐδεὶς ἂν μοι μέμψαιτο νῦν, εἰ καὶ θρήνους τῶν ἐν τῷ προφήτῃ κειμένων πλείονας ἀναγράψαιμι καὶ σφοδροτέρους ἐπιδείξαιμι ὀδυρμούς. Οὐ γὰρ πόλεως πενθῶ κατασκαφὴν, οὐδὲ παρανόμων αἰχμαλωσίαν ἀνδρῶν, ἀλλὰ ψυχῆς ἐρήμωσιν ἱερᾶς, καὶ ναοῦ χριστοφόρου καθαίρεσιν καὶ ἀφανισμόν· τὸν γὰρ κόσμον τῆς διανοίας τῆς σῆς, ὃν κατέφλεξεν ὁ διάβολος νῦν, εἴ τις ὅτε ἔλαμπεν ᾔδει καλῶς, οὐκ ἂν ἐστέναζε τοὺς θρήνους ἐπερχόμενος τοῦ προφήτου, καὶ ἀκούων, ὅτι χεῖρες βαρβαρικαὶ τὰ ἅγια τῶν ἁγίων ἐμόλυναν, καὶ πῦρ ἐπαφεῖσαι πάντα κατέκαυσαν, τὰ Χερουβὶμ, τὴν κιβωτὸν, τὸν ἱλαστήριον, τὰς πλάκας τὰς λιθίνας, τὴν στάμνον τὴν χρυσῆν: αὕτη γὰρ, αὕτη ἡ συμφορὰ πικροτέρα ἐκείνης, ὅσῳ καὶ πολλῷ τιμιώτερα ἐκείνων σύμβολα εἰς τὴν σὴν ἐναπέκειτο ψυχήν. Οὗτος ἁγιώτερος ἐκείνου ὁ ναός· οὐδὲ γὰρ χρυσῷ καὶ ἀργύρῳ, ἀλλὰ τῇ τοῦ πνεύματος ἀπέστιλβε χάριτι, καὶ ἀντὶ τῆς κιβωτοῦ καὶ τῶν Χερουβὶμ τὸν Χριστὸν καὶ τὸν τούτου Πατέρα καὶ τὸν Παράκλητον εἶχεν ἱδρυμένον ἐν ἑαυτῷ· ἀλλὰ νῦν οὐκέτι, ἀλλ' ἔρημος μὲν καὶ γυμνὸς τοῦ κάλλους ἐκείνου καὶ τῆς εὐπρεπείας ἐστὶ, τὸν θεῖον καὶ ἄρρητον κόσμον ἀποκοσμηθεὶς, ἔρημος δὲ ἀσφαλείας ἁπάσης καὶ φυλακῆς, καὶ οὔτε θύρα, οὔτε μοχλός [1]), ἀλλὰ πᾶσιν ἀνέῳκται τοῖς ψυχοφθόροις καὶ αἰσχροῖς λογισμοῖς. Κἂν ὁ τῆς ἀλαζονείας, κἂν ὁ τῆς πορνείας, κἂν ὁ τῆς φιλαργυρίας, κἂν οἱ τούτων μιαρώτεροι βουληθῶσιν ἐπεισελθεῖν, ὁ κωλύσων οὐδείς. Πρότερον δὲ καθάπερ ὁ οὐρανὸς τούτοις ἐστὶν ἄβατος ἅπασιν, οὕτω καὶ ἡ καθαρότης τῆς διανοίας τῆς σῆς. Καὶ τάχα ἄπιστα δόξω λέγειν τισὶ τοῖς νῦν τὴν ἐρημίαν καὶ τὴν καταστροφὴν ὁρῶσι τὴν σήν· διὰ γὰρ τοῦτο κόπτομαι καὶ πενθῶ, καὶ τοῦτο ποιῶν οὐ παύσομαι, ἕως ἂν σε πάλιν ἐπὶ τῆς προτέρας ἴδω φαιδρότητος. Εἰ γὰρ καὶ τοῖς ἀνθρώποις ἀδύνατον εἶναι τοῦτο δοκεῖ, ἀλλὰ τῷ Θεῷ πάντα δυνατά. «Αὐτὸς γάρ ἐστιν ὁ ἐγείρων ἀπὸ γῆς πτωχὸν, καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα, τοῦ καθίσαι αὐτὸν μετὰ ἀρχόντων, μετὰ ἀρχόντων λαοῦ αὐτοῦ· αὐτός ἐστιν ὁ κατοικίζων στεῖραν ἐν

---

[1]) Подразумѣвается ἐστὶ; т. е. нѣтъ въ этомъ храмѣ.

οἴκῳ, μητέρα ἐπὶ τέκνοις εὐφραινομένην» [1]). Μὴ τοίνυν ἀπογνῷς τὴν ἀρίστην μεταβολήν. Εἰ γὰρ ὁ διάβολος τοσοῦτον ἴσχυσεν, ὡς ἀπὸ τῆς κορυφῆς ἐκείνης καὶ τοῦ ὕψους τῆς ἀρετῆς εἰς ἔσχατόν σε κακίας κατενεγκεῖν· πολλῷ μᾶλλον ὁ Θεὸς ἰσχύσει πρὸς ἐκείνην σε πάλιν ἀνελκύσαι τὴν παρρησίαν· καὶ οὐ τοιοῦτον μόνον, ἀλλὰ καὶ πολλῷ μακαριώτερον ἐργάσασθαι τοῦ προτέρου. Μόνον μὴ καταπέσῃς, μηδὲ τὰς χρηστὰς ἐλπίδας ἐκκόψῃς, μηδὲ πάθῃς τὰ τῶν ἀσεβῶν. Οὐ γὰρ τὸ τῶν ἁμαρτημάτων πλῆθος εἰς ἀπόγνωσιν ἐμβάλλειν εἴωθεν, ἀλλὰ τὸ ψυχὴν ἔχειν ἀσεβῆ. Διὰ τοῦτο ὁ Σολομὼν οὐχ ἁπλῶς εἶπε· πᾶς τις ἐλθὼν εἰς βάθος κακῶν καταφρονεῖ, ἀλλ' «ὁ ἀσεβὴς» μόνος [2])· ἐκείνων γὰρ μόνων τοῦτο τὸ πάθος ἐστὶν, ἐπειδὰν εἰς τὸ βάθος ἔλθωσι τῶν κακῶν. Καὶ τοῦτό ἐστιν, ὅπερ αὐτοὺς οὐκ ἀφίησιν ἀναβλέψαι καὶ ἐπανελθεῖν, ὅθεν ἐξέπεσον. Ὁ γὰρ μιαρὸς οὗτος λογισμὸς καθάπερ τις κύφων ἐπικείμενος ἐπὶ τὸν αὐχένα τῆς ψυχῆς, καὶ κάτω νεύειν καταναγκάζων αὐτὴν, κωλύει πρὸς τὸν δεσπότην ἀναβλέψαι τὸν αὐτῆς. Ἀνδρὸς δέ ἐστι γενναίου καὶ θαυμαστοῦ συντρῖψαι τοῦτο τὸ ξύλον, καὶ τὸν ἐπιτιθέντα αὐτὸ δήμιον ἀποκρούσασθαι καὶ τὰ τοῦ προφήτου φθέγξασθαι ῥήματα· «ὡς γὰρ ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς, οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν, ἕως οὗ οἰκτειρήσει ἡμᾶς· ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, ὅτι ἐπιπολὺ ἐπλήσθημεν ἐξουδενώσεως» [3]). Θεῖα ἀληθῶς ταῦτα τὰ παιδεύματα, καὶ τῆς ἀνωτάτω φιλοσοφίας δόγματα· ἐνεπλήσθημεν, φησιν, ἐξουδενώσεως, καὶ μύρια ὑπέστημεν χαλεπά· ἀλλ' ὅμως τοῦ πρὸς τὸν Θεὸν ἀναβλέπειν οὐκ ἀποστησόμεθα, οὐδὲ πρὶν ἢ λαβεῖν τὴν αἴτησιν, παυσόμεθα αἰτοῦντες αὐτόν. Τοῦτο γὰρ γενναίας ψυχῆς, μὴ καταπίπτειν, μηδὲ ἀπαγορεύειν πρὸς τὸ πλῆθος τῶν κατεχόντων δεινῶν, μηδὲ πολλάκις αἰτοῦντας καὶ ἀποτυγχάνοντας ἀναχωρεῖν, ἀλλ' ἐπιμένειν, ἕως οὗ οἰκτειρήσῃ ἡμᾶς, καθὼς καὶ ὁ μακάριος Δαβὶδ φησι.

2. Διὰ γὰρ τοῦτο ὁ διάβολος ἡμᾶς εἰς τοὺς τῆς ἀπογνώσεως ἐμβάλλει λογισμοὺς, ἵνα ἐκκόψῃ τὴν ἐλπίδα τὴν πρὸς τὸν Θεὸν, τὴν ἄγκυραν τὴν ἀσφαλῆ, τὴν ὑπόθεσιν τῆς ἡμετέρας ζωῆς,

---

[1]) Пс. 112 7—9. [2]) Прит. 18. 3. [3]) Пс. 122. 2, 3.

τὴν χειραγωγὸν τῆς πρὸς τὸν οὐρανὸν φερούσης ὁδοῦ, τὴν σωτηρίαν τῶν ἀπολλυμένων ψυχῶν. «Τῇ γὰρ ἐλπίδι,» φησὶν, «ἐσώθημεν» [1]). Αὕτη γὰρ, αὕτη καθάπερ σειρά τις ἰσχυρὰ τῶν οὐρανῶν ἐξαρτηθεῖσα τὰς ἡμετέρας διαβαστάζει ψυχὰς, κατὰ μικρὸν πρὸς τὸ ὕψος ἐκεῖνο ἀνέλκουσα τοὺς σφόδρα ἐχομένους αὐτῆς, καὶ τοῦ κλύδωνος ἡμᾶς τῶν βιωτικῶν κακῶν ὑπεραίρουσα. Ἂν οὖν τις μαλακισθῇ καὶ ἀφῇ τὴν ἄγκυραν ταύτην τὴν ἱερὰν, κατέπεσέ τε εὐθέως καὶ ἀπεπνίγη, εἰς τὴν ἄβυσσον τῆς κακίας ἐλθών. Ὅπερ εἰδὼς ὁ πονηρὸς, ἐπειδὰν ἡμᾶς αὐτοὺς τῷ τῶν πονηρῶν πράξεων βαρυνομένους συνειδότι αἴσθηται, ἐπελθὼν καὶ αὐτὸς τὸν ἐκ τῆς ἀπογνώσεως λογισμὸν ὄντα μολύβδου βαρύτερον ἐπιτίθησι· κἂν αὐτὸν παραδεξώμεθα, ἀνάγκη λοιπὸν κατασπασθέντας εὐθέως τῷ βάρει καὶ τῆς σειρᾶς ἀποῤῥαγέντας ἐκείνης κατελθεῖν εἰς τὸ βάθος τῶν κακῶν, ἔνθα καὶ αὐτὸς γέγονας νῦν· τοῦ μὲν πράου καὶ ταπεινοῦ δεσπότου τὰ προστάγματα ἀφεὶς, τοῦ δὲ ὠμοῦ καὶ τυράννου καὶ ἀσπόνδου τῆς ἡμετέρας σωτηρίας ἐχθροῦ τὰ ἐπιτάγματα ἐξανύων ἅπαντα, καὶ τὸν χρηστὸν διαῤῥήξας ζυγὸν, καὶ τὸ φορτίον ῥίψας τὸ ἐλαφρὸν, καὶ τοὺς σιδηροῦς ἀντ᾽ ἐκείνων κλοιοὺς περιθεὶς, ἔτι καὶ τὸν μύλον ἐξήρτησας τὸν ὀνικὸν τοῦ τραχήλου τοῦ σοῦ [2]). Ποῦ οὖν στήσῃ λοιπὸν καταποντίζων τὴν ἀθλίαν ψυχὴν, τοῦ κάτω φέρεσθαι διηνεκῶς τοιαύτην σαυτῷ τὴν ἀνάγκην ἐπιθείς; ἡ μὲν οὖν τὴν μίαν δραχμὴν εὑροῦσα γυνὴ τὰς γείτονας ἐκάλει τῆς εὐφροσύνης κοινωνοὺς, «συγχάρητέ μοι», λέγουσα [3])· ἐγὼ δὲ τοὺς φίλους ἅπαντας τούς τε ἐμοὺς καὶ τοὺς σοὺς ἐπὶ τοῖς ἐναντίοις παρακαλέσω νῦν, οὐ, «συγχάρητέ μοι», λέγων, ἀλλὰ συμπενθήσατε, καὶ θρῆνον ἀναλάβετε τὸν αὐτὸν, καὶ γοερὸν σὺν ἡμῖν ἀνακράξατε. Ζημία γὰρ ἡμᾶς ἐσχάτη κατείληφεν, οὐχ ὅτι χρυσίου τάλαντα τόσα καὶ τόσα τῆς ἐμῆς ἐξέπεσε χειρὸς, οὐδ᾽ ὅτι λίθων τιμίων πολὺς ἀριθμὸς, ἀλλ᾽ ὅτι τούτων ἁπάντων ὁ τιμιώτερος συμπλέων ἡμῖν ταύτην τὴν θάλασσαν τὴν μεγάλην καὶ εὐρύχωρον, οὐκ οἶδ᾽ ὅπως, ἐξολισθήσας πρὸς αὐτὸν τῆς ἀπωλείας τὸν πυθμένα κατέπεσεν.

3. Εἰ δέ τινές με τοῦ θρηνεῖν ἀπάγειν πειρῶνται, τὰ τοῦ

---

[1]) Рим. 8. 24. [2]) Мат. 18. 6. [3]) Лук. 15. 9.

προφήτου πρὸς αὐτοὺς φθέγξομαι λέγων· «ἄφετέ με, πικρῶς κλαύσομαι· μὴ κατισχύσητε παρακαλεῖν με» [1]). Οὐ γὰρ τοιοῦτον πένθος πενθῶ νῦν, ὡς καὶ κατάγνωσιν φέρειν ἡμῖν τὴν ἀμετρίαν τῶν ὀδυρμῶν· ἀλλ' ὑπὲρ οὗ κἂν εἰ Παῦλος, κἂν εἰ Πέτρος ἦν, οὐκ ἂν ἠσχύνθησαν κλαίοντες καὶ πενθοῦντες καὶ πᾶσαν παράκλησιν διωθούμενοι. Τοῖς μὲν γὰρ τὸν κοινὸν τοῦτον θάνατον ὀδυρομένοις εἰκότως ἄν τις ἐγκαλέσειε μικροψυχίαν πολλήν· ὅταν δὲ ἀντὶ σώματος ψυχὴ πρόκειται νεκρὰ, μυρίας ἔχουσα τὰς ὠτειλὰς, καὶ ἐκ αὐτῇ τῇ νεκρότητι τὴν εὐφυΐαν ἑαυτῆς ἐμφαίνουσα τὴν προτέραν, καὶ τὴν εὐεξίαν καὶ τὸ κάλλος τὸ ἀποσβεσθὲν, τίς οὕτως ὠμὸς καὶ ἀσυμπαθὴς, ὡς ἀντὶ θρήνων καὶ ὀδυρμῶν παραμυθητικοὺς λόγους προσάγειν; ὥσπερ γὰρ ἐκεῖ τὸ μὴ πενθεῖν φιλοσοφίας ἐςὶν, οὕτως ἐνταῦθα τὸ πενθεῖν. Ὁ πρὸς τὸν οὐρανὸν φθάσας, ὁ τῆς τοῦ βίου ματαιότητος καταγελῶν, ὁ τὰ κάλλη τῶν σωμάτων ὡς τὰ ἐν λίθοις [2]) ὁρῶν, ὁ χρυσοῦ μὲν ὡς πηλοῦ, τρυφῆς δὲ ἁπάσης ὡς βορβόρου καταφρονῶν, „οὗτος ἡμῖν ἐξαίφνης πυρετῷ κατασχεθεὶς ἐπιθυμίας ἀτόπου, καὶ τὴν ὑγίειαν καὶ τὴν ἀνδρείαν καὶ τὴν ὥραν ἅπασαν διέφθειρε, καὶ δοῦλος γένονε τῶν ἡδονῶν. Τοῦτον οὖν οὐ δακρύσομεν, εἰπέ μοι, καὶ κοψόμεθα ἕως ἀνακτησώμεθα πάλιν αὐτόν; καὶ ποῦ ταῦτα ἀνθρωπίνης ψυχῆς: τῆς μὲν γὰρ τοῦ σώματος νεκρώσεως τὴν λύσιν οὐκ ἔςιν εὑρεῖν ἐνταῦθα· καὶ ὅμως οὐδὲ τοῦτο τοὺς πενθοῦντας τῶν θρήνων ἀφίςησι. Ψυχῆς δὲ νέκρωσιν ἐνταῦθα μόνον ἐςὶν ἀφανίσαι δυνατόν· «ἐν γὰρ τῷ ᾅδῃ», φησί, «τίς ἐξομολογήσεταί σοι» [3]): πῶς οὖν οὐ πολλῆς βλακείας, τοὺς μὲν τὸν τοῦ σώματος θάνατον πενθοῦντας οὕτω σφοδρῶς τοῦτο ποιεῖν, καὶ ταῦτα εἰδότας, ὅτι οὐκ ἀναςήσουσι τὸν κείμενον τοῖς ὀδυρμοῖς, ἡμᾶς δὲ μηδὲν τοιοῦτον ἐπιδείκνυσθαι καὶ ταῦτα ἐπιςαμένους, ὅτι πολλάκις ἐςὶν ἐλπὶς, τὴν ἀπολωλυῖαν ψυχὴν εἰς τὴν προτέραν ζωὴν ἐπαναγαγεῖν: πολλοὶ γὰρ καὶ νῦν καὶ ἐπὶ τῶν προγόνων τῶν ἡμετέρων ἐκ τῆς ὀρθῆς περιτραπέντες ςάσεως καὶ ἐκ τῆς ἐςενοχωρημένης καταχρημνισθέντες ὁδοῦ, οὕτω διανέςησαν πάλιν,

[1]) Иса. 22. 4.

[2]) Τὰ ἐν λίθοις, качества простыхъ камней, или каменныхъ статуй.

[3]) Пс. 6. 6.



ὡς ἀποκρύψαι τοῖς δευτέροις τὰ πρότερα, καὶ τὸ βραβεῖον λαβεῖν, καὶ τὸν ςέφανον ἀναδήσασθαι καὶ μετὰ τῶν νικώντων ἀνακηρυχθῆναι, καὶ εἰς τὸν τῶν ἁγίων ἀριθμηθῆναι χορόν. Ἕως μὲν γὰρ ἐν τῇ καμίνῳ τις ἕςηκε τῶν ἡδονῶν, κἂν μυρία τοιαῦτα ὑποδείγματα ἔχῃ, ἀδύνατον αὐτῷ τὸ πρᾶγμα εἶναι δοκεῖ· ἂν δὲ ἀρχὴν βραχεῖαν μόνον λάβῃ τῆς ἐκεῖθεν ἐξόδου, προϊὼν ἀεὶ τὸ μὲν σφοδρότερον τοῦ πυρὸς κατόπιν ἀφίησι, τὰ δὲ ἔμπροσθεν καὶ πρὸ τῶν ποδῶν δρόσου καὶ πολλῆς γέμοντα τῆς εὐκολίας ὄψεται· μόνον μὴ ἀπογνῶμεν, μηδὲ ἀπαγορεύσωμεν τὴν ἐπάνοδον. Ὁ γὰρ τοῦτο παθὼν, κἂν μυρίαν ἰσχὺν καὶ προθυμίαν κεκτημένος ᾖ, μάτην κέκτηται. Τὴν γὰρ θύραν ἀποκλείσας ἅπαξ ἑαυτῷ τῆς μετανοίας, καὶ τὴν εἰς τὸ ςάδιον [1]) εἴσοδον ἀποτειχίσας, πῶς δυνήσεται ἔξω μένων ἢ μικρὸν ἢ μέγα ἐργάσασθαι ἀγαθόν: διὰ τοῦτο πάντα μηχανᾶται ὁ πονηρὸς, ἵνα τοῦτον ἐν ἡμῖν φυτεύσῃ τὸν λογισμόν· οὐχ ὅτι [2]) γὰρ αὐτῷ ἱδρώτων δεήσει καὶ πόνων πρὸς τὴν ἡμετέραν ἀντίςασιν· πῶς γὰρ, τῶν κειμένων καὶ πεπτωκότων καὶ ἀνταίρειν οὐκ ἐθελόντων αὐτῷ; ὁ μὲν γὰρ τοῦτον δυνηθεὶς διαδῦναι τὸν δεσμὸν καὶ τὴν ἰσχὺν ἀνακτήσεται τὴν αὐτοῦ, καὶ εἰς ἐσχάτας οὐ παύσεται αὐτῷ παλαίων ἀναπνοάς· κἂν εἰς μυρία ἄλλα πέσῃ πτώματα, ἀναςήσεται πάλιν, καὶ συγκόψει τὸν ἐχθρόν· ὁ δὲ τοῖς τῆς ἀπογνώσεως δεθεὶς λογισμοῖς, καὶ τὴν ἰσχὺν παραλύσας τὴν αὐτοῦ, πῶς δυνήσεται περιγενέσθαι καὶ ἀντιςῆναι, ἐξ ἐναντίας [3]) φυγών;

4. Καὶ μή μοι τοὺς ὀλίγα ἡμαρτηκότας εἴπῃς, ἀλλ' ἔςω τις πάσης κακίας ἀνάμεςος, καὶ πάντα πραττέτω τὰ ἀποκλείοντα τῆς βασιλείας αὐτὸν, καὶ οὗτος μὴ τῶν ἐξ ἀρχῆς ἀπίςων, ἀλλὰ τῶν πιςῶν καὶ εὐηρεςηκότων τῷ Θεῷ πρότερον ὢν, ὕςερον γινέσθω πόρνος, μοιχὸς, μαλακὸς, κλέπτης, μέθυσος, ἀρσενοκοίτης, λοίδορος, καὶ ἄλλα τὰ τούτοις ὅμοια· οὐδὲ γὰρ τοῦτον ἐγὼ

[1]) Στάδιον или ςάδιος, греческая мѣра въ 100 саженей, которою между прочимъ измѣрялось пространство на аренахъ общественныхъ игръ и состязаній. Отсюда выраженія: ἀγωνίζεσθαι ςάδιον—выходить на борьбу съ противникомъ, τὸ τρέχειν εἰς τὸ ςάδιον—бѣганіе на стадіи.

[2]) Въ другихъ спискахъ: οὐκ ἔτι, въ смыслѣ: такъ какъ послѣ для него уже не будетъ надобности.

[3]) Ἐξ ἐναντίας тоже, что τὸ ἐνάντιον—напротивъ.

ἀποδέξομαι ἀπογινώσκοντα ἑαυτοῦ, κἂν εἰς ἔσχατον γῆρας ἐλάσῃ μετὰ τῆς ἀφάτου καὶ τηλικαύτης κακίας. Εἰ μὲν γαρ πάθος ἦν ἡ ὀργὴ τοῦ Θεοῦ, καλῶς ἄν τις ἀπέγνω, ὡς οὐ δυνάμενος σβέσαι τὴν φλόγα, ἣν διὰ τῶν τοσούτων ἀνῆψε κακῶν· ἐπειδὴ δὲ ἀπαθὲς τὸ θεῖόν ἐςι, κἂν κολάζῃ, κἂν τιμωρῆται, οὐ μετ' ὀργῆς τοῦτο ποιεῖ, ἀλλὰ μετὰ κηδεμονίας καὶ φιλανθρωπίας πολλῆς· διὸ σφόδρα θαῤῥεῖν χρὴ καὶ πεποιθέναι τῇ τῆς μετανοίας δυνάμει. Καὶ γὰρ τοὺς εἰς αὐτὸν ἡμαρτηκόσιν οὐ δι' ἑαυτὸν εἴωθεν ἐπεξέρχεσθαι· οὐδεμία γὰρ εἰς τὴν φύσιν ἐκείνην διαβαίνει βλάβη· ἀλλὰ πρὸς τὸ συμφέρον ἡμῖν σκοπῶν, καὶ ὑπὲρ τοῦ μὴ χείρονα γενέσθαι τὴν διαςροφὴν τὴν ἡμετέραν [1]) μελετώντων αὐτοῦ καταφρονεῖν καὶ ὑπερορᾶν. Καθάπερ γὰρ ὁ τοῦ φωτὸς ἐκτὸς ποιῶν ἑαυτὸν, ἐκεῖνο μὲν ἐζημίωσεν οὐδὲν, ἑαυτὸν δὲ τὰ μέγιςα σκότῳ κατακλεισθεὶς, οὕτω καὶ ὁ τῆς παναλκοῦς ἐκείνης δυνάμεως καταφρονεῖν ἐθισθεὶς, ἐκείνην μὲν ἔβλαψεν οὐδὲν, ἑαυτὸν δὲ τὴν ἐσχάτην ἔβλαψε βλάβην. Καὶ διὰ τοῦτο ὁ Θεὸς τὰς τιμωρίας ἡμῖν ἀπειλεῖ καὶ ἐπάγει πολλάκις, οὐχ ὡς ἑαυτὸν ἐκδικῶν, ἀλλ' ἡμᾶς ἕλκων πρὸς ἑαυτόν. Καὶ γὰρ καὶ ἰατρὸς ἐπὶ ταῖς τῶν παραπαιόντων ὕβρεσιν οὐκ ἀλγεῖ μὲν, οὐδὲ δάκνεται· ὅμως δὲ πάντα πράττει καὶ πραγματεύεται ὑπὲρ τοῦ παῦσαι ἀσχημονοῦντας ἐκείνους, οὐ τὰ ἑαυτοῦ σκοπῶν, ἀλλὰ τὴν ἐκείνων ὠφέλειαν· κἂν ἐπιδείξωνται μικρόν τι σωφροσύνης καὶ νήψεως, χαίρει καὶ εὐφραίνεται, καὶ πολλῷ σφοδρότερον τὰ φάρμακα ἐπιτίθησιν, οὐχ ὑπὲρ τῶν προτέρων αὐτοὺς ἀμυνόμενος, ἀλλὰ τὴν ὠφέλειαν αὐξῆσαι θέλων, καὶ πρὸς καθαρὰν ὑγίειαν ἐπαναγαγεῖν· οὕτω καὶ ὁ Θεὸς, ὅταν εἰς τὴν ἐσχάτην μανίαν ἐκπέσωμεν, οὐκ ἀμυνόμενος ὑπὲρ τῶν προτέρων, ἀλλ' ἀπαλλάξαι τῆς νόσου βουλόμενος, ἅπαντα καὶ λέγει καὶ ποιεῖ· καὶ τοῦτο ἱκανὸν μὲν καὶ ἀπὸ τῶν ὀρθῶν λογισμῶν συνιδεῖν.

5. Εἰ δέ τις ἡμῖν ἀμφισβητοίη τούτων ἕνεκεν, καὶ ἀπὸ τῶν θείων ταῦτα πιςωσόμεθα λογίων. Τίς γὰρ, εἰπέ μοι, τοῦ Βαβυλωνίων βασιλέως γέγονε μιαρώτερος, ὃς τοσαύτην τῆς τοῦ Θεοῦ δυνάμεως πεῖραν λαβὼν, ὡς τὸν προφήτην προσκυνῆσαι τὸν

---

[1]) Ifaaqe: ἡμῶν μελετώντων.

αὐτοῦ, καὶ κελεῦσαι αὐτῷ μαναὰ σπεῖσαι καὶ θεῖον [1]), πάλιν εἰς τὸν πρότερον ἐξηνέχθη τῦφον, καὶ τοὺς μὴ προτιμήσαντας αὐτὸν τοῦ Θεοῦ, δεδεμένους εἰς τὴν κάμινον ἐνέβαλεν· ἀλλ' ὅμως τὸν οὕτως ὠμὸν καὶ ἀσεβῆ, καὶ θηρίον μᾶλλον ἢ ἄνθρωπον, εἰς μετάνοιαν προσκαλεῖται, καὶ δίδοσιν αὐτῷ καὶ ἑτέρας τοῦ μεταβαλέσθαι ἀφορμάς, πρῶτον τὸ ἐν τῇ καμίνῳ θαῦμα γεγονός, μετὰ δὲ ἐκεῖνο τὴν ὄψιν, ἣν εἶδεν μὲν ὁ βασιλεύς, ἡρμήνευσε δὲ καὶ ὁ Δανιήλ, ἱκανὴν οὖσαν καὶ λιθίνην κάμψαι ψυχήν· καὶ πρὸς τούτοις μετὰ τὴν ἐκ τῶν πραγμάτων παραίνεσιν, καὶ αὐτὸς ὁ προφήτης συνεβούλευε λέγων· «διὰ τοῦτο, βασιλεῦ, ἡ βουλή μου ἀρεσάτω σοι, καὶ τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι, καὶ τὰς ἀνομίας σου ἐν οἰκτιρμοῖς πενήτων· ἴσως ἔςαι μακροθυμία τοῖς παραπτώμασί σου» [2]). Τί λέγεις, ὦ σοφὲ καὶ μακάριε; ἔςι καὶ μετὰ τὴν τοσαύτην ἀπόπτωσιν πάλιν ἐπάνοδος, καὶ μετὰ τοσαύτην νόσον ὑγίεια, καὶ μετὰ τὴν τοσαύτην μανίαν πάλιν ἐλπὶς σωφροσύνης; πάσης ἑαυτὸν προλαβὼν ἐςέρησεν ἐλπίδος ὁ βασιλεύς, πρῶτον μὲν ἀγνοήσας τὸν ποιήσαντα αὐτὸν καὶ εἰς τὴν τιμὴν ἀγαγόντα ἐκείνην, καίτοι τῆς δυνάμεως αὐτοῦ καὶ προνοίας τεκμήρια διηγεῖσθαι ἔχων, καὶ ἐπ' αὐτοῦ καὶ ἐπὶ τῶν προγόνων αὐτοῦ γεγενημένα πολλά. Μετὰ δὲ τοῦτο πάλιν τῆς σοφίας αὐτοῦ καὶ τῆς προγνώσεως ἐναργῆ σημεῖα λαβών, καὶ μαγικήν, καὶ ἀςρονομίαν, καὶ πάσης τῆς διαβολικῆς μαγγανείας τὴν σκηνὴν ἀνατραπεῖσαν ἰδών, χαλεπώτερα τῶν προτέρων ἐπεδείξατο. Ἃ γὰρ οἱ σοφοὶ μάγοι Γαζαρηνοὶ διασαφῆσαι οὐκ ἴσχυσαν, ἀλλ' ὡμολόγουν μείζονα ἢ κατὰ ἀνθρωπίνην φύσιν εἶναι, ταῦτα παιδίον αἰχμάλωτον ἐπιλύσασθαι ποιήσας αὐτῷ, οὕτως αὐτὸν ἐπηγάγετο ἐκείνῳ τῷ θαύματι, ὡς μὴ μόνον πιςεῦσαι, ἀλλὰ καὶ τῇ οἰκουμένῃ πάσῃ τοῦ δόγματος τούτου γενέσθαι κήρυκα καὶ διδάσκαλον σαφῆ· ὥςε εἰ καὶ πρὶν σημεῖον τοιοῦτον λαβεῖν ἀσύγγνωςος ἦν ἀγνοῶν τὸν Θεόν, πολλῷ μᾶλλον μετ' ἐκεῖνο τὸ θαῦμα, καὶ τὴν ὁμολογίαν αὐτοῦ, καὶ τὴν διδασκαλίαν τὴν εἰς ἑτέρους γεγενημένην. Οὔτε γὰρ ἂν μὴ πιςεύσας καλῶς, ὅτι μόνος ἐςὶν ὁ Θεὸς ἀληθής, τοσαύτην εἰς τὸν ἐκείνου θερά-

[1]) Дан. 2. 46. [2]) Дан. 4. 24.

ποντα τιμὴν ἐπεδείξατο, καὶ τοιαῦτα τοῖς ἄλλοις ἐνομοθέτησεν· ἀλλ' ὅμως μετὰ τὴν τοιαύτην ὁμολογίαν εἰς εἰδωλολατρείαν πάλιν ἐξέπεσε, καὶ ὁ πεσὼν ἐπὶ πρόσωπον καὶ τὸν τοῦ Θεοῦ προσκυνήσας δοῦλον, οὗτος εἰς τοσοῦτον ἐξεβακχεύθη μανίας, ὥστε τοὺς τοῦ Θεοῦ δούλους μὴ προσκυνοῦντας αὐτὸν εἰς κάμινον ἐμβαλεῖν. Τί οὖν; μετῆλθεν ὁ Θεὸς τὸν ἀποστάτην, ὡς μετελθεῖν ἔδει; μείζονα μὲν οὖν αὐτῷ τεκμήρια τῆς οἰκείας παρέσχε δυνάμεως, μετὰ τὴν τοσαύτην ἀπόνοιαν ἕλκων ἐπὶ τὰ πρότερα πάλιν αὐτὸν, καὶ τὸ δὴ θαυμαστότερον· ἵνα γὰρ μὴ ἀπιστῆται πάλιν διὰ τὴν ὑπερβολὴν τῶν θαυμάτων τὰ γινόμενα, οὐκ ἐν ἄλλῳ τινὶ τὸ σημεῖον ἐποίησεν, ἀλλ' ἐπὶ τῆς καμίνου, ἣν ἀνῆψεν αὐτὸς ἐπὶ τῶν παίδων, οὓς ἔστησε καὶ ἐνέβαλεν. Ἦν μὲν οὖν καὶ τὸ σβέσαι τὴν φλόγα θαυμαστὸν καὶ παράδοξον· ὁ δὲ φιλάνθρωπος ὑπὲρ τοῦ μείζονα ἐνθεῖναι φόβον, καὶ πλείονα ποιῆσαι τὴν ἔκπληξιν, καὶ πᾶσαν αὐτοῦ λῦσαι τὴν πώρωσιν, τὸ τούτου μεῖζον ἐποίησε καὶ παραδοξότερον. Ἀφεὶς γὰρ αὐτὴν ἐκκαυθῆναι τοσοῦτον, ὅσον αὐτὸς ἠθέλησεν ἐκεῖνος, οὕτω τὴν οἰκείαν ἐνδείκνυται δύναμιν, οὐ καταλύων τὰ μηχανήματα τῶν ἐχθρῶν, ἀλλ' ἐστῶτα ἄκυρα ποιῶν. Ἵνα δὲ μή τις αὐτοὺς ἰδὼν περιγεγονότας τῆς φλογὸς φάντασμα εἶναι νομίσῃ, συνεχώρησε καυθῆναι τοὺς ἐμβαλόντας αὐτοὺς, δεικνὺς, ὅτι πῦρ μὲν ἦν ἀληθῶς τὸ ὁρώμενον· οὐ γὰρ ἂν νάφθαν καὶ στυππεῖον καὶ κληματίδας καὶ τοσαῦτα κατέφαγε σώματα [1]· τῆς δὲ αὐτοῦ προσταγῆς ἰσχυρότερον οὐδὲν, ἀλλ' ἕπεται τῶν ἁπάντων ἡ φύσις τῷ ἐκ τοῦ μὴ ὄντος αὐτὴν εἰς τὸ εἶναι παραγαγόντι, ὅπερ οὖν καὶ τότε ἐδείκνυτο· σώματα γὰρ ἡ φλὸξ ἀπολαβοῦσα φθαρτὰ, καθάπερ ἀφθάρτων ἀπέσχετο, καὶ σῶαν τὴν παρακαταθήκην ἀπέδωκε, καὶ μετὰ πολλῆς τῆς λαμπρότητος. Ὥσπερ γὰρ ἐκ βασιλείων τινῶν βασιλεῖς, οὕτως ἀπὸ τῆς καμίνου προσῄεσαν οἱ παῖδες ἐκεῖνοι, οὐδενὸς εἰς τὸν βασιλέα ἀνεχομένου λοιπὸν ὁρᾶν, ἀλλὰ πάντων τοὺς ὀφθαλμοὺς ἀπ' ἐκείνου μεταθέντων ἐπὶ τὴν παράδοξον θεωρίαν, καὶ οὔτε τὸ διάδημα, οὔτε ἡ ἁλουργὶς, οὔτε ἄλλο τι τῆς φαντασίας τῆς βασιλικῆς, οὕτω τοὺς ὄχλους τῶν ἀπίστων ἐπέστρεφεν, ὡς ἡ θέα

[1]) Дан. 3. 22.



τῶν πιστῶν ἐκείνων, ἐγχρονισάντων μὲν τῷ πυρὶ, οὕτω δὲ ἐξελθόντων ἐκεῖθεν, ὡς τοὺς ἐν ὀνείρῳ τοῦτο παθόντας εἰκὸς ἦν. Καὶ γὰρ ὃ πάντων εὐθραυστότερόν ἐστι τῶν ἐν ἡμῖν, ἡ τῶν τριχῶν φύσις, ἀδάμαντος τότε ἰσχυρότερον ἐκράτει τῆς παμφάγου φλογός. Καὶ οὐ τοῦτο μόνον ἦν τὸ θαυμαστὸν, ὅτι εἰς μέσον ἀπορριφέντες ἔπαθον οὐδὲν, ἀλλ' ὅτι καὶ φθεγγόμενοι διὰ παντός. Ἴσασι δὲ πάντες ὅσοι τοῖς καιομένοις παραγεγόνασιν, ἕως μὲν ἂν ἔχωσι μεμυκότα ἐκεῖνοι τὰ χείλη, κἂν βραχὺ γοῦν ἀντέχουσι πρὸς τὸν ἐμπρησμόν· εἰ δὲ συμβαίῃ διᾶραι τὸ στόμα αὐτῶν, εὐθέως ἀφίπταται τοῦ σώματος ἡ ψυχή. Ἀλλ' ὅμως τοσούτων γενομένων θαυμάτων, καὶ πάντων καταπλαγέντων τῶν παρόντων καὶ θεωμένων, καὶ τῶν ἀπόντων τοῦτο διὰ γραμμάτων μεμαθηκότων, ὁ τοὺς ἄλλους διδάξας βασιλεὺς ἀδιόρθωτος ἔμεινε, καὶ πάλιν ἐπὶ τὴν προτέραν ἐπανῄει κακίαν. Καὶ οὐδὲ οὕτως αὐτὸν ἐκόλασεν, ἀλλ' ἐμακροθύμησεν ἔτι, καὶ δι' ὀνειράτων καὶ διὰ τοῦ προφήτου συμβουλεύων αὐτῷ. Ἐπειδὴ δὲ οὐδὲν οὐδενὶ τούτων βελτίων ἐγένετο, τότε ἐπάγει τὴν τιμωρίαν λοιπὸν, οὐχ ὑπὲρ τῶν ἤδη γεγονότων ἀμυνόμενος, ἀλλὰ τὰ μέλλοντα ἐκκόπτων δεινὰ, καὶ τὴν εἰς τὸ ἔμπροσθεν ἀναστέλλων κακίαν, καὶ οὐδὲ τοῦτο εἰς τέλος, ἀλλ' ἐν ὀλίγοις αὐτὸν παιδεύσας ἔτεσι, τῇ προτέρᾳ πάλιν ἀπέδωκε τιμῇ, ζημιωθέντα μὲν ἀπὸ τῆς κολάσεως οὐδὲν, κερδάναντα δὲ τὸ πάντων μέγιστον τῶν ἀγαθῶν, τὸ στερρῶς τῆς εἰς τὸν Θεὸν ἔχεσθαι πίστεως καὶ μεταγνῶναι ἐπὶ τοῖς πρότερον ἡμαρτημένοις αὐτῷ [1]).

6. Τοιαύτη γὰρ ἡ τοῦ Θεοῦ φιλανθρωπία. Οὐδέποτε μετάνοιαν γινομένην εἰλικρινῶς ἀποστρέφεται, ἀλλὰ κἂν πρὸς αὐτὸ τις τῆς κακίας τὸ πέρας ἐλάσῃ κἀκεῖθεν ὑποστρέψαι πάλιν ἕληται πρὸς τὴν τῆς ἀρετῆς ὁδὸν, καὶ δέχεται καὶ προσίεται τοῦτον, καὶ πάντα ποιεῖ, ὥστε αὐτὸν εἰς τὴν προτέραν κατάστασιν ἀγαγεῖν. Καὶ τὸ πολλῷ τούτου φιλανθρωπότερον· κἂν γὰρ μὴ πᾶσάν τις ἐπιδείξηται τὴν μετάνοιαν, οὐδὲ τὴν βραχεῖαν καὶ πρὸς ὀλίγον γεγενημένην παραπέμπεται, ἀλλὰ καὶ ταύτῃ τίθησι πολὺν τὸν μισθόν· καὶ τοῦτο δῆλον ἐξ ὧν Ἡσαΐας ὁ προφήτης περὶ τοῦ τῶν Ἰουδαίων λαοῦ

[1]) Дан. 4. 3 —34.

οὑτωσί πως φησί· «δι' ἁμαρτίαν βραχύ τι ἐλύπησα αὐτὸν καὶ ἐπάταξα αὐτὸν καὶ ἀπέστρεψα τὸ πρόσωπόν μου ἀπ' αὐτοῦ, καὶ ἐλυπήθη, καὶ ἐπορεύθη στυγνός, καὶ ἰασάμην αὐτόν, καὶ παρεκάλεσα αὐτόν» [1]. Μαρτυρήσειε δ' ἂν ἡμῖν καὶ ὁ ἀσεβέστατος βασιλεὺς ἐκεῖνος ὁ γεγονὼς μὲν ἔκδοτος τοῖς ἁμαρτήμασιν ὑπὸ τῆς γυναικός· ἐπειδὴ δὲ μόνον ἐπένθησε, καὶ σάκκον περιεβάλετο, καὶ κατέγνω τῶν πλημμεληθέντων αὐτῷ, οὕτως ἐπεσπάσατο τοῦ Θεοῦ τὸν ἔλεον, ὡς πάντων αὐτὸν ἀπαλλάξαι τῶν ἐπηρτημένων κακῶν. Εἶπε γὰρ ὁ Θεὸς τῷ Ἠλίᾳ· «ἑώρακας, πῶς κατενύγη Ἀχαὰβ ἀπὸ προσώπου μου; οὐκ ἐπάξω τὴν κακίαν ἐν ταῖς ἡμέραις αὐτοῦ, ἀνθ' ὧν ὅτι ἔκλαυσεν ἀπὸ προσώπου μου» [2]. Καὶ μετὰ τοῦτον πάλιν ὁ Μανασσῆς πάντας τῇ μανίᾳ παρελάσας, καὶ τῇ τυραννίδι τὴν νομικὴν ἀνατρέψας λατρείαν, καὶ τὸν ναὸν ἀποκλείσας, καὶ τὴν τῶν εἰδώλων πλάνην ποιήσας ἀνθεῖν, καὶ πάντων τῶν ἔμπροσθεν γενόμενος ἀσεβέστερος, ἐπειδὴ μετενόησεν ὕστερον, εἰς τοὺς τοῦ Θεοῦ κατετάττετο φίλους [3]. Εἰ δὲ εἰς τὸ μέγεθος ἀπιδὼν τῶν οἰκείων ἀνομιῶν ἀπέγνω τὴν ἐπάνοδον καὶ τὴν μεταβολήν, πάντων ἂν ἐξέπεσεν, ὧν μετὰ ταῦτα ἐπέτυχε· νῦν δὲ ἀντὶ τῆς ὑπερβολῆς τῶν ἡμαρτημένων αὐτῷ εἰς τὸ ἄπειρον τῆς εὐσπλαγχνίας ἰδὼν τοῦ Θεοῦ, καὶ τὰ δεσμὰ διαῤῥήξας τοῦ διαβόλου, διανέστη, καὶ ἠγωνίσατο, καὶ τὸν δρόμον ἐτέλεσε τὸν καλόν. Οὐ μόνον δὲ διὰ τῶν εἰς τούτους γεγενημένων, ἀλλὰ καὶ διὰ τῶν τοῦ προφήτου ῥημάτων, ἐκκόπτει τοὺς τῆς ἀπογνώσεως λογισμοὺς ὁ Θεὸς οὑτωσὶ λέγων· «σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν ὡς ἐν τῷ παραπικρασμῷ» [4]. Τὸ δὲ «σήμερον» ἐν παντὶ τῷ βίῳ λέγεσθαι δυνατόν, καὶ πρὸς αὐτῷ δὲ εἰ βούλει τῷ γήρᾳ. Οὐ γὰρ χρόνων ποσότητι, ἀλλὰ διαθέσει ψυχῆς ἡ μετάνοια κρίνεται. Καὶ γὰρ οἱ Νινευῖται οὐ πολλῶν ἐδεήθησαν ἡμερῶν, ὥστε ἐξαλεῖψαι τὴν ἁμαρτίαν αὐτῶν, ἀλλ' ἴσχυσε βραχὺς τῆς ἡμέρας καιρὸς ἅπασαν ἀφανίσαι τὴν ἀνομίαν αὐτῶν [5]. Καὶ ὁ λῃστὴς δὲ οὐκ ἐν χρόνῳ μακρῷ τὴν εἰς τὸν παράδεισον εἴσοδον

---

[1]) Иса. 57. 17, 18. [2]) 3 Цар. 21. 29. [3]) 2 Парал. 33. 13. [4]) Пс. 94. 7, 8. [5]) Іон. 3. 10.

ἥνωσεν, ἀλλ' ὅσην ἂν ἀναλώσειεν ὥραν τις ῥῆμα φθεγγόμενος ἕν, ἐν τοσαύτῃ ῥοπῇ τὰ ἐν παντὶ τῷ βίῳ ἡμαρτημένα ἅπαντα ἀπολουσάμενος, καὶ πρὸ τῶν ἀποστόλων τὸ τῆς εὐδοκιμήσεως βραβεῖον ἐλάμβανεν [1]). Ὁρῶμεν δὲ καὶ τοὺς μάρτυρας οὐκ ἐν πολλοῖς ἔτεσιν, ἀλλ' ἐν ἡμέραις ὀλίγαις, πολλάκις δὲ καὶ ἐν μιᾷ μόνον, τοὺς λαμπροὺς ἐπιτιθεμένους στεφάνους.

7. Ὥστε προθυμίας ἡμῖν χρεία πανταχοῦ καὶ πολλῆς διαθέσεως· κἂν οὕτω τὸ συνειδὸς παρασκευάσωμεν, ὥστε μετὰ τοσαύτης σφοδρότητος καὶ τὴν προτέραν μισῆσαι κακίαν καὶ τὴν ἐναντίαν ἑλέσθαι ὁδὸν, μεθ' ὅσης ὁ Θεὸς βούλεται καὶ ἀπαιτεῖ, οὐδὲν ἀπὸ τῶν χρόνων ἔλαττον ἕξομεν· πολλοὶ γοῦν ἔσχατοι γενόμενοι τοὺς πρώτους ὑπερηκόντισαν. Οὐ γὰρ τὸ πεσεῖν χαλεπὸν, ἀλλὰ τὸ πεσόντα κεῖσθαι καὶ μὴ ἀνίστασθαι, ἀλλὰ ἐθελοκακοῦντα καὶ βλακεύοντα τοῖς τῆς ἀπογνώσεως λογισμοῖς τὴν τῆς προαιρέσεως ἀποκρύπτειν ἀσθένειαν. Πρὸς οὓς καὶ ὁ προφήτης διαπορούμενος ἔλεγε· «μὴ ὁ πίπτων οὐκ ἀνίσταται, ἢ ὁ ἀποστρέφων οὐκ ἐπιστρέφει» [2]): εἰ δέ τινας τῶν μετὰ τὸ πιστεῦσαι πάλιν ἐκπεσόντων ζητοίης παρ' ἡμῶν, καὶ ταῦτα μὲν ἅπαντα ὑπὲρ τούτων εἴρηται· ὁ γὰρ πεσὼν τῶν ἑστώτων πρότερον ἦν, οὐ τῶν κειμένων· πῶς γὰρ ἂν ὁ τοιοῦτος πέσοι; εἰρήσεται δὲ καὶ ἕτερα, τὰ μὲν διὰ παραβολῶν, τὰ δὲ διὰ σαφεστέρων πράξεών τε καὶ λόγων. Καὶ γὰρ τὸ πρόβατον ἐκεῖνο, τὸ τῶν ἐνενήκοντα ἐννέα ἀποσχισθὲν, εἶτα πάλιν ἐπαναχθὲν, οὐδὲν ἕτερον ἡμῖν, ἢ τὴν τῶν πιστῶν δείκνυσιν ἔκπτωσίν τε καὶ ἐπάνοδον. Πρόβατον γὰρ ἦν καὶ τοῦτο οὐχ ἑτέρας ποίμνης τινὸς, ἀλλὰ τοῦ τῶν λοιπῶν ἀριθμοῦ, καὶ ὑπὸ τῷ ποιμένι πρότερον ἐνέμετο, καὶ ἐπλανήθη πλάνην οὐ τὴν τυχοῦσαν, ἀλλ' ἐπὶ τὰ ὄρη καὶ τὰς νάπας, τουτέστι μακράν τινα ὁδὸν, καὶ πολλῷ τῆς εὐθείας [3]) ἀπέχουσαν. Ἆρ' οὖν εἴασεν αὐτὸ πλανηθῆναι; οὐδαμῶς, ἀλλ' ἐπανήγαγεν, οὐκ ἐλάσας, οὐδὲ μαστίξας, ἀλλ' ἐπὶ τῶν ὤμων λαβών [4]). Καθάπερ γὰρ οἱ τῶν ἰατρῶν ἄριστοι τοὺς νοσοῦντας νόσον μακρὰν μετὰ πολλῆς τῆς θεραπείας ἐπὶ τὴν ὑγίειαν ἐπανάγουσιν, οὐ μόνον κατὰ τὸν τῆς ἰατ-

---

[1]) Лук. 23. 42, 43. [2]) Iep. 8. 4.
[3]) Т. е. ὁδοῦ.
[4]) Лук. 15. 5.

ρείας νόμον αὐτοὺς θεραπεύοντες, ἀλλ' ἔςιν ὅπου καὶ χαριζόμενοι· οὕτω καὶ ὁ Θεὸς τοὺς σφόδρα διαφθαρέντας οὐ μετὰ πολλῆς ἄγει τῆς σφοδρότητος ἐπὶ τὴν ἀρετὴν, ἀλλ' ἠρέμα καὶ κατὰ μικρὸν καὶ διαβαςάζων πανταχοῦ, ὥςε μὴ πλέον γενέσθαι τὸ σχίσμα, μηδὲ μακροτέραν τὴν πλάνην. Οὐχ αὕτη δὲ μόνον ἡ παραβολὴ τοῦτο ᾐνίξατο, ἀλλὰ καὶ ἡ τοῦ παιδὸς τοῦ ἀσώτου. Καὶ γὰρ καὶ οὗτος οὐκ ἀλλότριος ἦν, ἀλλ' υἱὸς καὶ ἀδελφὸς τοῦ εὐηρεςηκότος παιδὸς, καὶ εἰς κακίαν οὐ τὴν τυχοῦσαν ἐξώκειλεν, ἀλλ' εἰς αὐτὸ τὸ πέρας, ὡς ἂν τις εἴποι, τῶν κακῶν· ὁ πλούσιος, καὶ ἐλεύθερος, καὶ εὐγενὴς, οἰκετῶν καὶ ξένων καὶ μισθωτῶν ἀθλιώτερον διατεθείς· ἀλλ' ὅμως πάλιν εἰς τὸ ἐξ ἀρχῆς ἐπανῆλθε καὶ τὴν προτέραν δόξαν ἀπέλαβεν. Εἰ δὲ ἀπεγνώκει τῆς ἑαυτοῦ ζωῆς, καὶ τοῖς συμβεβηκόσιν ἀπαγορεύσας ἔμεινεν ἐπὶ τῆς ἀλλοτρίας, οὐκ ἂν ἔτυχεν ὧνπερ καὶ ἔτυχεν, ἀλλὰ λιμῷ διαφθαρεὶς τὸν ἁπάντων οἴκτιςον ὑπέμεινε θάνατον· ἐπειδὴ δὲ μετενόησε καὶ οὐκ ἀπέγνω, μετὰ τὴν τοσαύτην διαφθορὰν ἐπὶ τῆς αὐτῆς φαιδρότητος γίνεται πάλιν, καὶ τὴν καλλίςην περιβάλλεται ςολὴν, καὶ μειζόνων ἀπολαύει τοῦ μὴ καταπεπτωκότος ἀδελφοῦ. «Τοσαῦτα γὰρ ἔτη», φησὶ, «δουλεύω σοι, καὶ οὐδέποτε ἐντολήν σου παρῆλθον, καὶ οὐδέποτέ μοι ἔδωκας ἔριφον, ἵνα μετὰ τῶν φίλων μου εὐφρανθῶ· ὅτε δὲ υἱός σου οὗτος, ὁ καταφαγών σου τὸν βίον μετὰ πορνῶν ἦλθεν, ἔθυσας αὐτῷ τὸν μόσχον τὸν σιτευτόν» [1]). Τοσαύτη ἡ τῆς μετανοίας ἰσχύς.

8. Τοσαῦτα οὖν ἔχοντες ὑποδείγματα, μὴ παραμείνωμεν τοῖς κακοῖς, μηδὲ ἀπογνῶμεν τὴν καταλλαγήν· ἀλλ' εἴπωμεν καὶ αὐτοί «πορεύομαι πρὸς τὸν πατέρα μου», καὶ ἐγγίσωμεν τῷ Θεῷ. Αὐτὸς γὰρ ἡμᾶς οὐδέποτε ἀποςρέφεται, ἀλλ' ἡμεῖς ἐσμεν οἱ μακρύνοντες ἑαυτούς. «Θεὸς γάρ», φησιν, «ἐγγίζων ἐγώ εἰμι, καὶ οὐ Θεὸς πόρρωθεν» [2]). Καὶ διὰ τοῦδε τοῦ προφήτου πάλιν ἐγκαλῶν αὐτοῖς ἔλεγεν· «οὐχὶ αἱ ἁμαρτίαι ὑμῶν διιςῶσιν ἀνὰ μέσον ὑμῶν καὶ ἐμοῦ» [3]); ἐπειδὴ οὖν τοῦτό ἐςι τὸ ποιοῦν πόρρω ἡμᾶς τοῦ Θεοῦ, περιέλωμεν τὸ χαλεπὸν τοῦτο διάφραγμα, καὶ τὸ κωλύον οὐδὲν γενέσθαι ἐγγύς. Ἄκουσον δὲ καὶ ἐπ' αὐτῶν τῶν

---

[1]) Лук. 15. 29, 30. [2]) Iер. 23. 23. [3]) Иса. 59. 2.

πραγμάτων τοῦτο γεγενῆσθαι. Παρὰ Κορινθίοις ἐπίσημός τις ἀνὴρ ἁμαρτίαν εἰργάσατο τοιαύτην, οἵα οὐδὲ ἐν τοῖς ἔθνεσιν ὠνομάζετο. Πιςὸς δὲ οὗτος ἦν καὶ τῶν ᾠκειωμένων Χριςῷ· τινὲς δὲ αὐτὸν καὶ τῶν ἱερωμένων εἶναι φασι. Τί οὖν; ἄρα ἐξέκοψεν αὐτὸν τῆς τῶν σωζομένων μερίδος ὁ Παῦλος; οὐδαμῶς· αὐτὸς γάρ ἐςιν ὁ μυρία ἄνω καὶ κάτω Κορινθίοις ἐγκαλῶν, ὅτι αὐτὸν εἰς μετάνοιαν οὐ κατέςησαν· βουλόμενος δὲ ἡμῖν δεῖξαι, ὅτι οὐκ ἔςιν ἁμάρτημα, ὃ μὴ δύναται ἰαθῆναι, πάλιν ἔλεγε περὶ αὐτοῦ τοῦ χαλεπώτερα τῶν ἐθνικῶν ἡμαρτηκότος· «παράδοτε τὸν τοιοῦτον τῷ σατανᾷ εἰς ὄλεθρον τῆς σαρκὸς, ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριςοῦ» [1]. Ἀλλὰ τοῦτο μὲν πρὸ τῆς μετανοίας· ἐπειδὴ δὲ μετενόησεν, «ἱκανὸν τῷ τοιούτῳ ἡ ἐπιτιμία», φησὶν, «ἡ ὑπὸ τῶν πλειόνων» [2]· καὶ ἐπέςελλε παρακαλέσαι πάλιν αὐτὸν καὶ προσίεσθαι τὴν μετάνοιαν, ὥςε μὴ πλεονεκτηθῆναι ὑπὸ τοῦ σατανᾶ. Καὶ ἔθνος δὲ ὁλόκληρον τὸ τῶν Γαλατῶν μετὰ τὸ πιςεῦσαι, καὶ σημεῖα ἐργάσασθαι, καὶ πολλοὺς πειρασμοὺς ἐνεγκεῖν διὰ τὴν πίςιν τὴν εἰς τὸν Χριςὸν, καταπεσόντας πάλιν ἀνέςησιν. Ὅτι μὲν γὰρ ἐθαυματούργουν, ἐδήλωσεν εἰπών· «ὁ οὖν ἐπιχορηγῶν ὑμῖν τὸ πνεῦμα, καὶ ἐνεργῶν δυνάμεις ἐν ὑμῖν» [3]. Ὅτι δὲ καὶ πολλὰ τῆς πίςεως ἕνεκεν ἤθλησαν, καὶ τοῦτο ἐδήλωσε λέγων· «τοσαῦτα ἐπάθετε εἰκῇ, εἴγε καὶ εἰκῇ» [4]· ἀλλ' ὅμως μετὰ τὴν τοσαύτην ἐπίδοσιν ἁμαρτίαν ἥμαρτον ἱκανὴν ἀλλοτριῶσαι αὐτοὺς τοῦ Χριςοῦ. Περὶ ἧς αὐτὸς ἀποφαίνεται λέγων· «ἰδὲ, ἐγὼ Παῦλος λέγω ὑμῖν, ὅτι ἐὰν περιτέμνησθε, Χριςὸς οὐδὲν ὑμᾶς ὠφελήσει»· καὶ πάλιν· «οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσατε» [5]· καὶ μετὰ τὴν τοσαύτην ὅμως παράπτωσιν, προσίεται αὐτοὺς λέγων· «τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριςὸς ἐν ὑμῖν» [6], δεικνὺς, ὅτι μετὰ τὴν ἐσχάτην διαφθορὰν δυνατὸν πάλιν ἄνωθεν μορφωθῆναι τὸν Χριςὸν ἐν ἡμῖν· «οὐ γὰρ θέλει τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιςρέψαι καὶ ζῆν αὐτόν» [7].

---

[1] 1 Кор. 5. 5. [2] 2 Кор. 2. 6. [3] Гал. 3. 5. [4] Гал. 3. 4. [5] Гал. 5, 2, 4. [6] Гал. 4. 19. [7] Iезек. 33. 11.

9. Ἐπιστρέψωμεν οὖν, ὦ φίλη κεφαλή, καὶ τὸ θέλημα ἐξανύσωμεν τοῦ Θεοῦ. Διὰ γὰρ τοῦτο ἡμᾶς ἔκτισε καὶ εἰς τὸ εἶναι παρήγαγεν, ἵνα τῶν αἰωνίων ποιήσῃ μετασχεῖν ἀγαθῶν, ἵνα τὴν βασιλείαν παράσχῃ τῶν οὐρανῶν, οὐχ ἵνα εἰς γέενναν ἐμβάλῃ καὶ τῷ πυρὶ παραδῷ· τοῦτο γὰρ οὐ δι' ἡμᾶς, ἀλλὰ διὰ τὸν διάβολον γένονεν· ἡ βασιλεία δὲ ἡμῖν εὐτρέπισται καὶ παρεσκεύασται πάλαι. Καὶ ταῦτα ἀμφότερα ὑποδεικνὺς ἔλεγε τοῖς μὲν ἐκ δεξιῶν· «δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου»· τοῖς δὲ ἐξ εὐωνύμων· «πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον» οὐκ ἔτι ὑμῖν, ἀλλὰ «τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ» [1]). Οὕτως οὐ δι' ἡμᾶς ἡ γέεννα γέγονεν, ἀλλὰ δι' ἐκεῖνον καὶ τοὺς ἀγγέλους ἐκείνου· ἡ δὲ βασιλεία πρὸ καταβολῆς κόσμου ἡμῖν παρεσκεύασται. Μὴ τοίνυν ἀναξίους ἑαυτοὺς τῆς τοῦ νυμφῶνος εἰσόδου παρασκευάσωμεν· ἕως μὲν γὰρ ἂν ὦμεν ἐνθάδε, κἂν μυρία ἁμάρτωμεν, ἔνεστι πάντα ἀπολούσασθαι μετάνοιαν τῶν ἁμαρτηθέντων ἐπιδειξαμένους. Ἡνίκα δὲ ἂν ἀπαχθῶμεν ἐκεῖ, οὐδ' ἂν σφοδροτάτην ἐπιδειξώμεθα τὴν μετάνοιαν, ἔσται τι πλέον λοιπόν [2]). Ἀλλὰ κἂν τοὺς ὀδόντας βρύχωμεν, κἂν κοπτώμεθα, κἂν μυρία παρακαλῶμεν, οὐδὲ ἄκρῳ τις ἐπιστάξει τῷ δακτύλῳ φλεγομένοις ἡμῖν, ἀλλ' ἀκουσόμεθα ταῦτα, ἅπερ καὶ ὁ πλούσιος τότε ἐκεῖνος, ὅτι «χάσμα μέγα μεταξὺ ἡμῶν ἐστήρικται» [3]). Ἀνανήψωμεν οὖν ἐνταῦθα παρακαλῶ, καὶ τὸν δεσπότην ἐπιγνῶμεν τὸν ἑαυτῶν, ὡς ἐπιγνῶναι χρή. Τότε γὰρ μόνον ἀπογνῶναι δεῖ τὴν ἀπὸ τῆς μετανοίας ἐλπίδα, ὅταν ἐν τῷ ᾅδῃ γενώμεθα. Ἐκεῖ γὰρ μόνον τοῦτο τὸ φάρμακον ἀσθενὲς καὶ ἄχρηστον· ἐνταῦθα δὲ ὄντων ἡμῶν, κἂν ἐν αὐτῷ τῷ γήρᾳ ἐπιτεθῇ, πολλὴν ἐπιδείκνυται τὴν ἰσχύν· διὸ καὶ ὁ διάβολος πάντα κινεῖ, ἵνα ῥιζώσῃ τὸν τῆς ἀπογνώσεως ἐν ἡμῖν λογισμόν. Οἶδε γάρ, ὅτι κἂν μικρὸν μετανοήσωμεν, οὐκ ἀμισθὶ τοῦτο πράξομεν· ἀλλ' ὥσπερ ὁ ποτήριον ψυχροῦ [4]) ἐπιδιδοὺς ἀποκειμένην ἔχει τὴν ἀμοιβήν, οὕτω καὶ ὁ

---

[1]) **Мат. 25. 34. 41.**

[2]) Πλέον **въ смыслѣ: польза: не будетъ никакоі пользы.**

[3]) **Лук. 16. 26.**

[4]) **Подразумѣвается** ὕδατος. Τὸ ψυχρὸν **употребляется вм.** ὕδωρ. **Ср. Матѳ. 10. 42.**

μετανοήσας ἐφ' οἷς ἔπραξε δεινοῖς, κἂν μὴ τῶν ἁμαρτημάτων ἀξίαν ἐπιδείξηται τὴν μετάνοιαν, και αὐτῆς ταύτης ἕξει τὴν ἀντίδοσιν. Οὐδὲν γὰρ ὅλως τῶν ἀγαθῶν, κἂν μικρὸν ᾖ, παροφθήσεται παρὰ τοῦ δικαίου κριτοῦ. Εἰ γὰρ ἁμαρτήματα μετὰ τοσαύτης ἐξετάζεται τῆς ἀκριβείας, ὡς καὶ ῥημάτων καὶ ἐνθυμημάτων τιννύειν τιμωρίας ἡμᾶς, πολλῷ μᾶλλον τὰ κατορθώματα, κἂν μεγάλα ᾖ, κἂν μικρὰ, λογισθήσεται κατ' ἐκεῖνον ἡμῖν τὸν καιρόν. Ὥςε κἂν μὴ πρὸς αὐτὴν τὴν ἀκρίβειαν πάλιν ἐπανελθεῖν δυνηθῇς, ἀλλὰ τὸ τυχὸν γοῦν τῆς παρούσης νόσου καὶ ἀσελγείας ἀποςήσης σεαυτὸν, οὐδὲ τοῦτο ἔςαι ἀνόνητον· μόνον ἀρχὴν ἐπίθες τῷ πράγματι, καὶ τὴν εἰς τοὺς ἀγῶνας εἴσοδον ἄνοιξον· ἕως δ' ἂν ἔξω μένῃς, εἰκότως δύσκολον καὶ ἄπορον τοῦτό σοι φαίνεται. Πρὸ γὰρ τῆς πείρας, κἂν σφόδρα ᾖ τὰ πράγματα κοῦφα καὶ φορητὰ, ὅμως ἔμφασιν ἡμῖν παρέχειν εἴωθεν δυσκολίας πολλῆς· ὅταν δὲ ἐν αὐτοῖς διὰ τῆς πείρας γενώμεθα καὶ κατατολμήσωμεν, τὸ πλέον τῆς ἀγωνίας ἐξίςαται, καὶ τὸ θαῤῥεῖν ἀντὶ τοῦ τρέμειν καὶ ἀπογινώσκειν ἐπεισελθὸν ἐλαττοῖ μὲν τὸν φόβον, αὔξει δὲ τὴν εὐμάρειαν, καὶ τὰς χρηςὰς ἐλπίδας ἰσχυροτέρας ποιεῖ· διὰ τοῦτο καὶ τὸν Ἰούδαν ἀπήγαγεν ἐνθένδε ὁ πονηρὸς, ἵνα μὴ τῆς προσηκούσης λαβόμενος ἀρχῆς, ἐπανέλθῃ διὰ τῆς μετανοίας ὅθεν ἐξέπεσεν. Ἐγὼ γὰρ, εἰ καὶ παράδοξον τὸ λεγόμενον, οὐδὲ ἐκεῖνο τὸ ἁμάρτημα μεῖζον εἴποιμι ἂν εἶναι τῆς ἀπὸ τῆς μετανοίας βοηθείας ἐγγινομένης ἡμῖν. Διὸ δὴ δέομαι καὶ ἀντιβολῶ, πᾶσαν τὴν σατανικὴν ἔννοιαν ἐξορίσαντα τῆς ψυχῆς, ἐπὶ τὴν σωτηρίαν ταύτην ἐπανελθεῖν· εἰ μὲν γὰρ ἀθρόως καὶ ὁμοῦ πρὸς ἐκείνην σε τὴν κορυφὴν πάλιν ἀναβῆναι ἐκέλευον, εἰκότως ἂν ἐδυσχέραινες, ὡς πολλῆς τῆς δυσκολίας οὔσης ἐν τούτῳ· εἰ δὲ τοσοῦτον ἀπαιτῶ μόνον νῦν, ὅσον μὴ προσθεῖναι τοῖς παροῦσι κακοῖς, ἀλλ' ἀναςάντα ἐντεῦθεν τὴν ἐναντίαν [1]) ὑποςρέψαι πάλιν, τίνος ἕνεκεν ὀκνεῖς καὶ ἀναδύῃ, καὶ εἰς τοὐπίσω καθέλκεις σαυτόν; οὐχ ἑώρακας τοὺς ἐν τρυφῇ καὶ μέθῃ, καὶ παιδιᾷ, καὶ τῇ λοιπῇ τελευτήσαντας χλευασίᾳ τοῦ βίου; ποῦ νῦν εἰσιν οἱ μετὰ πολλοῦ μὲν τοῦ τύφου, πολλῶν δὲ τῶν ἀκολούθων

---

[1]) Подразумѣвается ὁδόν.

σοβαῦντες ἐπὶ τῆς ἀγορᾶς; οἱ τὰ σηρικὰ ἐνδεδυμένοι, καὶ μύρων ἀποπνέοντες, καὶ παρασίτους τρέφοντες, καὶ τῇ σκηνῇ προσηλωμένοι διὰ παντός; ποῦ τούτων ἡ φαντασία ἐκείνη νῦν; οἴχεται ἡ τῶν δείπνων πολυτέλεια, τὸ τῶν μουσικῶν πλῆθος, ἡ τῶν κολάκων θεραπεία, ὁ γέλως ὁ πολὺς, ἡ τῆς ψυχῆς ἄνεσις, ἡ τῆς διανοίας διάχυσις, ὁ βίος ὁ ὑγρὸς καὶ ἀνειμένος καὶ περιττός. Ποῦ νῦν ἀπέπτη πάντα ἐκεῖνα; τί γέγονε τὸ τοσαύτης θεραπείας ἀπολαῦον σῶμα καὶ καθαρότητος; ἄπιθι πρὸς τὴν σορὸν, θέασαι τὴν κόνιν, τὴν τέφραν, τοὺς σκώληκας, τοῦ τόπου τὸ εἰδεχθὲς θέασαι, καὶ ςέναξον πικρόν· καὶ εἴθε μέχρι τῆς τέφρας ἡ ζημία ἦν· νῦν δὲ ἀπὸ τῆς σοροῦ καὶ τῶν σκωλήκων τούτων μετάγαγε τὸν λογισμὸν ἐπὶ τὸν ἀτελεύτητον ἐκεῖνον σκώληκα, ἐπὶ τὸ πῦρ τὸ ἄσβεςον, ἐπὶ τὸν βρυγμὸν τῶν ὀδόντων, ἐπὶ τὸ σκότος τὸ ἐξώτερον, ἐπὶ τὴν θλίψιν καὶ τὴν ςενοχωρίαν, ἐπὶ τὴν παραβολὴν τὴν τοῦ Λαζάρου καὶ τοῦ πλουσίου, ὃς τοσούτων χρημάτων κύριος ὢν, καὶ πορφύραν ἐνδιδυσκόμενος, οὐδὲ ςαγόνος ὕδατος ἐγένετο κύριος, καὶ ταῦτα ἐν ἀνάγκῃ τοσαύτῃ καθεςώς. Οὐδὲν τῶν ὀνειράτων ἄμεινον τὰ ἐνταῦθα διάκειται. Καθάπερ γὰρ οἱ τὰ μέταλλα ἐργαζόμενοι, ἢ καὶ ἑτέραν τινὰ τιννύντες κόλασιν ταύτης χαλεπωτέραν, ὅταν ὑπὸ τῶν πολλῶν μόχθων ἐκείνων καὶ τῆς πικροτάτης ζωῆς ἀπονυςάξαντες ἴδωσιν ἐν ὀνείροις ἐν τρυφαῖς καὶ εὐθηνίαις ἑαυτοὺς, οὐδεμίαν μετὰ τὸ ἐγερθῆναι τοῖς ὀνείρασιν ἴσασι χάριν· οὕτω καὶ ὁ πλούσιος ἐκεῖνος καθάπερ ἐν ὀνείρῳ τῷ παρόντι βίῳ πλουτήσας, μετὰ τὴν ἐνθένδε ἀποδημίαν τὴν πικρὰν ἐκείνην ἐκολάζετο κόλασιν. Ταῦτα ἐννόησον καὶ τὸ πῦρ ἀντιςήσας ἐκεῖνο τῷ κατέχοντί σε νῦν τῷ τῶν ἐπιθυμιῶν ἐμπρησμῷ, ἀπαλλάγηθι τῆς καμίνου ποτέ. Ὁ μὲν γὰρ ταύτην ἐνθάδε ἀποσβέσας καλῶς, οὐδὲ ἐκείνης λήψεται πεῖραν· εἰ δέ τις ταύτης μὴ περιγένηται, σφοδρότερον αὐτὸν ἀπελθόντα ἐνθένδε καθέξει τότε ἐκείνη. Πόσον βούλει σοι παρεκταθῆναι τοῦ παρόντος βίου τὴν ἀπόλαυσιν χρόνον; ἐγὼ γὰρ οὐκ οἶμαί σοι πλέον, ἢ πεντήκοντα ἔτη λείπεσθαι, ὥςε πρὸς ἔσχατον γῆρας ἐλθεῖν, μᾶλλον δὲ οὐδὲ τοῦτό που δῆλόν ἐςιν ἡμῖν. Οἱ γὰρ μηδὲ μέχρι τῆς ἑσπέρας ὑπὲρ τῆς ζωῆς ἔχοντες τὸ θαῤῥεῖν τῆς ἑαυτῶν, πῶς ἂν ὑπὲρ τοσούτων διϊσχυρίσαιντο ἐτῶν; καὶ οὐ τοῦτο μόνον ἐςὶν ἄδηλον,

ἀλλὰ καὶ τὸ τῆς τῶν πραγμάτων μεταβολῆς. Πολλάκις γάρ τις ζωῆς ἐκταθείσης εἰς χρόνον μακρὸν, οὐ συνεξετάθη τὰ τῆς τρυφῆς, ἀλλ' ὁμοῦ καὶ ἐπέςη καὶ ἀπεπήδησε. Πλὴν ἀλλ' εἰ βούλει κείσθω τῷ λόγῳ [1]), καὶ ζήσεσθαι ἔτη τοσαῦτα, καὶ μηδεμίαν ὑποςήσεσθαι μεταβολὴν, τί τοῦτο πρὸς τοὺς ἀτελευτήτους αἰῶνας, καὶ τὰς κολάσεις τὰς πικρὰς καὶ ἀφορήτους ἐκείνας; ἐνταῦθα μὲν γὰρ καὶ τὰ ἀγαθὰ καὶ τὰ χαλεπὰ τέλος ἔχει, καὶ τοῦτο τάχιςον· ἐκεῖ δὲ ἀθανάτοις ἀμφότερα παρεκτείνεται αἰῶσι, καὶ τῇ ποιότητι δὲ τοσοῦτον τῶν νῦν διενήνοχεν, ὅσον οὐδὲ ἐςιν εἰπεῖν.

10. Μὴ γὰρ ἐπειδὴ πῦρ ἤκουσας, τοιοῦτο [2]) εἶναι νομίσῃς τὸ πῦρ· τοῦτο μὲν γὰρ, ὅπερ ἂν λάβῃ, κατέκαυσε καὶ ἀπήλλαξεν· ἐκεῖνο δὲ τοὺς ἅπαξ κατασχεθέντας καίει διὰ παντὸς, καὶ οὐδέποτε παύεται, διὰ τοῦτο καὶ ἄσβεςον εἴρηται. Καὶ γὰρ καὶ τοὺς ἡμαρτηκότας ἀφθαρσίαν ἐνδύσασθαι δεῖ, οὐ πρὸς τιμὴν, ἀλλ' ὥςε διηνεκὲς ἐφόδιον ἔχειν τῆς τιμωρίας ἐκείνης· τοῦτο δ' ὅσον ἐςὶ δεινὸν, ὁ μὲν λόγος οὐκ ἂν ἰσχύσειε παραςῆσαί ποτε· ἀπὸ δὲ τῆς πείρας τῶν μικρῶν δυνατὸν βραχεῖάν τινα ἔννοιαν τῶν μεγάλων ἐκείνων λαβεῖν. Εἰ γάρ ποτε ἐν βαλανείῳ γένοιο σφοδρότερον κατεσκευασμένῳ τοῦ δέοντος, τότε μοι τὸ τῆς γεέννης ἐννόησον πῦρ· καὶ εἴ ποτε πάλιν ὑπὸ πυρετοῦ καταφλεχθείης χαλεποῦ, πρὸς ἐκείνην τὴν φλόγα τὸν νοῦν μετάςησον καὶ τότε δυνήσῃ διαςεῖλαι καλῶς. Εἰ γὰρ βαλανεῖον καὶ πυρετὸς οὕτως ἡμᾶς θλίβει καὶ θορυβεῖ, ὅταν εἰς τὸν ποταμὸν τοῦ πυρὸς ἐμπέσωμεν ἐκεῖνον τὸν ἑλκόμενον πρὸ τοῦ βήματος τοῦ φοβεροῦ, πῶς τότε διακεισόμεθα; ἄρα βρύξομεν τοὺς ὀδόντας ὑπὸ τῶν πόνων καὶ τῶν ἀφορήτων ἀλγηδόνων ἐκείνων. Ὁ δὲ ἐπαμύνων ἔςαι οὐδείς· ἀλλ' οἰμώξομεν μεγάλα, σφοδρότερον ἐπιτιθεμένης ἡμῖν τῆς φλογὸς, ὀψόμεθα δὲ οὐδένα, πλὴν τῶν κολαζομένων σὺν ἡμῖν καὶ τῆς ἐρημίας τῆς πολλῆς. Τί ἂν τις εἴποι τὰ ἀπὸ τοῦ σκότους δείματα ταῖς ἡμετέραις ἐγγινόμενα ψυχαῖς; ὥσπερ γὰρ οὐκ ἔςιν ἀναλωτικὸν ἐκεῖνο τὸ πῦρ, οὕτως οὐδὲ φωτιςικόν· οὐδὲ γὰρ ἂν σκότος ἦν. Τὸν τοίνυν ἀπὸ τούτου θόρυβον ἐγγινόμενον ἡμῖν,

---

[1]) Κείσθω (отъ κεῖμαι) τῷ λόγῳ, пусть будетъ такъ, какъ сказано.
[2]) Въ смыслѣ: здѣшній, такой же, какой здѣсь.

καὶ τὸν τρόμον καὶ τὴν παράλυσιν, καὶ τὴν ἔκςασιν τὴν πολλὴν ἐκεῖνος μόνος παραςῆσαι ὁ καιρὸς ἱκανός. Πολλὰ γὰρ καὶ ποικίλα ἐκεῖ τὰ βασανιςήρια, καὶ νιφάδες πάντοθεν κολάσεων ἐπάγονται τῇ ψυχῇ. Εἰ δὲ λέγοι τις· καὶ πῶς ἀρκέσαι δύναιτ' ἂν ἡ ψυχὴ πρὸς τοσοῦτον πλῆθος τιμωριῶν, καὶ ἀτελευτήτους αἰῶνας διαμεῖναι κολαζομένη; ἐννοησάτω τὰ ἐνταῦθα γινόμενα, πῶς πολλοὶ πολλάκις πρὸς νόσον μακρὰν καὶ χαλεπὴν ἤρκεσαν· εἰ δὲ καὶ ἐτελεύτησαν, οὐ τῆς ψυχῆς ἀναλωθείσης, ἀλλὰ τοῦ σώματος ἀπαγορεύσαντος, ὡς εἴ γε ἐκεῖνο μὴ ἐνεδίδου, οὐκ ἂν ἐπαύσατο βασανιζομένη ἡ ψυχή. Ὅταν οὖν ἄφθαρτον τοῦτο λάβῃ καὶ ἀνάλωτον, οὐδὲν τὸ κωλῦον εἰς ἄπειρον ἐκταθῆναι τὴν κόλασιν. Ἐνταῦτα μὲν γὰρ οὐκ ἔςιν ὁμοῦ ταῦτα ἀμφότερα συνελθεῖν, σφοδρότητα λέγω κολάσεων καὶ παραμονήν, ἀλλὰ θάτερον θατέρῳ μάχεται, διὰ τὸ τὴν τοῦ σώματος φύσιν εἶναι φθαρτὴν καὶ μὴ φέρειν ἀμφοτέρων τὴν σύνοδον· τῆς ἀφθαρσίας δὲ ἐπελθούσης λοιπόν, τῆς μάχης ταύτης διάλυσις γένοιτ' ἄν, καὶ μετὰ πολλῆς τῆς ἐξουσίας εἰς ἄπειρον ἡμᾶς ἀμφότερα καθέξει τὰ δεινά. Μὴ τοίνυν, ὡς τῆς ὑπερβολῆς τῶν βασανιςηρίων ἀναλισκούσης ἡμῶν τὴν ψυχήν, οὕτω διατεθῶμεν νῦν· οὐδὲ γὰρ τὸ σῶμα δυνήσεται τοῦτο ἐν ἐκείνῳ παθεῖν τῷ καιρῷ, ἀλλὰ μενεῖ μετὰ τῆς ψυχῆς αἰωνίως κολαζόμενον, καὶ πέρας ἕτερον ἔςαι οὐδέν. Πόσην οὖν βούλει τρυφήν, καὶ πόσον καιρὸν ἀντιθεῖναι τῇ κολάσει ταύτῃ καὶ τῇ τιμωρίᾳ; βούλει χρόνον ἐτῶν ἑκατὸν καὶ δὶς τοσοῦτον; καὶ τί τοῦτο πρὸς τοὺς ἀτελευτήτους αἰῶνας; ὅπερ γὰρ ὄναρ ἡμέρας μιᾶς ἐν τῷ βίῳ παντί, τοῦτο ἡ τῶν ἐνθάδε ἀπόλαυσίς ἐςι πρὸς τὴν τῶν μελλόντων κατάςασιν. Ἔςιν οὖν, ὅστις ὑπὲρ τοῦ χρηςὸν ὄναρ ἰδεῖν διὰ παντὸς κολάζεσθαι ἕλοιτ' ἄν; καὶ τίς οὕτως ἀνόητος, ὡς ἐπὶ ταύτην ἐλθεῖν την ἀντίδοσιν; οὔπω γὰρ διαβάλλω τὴν τρυφήν, οὐδὲ τὴν ἐν αὐτῇ κειμένην πικρίαν ἀποκαλύπτω νῦν. Οὐ γὰρ οὗτος τῶν λόγων τούτων ὁ καιρός, ἀλλ' ὅταν αὐτὴν [1]) ἐκφυγεῖν δυνηθῇς. Νῦν μὲν γὰρ ἐνεχόμενος τῷ πάθει, καὶ ληρεῖν ἡμᾶς ὑποπτεύσεις, εἰ τὴν ἡδονὴν καλοίημεν πικράν· ὅταν δὲ ἀπαλλαγῇς τῇ τοῦ Θεοῦ χάριτι τοῦ νοσήματος, τότε εἴσῃ καὶ τὴν κακίαν αὐτοῦ καλῶς. Διὸ τούτους ἐν ἑτέρῳ καιρῷ

[1]) Τ. ε. πικρίαν τῆς τρυφῆς.

τοὺς λόγους ταμιευσάμενοι, ἐκεῖνο ἐροῦμεν νῦν· ἔξω εἶναι τρυφὴν τὴν τρυφὴν, καὶ ἡδονὴν τὴν ἡδονὴν, καὶ μηδὲν ἔχειν ἀνιαρὸν μηδὲ ἐπονείδιστον, τί πρὸς τὴν ἀποκειμένην κόλασιν ἐροῦμεν; τί δὲ τότε πράξομεν, ἡσθέντες μὲν ὡς ἐν σκιᾷ καὶ εἰκόνι νῦν, ἔργῳ δὲ τὴν βάσανον αἰωνίαν τιννύοντες ἐκεῖ, καὶ ταῦτα ἐξὸν ἐν βραχεῖ χρόνῳ τά τε εἰρημένα βερβλωτήρια διαφυγεῖν καὶ τῶν ἀποκειμένων ἀπολαῦσαι καλῶν; καὶ γὰρ καὶ τοῦτο τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἔργον, τὸ μὴ εἰς μῆκος ἡμῖν ἐκταθῆναι τοὺς ἀγῶνας μακρὸν, ἀλλ' ἐν βραχεῖ καὶ ἀκαριαίῳ καὶ ὀφθαλμοῦ ῥιπῇ (τοῦτο γὰρ ἡ παροῦσα ζωὴ πρὸς ἐκείνην) ἀγωνισαμένους ἐν τοῖς ἀπείροις στεφανωθῆναι αἰῶσιν. Οὐχ ὡς ἔτυχε [1]) δὲ καὶ τοῦτο τότε τὰς τῶν κολαζομένων ἀνιάσει ψυχὰς, ὅταν ἐννοήσωσιν, ὅτι παρὸν [2]) ἐν ταῖς ὀλίγαις ἡμέραις ταύταις κατορθῶσαι τὸ πᾶν, ἀμελήσαντες τοῖς ἀθανάτοις ἑαυτοὺς παρέδωκαν κακοῖς. Ὅπερ ἵνα μὴ πάθωμεν, διαναστῶμεν, ἕως καιρὸς εὐπρόσδεκτος, ἕως ἡμέρα σωτηρίας, ἕως πολλὴ τῆς μετανοίας ἡ ἰσχύς. Οὐδὲ γὰρ τὰ εἰρημένα μόνον ἡμᾶς ἐκδέξεται ῥαθυμήσαντας κακὰ, ἀλλὰ καὶ ἕτερα πολλῷ τούτων χαλεπώτερα. Ταῦτα μὲν γὰρ ἐν τῇ γεέννῃ καὶ τούτων πικρότερα, ἡ δὲ τῶν ἀγαθῶν ἀπόπτωσις τοσαύτην ἔχει τὴν ὀδύνην, τοσαύτην τὴν θλίψιν καὶ τὴν στενοχωρίαν, ὡς εἰ καὶ μηδεμία τιμωρία τοῖς ἐνταῦθα ἁμαρτάνουσιν ἔκειτο, αὐτὴν καθ' ἑαυτὴν ἀρκέσαι τῶν ἐν τῇ γεέννῃ βασανιστηρίων πικρότερον δάκειν καὶ συνταράξαι τὰς ἡμετέρας ψυχάς.

11. Ἐννόησον γάρ μοι τῆς ζωῆς τὴν κατάστασιν ἐκείνης, καθ' ὅσον ἐννοῆσαι δυνατόν· πρὸς γὰρ τὴν ἀξίαν οὐδεὶς ἡμῖν ἀρκέσει λόγος· ἀλλ' ἐξ ὧν ἀκούομεν ὥσπερ διά τινων αἰνιγμάτων, λάβωμέν τινα φαντασίαν αὐτῆς ἀμυδράν· «ἀπέδρα», φησὶν, «ὀδύνη καὶ λύπη καὶ στεναγμός» [3]). Τί οὖν ταύτης μακαριώτερον γένοιτ' ἂν τῆς ζωῆς; οὐκ ἔστιν ἐκεῖ πενίαν δεῖσαι καὶ νόσον· οὐκ ἔστιν ἀδικοῦντα οὐδὲ ἀδικούμενον ἰδεῖν, οὐ παροξύνοντα καὶ παροξυνόμενον, οὐκ ὀργιζόμενον, οὐ βασκαίνοντα, οὐκ ἐπιθυμίᾳ ἀτόπῳ φλεγόμενον, οὐχ ὑπὲρ τῆς τῶν ἀναγκαίων ἀλυ-

---

[1]) Οὐχ ὡς ἔτυχε здѣсь значитъ: не легко, не поверхностно.

[2]) Παρὸν (отъ πάρειμι) въ смыслѣ: между тѣмъ какъ можно было.

[3]) Иса. 35. 10.

οντα χορηγίας, οὐχ ὑπὲρ ἀρχῆς καὶ δυναστείας κοπτόμενον. Πᾶσα γὰρ ἡ ζάλη τῶν ἐν ἡμῖν παθῶν σβεσθεῖσα ἀπόλλυται, καὶ πάντα ἐν εἰρήνῃ καὶ εὐφροσύνῃ ἔσται καὶ χαρᾷ, πάντα εὔδια καὶ γαληνά, πάντα ἡμέρα καὶ λαμπρότης καὶ φῶς, φῶς οὐ τοῦτο τὸ νῦν, ἀλλ᾿ ἕτερον τούτου τοσούτῳ λαμπρότερον, ὅσον λυχναίου τοῦτο φαιδρότερον. Οὐδὲ γὰρ ἐκεῖ νυκτί, οὐδὲ συνδρομῇ κρύπτεται νεφελῶν [1]), οὐ καίει καὶ φλέγει τὰ σώματα· οὔτε γὰρ νύξ, οὔτε ἑσπέρα ἐκεῖ, οὐ κρύος, οὐ θάλπος, οὐκ ἄλλη τις τροπῶν μεταβολή· ἀλλ᾿ ἑτέρα τις κατάστασις τοιαύτη, ἣν οἱ καταξιωθέντες εἴσονται μόνοι· οὐκ ἔστι γῆρας ἐκεῖ, οὔτε τὰ τοῦ γήρως κακά, ἀλλὰ πάντα ἐκποδὼν γίνεται [2]) τὰ τῆς φθορᾶς, τῆς ἀφθάρτου δόξης κρατούσης πανταχοῦ. Τὸ δὲ τούτων ἁπάντων μεῖζον, τὸ τῆς πρὸς τὸν Χριστὸν ὁμιλίας ἀπολαύειν διηνεκῶς, μετὰ ἀγγέλων, μετὰ ἀρχαγγέλων, μετὰ τῶν ἀνωτέρω δυνάμεων. Ἴδε τὸν οὐρανὸν νῦν, καὶ διάβηθι τῷ λογισμῷ τὰ ὑπὲρ τὸν οὐρανόν· λόγισαι τῆς κτίσεως ἁπάσης τὸν μετασχηματισμόν· οὐ γὰρ τοιαύτη μενεῖ, ἀλλὰ πολλῷ καλλίων ἔσται καὶ φαιδροτέρα, καὶ ὅσῳ μᾶλλον μολύβδου πρὸς χρυσὸν ἀποστίλβοντα τὸ μέσον, τοσούτῳ τῆς κατασκευῆς ταύτης ἔσται βελτίων ἡ τότε, καθὼς καὶ ὁ μακάριος Παῦλός φησιν· «ὅτι καὶ αὕτη ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς» [3]). Νῦν μὲν γάρ, ἅτε φθορᾶς μετέχουσα, πολλὰ πάσχει οἷα τὰ τοιαῦτα σώματα πάσχειν εἰκός· τότε δὲ ταῦτα ἀποδυσαμένη πάντα ἄφθαρτον ἡμῖν ἐπιδείξεται τὴν εὐπρέπειαν· ἐπειδὴ γὰρ ἄφθαρτα μέλλει δέχεσθαι σώματα, καὶ αὐτὴ λοιπὸν ἐπὶ τὸ κρεῖττον μετασχηματισθήσεται. Οὐδαμοῦ τότε στάσις καὶ μάχη· πολλὴ γὰρ ἡ συμφωνία τοῦ χοροῦ τῶν ἁγίων, πάντων ὁμογνωμονούντων ἀλλήλοις ἀεί· οὐκ ἔστιν ἐκεῖ διάβολον δεῖσαι, καὶ δαιμόνων ἐπιβουλάς, οὐ γεέννης ἀπειλήν, οὐ θάνατον, οὐ τοῦτον τὸν νῦν, οὐ τὸν πολλῷ τούτου χαλεπώτερον ἐκεῖνον· ἀλλὰ πᾶς ὁ τοιοῦτος λέλυται φόβος. Καὶ καθάπερ παιδίον βασιλικὸν πρότερον ἐν εὐτελεῖ τρεφόμενον σχήματι, καὶ ὑπὸ φόβοις

---

[1]) Т. е. φῶς.

[2]) Ἐκποδὼν γίνεται въ смыслѣ: устраняется, уничтожается, не существуетъ.

[3]) Рим. 8. 21.

ὃν καὶ ἀπειλαῖς, ὥςε μὴ τῇ ἀνέσει γενέσθαι χεῖρον καὶ τῆς πατρικῆς ἀνάξιον κληρονομίας, ἐπειδὰν εἰς τὸ βασιλικὸν ἐλθεῖν ἀξίωμα δέῃ, πάντα ἀθρόως ἐκεῖνα μεταμφιασάμενον, ἐξαίφνης μετὰ τῆς ἁλουργίδος καὶ τοῦ διαδήματος καὶ τοῦ πλήθους τῶν δορυφόρων, μετὰ πολλῆς προκάθηται τῆς παῤῥησίας, τὰ ταπεινὰ καὶ κατηφῆ ῥίψας ἀπὸ τῆς ψυχῆς, καὶ ἕτερα ἀντ' ἐκείνων λαβών· οὕτω καὶ τότε συμβήσεται τοῖς ἁγίοις πᾶσι. Καὶ ὅτι οὐ κόμπος τὰ ῥήματα, πορευθῶμεν ἐπὶ τὸ ὄρος τῷ λόγῳ, ἔνθα μετεμορφώθη Χριςός· ἴδωμεν αὐτὸν λάμποντα ὥσπερ ἔλαμψε· καίτοι γε οὐδὲ οὕτω πᾶσαν ἡμῖν ἔδειξε τὴν τοῦ μέλλοντος αἰῶνος λαμπρότητα. Ὅτι γὰρ συγκατάβασις τὸ φαινόμενον ἦν, ἀλλ' οὐκ ἐπίδειξις τοῦ πράγματος ἀκριβής, ἀπ' αὐτῶν δῆλον τῶν ῥημάτων τοῦ εὐαγγελιςοῦ. Τί γάρ φησιν; «ἔλαμψεν ὡς ὁ ἥλιος» [1]. Ἡ δὲ τῶν ἀφθάρτων σωμάτων δόξα οὐ τοσοῦτον ἀφίησι τὸ φῶς, ὅσον τοῦτο τὸ σῶμα τὸ φθαρτόν, οὐδὲ τοιοῦτον οἷον καὶ θνητοῖς ὄμμασι γενέσθαι χωρητόν, ἀλλὰ ἀφθάρτων καὶ ἀθανάτων δεόμενον ὀφθαλμῶν πρὸς τὴν θέαν αὐτοῦ. Τότε δὲ ἐπὶ τοῦ ὄρους τοσοῦτον αὐτοῖς ἀπεκάλυψεν, ὅσον ἰδεῖν δυνατὸν ἦν, καὶ μὴ βλάψαι τὰς τῶν ὁρώντων ὄψεις· καὶ οὐδὲ οὕτως ἤνεγκαν, ἀλλ' ἔπεσον ἐπὶ πρόσωπον αὐτῶν. Εἰπέ μοι, εἴ τίς σε εἰς τόπον τινὰ φαιδρὸν ἤγαγεν, ἔνθα πάντες ἐκάθηντο χρυσᾶς ἀναβεβλημένοι ςολάς, καὶ ἐν μέσῳ τῷ πλήθει ἕτερόν τινα ἐπέδειξεν ἀπὸ λίθων τιμίων μόνον καὶ τὰ ἱμάτια καὶ τὸν ςέφανον ἔχοντα τὸν ἐπὶ τῆς κεφαλῆς· εἶτά σε ἐπηγγέλλετο εἰς ἐκεῖνον κατατάξειν τὸν δῆμον, ἆρ' οὐκ ἂν πάντα ἔπραξας, ὥςε τῆς ἐπαγγελίας ταύτης τυχεῖν; ἀναπέτασον οὖν καὶ νῦν τῷ νῷ τοὺς ὀφθαλμούς, καὶ βλέψον εἰς ἐκεῖνο τὸ θέατρον, οὐκ ἀπὸ τοιούτων συγκείμενον ἀνδρῶν, ἀλλ' ἀπ' ἐκείνων, οἳ καὶ τοῦ χρυσοῦ καὶ τῶν λίθων τῶν τιμίων καὶ τῶν ἀκτίνων τῶν ἡλιακῶν, καὶ πάσης ὁρωμένης φαιδρότητός εἰσι τιμιώτεροι, καὶ οὐκ ἐξ ἀνθρώπων μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν πολλῷ τούτων τιμιωτέρων, ἀγγέλων, ἀρχαγγέλων, θρόνων, κυριοτήτων, ἀρχῶν, ἐξουσιῶν. Περὶ γὰρ τοῦ βασιλέως οὐδὲ ἔνι εἰπεῖν, οἷός ἐςιν· οὕτως ἅπαντα λόγον καὶ νοῦν ἐκεῖνο διαφεύγει τὸ κάλλος, ἡ ὡραιότης, ἡ λαμπρότης, ἡ δόξα, ἡ μεγαλωσύνη, ἡ

[1] Ματ. 17. 2.

μεγαλοπρέπεια. Τοσούτων οὖν ἀγαθῶν ἀποστερήσομεν ἑαυτούς, εἰπέ μοι, ἵνα μὴ μικρὸν κακοπαθήσωμεν χρόνον; εἰ γὰρ μυρίους καθ' ἑκάστην ἡμέραν θανάτους ὑπομένειν ἔχρῆν, εἰ γὰρ τὴν γέενναν αὐτὴν, ὑπὲρ τοῦ τὸν Χριστὸν ἐρχόμενον ἰδεῖν ἐν τῇ δόξῃ αὐτοῦ, καὶ εἰς τὸν τῶν ἁγίων καταλεγῆναι χορὸν, οὐκ ἐχρῆν ἅπαντα ὑπομένειν ἐκεῖνα; ἄκουσον, τί φησιν ὁ μακάριος Πέτρος· «καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι» [1]). Εἰ δὲ ἐκεῖνος ἀμυδράν τινα τῶν μελλόντων εἰκόνα ἰδὼν, πάντα ἐξαίφνης ἔρριψεν ἀπὸ τῆς ψυχῆς, διὰ τὴν ἀπὸ τῆς ὄψεως ἐκείνης ἡδονὴν αὐτοῦ ἐντεθεῖσαν τῇ ψυχῇ, τί ἄν τις εἴποι, ὅταν αὐτὴ τῶν πραγμάτων ἡ ἀλήθεια παραγένηται, ὅταν τῶν βασιλείων ἀνοιγέντων κατοπτεύειν ἐξῇ τὸν βασιλέα αὐτὸν, μηκέτι ἐν αἰνίγματι, μηδὲ δι' ἐσόπτρου, ἀλλὰ πρόσωπον πρὸς πρόσωπον, μηκέτι διὰ πίστεως, ἀλλὰ διὰ εἴδους [2]);

12. Οἱ μὲν οὖν πολλοὶ τῶν ἀλογωτέρως διακειμένων τὸ τῆς γεέννης ἀπαλλαγῆναι ἀγαπητὸν τίθενται μόνον· ἐγὼ δὲ τῆς γεέννης πολλῷ χαλεπωτέραν κόλασιν εἶναί φημι τὸ μὴ γενέσθαι ἐν ἐκείνῃ τῇ δόξῃ, καὶ τὸν ἐκπεσόντα ἐκεῖθεν οὐχ οὕτως οἶμαι δεῖν πενθεῖν τὰ ἐν τῇ γεέννῃ κακὰ, ὡς τὴν ἀπόπτωσιν τὴν ἐκ τῶν οὐρανῶν. Τοῦτο γὰρ μόνον πάντων χαλεπώτερον εἰς κολάσεως λόγον [3]) ἐστί. Νῦν δὲ βασιλέα μὲν πολλάκις ὁρῶντες μετὰ πολλῶν τῶν δορυφόρων εἰς τὰ βασίλεια εἰσελαύνοντα, τοὺς πλησίον ὄντας αὐτοῦ, καὶ λόγου καὶ γνώμης κοινωνοῦντας αὐτῷ, καὶ δόξης μετέχοντας τῆς λοιπῆς μακαρίζομεν· κἂν μυρία ἔχωμεν ἀγαθὰ, ταλανίζομεν ἑαυτοὺς, καὶ οὐδενὸς ἐκείνων λαμβάνομεν αἴσθησιν, εἰς τὴν δόξαν ἀφορῶντες τῶν περὶ αὐτὸν, καίτοι γε εἰδότες ἐπισφαλῆ καὶ οὐ βεβαίαν τὴν τοιαύτην λαμπρότητα καὶ διὰ τοὺς πολέμους, καὶ διὰ τὰς ἐπιβουλὰς, καὶ διὰ τὰς βασκανίας, καὶ διὰ τὸ χωρὶς τούτων αὐτὴν καθ' ἑαυτὴν οὐδενὸς ἀξίαν εἶναι λόγου· ἐπὶ δὲ τοῦ βασιλέως πάντων τοῦ κατέχοντος οὐ μέρος γῆς, ἀλλὰ πάντα τὸν γῦρον τῆς γῆς, μᾶλλον δὲ τοῦ πᾶσαν αὐτὴν περιλαμβάνοντος δρακὶ καὶ τοὺς οὐρανοὺς μετροῦντος σπιθαμῇ, τοῦ πάντα φέροντος τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, ᾧ πάντα τὰ ἔθνη ὡς οὐδὲν

---

[1]) Мат. 17. 4. [2]) 1 Кор. 13. 12.

[3]) Εἰς κολάσεως λόγον, по отношенію къ наказанію, изъ всѣхъ наказаній.

και ὡς σιελος ἐλογίσθησαν [1]), ἐπὶ τούτου οὐχ ἡγησόμεθα ἐσχάτην εἶναι κόλασιν, τὸ μὴ καταταχθῆναι εἰς τὸν χορὸν ἐκεῖνον τὸν περὶ αὐτόν. ἀλλὰ φέρξομεν, ἂν τῆς γεέννης ἀπαλλαγῶμεν μόνον: καὶ τί ταύτης ἐλεεινότερον γένοιτ' ἂν τῆς ψυχῆς; οὗτος γὰρ ὁ βασιλεὺς οὐ ζεῦγος ἔχων ἡμιόνων λευκῶν, οὐδὲ ὄχημα χρυσοῦν, οὐδὲ ἁλουργίδα καὶ διάδημα περικείμενος, οὕτως ἔρχεται κρῖναι τὴν γῆν. Ἀλλὰ πῶς: ἄκουσον τῶν προφητῶν βοώντων καὶ λεγόντων, ὡς ἀνθρώποις εἰπεῖν δυνατόν. Ὁ μὲν γάρ φησιν· «ὁ Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται· πῦρ ἐνώπιον αὐτοῦ καυθήσεται, καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφοδρά· προσκαλέσεται τὸν οὐρανὸν ἄνω, καὶ τὴν γῆν τοῦ διακρῖναι τὸν λαὸν αὐτοῦ» [2]). Ὁ δὲ Ἡσαΐας καὶ τὴν κόλασιν ἡμῖν αὐτὴν προστίθησιν οὕτω λέγων· «ἰδοὺ ἡμέρα Κυρίου ἔρχεται ἀνίατος θυμοῦ καὶ ὀργῆς, θεῖναι τὴν οἰκουμένην ὅλην ἔρημον, καὶ τοὺς ἁμαρτωλοὺς ἀπολέσαι ἐξ αὐτῆς· οἱ γὰρ ἀστέρες τοῦ οὐρανοῦ, καὶ ὁ Ὠρίων καὶ πᾶς ὁ κόσμος τοῦ οὐρανοῦ, τὸ φῶς αὐτῶν οὐ δώσουσι, καὶ σκοτισθήσεται ὁ ἥλιος ἐν τῇ ἐξόδῳ αὐτοῦ, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς· καὶ ἐντελοῦμαι ὅλῃ τῇ οἰκουμένῃ κακά, καὶ τοῖς ἀσεβέσι τὰς ἁμαρτίας αὐτῶν· καὶ ἀπολῶ ὕβριν ἀνόμων, καὶ ὕβριν ὑπερηφάνων ταπεινώσω· καὶ ἔσονται οἱ ἐγκαταλελειμμένοι ἔντιμοι μᾶλλον, ἢ τὸ χρυσίον τὸ ἄπυρον· καὶ ἄνθρωπος ἔντιμος ἔσται μᾶλλον, ἢ ὁ λίθος ἐκ Σουφείρ· καὶ γὰρ ὁ οὐρανὸς σαλευθήσεται, καὶ ἡ γῆ σεισθήσεται ἐκ τῶν θεμελίων αὐτῆς, διὰ θυμὸν ὀργῆς Κυρίου Σαβαὼθ ἐν τῇ ἡμέρᾳ, ᾗ ἂν ἐπέλθῃ ὁ θυμὸς αὐτοῦ» [3]). Καὶ πάλιν· «θυρίδες», φησίν, «ἐκ τοῦ οὐρανοῦ ἀνοιχθήσονται, καὶ σεισθήσονται τὰ θεμέλια τῆς γῆς· ταραχῇ ταραχθήσεται ἡ γῆ, κλινομένη κλιθήσεται ἡ γῆ, ἀπορίᾳ ἀπορηθήσεται, σάλῳ σαλευθήσεται ἡ γῆ, ὡς ὁ μεθύων καὶ ὁ κραιπαλῶν· σεισθήσεται ὡς ὀπωροφυλάκιον ἡ γῆ, πεσεῖται, καὶ οὐ μὴ δύνηται ἀναστῆναι· κατίσχυσε γὰρ ἐπ' αὐτὴν ἡ ἀνομία· καὶ ἐπάξει ὁ Θεὸς ἐπὶ τὸν κόσμον τοῦ οὐρανοῦ ἐν τῷ ὕψει τὴν χεῖρα αὐτοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἐπὶ τὰς βασιλείας τῆς γῆς· καὶ συνάξουσι συναγωγὴν αὐτῆς εἰς δεσμωτήριον, καὶ ἀποκλείσου-

---

[1]) Евр. 1. 3. Иса. 40. [2]) Псал. 49. 3, 4. [3]) Иса. 13. 9—13.

σιν εἰς ὀχύρωμα» [1]. Καὶ ὁ Μαλαχίας συνῳδὰ τούτοις φθεγγόμενος ἔλεγεν· «ἰδοὺ ἔρχεται Κύριος παντοκράτωρ, καὶ τίς ὑπομενεῖ ἡμέραν εἰσόδου αὐτοῦ, ἢ τίς ὑποστήσεται ἐν τῇ ὀπτασίᾳ αὐτοῦ; διότι αὐτὸς εἰσπορεύεται ὡς πῦρ χωνευτηρίου. καὶ ὡς πόα πλυνόντων, καὶ καθιεῖται χωνεύων καὶ καθαρίζων ὡς τὸ ἀργύριον καὶ ὡς τὸ χρυσίον». Καὶ πάλιν· «ἰδού», φησιν, «ἡμέρα ἔρχεται Κυρίου καιομένη ὡς κλίβανος, καὶ καταφλέξει αὐτούς, καὶ ἔσονται πάντες οἱ ἀλλογενεῖς, καὶ πάντες οἱ ποιοῦντες τὰ ἄνομα καλάμη, καὶ ἀνάψει αὐτοὺς ἡ ἡμέρα ἡ ἐρχομένη, λέγει Κύριος παντοκράτωρ· καὶ οὐ μὴ ὑπολειφθῇ ῥίζα οὐδὲ κλῆμα» [2]. Ὁ δὲ ἀνὴρ τῶν ἐπιθυμιῶν [3], «ἐθεώρουν», φησίν, «ἕως οὗ θρόνοι ἐτέθησαν. καὶ ὁ παλαιὸς τῶν ἡμερῶν ἐκάθητο, καὶ τὸ ἔνδυμα αὐτοῦ ὡσεὶ χιὼν λευκόν, καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτοῦ ὡσεὶ ἔριον καθαρόν· ὁ θρόνος αὐτοῦ φλὸξ πυρὸς, οἱ τροχοὶ αὐτοῦ πῦρ φλέγον· ποταμὸς πυρὸς εἷλκε πορευόμενος ἔμπροσθεν αὐτοῦ· χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μύριαι μυριάδες παρειςήκεισαν ἔμπροσθεν αὐτοῦ· κριτήριον ἐκάθισε, καὶ βίβλοι ἠνεώχθησαν». Εἶτα μετὰ μικρόν· «ἐθεώρουν», φησίν, «ἐν ὁράματι τῆς νυκτὸς, καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ, ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος ἦν, καὶ ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν ἔφθασε, καὶ ἐνώπιον αὐτοῦ προσηνέχθη αὐτῷ, καὶ αὐτῷ ἐδόθη ἡ ἀρχὴ, καὶ ἡ τιμὴ, καὶ ἡ βασιλεία, καὶ πάντες λαοὶ, φυλαί, γλῶσσαι αὐτῷ δουλεύουσιν· ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος, ἥτις οὐ παρελεύσεται, καὶ ἡ βασιλεία αὐτοῦ οὐ διαφθαρήσεται· ἔφριξε τὸ πνεῦμά μου, ἐγὼ Δανιὴλ ἐν τῇ ἕξει μου, καὶ αἱ ὁράσεις τῆς κεφαλῆς μου συνετάρασσόν με» [4]. Τότε ἀναπετάννυνται πᾶσαι τῶν οὐρανίων ἀψίδων αἱ πύλαι, μᾶλλον δὲ καὶ αὐτὸς λαμβάνεται ἐκ μέσου ὁ οὐρανός· «εἱλιγήσεται» γάρ, φησιν, «ὡς βιβλίον ὁ οὐρανὸς» [5], καθάπερ τινὸς σκηνῆς διφθέρα καὶ παραπέτασμα συστελλόμενος ἐκ τοῦ μέσου, ὥστε μετασχηματισθῆναι ἐπὶ τὸ βέλτιον. Τότε πάντα ἐκστάσεως γέμει, καὶ φρίκης, καὶ τρόμου· τότε

---

[1] Иса. 24. 18—22. [2] Мал. 3. 2, 3; 4. 1.

[3] Мужъ желаній, или вожделѣнный,—пророкъ Даніилъ, называемый такъ въ св. Писаніи. Дан. 9. 23; 10. 11, 19.

[4] Дан. 7. 9, 10, 13—15. [5] Иса. 34. 4.

καὶ αὐτοὺς πολὺς ἔχει τοὺς ἀγγέλους φόβος, οὐκ ἀγγέλους δὲ μόνον, ἀλλὰ καὶ ἀρχαγγέλους, καὶ θρόνους, καὶ κυριότητας, καὶ ἀρχὰς, καὶ ἐξουσίας· «σεισθήσονται» γάρ, φησιν, «αἱ δυνάμεις τῶν οὐρανῶν» [1]), διὰ τὸ τοὺς ὁμοδούλους τὰς εὐθύνας ἀπαιτεῖσθαι τῆς ἐνθάδε ζωῆς. Εἰ γὰρ πόλεως μιᾶς κρινομένης ἐπὶ τούτων τῶν ἀρχόντων πεφρίκασιν ἅπαντες καὶ οἱ κινδύνων ὄντες ἐκτὸς, τῆς οἰκουμένης ἁπάσης δικαζομένης ἐπὶ τοιούτου κριτοῦ οὐ μαρτύρων δεομένου, οὐκ ἐλέγχων, ἀλλὰ χωρὶς τούτων ἁπάντων καὶ πράξεις καὶ ῥήματα καὶ ἐνθυμήματα παριςῶντος εἰς μέσον, καὶ πάντα ὥσπερ ἐν εἰκόνι τινὶ τοῖς τε ἡμαρτηκόσιν αὐτὰ καὶ τοῖς ἀγνοοῦσιν ἐπιδεικνύντος, πῶς οὐκ εἰκὸς πᾶσαν κλονεῖσθαι δύναμιν καὶ σαλεύεσθαι; εἰ γὰρ μὴ ποταμὸς εἵλκετο πυρὸς, μηδὲ ἄγγελοι παρειςήκεισαν φοβεροί, μόνον δὲ καλούμενοι τῶν ἀνθρώπων οἱ μὲν ἐπῃνοῦντο καὶ ἐθαυμάζοντο, οἱ δὲ παρεπέμποντο ἀτίμως, ἵνα μὴ ἴδωσι τὴν δόξαν τοῦ Θεοῦ· «ἀρθήτω γάρ», φησιν, «ὁ ἀσεβὴς, ἵνα μὴ ἴδῃ δόξαν Κυρίου» [2])· καὶ τοῦτο μόνον ἡ κόλασις ἦν, οὐκ ἂν πάσης γεέννης πικρότερον ἡ τῶν τοιούτων ἔκπτωσις ἀγαθῶν τὰς τῶν ἀπεςερημένων ἔδακνε ψυχάς; τοῦτο γὰρ ὅσον κακὸν, νῦν μὲν οὐ δυνατὸν παραςῆσαι τῷ λόγῳ· τότε δὲ ἐπὶ τῶν πραγμάτων οἰσόμεθα σαφῶς. Σὺ δέ μοι προστίθει νῦν καὶ τὴν κόλασιν, καὶ μὴ μόνον αἰσχυνομένους, μηδὲ ἐγκαλυπτομένους, καὶ κάτω νεύοντας, ἀλλὰ καὶ τὴν ἐπὶ τὸ πῦρ ἑλκομένους ὁδὸν, καὶ πρὸς αὐτὰ συρομένους τα βασανιςήρια, καὶ ταῖς ἀποτόμοις παραδιδομένους δυνάμεσι, καὶ ταῦτα πάσχοντας κατὰ τὸν καιρὸν, καθ' ὃν ςεφανοῦνται, καὶ ἀνακηρύττονται, καὶ τῷ θρόνῳ παρίςανται τῷ βασιλικῷ οἱ τὰ ἀγαθὰ πράξαντες πάντες καὶ ἄξια τῆς αἰωνίου ζωῆς ποιήσαντες.

13. Καὶ ταῦτα μὲν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, τὰ δὲ ἑξῆς τίς ἡμῖν παραςήσει λόγος; τῆς μετὰ Χριςοῦ συνουσίας τὴν ἡδονὴν, τὴν ὠφέλειαν, τὴν χαράν; ψυχὴ γὰρ εἰς τὴν οἰκείαν εὐγένειαν ἐπανελθοῦσα, καὶ μετὰ παῤῥησίας λοιπὸν δυνηθεῖσα τὸν ἑαυτῆς Δεσπότην ὁρᾶν, οὐκ ἔςιν εἰπεῖν ὅσην καρποῦται τὴν ἡδονὴν, ὅσον τὸ κέρδος, οὐ τοῖς ἐν χερσὶ μόνον χαίρουσα ἀγαθοῖς, ἀλλὰ καὶ

[1]) Мат. 24. 29. [2]) Иса. 26. 10, 1 Петр. 4. 12—18.

τῷ πεπεῖσθαι λοιπὸν, ὅτι οὐδαμοῦ ταῦτα τελευτήσει τὰ καλά. Πᾶσαν μὲν οὖν τὴν εὐφροσύνην ἐκείνην οὔτε λόγῳ παραςῆσαι, οὔτε νῷ διαλαβεῖν ἐςίν· ἀμυδρῶς δὲ καὶ ὡς ἄν τις διὰ μικρῶν μεγάλα δεικνύῃ, πειράσομαι ποιῆσαι φανερόν. Ἐξετάσωμεν γὰρ τοὺς ἐν τῷ παρόντι βίῳ τῶν τοῦ κόσμου καλῶν ἀπολαύοντας, πλούτου λέγω, καὶ δυναςείας, καὶ δόξης· πῶς ὑπὸ τῆς εὐθυμίας γαυρούμενοι, οὐδὲ ἐπὶ τῆς γῆς εἶναι νομίζουσι, καὶ ταῦτα οὔτε ὁμολογουμένων ἀπολαύοντες καλῶν, οὔτε παραμενόντων αὐτοῖς, ἀλλ᾽ ἀφιπταμένων ὀνείρου ταχύτερον· εἰ δέ ποτε καὶ ςαίη μικρὸν, μέχρι τῆς παρούσης ζωῆς τὴν εὔνοιαν [1]) ἐπιδεικνυμένων, περαιτέρω δὲ οὐκ ἰσχυόντων συνεξελθεῖν. Εἰ δὲ ταῦτα εἰς τοσαύτην αἴρει τοὺς ἔχοντας χαρὰν, τί οἴει γίνεσθαι ἐκείνας τὰς ψυχὰς, τὰς καλουμένας ἐπὶ τὰ μυρία ἀγαθά τα ἐν τοῖς οὐρανοῖς, τὰ πεπηγότα καὶ ἑςῶτα βεβαίως διαπαντός; οὐδὲ γὰρ τοῦτο μόνον, ἀλλὰ καὶ τῇ ποσότητι καὶ τῇ ποιότητι τοσούτῳ κρείττω τῶν παρόντων ἐςὶν, ὡς μηδὲ ἐπὶ καρδίαν ἀνθρώπου ἀναβῆναί ποτε [2]). Νῦν μεν γὰρ καθάπερ ἐν μήτρᾳ παιδίον, οὕτως ἐν τῷ κόσμῳ τούτῳ διάγομεν ςενοχωρούμενοι καὶ τοῦ μέλλοντος αἰῶνος τὴν λαμπρότητα καὶ τὴν ἐλευθερίαν οὐ δυνάμενοι συνιδεῖν· ὅταν δὲ ὁ καιρὸς ἐπιςῇ τῶν ὠδίνων, καὶ ἀποτέκῃ κατὰ τὴν τῆς κρίσεως ἡμέραν οὓς ὑπεδέξατο πάντας ἀνθρώπους ὁ παρὼν βίος, τὰ μὲν ἐξαμβλωθέντα ἀπὸ σκότους εἰς σκότος ἔρχεται, καὶ ἀπὸ θλίψεως εἰς θλίψιν χαλεπωτέραν· τὰ δὲ ἄρτια καὶ τῆς βασιλικῆς εἰκόνος τοὺς χαρακτῆρας διαφυλάξαντα παραςήσονται τῷ βασιλεῖ, καὶ τὴν λειτουργίαν ἀναδέξονται ἐκείνην, ἣν ἄγγελοι καὶ ἀρχάγγελοι τῷ πάντων διακονοῦνται Θεῷ. Μὴ τοίνυν εἰς τέλος τούτους ἡμῖν ἀφανίσῃς τοὺς χαρακτῆρας, ὦ φίλος· ἀλλὰ ταχέως αὐτοὺς ἀνακτησάμενος, ἐπὶ τὸ βέλτιον διατύπωσον. Τὸ μὲν γὰρ κάλλος τὸ σωματικὸν εἴσω τῶν τῆς φύσεως ὅρων συνέκλεισεν ὁ Θεὸς, ἡ δὲ τῆς ψυχῆς ὥρα [3]) τῆς μὲν ἐκεῖθεν ἀνάγκης καὶ δουλείας ἀπήλλακται, ἅτε δὴ πολλῷ βελτίων οὖσα τῆς σωματικῆς εὐμορφίας·

---

[1]) Εὔνοια (отъ εὖ и νοῦς), благосклонность, пріятность, благопріобрѣтеніе.

[2]) 1 Кор. 2. 9.

[3]) Ὥρα въ смыслѣ ὡραιότης или κάλλος.

ἐφ' ἡμῖν δὲ ἅπασα κεῖται καὶ τῇ ῥοπῇ τοῦ Θεοῦ. Φιλάνθρωπος γὰρ ὢν ὁ Δεσπότης ἡμῶν, καὶ τούτῳ μάλιστα τὸ ἡμέτερον ἐτίμησε γένος, τὰ μὲν ἐλάττονα καὶ οὐδὲν μέγα συντελοῦντα ἡμῖν, ἀλλ' ὅπως ἂν πέσῃ ἀδιάφορα ὄντα, τῇ τῆς φύσεως ἐπιτρέψας ἀνάγκῃ· τῶν δὲ ὄντως καλῶν ἡμᾶς ποιήσας εἶναι δημιουργούς. Εἰ μὲν γὰρ καὶ σωματικοῦ κάλλους ἡμᾶς ἐποίησεν εἶναι κυρίους, καὶ φροντίδα περιττὴν ἐδεξάμεθα ἄν, καὶ ἐν τοῖς οὐδὲν ὠφελοῦσι τὸν ἅπαντα ἂν ἀπησχολήσαμεν χρόνον, καὶ τῆς ψυχῆς σφόδρα ἂν ἠμελήσαμεν. Ὅπου γὰρ νῦν οὐκ οὔσης ἐν ἡμῖν τῆς ἐξουσίας ταύτης ἅπαντα πράττομεν καὶ βιαζόμεθα, καὶ σκιαγραφίαις τοῦτο ἐκδικοῦμεν ἑαυτοῖς, ἐπειδὴ τῇ ἀληθείᾳ μὴ δυνάμεθα, καὶ χρώμασι καὶ βαφαῖς, καὶ συνθέσει τριχῶν, καὶ ἱματίων περιβολαῖς, καὶ στροφαῖς ὀφθαλμῶν, καὶ πολλοῖς ἑτέροις μηχανήμασι τὰ τοιαῦτα σοφιζόμεθα κάλλη, τίνα ἂν τῇ ψυχῇ καὶ τοῖς σπουδαίοις [1]) σχολὴν ἀπενείμαμεν, εἰ πρὸς τὴν ὄντως αὐτὸ εὐμορφίαν μεταθεῖναι εἴχομεν; τάχα γὰρ οὐδ' ἂν ἐγένετο ἡμῖν ἔργον ἕτερον, εἰ τοῦτο ἔργον ἡμέτερον ἦν, ἀλλὰ πάντα τὸν χρόνον ἀνηλώσαμεν, τὴν μὲν δούλην καλλωπίζοντες μυρίοις καλλωπισμοῖς, τὴν δὲ ταύτης κυρίαν παντὸς ἀνδραπόδου μᾶλλον ἐν ἀμορφίᾳ καὶ ῥαθυμίᾳ ἐῶντες κεῖσθαι διὰ παντός. Διὰ τοῦτο ταύτης ἡμᾶς τῆς κακοσχολίας ἀπαλλάξας ὁ Θεὸς, τοῦ βελτίονος ἡμῖν τὴν τέχνην ἐνέθηκε, καὶ ὁ τὸ σῶμα μὴ δυνάμενος εὔμορφον ποιῆσαι ἐξ εἰδεχθοῦς, οὗτος τὴν ψυχὴν, κἂν εἰς ἐσχάτην δυσειδίαν κατενεχθῇ, εἰς αὐτὴν τὴν τῆς ὥρας ἀναγαγεῖν δυνήσεται κορυφὴν, καὶ οὕτως ἐπέραστον ποιῆσαι καὶ ποθεινὴν, ὥστε μὴ μόνον τοὺς ἄνδρας τοὺς ἀγαθοὺς εἰς ἐπιθυμίαν αὐτῆς ἐλθεῖν, ἀλλὰ καὶ αὐτὸν τὸν τῶν ἁπάντων βασιλέα καὶ Θεὸν, καθὼς καὶ ὁ ψαλμῳδὸς περὶ τούτου τοῦ κάλλους διαλεγόμενος ἔλεγε· «καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου» [2]). Οὐχ ὁρᾷς καὶ ἐν τοῖς χαμαιτυπείοις τῶν γυναικῶν, ὅτι τὰς μὲν εἰδεχθεῖς καὶ ἀναισχύντους μονομάχοι καὶ δραπέται καὶ θηριομάχοι μόλις ἂν πρόσοιντο, εἰ δέ που τις εὔμορφος καὶ εὐγενὴς καὶ αἰσχυντηρὰ κατά τινα περίστασιν εἰς ταύτην ἔλθῃ τὴν ἀνάγκην,

---

[1]) Σπουδαίοις (отъ σπουδή), т. е. πράγμασι, достойнымъ попеченія, или добрымъ дѣламъ.

[2]) Пс. 44. 12.

οὐδὲ τῶν σφόδρα λαμπρῶν καὶ μεγάλων ἀνδρῶν τὸν ἐκείνης τις γάμον ἐρυθριάσειεν; εἰ δὲ παρὰ ἀνθρώποις τοσοῦτος ἔλεος καὶ τοσαύτη δόξης ὑπεροψία, ὥςε τὰς πολλάκις καταισχυνθείσας ἐπὶ τοῦ τέγους ἀπαλλάξαι τῆς δουλείας ἐκείνης, καὶ ἐν τάξει ἔχειν γυναικῶν, πολλῷ μᾶλλον ἐπὶ τοῦ Θεοῦ τοῦτό ἐςι, καὶ τῶν ψυχῶν τῶν ἀπὸ τῆς ἄνωθεν εὐγενείας κατὰ τὴν τοῦ διαβόλου τυραννίδα εἰς τὸ τοῦ παρόντος βίου χαμαιτυπεῖον καταπεσουσῶν. Καὶ τούτων εὑρήσεις τῶν παραδειγμάτων τοὺς προφήτας πεπληρωμένους, ὅταν διαλέγωνται τῇ Ἱερουσαλήμ· καὶ γὰρ ἐκείνην εἰς πορνείαν ἐμπεσοῦσαν, πορνείαν τινὰ καινοτέραν, καθὼς καὶ ὁ Ἰεζεκιὴλ φησι· «πάσαις πόρναις δίδοται μισθώματα, σὺ δὲ προσεδίδως μισθώματα, καὶ ἐγένετο ἐν σοὶ διεςραμμένον παρὰ τὰς λοιπάς» [1]· καὶ πάλιν ἕτερος· «ἐκάθισας προσδοκῶσα αὐτοὺς ὡσεὶ κορώνη ἠρημωμένη» [2]· ταύτην οὖν τὴν οὕτω πορνεύσασαν ἀνακαλεῖται πάλιν ὁ Θεός. Καὶ γὰρ ἡ αἰχμαλωσία ἡ γενομένη οὐ τιμωρίας τοσοῦτον ἦν, ὅσον ἐπιςροφῆς καὶ διορθώσεως· ἐπεί, εἰ κολάσαι αὐτοὺς καθάπαξ ἐβούλετο ὁ Θεός, οὐκ ἂν πάλιν ἐπανήγαγεν οἴκαδε, οὐκ ἂν μείζονα καὶ λαμπροτέραν καὶ τὴν πόλιν καὶ τὸν ναὸν κατεσκεύαζεν· «ἔςαι γάρ», φησιν, «ἡ δόξα τοῦ οἴκου τούτου ἡ ἐσχάτη ὑπὲρ τὴν ἔμπροσθεν» [3]. Εἰ δὲ τὴν πολλάκις ἐκπορνεύσασαν οὐκ ἀπέκλεισε τῆς μετανοίας ὁ Θεός, πολλῷ μᾶλλον τῆς σῆς ἀνθέξεται ψυχῆς, τοῦτο πρῶτον πεσούσης τὸ πτῶμα. Οὐδεὶς γάρ, οὐδεὶς σωμάτων ἐραςής, κἂν σφόδρα ᾖ μανικός, οὕτω τῆς ἐρωμένης τῆς αὐτοῦ περικαίεται, ὡς ὁ Θεὸς τῆς σωτηρίας ἐφίεται τῶν ἡμετέρων ψυχῶν. Καὶ τοῦτο ἔνεςι μὲν καὶ ἐκ τῶν καθ' ἑκάςην ἡμέραν γινομένων ἰδεῖν, ἔνεςι δὲ καὶ ἀπὸ τῶν θείων γραφῶν. Ὅρα γοῦν καὶ ἐν τοῖς προοιμίοις τοῦ Ἱερεμίου [4] καὶ πολλαχοῦ τῶν προφητῶν καταφρονούμενον αὐτόν, καὶ ὑπερορώμενον, καὶ πάλιν ἐπιτρέχοντα καὶ διώκοντα τὴν φιλίαν τῶν ἀποςρεφομένων αὐτόν· ὅπερ καὶ αὐτὸς ἐν τοῖς εὐαγγελίοις ἐδήλου λέγων· «Ἱερουσαλήμ, Ἱερουσαλήμ, ἡ ἀποκτείνουσα τοὺς προφήτας καὶ λιθοβολοῦσα τοὺς ἀπεςαλμένους πρὸς αὐτήν, ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον ἐπισυνάγει ὄρνις τὰ νοσσία αὐτῆς ὑπὸ τὰς πτέρυγας αὐτῆς, καὶ οὐκ ἠθελήσατε» [5];

---

[1]) Ιεζ. 16. 33. [2]) Ιερ. 3. 2. [3]) Αγγ. 2. 10. [4]) Ιερ. 2. [5]) Ματ. 23. 37.

καὶ ὁ Παῦλος δὲ Κορινθίοις ἐπιςέλλων ἔλεγε· «ὅτι Θεὸς ἦν ἐν Χριςῷ κόσμον καταλλάσσων ἑαυτῷ, μὴ λογιζόμενος αὐτοῖς τὰ παραπτώματα αὐτῶν, καὶ θέμενος ἐν ἡμῖν τὸν λόγον τῆς καταλλαγῆς· ὑπὲρ Χριςοῦ οὖν πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι᾽ ἡμῶν, δεόμεθα ὑπὲρ Χριςοῦ, καταλλάγητε τῷ Θεῷ» [1]. Τοῦτο καὶ πρὸς ἡμᾶς εἰρῆσθαι νόμιζε νῦν. Οὐ γὰρ ἀπιςία μόνον, ἀλλὰ καὶ βίος ἀκάθαρτος τὴν ἀπευκτὴν ταύτην ἔχθραν ἱκανὸς ἐργασάσθαι. «Τὸ γὰρ φρόνημα», φησί, «τῆς σαρκὸς, ἔχθρα εἰς Θεόν» [2]. Καταλύσωμεν οὖν τοῦτο τὸ διάφραγμα, καὶ διέλωμεν, καὶ θῶμεν νεκρὸν, ἵνα τῆς μακαρίας τύχωμεν καταλλαγῆς, ἵνα γενώμεθα πάλιν ἐπέραςοι καὶ ποθεινοὶ τῷ Θεῷ.

14. Οἶδα, ὅτι θαυμάζεις τὴν Ἑρμιόνης [3]) ὥραν νῦν, καὶ τῆς εὐμορφίας ἐκείνης οὐδὲν ὅμοιον κρίνεις ἐπὶ τῆς γῆς εἶναι· ἀλλ᾽ ἐὰν θέλῃς, ὦ φίλος, τοσοῦτον αὐτῆς εὐπρεπέςερος ἔσῃ καὶ ὡραιότερος, ὅσῳ τῶν πηλίνων οἱ χρυσοῖ βελτίους ἀνδριάντες εἰσίν. Εἰ γὰρ ἐπὶ τοῦ σώματος ὂν τὸ κάλλος οὕτω τὰς τῶν πολλῶν ἐκπλήττει ψυχὰς καὶ ἀναπτεροῖ, ὅταν ἐν τῇ ψυχῇ τοῦτο ἀποςίλβῃ, τί ἴσον τοῦ οὕτω καλοῦ καὶ ὡραίου γένοιτ᾽ ἄν; ἡ μὲν γὰρ τούτου τοῦ κάλλους ὑπόςασις οὐδὲν ἕτερόν ἐςιν, ἢ φλέγμα, καὶ αἷμα, καὶ ῥεῦμα, καὶ χολὴ, καὶ τροφῆς διαμασηθείσης χυλός. Τούτοις γὰρ καὶ ὀφθαλμοὶ, καὶ παρειαὶ, καὶ τὰ λοιπὰ πάντα ἄρδεται· κἂν μὴ καθ᾽ ἑκάςην ἡμέραν δέξηται τὴν ἀρδείαν ἐκείνην, ἀπὸ τῆς γαςρὸς καὶ τοῦ ἥπατος ἀνιοῦσαν, τοῦ δέρματος παρὰ τὸ προσῆκον ὑφιζάνοντος, τῶν τε ὀφθαλμῶν κοιλαινομένων, εὐθέως ἡ ἅπασα ἀφίπταται τῆς ὄψεως ὥρα· ὥςε ἂν ἐννοήσῃς, τί μὲν τῶν καλῶν ἔνδον ἀπόκειται ὀφθαλμῶν, τί δὲ τῆς εὐθείας ῥινὸς, τί δὲ τοῦ ςόματος καὶ τῶν παρειῶν, οὐδὲν ἕτερον ἢ τάφον κεκονιασμένον εἶναι φήσεις τοῦ σώματος τὴν εὐμορφίαν· τοσαύτης τὰ ἔνδον ἀκαθαρσίας ἐςὶ μεςά. Εἶτα ῥάκος μὲν ἰδὼν ἔχον τι τούτων, οἷον ἢ φλέγμα ἢ σίελον, οὐδὲ ἄκροις ψαῦσαι τοῖς δακτύλοις ὑπομένεις, ἀλλ᾽ οὐδὲ ἰδεῖν ἀνέχῃ· πρὸς δὲ τὰ ταμιεῖα τούτων καὶ τὰς ἀποθήκας ἐπτόησαι; ἀλλ᾽ οὐ τό γε σὸν κάλλος τοιοῦτον ἦν,

---

[1]) 2 Кор. 5. 19, 20. [2]) Рим. 8. 7.

[3]) Собственное имя той, съ которою Θеодоръ, какъ полагаютъ, намѣревался вступить въ бракъ.

ἀλλ' ὅσον τῆς γῆς βελτίων ὁ οὐρανός, μᾶλλον δὲ καὶ πολλῷ τούτων λαμπρότερόν τε καὶ ἄμεινον. Ψυχὴν γὰρ καθ' ἑαυτὴν σώματος μὲν γεγυμνωμένην οὐδεὶς εἶδεν οὐδαμοῦ· ὅμως δὲ καὶ οὕτως ἑτέρωθέν σοι παραστῆσαι τὸ ταύτης κάλλος πειράσομαι ἀπὸ τῶν δυνάμεων τῶν μειζόνων. Ἄκουσον γοῦν, πῶς τὸν ἄνδρα τῶν ἐπιθυμιῶν ἡ τούτων ὡραιότης ἐξέπληξε. Βουλόμενος γὰρ αὐτῶν παραστῆσαι τὸ κάλλος, καὶ οὐκ ἔχων σῶμα τοιοῦτον εὑρεῖν, ἐπὶ τὰς μεταλλικὰς ὕλας κατέφυγε, καὶ οὐδὲ ταύταις ἠρκέσθη μόνον, ἀλλὰ καὶ τὴν τῆς ἀστραπῆς λαμπρότητα εἰς τὸ ὑπόδειγμα παρελάμβανεν [1]). Εἰ δὲ μὴ καθαρὰς μηδὲ γυμνὰς φήνασαι τὰς ἑαυτῶν οὐσίας ἐκεῖναι, ἀλλ' ἀμυδρῶς σφόδρα καὶ συνεσκιασμένως, ὅμως οὕτω διέλαμψαν, ὁποίας αὐτὰς εἰκὸς παντὸς ἀπηλλαγμένας παραπετάσματος φαίνεσθαι; τοιοῦτόν τι καὶ περὶ τοῦ κάλλους τῆς ψυχῆς φαντάζεσθαι χρή· «ἔσονται γάρ», φησιν, «ἰσάγγελοι» [2]). Καὶ ἐπὶ τῶν σωμάτων δὲ τὰ κουφότερα καὶ λεπτότερα καὶ πρὸς τὴν ἐπὶ τὰ ἀσώματα φέρουσαν ὁδὸν ἀνακεχωρηκότα πολλῷ μᾶλλον βελτίω καὶ θαυμαστότερα τῶν ἑτέρων ἐστί. Τῆς γοῦν γῆς ὁ οὐρανός, καὶ τοῦ ὕδατος τὸ πῦρ, καὶ οἱ ἀστέρες τῶν λίθων εἰσὶν ὡραιότεροι, καὶ τὴν ἶριν δὲ πολλῷ πλέον ἴων, καὶ ῥόδων, καὶ τῶν ἄλλων ἁπάντων τῶν ἐπὶ τῆς γῆς θαυμάζομεν ἀνθῶν· καὶ ὅλως, εἴ γε ἐνῆν τοῖς σωματικοῖς ὀφθαλμοῖς τὸ τῆς ψυχῆς κάλλος ἰδεῖν, κατεγέλασας ἂν τῶν σωματικῶν ὑποδειγμάτων τούτων, οὕτως ἀσθενῶς ἡμῖν τὴν τῆς ψυχῆς παραστησάντων ὡραιότητα. Μὴ δὴ τοιούτου κτήματος μηδὲ τοσαύτης μακαριότητος ἀμελήσωμεν, καὶ μάλισθ' ὅτε εὔκολος ἡμῖν ἡ ἐπάνοδος πρὸς ἐκεῖνο τὸ κάλλος ταῖς τῶν μελλόντων ἐλπίσι γίνεται. «Τὸ γὰρ παραυτίκα», φησὶν, «ἐλαφρὸν τῆς θλίψεως ἡμῶν καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται, μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα· τὰ γὰρ βλεπόμενα πρόσκαιρα, τὰ δὲ μὴ βλεπόμενα αἰώνια» [3]). Εἰ δὲ θλίψεις, οἵας οἶδας, ἐλαφρὰς ἐκάλεσε καὶ κούφας ὁ μακάριος Παῦλος, διὰ τὸ μὴ σκοπεῖν τὰ βλεπόμενα, πολλῷ μᾶλλον τὸ παύσασθαι ἀσελγαίνοντα φορητόν [4])· οὐδὲ γὰρ ἐπὶ τοὺς κινδύνους σε καλοῦμεν τέως ἐκείνους, οὐδὲ

---

[1]) Дан. 10. 6. [2]) Лук. 20. 36. [3]) 2 Кор. 4. 17.

[4]) Φορητὸν въ смыслѣ: легко, удобно.

ἐπὶ τοὺς θανάτους τοὺς καθημερινοὺς, τὰς πληγὰς τὰς συνεχεῖς, τὰς μάστιγας, τὰ δεσμὰ, τὴν πρὸς τὴν οἰκουμένην ἀπέχθειαν, τὸ παρὰ τῶν οἰκείων μῖσος, τὰς ἀγρυπνίας τὰς ἐπαλλήλους, τὰς ὁδοιπορίας τὰς μακρὰς, τὰ ναυάγια, τὰς τῶν λῃστῶν ἐφόδους, τὰς παρὰ τῶν συγγενῶν ἐπιβουλὰς, τὰς ὑπὲρ τῶν φίλων ὀδύνας, τὸν λιμὸν, τὸν κρυμὸν, τὴν γυμνότητα, τὴν πύρωσιν, τὴν ἀθυμίαν τὴν ὑπὲρ τῶν αὐτοῦ, τὴν ὑπὲρ τῶν οὐκ αὐτοῦ. Οὐδὲν τούτων ἀπαιτοῦμεν τέως, ἀλλὰ μόνον τοσοῦτον ἀξιοῦμεν τῆς ἐπαράτου δουλείας ἀπαλλαγῆναι καὶ πρὸς τὴν προτέραν ἐλευθερίαν ἐπανελθεῖν, ἐννοήσαντα καὶ τῆς ἐκ τῆς ἀσελγείας κόλασιν καὶ τὴν ἐκ τοῦ προτέρου βίου τιμήν. Τὸ μὲν γὰρ τοὺς ἀπιστοῦντας τῷ τῆς ἀναστάσεως λόγῳ ῥαθύμως διακεῖσθαι καὶ μηδέποτε ἐν τοιούτῳ γίνεσθαι φόβῳ, θαυμαστὸν οὐδέν· τὸ δὲ ἡμᾶς τοὺς περὶ τῶν ἐκεῖ μᾶλλον ἢ τῶν ἐνταῦθα πεπεισμένους οὕτως ἀθλίως διάγειν καὶ ταλαιπώρως, καὶ μηδὲν ὑπὸ τῆς μνήμης πάσχειν ἐκείνων, ἀλλ' εἰς ἐσχάτην ἀναισθησίαν καταπεσεῖν, τοῦτο πολλῆς ἀλογίας γέμον ἐστίν. Ὅταν γὰρ οἱ πιστεύοντες τὰ τῶν ἀπίστων πράττωμεν, μᾶλλον δὲ κἀκείνων ἀθλιώτερον διακεισώμεθα· εἰσὶ γὰρ ἐν αὐτοῖς οἳ κατὰ τὴν τοῦ βίου διέλαμψαν ἀρετήν· τίς ἔσται ἡμῖν παράκλησις; ποία συγγνώμη λοιπόν; καὶ ναυαγίῳ μὲν περιπεσόντες πολλοὶ ἐμπόρων, οὐκ ἀνέπεσον, ἀλλὰ πάλιν ἐπέστησαν τῆς αὐτῆς ὁδοῦ, καὶ ταῦτα οὐ παρὰ τὴν οἰκείαν ῥαθυμίαν, ἀλλὰ παρὰ τὴν τῶν πνευμάτων ἀνάγκην τῆς ζημίας γεγενημένης αὐτοῖς· ἡμεῖς δὲ οἱ περὶ τοῦ τέλους θαῤῥεῖν ἔχοντες καὶ ἀκριβῶς εἰδότες, ὅτι, μὴ βουλομένων ἡμῶν, οὔτε ναυάγιον οὔτε περὶ τὸ τυχὸν ἡμῖν ἡ ζημία συμβήσεται· οὐχ ἁψόμεθα πάλιν αὐτῶν καὶ ἐμπορευσόμεθα καθάπερ καὶ τὸ πρότερον, ἀλλὰ κεισόμεθα ἀργοῦντες καὶ τὰς χεῖρας παρ' ἑαυτοῖς ἔχοντες [1]: καὶ εἴθε παρ' ἑαυτοῖς μόνον, καὶ μὴ καθ' ἑαυτῶν, ὅπερ λαμπρᾶς μανίας ἐστί· καὶ γὰρ εἴ τις τῶν πυκτευόντων τὸν ἀνταγωνιστὴν ἀφεὶς κατὰ τῆς ἑαυτοῦ κεφαλῆς τρέποι τὰς χεῖρας, καὶ τὴν οἰκείαν ὄψιν συγκόπτοι, οὐ μετὰ τῶν μαινομένων αὐτὸν κατατάσσομεν; ὑπε-

---

[1]) Сложивши руки, безъ дѣятельности; выраженіе дополнительное къ ἀργοῦντες.

σκέλισεν ἡμᾶς ὁ διάβολος καὶ κατέβαλεν· οὐκοῦν ἀναστῆναι δεῖ, οὐχ ὑποσύρεσθαι πάλιν καὶ καταχρημνίζειν ἑαυτοὺς καὶ ταῖς παρ' ἐκείνου πληγαῖς προστιθέναι τὰς παρ' ἑαυτῶν. Καὶ γὰρ καὶ ὁ μακάριος Δαβὶδ ἔπεσε πτῶμα τοιοῦτον, ὅπερ καὶ σὺ νῦν· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἕτερον ἐφεξῆς, τὸ τοῦ φόνου λέγω. Τί οὖν; ἔμεινε κείμενος; οὐχὶ δὲ εὐθέως ἀνέστη δυνάμει πάλιν, καὶ παρετάξατο πρὸς τὸν ἐχθρόν; οὕτω μὲν οὖν γενναίως αὐτὸν κατεπάλαισεν, ὡς καὶ τελευτήσαντα προστῆναι τῶν ἐκγόνων αὐτοῦ. Τῷ γὰρ Σολομῶντι τὴν μεγάλην παρανομίαν τετολμηκότι καὶ μυρίων ἀξίῳ γενομένῳ θανάτων, διὰ τὸν Δαβὶδ ὁ Θεός φησιν ἀφεῖναι αὐτῷ τὴν βασιλείαν ὁλόκληρον, οὑτωσί λέγων· «διαῤῥήσσων διαῤῥήξω τὴν βασιλείαν σου ἐκ χειρός σου, καὶ δώσω αὐτὴν τῷ δούλῳ σου· πλὴν ἐν ταῖς ἡμέραις σου οὐ ποιήσω τοῦτο». Διὰ τί; «διὰ Δαβὶδ τὸν πατέρα σου, ἐκ χειρὸς τοῦ υἱοῦ σου λήψομαι αὐτήν» [1]). Καὶ τῷ Ἐζεκίᾳ δὲ μέλλοντι κινδυνεύειν ὑπὲρ τῶν ἐσχάτων καίτοι γε ὄντι δικαίῳ, πάλιν διὰ τὸν μακάριον ἐκεῖνον ἔλεγε βοηθεῖν· «ὑπερασπιῶ γάρ» φησιν, «ὑπὲρ τῆς πόλεως ταύτης τοῦ σῶσαι αὐτὴν δι' ἐμὲ καὶ διὰ Δαβὶδ τὸν παῖδά μου» [2]). Τοσαύτη τῆς μετανοίας ἡ ἰσχύς. Εἰ δὲ ἐκεῖνος ταῦτα ἐβουλεύσατο, ἅπερ καὶ σὺ νῦν, ὅτι λοιπὸν ἀδύνατον ἐξιλεώσασθαι τὸν Θεόν, καὶ εἰ ἐν ἑαυτῷ εἶπεν· ἐτίμησέ με τιμὴν μεγάλην ὁ Θεός, καὶ εἰς προφήτας ἔταξε, καὶ τὴν ἀρχὴν τῶν ὁμοφύλων ἐνεχείρισε, καὶ μυρίων κινδύνων ἐξήρπασε, πῶς οὖν δυνήσομαι μετὰ τοσαύτας εὐεργεσίας προσκεκρουκώς, καὶ τὰ τῶν ἐσχάτων τολμήσας, ἵλεω καταστῆσαι πάλιν αὐτόν; εἰ ταῦτα ἐνενόησεν, οὐ μόνον τὰ μετὰ ταῦτα οὐκ ἂν ἔπραξεν, ἀλλὰ καὶ τὰ πρότερα ἐπέτριψεν ἄν.

15. Οὐδὲ γὰρ τὰ ἐν τοῖς σώμασι τραύματα μόνον θάνατον ἐργάζεται ἀμελούμενα, ἀλλὰ καὶ τὰ τῆς ψυχῆς· ἀλλ' ὅμως εἰς τοσοῦτον ἀνοίας ἠλάσαμεν ἡμεῖς, ὡς ἐκείνων μὲν ἐπιμελεῖσθαι σφοδρῶς, τούτων δὲ ὑπερορᾶν· καίτοι ἐπὶ μὲν τοῦ σώματος ἀνίατα πολλάκις πολλὰ συμβαίνειν εἰκός, καὶ οὐδὲν ἀπαγορεύομεν, ἀλλὰ συνεχῶς τῶν ἰατρῶν λεγόντων ἀκούοντες, ὅτι τοῦτο τὸ

---

[1]) 3 Παρ. 11. 11, 12. [2]) 4 Παρ. 19. 34.

πάθος ἀφανίσαι φαρμάκοις οὐκ ἔνι, ὅμως ἐπικείμεθα παρακαλοῦντες παραμυθίαν γοῦν τινα ἐπινοῆσαι μικράν, ἐπὶ δὲ τῶν ψυχῶν, ἔνθα οὐδέν ἐςιν ἀνίατον νόσημα,—οὐδὲ γὰρ ὑπὸ τὴν τῆς φύσεως ἀνάγκην ἐςίν,—ἐνταῦθα ὡς ἀλλοτρίων ὄντων τῶν παθῶν, οὕτως ἀμελοῦμεν καὶ ἀπογινώσκομεν· καὶ ἔνθα μὲν ἡ τῶν νοσημάτων φύσις εἰς ἀπόγνωσιν ἡμᾶς ἐμβάλλειν εἴωθε, καθάπερ τῶν πολλὰς ἐλπίδας ἐχόντων ὑγιείας ἐπιμελούμεθα· ἔνθα δὲ οὐδέν ἐςιν, ὧν ἀπαγορεῦσαι χρὴ, ὥσπερ τῶν ἀπεγνωσμένων ἀφιςάμεθα καὶ παραμελοῦμεν· τοσούτῳ πλείονα τοῦ σώματος ἢ τῆς ψυχῆς λόγον ἔχομεν. Διά τοι τοῦτο οὐδὲ τὸ σῶμα διασῶσαι δυνάμεθα. Ὁ μὲν γὰρ τοῦ προηγουμένου παραμελῶν, καὶ περὶ τὰ ἐλάττονα πᾶσαν τὴν σπουδὴν ἐπιδεικνύμενος, ἀμφότερα καταλύει καὶ ἀπόλλυσιν· ὁ δὲ τὴν τάξιν φυλάττων, καὶ τὸ κυριώτερον διασώζων καὶ θεραπεύων, κἂν ἀμελήσῃ τοῦ δευτέρου, διὰ τῆς τοῦ πρώτου σωτηρίας καὶ τοῦτο διέσωσεν. Ὅπερ και ὁ Χριςὸς ἡμῖν παραδηλῶν ἔλεγε· «μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι, φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ» [1]. Ἀρά σε πείθομεν, ὅτι οὐδέποτε τῶν τῆς ψυχῆς ὡς ἀνιάτων ἀπογινώσκειν δεῖ παθῶν; ἢ καὶ ἑτέρους πάλιν λογισμοὺς ἀνακινῆσαι χρή; κἂν γὰρ μυριάκις ἀπογνῷς σεαυτοῦ, ἡμεῖς οὐκ ἀπογνωσόμεθά σου ποτὲ, οὐδὲ, ὅπερ ἑτέροις ἐγκαλοῦμεν, αὐτοὶ πεισόμεθα. Καιτοι γε οὐκ ἔςιν ἴσον αὐτόν τινα ἀπελπίζειν ἑαυτὸν, καὶ ἕτερον αὐτόν· ὁ μὲν γὰρ ὑπὲρ ἑτέρου ταύτην ἔχων τὴν ὑπόνοιαν κἂν συγγνωσθείη ταχέως· ὁ δὲ αὐτὸς περὶ ἑαυτοῦ, οὐκέτι. Τί δή ποτε; ὅτι αὐτὸς μὲν οὐκ ἔςι κύριος τῆς ἐκείνου σπουδῆς καὶ μετανοίας· τῆς δὲ ἑαυτοῦ τὴν ἐξουσίαν ἔχει μόνος αὐτός. Ἀλλ' ὅμως οὐδὲ οὕτως ἀπογνωσόμεθά σου, κἂν μυριάκις τοῦτο πάθης. Ἴσως γὰρ, ἴσως ἔςαι τις ἐπάνοδος πρὸς τὴν ἀρετὴν καὶ τὴν καταλλαγὴν τὴν προς τὸν πρότερον βίον. Ἄκουε δὲ καὶ τῶν ἑξῆς. Οἱ Νινευῖται τοῦ προφήτου διατεινομένου καὶ σαφῶς ἀπειλοῦντος ἀκούσαντες, «ἔτι τρεῖς ἡμέραι, καὶ Νινευὶ καταςραφήσεται» [2]. οὐδὲ οὕτως ἀνέπεσον, ἀλλὰ καίτοι μὴ θαῤῥοῦντες, ὅτι πείσουσι

---

[1]) Мат. 10. 28. [2]) Іон. 3. 4.

τὸν Θεὸν, μᾶλλον δὲ καὶ τοὐναντίον ἔχοντες ὑποπτεύειν ἀπὸ τοῦ χρησμοῦ,—οὐ γὰρ μετὰ διορισμοῦ τινος εἴρητο τὸ λεχθὲν, ἀλλ' ἀπόφασις ἦν καθαρὰ,—καὶ οὕτω τὴν μετάνοιαν ἐπεδείκνυντο λέγοντες· «τίς οἶδεν, εἰ μετανοήσει καὶ παρακληθήσεται ὁ Θεὸς καὶ ἀποστρέψει ἀπὸ ὀργῆς τοῦ θυμοῦ αὐτοῦ, καὶ οὐ μὴ ἀπολώμεθα; καὶ εἶδεν ὁ Θεὸς τὰ ἔργα αὐτῶν, ὅτι ἀπέστρεψαν ἀπὸ τῶν ὁδῶν αὐτῶν τῶν πονηρῶν, καὶ μετενόησεν ὁ Θεὸς ἐπὶ τῇ κακίᾳ, ᾗ ἐλάλησε τοῦ ποιῆσαι αὐτοῖς, καὶ οὐκ ἐποίησεν» [1]. Εἰ δὲ ἄνθρωποι βάρβαροι καὶ ἀλόγιστοι τοσοῦτον ἠδυνήθησαν συνιδεῖν, πολλῷ μᾶλλον ἡμᾶς τοῦτο ποιεῖν χρὴ, τοὺς τὰ θεῖα δόγματα παιδευθέντας, καὶ τῶν τοιούτων παραδειγμάτων καὶ ἐν ῥήμασι καὶ ἐν πράγμασι πολὺ τὸ πλῆθος ἑωρακότας. «Οὐ γάρ», φησιν, «εἰσὶν αἱ βουλαί μου ὥσπερ αἱ βουλαὶ ὑμῶν, οὐδὲ αἱ ὁδοί μου, ὥσπερ αἱ ὁδοὶ ὑμῶν· ἀλλ' ὅσον ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς, τοσοῦτον ἀπέχει τὰ διανοήματά μου ἀπὸ τῆς διανοίας ὑμῶν, καὶ αἱ βουλαί μου ἀπὸ τῶν βουλῶν ὑμῶν» [2]. Εἰ δὲ ἡμεῖς τοὺς πολλάκις προσκεκρουκότας τῶν οἰκετῶν, ἐὰν ἐπαγγέλλωνται γίνεσθαι βελτίους, καὶ προσιέμεθα καὶ πάλιν ἐπὶ τῆς προτέρας ἄγομεν τιμῆς, πολλάκις δὲ καὶ πλείονος αὐτοῖς τῆς παῤῥησίας μεταδιδόαμεν, πολλῷ μᾶλλον αὐτός. Εἰ μὲν γὰρ διὰ τοῦτο ἐποίησεν ἡμᾶς, ἵνα κολάσῃ, καλῶς ἂν ἀπεγνώκεις καὶ ἠμφισβήτεις ὑπὲρ τῆς σωτηρίας τῆς ἑαυτοῦ· εἰ δὲ δι' οὐδὲν ἕτερον ἢ δι' ἀγαθότητα μόνην ἡμᾶς ἐδημιούργησε, καὶ ἵνα τῶν αἰωνίων ἀπολαύσωμεν καλῶν, καὶ πάντα ὑπὲρ τούτου ποιεῖ καὶ πραγματεύεται ἐκ πρώτης ἡμέρας εἰς τὸ παρὸν, τί ποτέ ἐστι τὸ ποιοῦν ἐνδοιάζειν ἡμᾶς; σφόδρα αὐτὸν παρωργίσαμεν, καὶ ὡς οὐδεὶς ἀνθρώπων ἕτερος· οὐκοῦν διὰ τοῦτο μάλιστα ἀποστῆναι δεῖ τῶν παρόντων, καὶ μεταγνῶναι ἐπὶ τοῖς προγεγενημένοις, καὶ πολλὴν ἐπιδείξασθαι τὴν μεταβολήν. Οὐδὲ γὰρ οὕτως αὐτὸν τὰ ἅπαξ τολμηθέντα ὑφ' ἡμῶν παροξῦναι δύναιτ' ἂν, ὡς τὸ μηδὲ θελῆσαι μεταβαλέσθαι λοιπόν. Τὸ μὲν γὰρ ἁμαρτεῖν ἴσως ἀνθρώπινον, τὸ δὲ ἐπιμεῖναι τοῖς αὐτοῖς, τοῦτο οὐκ ἀνθρώπινον λοιπὸν, ἀλλ' ὅλον σατανικόν. Ὅρα γὰρ καὶ διὰ τοῦ προφήτου πῶς τοῦτο μᾶλλον ἐκείνου μέμφεται

---

[1]) Іон. 3. 9. 10. [2]) Иса. 55. 8, 9.

ὁ Θεός· «καὶ εἶπον γάρ», φησι, «μετὰ τὸ πορνεῦσαι αὐτὴν ταῦτα πάντα, πρός με ἀνάστρεψον, καὶ οὐκ ἀνέστρεψε» [1]). Καὶ ἑτέρωθι πάλιν τὴν πολλὴν ῥοπὴν, ἣν ἔχει πρὸς τὴν σωτηρίαν τὴν ἡμετέραν ἐπιδεῖξαι βουλόμενος, ἐπειδὴ μετὰ τὰς πολλὰς παρανομίας ἐπηγγείλαντο τὴν ὀρθὴν βαδίζειν ὁδὸν, ἀκούσας εἶπε· «τίς δώσει εἶναι οὕτως τὴν καρδίαν αὐτῶν ἐν αὐτοῖς, ὥστε φοβεῖσθαί με, καὶ φυλάσσεσθαι τὰς ἐντολάς μου πάσας τὰς ἡμέρας αὐτῶν, ἵνα εὖ ᾖ αὐτοῖς καὶ τοῖς υἱοῖς αὐτῶν δι' αἰῶνος» [2]); καὶ ὁ Μωϋσῆς δὲ διαλεγόμενος αὐτοῖς ἔλεγε· «καὶ νῦν, Ἰσραὴλ, τι Κύριος ὁ Θεὸς αἰτεῖ παρά σου, ἀλλ' ἢ φοβεῖσθαι Κύριον τὸν Θεόν σου, καὶ πορεύεσθαι ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ, καὶ ἀγαπᾶν αὐτόν» [3]); ὁ τοίνυν σπουδάζων φιλεῖσθαι παρ' ἡμῶν, καὶ πάντα ὑπὲρ τούτου ποιῶν, καὶ μηδὲ τοῦ μονογενοῦς ὑπὲρ τῆς ἡμετέρας φεισάμενος φιλίας, καὶ ὅτε δή ποτε ἂν καταλλαγῶμεν αὐτῷ, τὸ πρᾶγμα τιθέμενος ἀγαπητὸν, πῶς μετανοοῦντας οὐ δέξεται καὶ φιλήσει; ἄκουε γοῦν καὶ διὰ τοῦ προφήτου τί φησι· «λέγε σὺ τὰς ἀνομίας σου πρῶτος, ἵνα δικαιωθῇς» [4]). Καὶ τοῦτο δὲ ὑπὲρ τοῦ σφοδρὰν γενέσθαι τὴν πρὸς αὐτὸν φιλίαν ἀπαιτεῖ παρ' ἡμῶν. Ὅταν γὰρ ὁ φιλῶν πολλὰ παρὰ τῶν φιλουμένων ὑβρισθεὶς μηδὲ οὕτως σβέσῃ τὸν πόθον, δι' οὐδὲν ἕτερον εἰς μέσον ἐνεχθῆναι σπουδάζει τὰς ὕβρεις ἐκείνας, ἀλλ' ἵνα τὸ σφοδρὸν αὐτοῦ τῆς φιλίας ἐπιδειξάμενος, εἰς πλείονα καὶ συντονωτέραν ἐπισπάσηται ἀγάπην ἐκείνους. Εἰ δὲ τὸ ὁμολογῆσαι τὰ ἁμαρτήματα τοσαύτην ἔχει τὴν παραμυθίαν, πολλῷ μᾶλλον τὸ διὰ τῶν ἔργων αὐτὰ ἀπονίψασθαι. Ἐπεὶ εἰ μὴ τοῦτο ἦν, . ἀλλὰ τοὺς ἅπαξ τῆς εὐθείας παρατραπέντας ὁδοῦ ἐπὶ τὰ πρότερα πάλιν ἐκώλυεν ἐπανελθεῖν, οὐδεὶς ἂν τάχα, πλὴν ὀλίγων καὶ εὐαριθμήτων σφόδρα, εἰς τὴν τῶν οὐρανῶν βασιλείαν εἰσῆλθέ ποτε· νῦν δὲ τοὺς μάλιστα λάμψαντας ἀπὸ τῶν πτωμάτων τούτων ὄντας εὑρήσομεν. Οἱ γὰρ πολλὴν ἐν τοῖς κακοῖς ἐπιδειξάμενοι τὴν σφοδρότητα, καὶ ἐν τοῖς ἀγαθοῖς τὴν αὐτὴν ἐπιδείξονται πάλιν, συνειδότες ὅσων ἑαυτοὺς ὀφλημάτων ὑπευθύνους κατέστησαν. Ὅπερ οὖν καὶ ὁ Χριστὸς ἐδήλωσεν, ὅτε τῷ Σίμωνι περὶ τῆς γυναικὸς ἔλεγε· «βλέπεις

---

[1]) Ιερ. 3. 7. [2]) Βτορ. 5. 29. [3]) Βτορ. 10. 12. [4]) Ησα. 43. 26.

γάρ», φησι, «ταύτην τὴν γυναῖκα; εἰσῆλθόν σου εἰς τὴν οἰκίαν, ὕδωρ ἐπὶ τοὺς πόδας μου οὐκ ἔδωκας, αὕτη δὲ τοῖς δάκρυσι τοὺς πόδας μου ἔβρεξε, καὶ ταῖς θριξὶν αὐτῆς ἐξέμαξε· φίλημά μοι οὐκ ἔδωκας, αὕτη δὲ, ἀφ' οὗ εἰσῆλθον, οὐ διέλιπε καταφιλοῦσά μου τοὺς πόδας· ἐλαίῳ οὐκ ἤλειψας τὴς κεφαλήν μου. αὕτη δὲ μύρῳ ἤλειψε τοὺς πόδας μου· οὗ χάριν λέγω σοι, ἀφέωνται αἱ ἁμαρτίαι αὐτῆς αἱ πολλαὶ, ὅτι ἠγάπησε πολύ· ᾧ δὲ ὀλίγον ἀφίεται, ὀλίγον ἀγαπᾷ· εἶπε δὲ αὐτῇ· ἀφέωνταί σου αἱ ἁμαρτίαι» [1].

16. Διὰ τοῦτο καὶ ὁ διάβολος εἰδὼς, ὅτι οἱ τὰ μεγάλα ἐργασάμενοι κακὰ, ὅταν ἄρξωνται μετανοεῖν, μετὰ πολλοῦ τοῦ τόνου τοῦτο πράττουσιν, ἅτε εἰδότες τὰ πλημμεληθέντα αὐτοῖς, δέδοικε καὶ τρέμει, μήποτε ἀρχήν τινα τοῦ πράγματος λάβωσι. Μετὰ γὰρ τὸ λαβεῖν, ἀκάθεκτοι λοιπόν εἰσι, καὶ πυρὸς δίκην ὑπὸ τῆς μετανοίας ἀναζέσαντες, χρυσίου καθαροῦ καθαρωτέρας τὰς ἑαυτῶν ἀπεργάζονται ψυχὰς, καθάπερ ὑπό τινος πνεύματος σφοδροῦ τοῦ συνειδότος καὶ τῆς μνήμης τῶν προτέρων ἁμαρτημάτων εἰς τὸν τῆς ἀρετῆς λιμένα ὠθούμενοι. Καὶ τοῦτό ἐστιν, ὃ πλεονεκτοῦσι τῶν οὐδαμῶς καταπεσόντων, ὅτι σφοδροτέρᾳ κέχρηνται τῇ προθυμίᾳ, μόνον, ὅπερ ἔφην, ἂν τῆς ἀρχῆς ἐπιλάβωνται. Τὸ γὰρ δυσχερὲς καὶ δυσκατόρθωτον τοῦτό ἐστι, τὸ δυνηθῆναι ἐπιβῆναι τῆς εἰσόδου καὶ τῶν προθύρων ἐφάψασθαι τῆς μετανοίας, καὶ τὸν ἐχθρὸν ἐκεῖ πολὺ πνέοντα καὶ ἐπικείμενον ἀπώσασθαι καὶ καταβαλεῖν· μετὰ δὲ ταῦτα οὔτε ἐκεῖνος τοσαύτην ἐπιδείξεται τὴν μανίαν ἅπαξ ἡττηθεὶς, καὶ ἔνθα ἦν ἰσχυρὸς καταπεσὼν, ἡμεῖς δὲ μείζονα τὴν προθυμίαν ληψόμεθα, καὶ μετὰ πολλῆς τῆς εὐκολίας δραμούμεθα τὸν καλὸν ἀγῶνα τοῦτον. Ἐπιλαβώμεθα τοίνυν τῆς ἐπανόδου λοιπὸν, ἀναδράμωμεν εἰς τὴν πόλιν τὴν ἐν τοῖς οὐρανοῖς, ἐν ᾗ καὶ ἀπεγράφημεν, ἐν ᾗ καὶ πολιτεύεσθαι προστετάγμεθα. Τὸ γὰρ ἀπογινώσκειν ἑαυτῶν οὐ τοῦτο μόνον ἔχει τὸ κακὸν, ὅτι τὰς πύλας ἡμῖν ἀποκλείει τῆς πόλεως ἐκείνης, οὐδ' ὅτι εἰς μείζονα ῥαθυμίαν ἄγει καὶ καταφρόνησιν, ἀλλ' ὅτι καὶ εἰς ἀπόνοιαν ἐμβάλλει σατανικήν. Καὶ γὰρ ὁ διάβολος οὐδα-

[1] Лук. 7. 44—48.

μόθεν ἑτέρωθεν τοιοῦτος ἐγένετο, ἀλλ' ἢ ἐκ τοῦ πρότερον μὲν ἀπογνῶναι, ὕστερον δὲ ἐκ τῆς ἀπογνώσεως εἰς τὴν ἀπόνοιαν ἐμπεσεῖν. Ψυχὴ γὰρ, ἐπειδὰν ἅπαξ ἀπαγορεύσῃ τὴν σωτηρίαν τὴν ἑαυτῆς, οὐδὲ αἰσθήσεται λοιπὸν, ὅπως κατακρημνίζεται, πάντα αἱρουμένη καὶ λέγειν καὶ ποιεῖν τὰ κατὰ τῆς σωτηρίας τῆς ἑαυτῆς. Καὶ καθάπερ οἱ μαινόμενοι, ἐπειδὰν ἅπαξ τῆς ὑγιοῦς ἐκπέσωσι καταστάσεως, οὐδὲν δεδοίκασιν, οὐδὲ αἰσχύνονται, ἀλλ' ἀδεῶς ἅπαντα τολμῶσι, κἂν εἰς πῦρ μέλλωσιν ἐμπίπτειν, κἂν εἰς πέλαγος, κἂν εἰς κρημνόν· οὕτω καὶ οἱ τῇ τῆς ἀπογνώσεως παραφροσύνῃ ληφθέντες, ἀφόρητοι λοιπόν εἰσι, πανταχοῦ τῆς κακίας διατρέχοντες, κἂν μὴ θάνατος αὐτοὺς ἐπελθὼν κωλύσῃ τῆς μανίας ἐκείνης καὶ τῆς φορᾶς, μυρία ἑαυτοῖς ἐργάζονται δεινά. Διὰ τοῦτο παρακαλῶ πρὶν ἢ σφόδρα ὑπὸ ταύτης βαπτισθῆναί σε τῆς μέθης, ἀνανῆψαι καὶ διεγερθῆναι, καὶ τὴν σατανικὴν κραιπάλην ἀπώσασθαι, καὶ εἰ μὴ δυνατὸν ἀθρόως, ἀλλ' ἠρέμα καὶ κατὰ μικρόν. Ἐμοὶ μὲν γὰρ εὐκολώτερον εἶναι φαίνεται, τὸ πάντων ὁμοῦ τῶν κατεχόντων ἀποσπασθέντα σχοινίων μεταθεῖναι ἑαυτὸν εἰς τὸ τῆς μετανοίας γυμνάσιον. Εἰ δέ σοι δύσκολον εἶναι τοῦτο δοκεῖ, ὡς ἂν ἐθέλῃς ἅψαι τῆς ὁδοῦ τῆς ἐπὶ τὰ κρείττω φερούσης, μόνον ἅψαι καὶ ἐπιλαβοῦ τῆς αἰωνίου ζωῆς. Ναὶ δέομαι καὶ ἀντιβολῶ, πρὸς τῆς εὐδοκιμήσεως τῆς προτέρας, πρὸς τῆς παῤῥησίας ἐκείνης, οὕτω πάλιν σε ἐπὶ τῆς κορυφῆς καὶ τῆς καρτερίας ἴδωμεν τῆς αὐτῆς. Φεῖσαι τῶν σκανδαλιζομένων διὰ τὴν σὴν κεφαλὴν, τῶν καταπιπτόντων, τῶν γινομένων ῥαθυμοτέρων, τῶν ἀπογινωσκόντων τὴν τῆς ἀρετῆς ὁδόν. Νῦν μὲν γὰρ κατήφεια τὸν τῶν ἀδελφῶν ἔχει χορὸν, ἡδονὴ δὲ καὶ εὐθυμία τὰ τῶν ἀπίστων συνέδρια καὶ τὰ τῶν νέων τῶν ῥαθυμότερον διακειμένων· ἂν δὲ ἐπανέλθῃς πάλιν ἐπ' ἐκείνην τοῦ βίου τὴν ἀκρίβειαν, τοὐναντίον γενήσεται, καὶ ἡ μὲν ἡμετέρα αἰσχύνη εἰς ἐκείνους μεταστήσεται πᾶσα· ἡμεῖς δὲ ἐν παῤῥησίᾳ ἐσόμεθα πολλῇ, μετὰ πλείονος λαμπρότητος στεφανούμενόν σε καὶ ἀνακηρυττόμενον ὁρῶντες πάλιν. Μείζονα γὰρ αἱ τοιαῦται νίκαι φέρουσι καὶ τὴν εὐδοκίμησιν καὶ τὴν ἡδονήν. Οὐδὲ γὰρ τῶν οἰκείων κατορθωμάτων μόνον λήψῃ τὸν μισθὸν, ἀλλὰ καὶ τῆς ἑτέρων παρακλήσεως, καὶ παραμυθίας ὑπόδειγμα μέγιστον ἐγκείμενος, εἴ ποτέ τις τοῖς

αὐτοῖς περιπέσῃ κακοῖς, πρὸς τὸ διαναστῆναι πάλιν καὶ ἀνακτήσασθαι ἑαυτόν. Μὴ δὴ κέρδος παρίδῃς τοσοῦτον, μηδὲ καταγάγῃς εἰς ᾅδου [1]) μετὰ λύπης τὰς ἡμετέρας ψυχὰς, ἀλλὰ δὸς ἡμῖν ἀναπνεῦσαι, καὶ τὸ κατέχον ἡμᾶς διά σε τῆς ἀθυμίας ἀποσείσασθαι νέφος. Νῦν μὲν γὰρ τὰ οἰκεῖα παρέντες κακὰ, θρηνοῦμεν τὰς σὰς συμφοράς· ἐὰν δὲ θελήσῃς ἀνανῆψαι καὶ διαβλέψαι, καὶ τῆς στρατείας ἐπιλαβέσθαι τῆς ἀγγελικῆς, καὶ τούτου πένθους ἀπαλλάξεις ἡμᾶς, καὶ τῶν ἡμετέρων ἁμαρτημάτων τὸ πλέον ἀρεῖς. Ὅτι γάρ ἐστι τοὺς ἐκ μετανοίας πάλιν ἐπανελθόντας λάμψαι μέγα καὶ φαιδρὸν, καὶ πλέον πολλάκις τῶν μηδὲ πεσόντων τὴν ἀρχὴν, ἀπεδείξαμεν καὶ ἀπὸ τῶν θείων γραφῶν. Οὕτω γοῦν καὶ οἱ τελῶναι καὶ αἱ πόρναι τὴν βασιλείαν τῶν οὐρανῶν κληρονομοῦσιν· οὕτω πολλοὶ τῶν ἐσχάτων τῶν πρώτων ἔμπροσθεν τίθενται.

17. Ἐρῶ δέ σοι καὶ τὰ ἐφ᾽ ἡμῶν [2]) γεγενημένα, καὶ ὧν δυνήσῃ γενέσθαι μάρτυς αὐτός. Οἶσθά που τὸν νέον ἐκεῖνον τὸν Οὐρβανοῦ παῖδα, τὸν Φοίνικα, τὸν ἐν ὀρφανίᾳ μὲν καταλειφθέντα ἀώρῳ, κύριον δὲ πολλῶν χρημάτων καὶ οἰκετῶν γενόμενον καὶ ἀγρῶν. Οὗτος τὸ μὲν πρῶτον ἐῤῥῶσθαι πολλὰ ταῖς ἐν τοῖς μουσείοις διατριβαῖς εἰπὼν [3]), καὶ τὴν λαμπρὰν ἐκείνην ἀμφίασιν ἀφεὶς, καὶ τὸν τῦφον ἅπαντα τὸν βιωτικὸν, ἐξαίφνης ἱμάτιον εὐτελὲς περιθέμενος, καὶ πρὸς τὴν ἐν τοῖς ὄρεσιν ἐρημίαν ἀναχωρήσας, πολλὴν ἐπεδείξατο τὴν φιλοσοφίαν, οὐ κατὰ τὴν ἡλικίαν μόνον, ἀλλ᾽ ὅσην ἄν τις τῶν μεγάλων καὶ θαυμαστῶν ἀνδρῶν. Μετὰ δὲ ταῦτα καὶ τῆς ἱερᾶς τῶν μυστηρίων τελετῆς ἀξιωθεὶς, πολλῷ μᾶλλον ἐπεδίδου πρὸς ἀρετήν. Καὶ πάντες ἔχαιρον καὶ ἐδόξαζον τὸν Θεὸν, ὅτι καὶ ἐν πλούτῳ τραφεὶς, καὶ προγόνους ἔχων λαμπροὺς, καὶ σφόδρα ἔτι νέος ὢν, ἐξαίφνης πᾶσαν τὴν φαντασίαν τοῦ βίου καταπατήσας πρὸς τὸ ὕψος ἀνέδραμε τὸ ἀληθινόν. Ἐν τούτῳ δὲ αὐτὸν ὄντα καὶ θαυμαζόμενον, φθόροι τινὲς ἄνδρες κατὰ τὸν τῆς συγγενείας ἐπισκοποῦντες νόμον, αὖθις

---

[1]) Т. е. εἰς δόμον ᾅδου.

[2]) Ἐφ᾽ ἡμῶν, при насъ, въ наше время.

[3]) Ἐῤῥῶσθαι (отъ ῥώννυμι) или χαίρειν πολλὰ εἰπεῖν τινι, подобно латин. valedicere, значитъ: проститься съ нѣмъ-нибудь, оставить что-нибудь, бросить.



ἐπὶ τὸν πρότερον κλύδωνα ἐπανήγαγον· καὶ πάντα ῥίψας πάλιν ἐκεῖνα, ἀπὸ τῶν ὀρέων εἰς μέσην εὐθέως κατέβη τὴν ἀγορὰν, καὶ ἵππῳ ὀχούμενος καὶ ἀκολούθους ἔχων πολλοὺς, οὕτω περιῄει τὴν πόλιν ἅπασαν καὶ οὐδὲ σωφρονεῖν λοιπὸν ἤθελεν. Ὑπὸ γὰρ τῆς πολλῆς ἐκκαιόμενος τρυφῆς, καὶ εἰς ἔρωτας ἀτόπους ἐμπίπτειν ἠναγκάζετο· καὶ οὐδεὶς ἦν τῶν ἐν μέσῳ τρεφομένων, ὅστις τὴν σωτηρίαν οὐκ ἀπηγόρευσε τὴν ἐκείνου· τοσοῦτος αὐτὸν συνεῖχε κολάκων ἑσμὸς, καὶ προσῆν ὀρφανία, καὶ νεότης, καὶ πλοῦτος πολύς. Καὶ οἱ τὰ πάντα εὐκόλως μεμφόμενοι τῶν ἐπὶ τοῦτο τὴν ἀρχὴν ἀγαγόντων αὐτὸν κατηγόρουν λέγοντες, ὅτι καὶ τῶν πνευματικῶν διήμαρτε, καὶ οὐδὲ τοῖς αὐτοῦ πράγμασι χρήσιμος ἔσται λοιπὸν, πρὸ ὥρας τῶν περὶ λόγους [1]) πόνων ἀποπηδήσας καὶ μηδὲν ἐκεῖθεν καρπώσασθαι δυνηθείς. Τούτων δὲ λεγομένων, καὶ πολλῆς τῆς αἰσχύνης οὔσης, ἅγιοί τινες ἄνδρες, καὶ πολλάκις τοιαύτης θήρας ἐπιτυχόντες, καὶ διὰ τῆς πείρας μαθόντες καλῶς, ὅτι οὐδὲν τῶν τοιούτων ἀπογινώσκειν χρὴ ταῖς εἰς τὸν Θεὸν ὁπλιζομένους ἐλπίσι, παρατηροῦντες αὐτὸν συνεχῶς, εἴποτε εἶδον φανέντα ἐπὶ τῆς ἀγορᾶς, καὶ προσῄεσαν καὶ ἠσπάζοντο· καὶ τὸ μὲν πρῶτον ἄνωθεν αὐτοῖς ἐκεῖνος ἀπὸ τοῦ ἵππου παρακολουθοῦσιν ἐκ πλαγίων διελέγετο· τοσαύτη κατεῖχεν αὐτὸν ἀναισχυντία τὴν ἀρχήν. Οἱ δὲ εὔσπλαγχνοι καὶ φιλόπαιδες ἐκεῖνοι τούτων μὲν ᾐσχύνοντο οὐδὲν, εἰς ἓν δὲ μόνον ἑώρων, ὅπως τῶν λύκων τὸ ἀρνίον ἀποσπάσωσιν, ὅπερ οὖν καὶ διὰ τῆς καρτερίας ἤνυσαν. Ὕστερον γὰρ ὥσπερ ἔκ τινος παραπληξίας ἐν ἑαυτῷ γενόμενος ἐκεῖνος, καὶ τὴν πολλὴν αὐτῶν προσεδρείαν ἐρυθριάσας, εἴ ποτε αὐτοὺς πόῤῥωθεν προσιόντας εἶδεν, ἀπεπήδα τε εὐθέως, καὶ κάτω νεύων οὕτω μετὰ σιγῆς τὰ παρ᾽ ἐκείνων ἤκουεν ἅπαντα, καὶ προϊὼν πλείονα τὴν πρὸς αὐτοὺς αἰδῶ καὶ τιμὴν ἐπεδείκνυτο· καὶ οὕτως αὐτὸν κατὰ μικρὸν τῇ τοῦ Θεοῦ χάριτι πάντων ἐκείνων ἐξελκύσαντες τῶν δικτύων, τῇ προτέρᾳ πάλιν ἐρημίᾳ καὶ φιλοσοφίᾳ παρέδωκαν. Καὶ ἐπὶ τοσοῦτον ἔλαμψε νῦν, ὡς τὸν πρότερον αὐτοῦ βίον τῷ μετὰ τὴν ἔκπτωσιν παραβαλλόμενον μηδὲν εἶναι δοκεῖν. Συνιδὼν γὰρ ἀπὸ τῆς πείρας καλῶς τὸ δέλεαρ, καὶ πάντα εἰς τοὺς δεομένους ἀνα-

---

[1]) Λόγοι въ смыслѣ: науки.

λύσας τὸν πλοῦτον, καὶ τῶν φροντίδων ἀπολύσας ἑαυτὸν ἐκείνων, πᾶσαν τοῖς βουλομένοις ἐπιβουλεύειν ἐξέκοψε τὴν πρόφασιν, καὶ νῦν τὴν ἐπὶ τὸν οὐρανὸν βαδίζων ὁδὸν, πρὸς αὐτὸ λοιπὸν τὸ τέλος ἔφθασε τῆς ἀρετῆς. Ἀλλ' οὗτος μὲν ἔτι νέος ὢν καὶ κατέπεσε καὶ ἀνέστη· ἕτερος δέ τις μετὰ τοὺς πολλοὺς ἱδρῶτας, οὓς ἐν ταῖς ἐρημίαις διατρίβων ἤνεγκεν, ἕνα σύνοικον ἔχων μόνον, καὶ ἀγγελικὸν βίον βιοὺς, καὶ πρὸς γῆρας ἐλαύνων λοιπὸν, οὐκ οἶδα πῶς, ὑπὸ σατανικῆς τινος περιστάσεως καὶ τοῦ ἀπονυστάξαι μικρὸν πάροδον δοὺς τῷ πονηρῷ, εἰς ἐπιθυμίαν τῆς πρὸς γυναῖκας ὁμιλίας ἐνέπεσεν, ὁ μηδέποτε γυναῖκα ἰδὼν, ἐξ οὗ πρὸς τὸν τῶν μοναχῶν βίον μετέθηκεν ἑαυτόν. Καὶ πρῶτον μὲν ἠξίου τὸν σύνοικον κρέα καὶ οἶνον αὐτῷ παρασχεῖν, καὶ ἠπείλει, εἰ μὴ λάβοι, κατελεύσεσθαι εἰς τὴν ἀγοράν. Ταῦτα δὲ οὐχ οὕτω κρεῶν ἐπιθυμῶν ἔλεγεν, ἀλλ' ὡς ἀφορμήν τινα καὶ πρόφασιν βουλόμενος λαβεῖν τῆς εἰς πόλιν καθόδου. Ἐπὶ τούτοις ἐκεῖνος ἀπορούμενος καὶ δεδοικὼς, μὴ τοῦτο κωλύσας ἐπὶ μέγα αὐτὸν ὤσῃ κακὸν, δίδωσιν ἐμφορηθῆναι τῆς ἐπιθυμίας αὐτῷ. Ὡς δὲ ἔγνω τὸ σοφὸν τοῦτο ἕωλον γεγονὸς, φανερῶς ἀναισχυντήσας λοιπὸν, ἀπεκάλυψε τὴν ὑπόκρισιν, καὶ δεῖν ἔλεγε πάντως εἰς τὴν πόλιν αὐτὸν κατελθεῖν. Ὡς δὲ οὐδὲν ἴσχυε κωλύων ἐκεῖνος, τέλος ἀφῆκε, καὶ πόρρωθεν ἀκολουθῶν ἐπετήρει, τί ποτε ἄρα αὐτῷ βούλεται αὕτη ἡ κάθοδος. Ἰδὼν δὲ εἰς χαμαιτυπεῖον εἰσελθόντα, καὶ γνοὺς, ὅτι πόρνῃ συγγέγονε γυναικὶ, περιμείνας μετὰ τὸ πληρῶσαι τὴν ἄτοπον ἐπιθυμίαν ἐκείνην, ἐξελθόντα ὑπτίαις δέχεται ταῖς χερσὶ, καὶ περιχυθεὶς, καὶ καταφιλήσας θερμῶς, καὶ ὑπὲρ τῶν γεγενημένων ἐγκαλέσας οὐδὲν, παρεκάλει μόνον, ἐπειδὴ τὴν ἐπιθυμίαν ἐπλήρωσε τὴν ἑαυτοῦ, πάλιν ἐπὶ τὸ τῆς ἐρημίας οἰκητήριον ἐπανελθεῖν· ὁ δὲ τὴν πολλὴν ἐπιείκειαν αὐτοῦ αἰσχυνθεὶς, ἐπλήγη τε εὐθέως τὴν ψυχὴν, καὶ κατανυγεὶς ἐπὶ τοῖς τολμηθεῖσιν, εἵπετο πρὸς τὸ ὄρος αὐτῷ, καὶ γενόμενος ἐκεῖ δεῖται τοῦ ἀνδρὸς, ἐν οἰκίσκῳ τε αὐτὸν καθεῖρξαι ἑτέρῳ, καὶ τὰς θύρας ἀποκλείσαντα τοῦ δωματίου ἄρτον αὐτῷ παρέχειν καὶ ὕδωρ δι' ἡμερῶν, καὶ τοῖς ἐπιζητοῦσιν αὐτὸν ἠξίου λέγειν, ὅτι κεκοίμηται. Καὶ ταῦτα εἰπὼν καὶ πείσας καθεῖρξεν ἑαυτὸν, καὶ ἦν ἐκεῖ διὰ παντὸς, νηστείαις, καὶ δεήσεσι, καὶ δάκρυσι τὸν τῆς ἁμαρτίας ῥύπον ἀπο-

σμήχων τῆς ψυχῆς. Χρόνου δὲ παρελθόντος οὐ πολλοῦ, καὶ αὐχμοῦ τὴν πλησίον χώραν καταλαβόντος, καὶ τῶν ἐν τῇ χώρᾳ πάντων ὀδυρομένων, ἐκελεύσθη τις δι᾽ ὀνείρατος ἀπελθεῖν, καὶ τὸν ἄνδρα ἐκεῖνον παρακαλέσαι τὸν καθειργμένον, ὥστε εὔξασθαι καὶ λῦσαι τὸν αὐχμόν· ὡς δὲ ἀπῆλθεν ἑταίρους παραλαβὼν, τὸν συνοικοῦντα αὐτῷ πρότερον μόνον εὗρον ἐκεῖ· περὶ δὲ ἐκείνου ἐρωτῶντες ἐμάνθανον, ὅτι τέθνηκε· νομίσαντες δὲ ἠπατῆσθαι εἰς προσευχὰς αὖθις ἐτρέποντο. Καὶ πάλιν δι᾽ αὐτῆς τῆς ὄψεως τὰ αὐτὰ τοῖς προτέροις ἤκουον. Καὶ τότε τὸν ἀληθῶς ἀπατήσαντα περιστάντες, παρεκάλουν ἐπιδεῖξαι τὸν ἄνδρα αὐτοῖς· οὐδὲ γὰρ τεθνηκέναι αὐτὸν ἔλεγον, ἀλλὰ ζῆν. Ταῦτα ἀκούσας ἐκεῖνος, καὶ τὰς συνθήκας ἐξεληλεγμένας ἰδὼν [1]), ἀπάγει πρὸς τὸν ἅγιον αὐτοὺς ἐκεῖνον. Καὶ διελόντες τὸν τοῖχον (καὶ γὰρ καὶ τὴν εἴσοδον ἔτυχεν ἀποφράξας) καὶ ἐπεισελθόντες ἅπαντες, τῶν ποδῶν αὐτοῦ προκυλινδούμενοι, καὶ τὰ γεγενημένα ἀπαγγέλλοντες, παρεκάλουν αὐτὸν ἐπαμῦναι τῷ λιμῷ. Ἐκεῖνος δὲ τὸ μὲν πρῶτον ἀντέτεινε, πόῤῥω ταύτης λέγων εἶναι τῆς παῤῥησίας· καὶ γὰρ ὡς εὐθέως γεγενημένην τὴν ἁμαρτίαν, οὕτω πρὸ τῶν ὀφθαλμῶν εἶχεν ἀεί· ὡς δὲ τὰ συμβάντα αὐτοῖς ἅπαντα διηγήσαντο, τότε ἔπεισαν εὔξασθαι· καὶ εὐξάμενος ἔλυσε τὸν αὐχμόν. Τὰ δὲ κατὰ τὸν νέον ἐκεῖνον, τὸν πρότερον μὲν Ἰωάννου τοῦ Ζεβεδαίου γενόμενον μαθητὴν, ὕστερον δὲ ἐπὶ πολὺν λῃσταρχήσαντα χρόνον, καὶ πάλιν ὑπὸ τῶν ἁγίων τοῦ μακαρίου θηρευθέντα χειρῶν, ἀπὸ τῶν καταδύσεων τῶν λῃστρικῶν καὶ σπηλαίων ἐπὶ τὴν προτέραν ἐπανελθόντα ἀρετὴν, οὐδὲ αὐτὸς ἀγνοεῖς, ἀλλ᾽ οἶσθα ἡμῶν οὐχ ἧττον ἅπαντα ἀκριβῶς. Καὶ σου πολλάκις ἤκουσα θαυμάζοντος τὴν συγκατάβασιν τὴν πολλὴν, καὶ ὅτι τὴν αἱμαχθεῖσαν πρῶτον ἐφίλησε δεξιὰν, τῷ νέῳ περιχυθεὶς, καὶ οὕτως αὐτὸν ἐπὶ τὰ πρότερα ἐπανήγαγε.

18. Καὶ ὁ μακάριος δὲ Παῦλος τὸν Ὀνήσιμον, τὸν ἄχρηστον, τὸν δραπέτην, τὸν κλέπτην, τοῦτον οὐ μόνον αὐτὸς περιπλέκεται, ἐπειδὴ μετεβάλλετο, ἀλλὰ καὶ τὸν δεσπότην ἀξιοῖ ἐν ἴσῃ τοῦ διδασκάλου τὸν μετανοήσαντα ἀγαγεῖν τιμῇ, ουτωσὶ λέγων·

---

[1]) Συνθῆκαι ἐξεληλεγμέναι (отъ ἐξελέγχω), соглашеніе обнаружено.

«παρακαλῶ σε», φησι, «περὶ τοῦ ἐμοῦ τέκνου, ὃν ἐγέννησα ἐν τοῖς δεσμοῖς μου, Ὀνήσιμον, τόν ποτέ σοι ἄχρηστον, νῦν δὲ σοι καὶ ἐμοὶ εὔχρηστον, ὃν ἀνέπεμψα· σὺ δὲ αὐτὸν, τουτέστι τὰ ἐμὰ σπλάγχνα, προσλαβοῦ, ὃν ἐγὼ ἐβουλόμην πρὸς ἐμαυτὸν κατέχειν, ἵνα ὑπὲρ σου διακονῇ μοι ἐν τοῖς δεσμοῖς τοῦ εὐαγγελίου· χωρὶς δὲ τῆς σῆς γνώμης οὐδὲν ἠθέλησα ποιῆσαι, ἵνα μὴ ὡς κατ' ἀνάγκην τὸ ἀγαθόν σου ᾖ, ἀλλὰ κατὰ ἑκούσιον· τάχα γὰρ διὰ τοῦτο ἐχωρίσθη πρὸς ὥραν, ἵνα αἰώνιον αὐτὸν ἀπέχῃς, οὐκέτι ὡς δοῦλον, ἀλλ' ὑπὲρ δοῦλον ἀδελφὸν ἀγαπητὸν μάλιστα ἐμοὶ, πόσῳ δὲ μᾶλλόν σοι, καὶ ἐν σαρκὶ καὶ ἐν κυρίῳ; εἰ οὖν με ἔχεις κοινωνὸν, προσλαβοῦ αὐτὸν ὡς ἐμέ» [1]). Καὶ Κορινθίοις δὲ ἐπιστέλλων ὁ αὐτὸς ἔλεγε· «μήπως ἐλθὼν πενθήσω πολλοὺς τῶν προημαρτηκότων, καὶ μὴ μετανοησάντων». Καὶ πάλιν· «ὡς προείρηκα, καὶ πάλιν προλέγω, ὅτι, ἐὰν ἔλθω εἰς τὸ πάλιν, οὐ φείσομαι» [2]). Ὁρᾷς, τίνας πενθεῖ, τίνων οὐ φείδεται; οὐ τῶν ἡμαρτηκότων, ἀλλὰ τῶν μὴ μετανοησάντων, καὶ οὐχ ἁπλῶς τῶν μὴ μετανοησάντων, ἀλλὰ τῶν καὶ ἅπαξ καὶ δεύτερον ἐπὶ τούτῳ παρακληθέντων καὶ πεισθῆναι μὴ βουληθέντων. Τὸ γὰρ «προείρηκα καὶ προλέγω, ὡς παρὼν, τὸ δεύτερον καὶ ἀπὼν γράφω», οὐδὲν ἕτερον ἢ τοῦτο αἰνίττεται, ὅπερ δέος μὴ καὶ ἐφ' ἡμῶν γένηται νῦν. Εἰ γὰρ καὶ μὴ Παῦλος πάρεστιν ὁ τότε Κορινθίοις ἀπειλῶν, ἀλλ' ὁ Χριστὸς πάρεστιν, ὁ καὶ τότε δι' ἐκείνου λαλῶν. Κἂν ἐπιμείνωμεν ἀνενδότως ἔχοντες, οὐ φείσεται ἡμῶν, ἀλλὰ πατάξει πληγῇ μεγάλῃ, καὶ ἐνταῦθα καὶ ἐκεῖ. «Προφθάσωμεν οὖν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει» [3]), ἐκχέωμεν ἐνώπιον αὐτοῦ τὰς καρδίας ἡμῶν· «ἥμαρτες γάρ», φησι, «μὴ προσθῇς μηκέτι, καὶ περὶ τῶν προτέρων σου δεήθητι» [4])· καὶ πάλιν· «δίκαιος ἑαυτοῦ κατήγορος ἐν πρωτολογίᾳ» [5]). Μὴ τοίνυν περιμείνωμεν τὸν κατήγορον, ἀλλὰ τὴν ἐκείνου προαρπάσωμεν τάξιν, καὶ οὕτως ἡμερώτερον διὰ τῆς εὐγνωμοσύνης καταστήσωμεν τὸν κριτήν. Σὺ δὲ ὅτι μὲν ὁμολογεῖς τὰ ἁμαρτήματα, καὶ ταλανίζεις ἑαυτὸν ὑπὲρ τὸ μέτρον, οἶδα σαφῶς· ἀλλ' οὐ τοῦτο βούλομαι μόνον, ἀλλ' ὅτι

---

[1]) Филим. 10—18. [2]) 2 Кор. 12. 21; 13. 2. [3]) Пс. 24. 2. [4]) Сир. 21. 1. [5]) Прит. 18. 17.

σε καὶ δικαιῶσαι τὸ πρᾶγμα δύναται, πεισθῆναι ἐπιθυμῶ. Ἕως γὰρ μὴ ἐπικερδῆ ποιῇς τὴν ἐξομολόγησιν ταύτην, κἂν κατηγορῇς σεαυτοῦ, οὐδὲ ἀποστῆναι δυνήσῃ τῶν ἁμαρτημάτων τῶν ἑξῆς. Οὐδὲν γὰρ οὐδεὶς μετὰ προθυμίας καὶ τοῦ προσήκοντος θεσμοῦ δυνήσεται ποιεῖν, ὅταν μὴ πρότερον πεπεικὼς ἑαυτὸν ᾖ, ὅτι ἐπ᾽ ὠφελείᾳ τοῦτο ποιεῖ. Καὶ γὰρ ὁ σπείρων μετὰ τὸ ῥῖψαι τὰ σπέρματα, ἂν μὴ προσδέχηται τὸν ἀμητὸν, οὐκ ἀμήσει ποτέ. Τίς γὰρ ἂν ἕλοιτο μάτην κόπτεσθαι, μηδὲν ἀπὸ τοῦ πονεῖν κερδαίνων ἀγαθόν; οὕτως οὖν καὶ ὁ ῥήματα σπείρων, καὶ δάκρυα, καὶ ἐξομολόγησιν, ἂν μὴ μετ᾽ ἐλπίδος ποιῇ τοῦτο χρηστῆς, οὐδὲ ἀποστῆναι τοῦ ἁμαρτάνειν δυνήσεται, ἔτι τῷ τῆς ἀπογνώσεως κατεχόμενος κακῷ. Ἀλλ᾽ ὥσπερ ὁ γεωργὸς ἐκεῖνος ὁ τῆς τῶν καρπῶν φορᾶς ἀπογνοὺς, οὐδὲν τῶν λυμαινομένων τοῖς σπέρμασι κωλύσει λοιπόν· οὕτω καὶ οὗτος ὁ σπείρων μὲν τὴν διὰ τῶν δακρύων ἐξομολόγησιν, οὐδὲν δὲ ἀπὸ ταύτης προσδεχόμενος κέρδος, οὐδὲ ἀνατρέψαι δυνήσεται τὰ διαφθείροντα τὴν μετάνοιαν. Διαφθείρει δὲ τὴν μετάνοιαν τὸ πάλιν τοῖς αὐτοῖς ἐνέχεσθαι κακοῖς. «Εἷς γὰρ», φησιν, «οἰκοδομῶν, καὶ εἷς καθαιρῶν, τί ὠφέλησαν πλέον ἢ κόπον; βαπτιζόμενος ἀπὸ νεκροῦ [1]), καὶ πάλιν ἁπτόμενος αὐτοῦ, τί ὠφέλησεν ἐν τῷ λουτρῷ αὐτοῦ; οὕτως ἄνθρωπος νηστεύων ἀπὸ τῶν ἁμαρτιῶν αὐτοῦ, καὶ πάλιν πορευόμενος καὶ τὰ αὐτὰ ποιῶν, τῆς προσευχῆς αὐτοῦ τίς εἰσακούσεται» [2]); καὶ πάλιν· «ἐπανάγων», φησὶν, «ἀπὸ δικαιοσύνης ἐπὶ ἁμαρτίαν, ὁ Κύριος ἑτοιμάσει εἰς ῥομφαίαν αὐτόν» [3])· καὶ· «ὥσπερ κύων, ὅταν ἐπανέλθῃ ἐπὶ τὸν ἑαυτοῦ ἔμετον, καὶ μισητὸς γένηται· οὕτως ἄφρων τῇ ἑαυτοῦ κακίᾳ ἀναστρέψας ἐπὶ τὴν ἑαυτοῦ ἁμαρτίαν» [4]).

**19.** Μὴ τοίνυν ὡς κατηγορῶν σαυτοῦ μόνον τὴν ἁμαρτίαν ἐκπόμπευε, ἀλλὰ καὶ ὡς δικαιωθῆναι ὀφείλων διὰ τοῦ τρόπου τῆς μετανοίας· οὕτω γὰρ δυνήσῃ καὶ τὴν ἐξομολογουμένην ψυχὴν ἐντρέψαι, μηκέτι τοῖς αὐτοῖς περιπίπτειν. Τὸ μὲν οὖν σφόδρα καταδικάζειν ἑαυτοὺς καὶ ἁμαρτωλοὺς καλεῖν, κοινὸν ὡς εἰπεῖν καὶ τοῖς ἀπίστοις ἐστί. Πολλοὶ γοῦν καὶ τῶν ἀπὸ τῆς σκηνῆς καὶ ἄνδρες

---

[1]) Т. е. отъ оскверненія мертвымъ, отъ прикосновенія къ мертвому.
[2]) Сир. 34. 23—26. [3]) Сир. 26. 27. [4]) Прит. 26. 11.

καὶ γυναῖκες, οἱ μάλιστα ἀναισχυντίαν μελετῶντες, ταλανίζουσιν ἑαυτοὺς, ἀλλ' οὐ μετὰ σκοποῦ τοῦ προσήκοντος. Διόπερ οὐδ' ἂν εἴποιμι τοῦτο ἐξομολόγησιν ἐγώ· οὐ γὰρ μετὰ τοῦ κατανύξαι τὴν ψυχὴν, οὐδὲ μετὰ τοῦ δακρῦσαι πικρὸν, οὐδὲ μετὰ τοῦ μεταβάλλεσθαι τὰς ἁμαρτίας οὕτως ἐξαγγέλλουσι τὰς αὐτῶν· ἀλλ' αὐτὸ τοῦτο οἱ μὲν δόξαν παρὰ τῶν ἀκουόντων ἐπὶ τῇ τῶν λόγων εὐγνωμοσύνῃ θηρώμενοι. Οὐδὲ γὰρ ὁμοίως φαίνεται τὰ ἁμαρτήματα χαλεπὰ, ὅταν ἕτερός τις αὐτὰ ἀπαγγέλλῃ, καὶ ὅταν αὐτὸς ὁ τετολμηκώς. Οἱ δὲ ὑπὸ τῆς σφοδρᾶς ἀπογνώσεως εἰς ἀναλγησίαν ἐκπεσόντες, καὶ τῆς τῶν ἀνθρώπων δόξης καταφρονήσαντες, μετὰ πολλῆς τῆς ἀδείας λοιπὸν, ὥσπερ τὰ ἀλλότρια, τὰ οἰκεῖα ἅπασιν ἐξαγορεύουσι κακά. Ἀλλὰ σε τούτων οὐδένα εἶναι βούλομαι, οὐδὲ ἐξ ἀπογνώσεως ἐπὶ τὴν ἐξομολόγησιν ἔρχεσθαι· ἀλλὰ μετὰ προσδοκίας ἀγαθῆς καὶ τῆς ἀπογνώσεως τὴν ῥίζαν ἐκκόψαντα πᾶσαν, τὴν ἐναντίαν ἐπιδείκνυσθαι σπουδήν. Τίς δὲ ἡ ταύτης ῥίζα καὶ μήτηρ ἐςί; ῥαθυμία· μᾶλλον δὲ οὐκ ἄν τις ῥίζαν καλέσειεν αὐτὴν μόνον, ἀλλὰ καὶ τροφὸν καὶ μητέρα· καθάπερ γὰρ ἐπὶ τῶν ἐρίων τίκτει μὲν τοὺς σῆτας ἡ φθορὰ, αὔξεται δὲ πάλιν ὑπ' αὐτῶν· οὕτω καὶ ἐνταῦθα, τίκτει μὲν ἡ ῥαθυμία τὴν ἀπόγνωσιν, τρέφεται δὲ πάλιν ὑπὸ τῆς ἀπογνώσεως αὐτὴ, καὶ ἀλλήλαις τὴν ἐπάρατον ταύτην παρέχουσαι ἀντίδοσιν, δύναμιν οὐ μικρὰν προσλαμβάνουσιν. Ἂν οὖν τὴν ἑτέραν τις ἀποτέμῃ καὶ διακόψῃ, δυνήσεται καὶ τῆς λειπομένης περιγενέσθαι εὐκόλως. Οὔτε γὰρ ὁ μὴ ῥαθυμῶν εἰς ἀπόγνωσιν ἂν ἐμπέσοι ποτὲ, οὔτε ὁ τρεφόμενος ἐλπίσι χρηςαῖς, καὶ μὴ ἀπογινώσκων ἑαυτοῦ, εἰς ῥαθυμίαν δυνήσεται ἐμπεσεῖν. Ταύτην οὖν μοι τὴν ξυνωρίδα διάσπασον, καὶ τὸν ζυγὸν σύγκλασον, τὸν λογισμὸν λέγω τὸν ποικίλον καὶ βαρύν. Οὐ γὰρ μονοειδὴς ὁ ταῦτα συνέχων ἐςὶν, ἀλλὰ πολυειδὴς καὶ παντοδαπός. Τίς δὲ οὗτός ἐςι; συμβαίνει τινὰ μεταγνόντα κατορθῶσαι πολλὰ καὶ μεγάλα, μεταξὺ δὲ καὶ ἁμαρτεῖν πάλιν τῶν κατορθωμάτων ἐκείνων ἁμαρτίαν ἀντίῤῥοπον [1]· καὶ τοῦτο μάλιςα ἱκανὸν εἰς ἀπόγνωσιν ἐμβαλεῖν, ὡς τῶν οἰκοδομηθέντων καθαιρεθέντων, καὶ πάντων ἐκείνων μάτην καὶ εἰς κενὸν πονη-

[1] Ἀντίῤῥοπος (отъ ἀντί и ῥέπω), равновѣсный, равный по силѣ въ сравненіи съ ἐκείνων κατορθωμάτων.

θέντων αὐτῷ. Δεῖ δὲ ἐκεῖνο λογίζεσθαι, καὶ τοῦτον ἐκκρούειν τὸν λογισμὸν, ὅτι εἰ μὴ φθάσαντες κατορθωμάτων μέτρον ἀντίῤῥοπον τοῖς μετὰ ταῦτα γενομένοις ἁμαρτήμασιν ἀπεθέμεθα, οὐδὲν ἂν ἡμᾶς σφόδρα καὶ ὁλοσχερῶς καταδῦναι ἐκώλυσε. Νυνὶ δὲ [1]) καθάπερ τις θώραξ ἰσχυρὸς βέλος ὀξὺ καὶ πικρὸν οὐκ ἀφῆκεν ἐργάσασθαι τὸ ἑαυτοῦ, ἀλλ' αὐτὸς διατμηθεὶς τὸν πολὺν ἤμυνε τῷ σώματι κίνδυνον. Ὁ μὲν γὰρ μετὰ πολλῶν ἔργων καὶ ἀγαθῶν καὶ πονηρῶν ἀπερχόμενος ἐκεῖ, ἕξει τινὰ παραμυθίαν ἐπὶ τῇ κολάσει καὶ τοῖς βασανιςηρίοις ἐκείνοις. Ὁ δὲ τούτων μὲν ἔρημος, ἐκεῖνα δὲ μόνον ἐπάγων, οὐδὲ ἔνεστιν εἰπεῖν ὅσα πείσεται πρὸς τὴν ἀθάνατον παραπεμπόμενος κόλασιν. Καὶ γὰρ ἀντίςασις ἔςαι καὶ τῶν πονηρῶν πράξεων καὶ τῶν οὐ τοιούτων. Κἂν μὲν αὗται καθελκύσωσι τὸν ζυγὸν, ἔσωσαν οὐ μικρῶς τὸν ἐργάτην τὸν ἑαυτῶν· καὶ οὐ τοσοῦτον ἴσχυσεν ἡ τῶν πονηρῶν πράξεων τῆς ἐργασίας βλάβη, ὅσον κατασπάσαι τῆς πρώτης χώρας αὐτον· ἂν δὲ ἐκεῖναι περιγένωνται, εἰς τὸ τῆς γεέννης ἀπάγουσι πῦρ, διὰ τὸ μὴ τοσοῦτον εἶναι τὸ πλῆθος τῶν κατορθωμάτων, ὡς καὶ δυνηθῆναι ςῆναι πρὸς τὸν βίαιον ἐκεῖνον ὠθισμόν. Καὶ ταῦτα οὐχ ὁ ἡμέτερος μόνον ὑποβάλλει λογισμὸς, ἀλλὰ καὶ τὰ θεῖα λόγια· «αὐτὸς γάρ», φησιν, «ἀποδώσει ἑκάςῳ κατὰ τὰ ἔργα αὐτοῦ» [2])· καὶ οὐκ ἐν τῇ γεέννῃ μόνον, ἀλλὰ καὶ ἐν τῇ βασιλείᾳ πολλὰς ἂν εὕροι τις τὰς διαφοράς· «μοναὶ γάρ», φησι, «πολλαί εἰσι παρὰ τῷ Πατρί μου» [3])· καί· «ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης» [4]). Καὶ τί θαυμαςὸν, εἰ μέχρι τοσούτων ἠκριβολογήσατο, ὅπου γε καὶ τὴν ἀςέρος πρὸς ἀςέρα διαφορὰν εἶναί φησιν ἐκεῖ; ταῦτα οὖν ἅπαντα εἰδότες, μηδέποτε τῆς τῶν ἀγαθῶν ἐργασίας ἀποςῶμεν, μηδὲ ἀποκάμωμεν· μηδὲ ἐπειδὰν εἰς τὴν τοῦ ἡλίου τάξιν ἢ τῆς σελήνης ἐλθεῖν μὴ δυνηθῶμεν, καὶ τῆς τῶν ἀςέρων καταφρονήσωμεν. Ὡς γὰρ ἂν τοσαύτην γοῦν ἀρετὴν ἐπιδειξώμεθα, δυνησόμεθα εἶναι ἐν τῷ οὐρανῷ. Κἂν χρυσὸς, κἂν λίθος τίμιος μὴ γενώμεθα, τὴν γοῦν τοῦ ἀργύρου τάξιν ἐπέχοντες ἐν τῷ θεμελίῳ μενοῦμεν· μόνον μὴ πρὸς ἐκείνην τὴν ὕλην παλινδρομήσωμεν, ἣν εὐχερῶς καταφλέγει τὸ πῦρ, μηδὲ, ὅταν μεγάλα κατορθῶσαι

---

[1]) **Подразумѣвается:** κατορθωμάτων μέτρον.

[2]) **Рим. 2. 6.** [3]) **Іоан. 14. 2.** [4]) **1 Кор. 15. 41.**

μὴ συνηθῶμεν, καὶ τῶν μικρῶν ἀποσχώμεθα· ἐσχάτης γὰρ ταῦτα ἀνοίας ἐςίν, ὅπερ μὴ πάθωμεν. Ὥσπερ γὰρ ὁ πλοῦτος ὁ σωματικὸς αὔξεται τῷ μηδὲ τῶν ἐλαχίςων κερδῶν καταφρονεῖν τοὺς ἐραςὰς τοὺς ἐκείνου· οὕτω καὶ ὁ πνευματικός. Καὶ γὰρ ἄτοπον τὸν μὲν κριτὴν μηδὲ ψυχροῦ ποτηρίου μισθὸν παρορᾶν, ἡμᾶς δὲ, εἰ μὴ πάνυ μεγάλα εἴη τὰ κατορθώματα, καὶ τῆς τῶν μικρῶν ἐργασίας ἀμελεῖν· ὁ μὲν γὰρ τῶν ἐλαττόνων μὴ καταφρονῶν πολλῇ καὶ περὶ τὰ μέγιςα χρήσεται σπουδῇ· ὁ δὲ ταῦτα παρορῶν καὶ ἐκείνων ἀποςήσεταί ποτε. Ὅπερ ἵνα μὴ γένηται, καὶ τούτων μεγάλους τοὺς μισθοὺς ὥρισεν ὁ Χριςός. Τί γὰρ τοῦ ἐπισκέπτεσθαι τοὺς κάμνοντας εὐκολώτερον; ἀλλ' ὅμως καὶ τούτου μεγάλην ἀποδίδωσι τὴν ἀμοιβήν. Ἐπιλαβοῦ τοίνυν τῆς αἰωνίου ζωῆς, κατατρύφησον τοῦ Κυρίου, καὶ ἱκέτευσον αὐτὸν, πάλιν τὸν ζυγὸν ἀνάδεξαι τὸν χρηςὸν, ὕπελθε τὸ φορτίον τὸ ἐλαφρὸν, ἐπίθες ἄξιον τῆς ἀρχῆς τὸ τέλος· μὴ δὴ παρίδῃς τοσοῦτον διαῤῥοέντα πλοῦτον. Ἂν μὲν γὰρ ἐπιμένῃς παροξύνων τὸν Θεὸν, δι' ὧν ποιεῖς, σαυτὸν ἀπολεῖς· ἂν δὲ πρὶν ἢ πολλὴν γενέσθαι τὴν ζημίαν, καὶ πᾶν ἐπικλυσθῆναι τὸ γεώργιον, ἀποφράξῃς τῆς κακίας τοὺς ὀχετοὺς, καὶ τὰ διαφθαρέντα ἀνακτήσασθαι δυνήσῃ πάλιν, καὶ ἑτέραν αὐτοῖς προσθεῖναι φορὰν οὐ μικράν. Ἅπερ ἅπαντα λογισάμενος ἀποτίναξον τὸν χοῦν, ἀνάςηθι ἀπὸ τῆς γῆς, καὶ φοβερὸς ἔσῃ τῷ ἀνταγωνιςῇ· αὐτὸς μὲν γάρ σε κατέβαλεν, ὡς οὐκ ἀναςησόμενον λοιπόν· ἂν δὲ ἴδῃ πάλιν τὰς χεῖρας ἀνταίροντα, τῷ ἀπροσδοκήτῳ πληγεὶς, ὀκνηρότερος ἔςαι πρὸς τὸ ὑποσκελίσαι σε πάλιν· αὐτός τε ἀσφαλέςερος ἔσῃ πρὸς τὸ μηκέτι τραῦμα τοιοῦτον λαβεῖν. Εἰ γὰρ αἱ τῶν ἄλλων ἡμᾶς ἱκαναὶ παιδεῦσαι συμφοραὶ, πολλῷ μᾶλλον ἃς ὑπεμείναμεν. Ὅπερ καὶ ἐπὶ τῆς σῆς προσδοκῶ ταχέως ὄψεσθαι κεφαλῆς, καὶ πάλιν τῇ τοῦ Θεοῦ ῥοπῇ φαιδρότερόν σε γενέσθαι, καὶ τοσαύτην ἐπιδείξασθαι τὴν ἀρετὴν, ὡς καὶ ἑτέρων προςῆναι ἐκεῖ. Μόνον μὴ ἀπογνῷς, μηδὲ ἀναπέσῃς· τοῦτο γάρ σοι καὶ παρὰ πάντα τὸν λόγον [1]), καὶ ὅπου δ' ἂν ἴδω, καὶ δι' ἑτέρων οὐ παύσομαι ἐπιλέγων· κἂν τούτου ἀκούσῃς, οὐκέτι δεήσει φαρμάκων ἑτέρων.

[1]) Παρὰ πάντα τὸν λόγον, при всякомъ разговорѣ; или иначе: не говоря ни о чемъ другомъ.

## 3.

### Ὀλυμπιάδι Ἐπιςολὴ Α΄ [1]).

### Глав. 1—5.

Τῇ δεσποίνῃ μου τῇ αἰδεσιμωτάτῃ καὶ θεοφιλεςάτῃ διακονίσσῃ Ὀλυμπιάδι Ἰωάννης ἐν Κυρίῳ χαίρειν.

1. Φέρε δὴ [2]) πάλιν ἀπαντλήσω σου τῆς ἀθυμίας τὸ ἕλκος, καὶ διασκεδάσω τοὺς λογισμοὺς τοὺς τὸ νέφος τοῦτο συνάγοντας. Τί γάρ ἐςιν ὃ συγχεῖ σου τὴν διάνοιαν; ὅτι ἄγριος ὁ χειμὼν ὁ τὰς ἐκκλησίας καταλαβὼν καὶ ζοφώδης, καὶ νύκτα ἀσέληνον πάντα εἰργάσατο, καὶ καθ' ἑκάςην κορυφοῦται τὴν ἡμέραν πικρά τινα ὠδίνων ναυάγια, καὶ αὔξεται ἡ πανωλεθρία τῆς οἰκουμένης: οἶδα τοῦτο κἀγὼ, καὶ οὐδεὶς ἀντερεῖ. Καὶ εἰ βούλει, καὶ εἰκόνα ἀναπλάττω τῶν γινομένων, ὥςε σαφεςέραν σοι ποιῆσαι τὴν τραγῳδίαν. Θάλατταν ὁρῶ μαινομένην πάντοθεν, ἀπ' αὐτῆς κάτωθεν ἀναμοχλευομένην τῆς ἀβύσσου, πλωτῆρας τοῖς ὕδασι νεκροὺς ἐπιπλέοντας, ἑτέρους ὑποβρυχίους γενομένους, τὰς σανίδας τῶν πλοίων διαλελυμένας, τὰ ἱςία διαρρηγνύμενα, τοὺς ἱςοὺς διακλωμένους, τὰς κώπας τῶν χειρῶν τῶν ναυτῶν ἀποπτάσας, τοὺς κυβερνήτας ἀντὶ τῶν οἰάκων ἐπὶ τῶν καταςρωμάτων καθημένους, τὰς χεῖρας τοῖς γόνασι περιπλέκοντας καὶ πρὸς τὴν ἀμηχανίαν τῶν γινομένων κωκύοντας, ὀλολύζοντας, ὀλοφυρομένους, οὐκ οὐρανὸν, οὐ πέλαγος φαινόμενον, ἀλλὰ σκότος πάντα βαθὺ καὶ ἀφεγγὲς καὶ ζοφῶδες, οὐδὲ τοὺς πλησίον ἐπιτρέπον βλέπειν,

---

[1]) Писано около 404 г. Олимпіада, причтенная къ лику святыхъ 25-го іюля), дочь Константинопольскаго царедворца, оставшись незамужнею, при богатствѣ своемъ отличалась благотворительностію и приверженностію къ Церкви; архіепископомъ Нектаріемъ поставлена въ діакониссы и къ св. Златоусту питала живѣйшее усердіе; по низложеніи Святителя также подверглась изгнанію въ г. Никомидію и тамъ скончалась.

[2]) Φέρε или φέρε δὴ (повел. отъ φέρω), поставленное въ началѣ предложенія, въ видѣ нарѣчія, означаетъ побужденіе или приглашеніе къ тому дѣйствію, которое выражаетъ слѣдующій за тѣмъ глаголъ.

καὶ πολὺν τὸν πάταγον τῶν κυμάτων, καὶ θηρία θαλάττια πάντοθεν τοῖς πλέουσιν ἐπιτιθέμενα· μᾶλλον δὲ μέχρι τίνος διώκομεν ἀκίχητα; οἵαν γὰρ ἂν ζητήσω τῶν παρόντων κακῶν εἰκόνα, ἡττώμενος τῶν κακῶν ὁ λόγος ἀναχωρεῖ. Ἀλλ' ὅμως καὶ ταῦτα εἰδὼς οὐκ ἀπογινώσκω τῆς χρηστοτέρας ἐλπίδος, τὸν κυβερνήτην τοῦδε τοῦ παντὸς ἐννοῶν, ὡς οὐ τέχνῃ περιγίνεται τοῦ χειμῶνος, ἀλλὰ νεύματι λύει τὴν ζάλην. Εἰ δὲ μὴ ἐκ προοιμίων μηδὲ εὐθέως, ἔθος αὐτῷ τοιοῦτον, μὴ ἐν ἀρχῇ τὰ δεινὰ καταλύειν, ἀλλ' ὅταν αὐξηθῇ, καὶ πρὸς τὸ τέλος ἔλθῃ, καὶ παρὰ τῶν πλειόνων ἀπογνωσθῇ, τότε θαυματουργεῖν καὶ παραδοξοποιεῖν, τήν τε οἰκείαν ἐνδείκνυσθαι δύναμιν, καὶ τῶν ἐμπιπτόντων τὴν ὑπομονὴν ἐγγυμνάζειν. Μὴ τοίνυν ἀναπέσῃς, παρακαλῶ· ἓν γὰρ μόνον ἐστὶν, Ὀλυμπίας, φοβερὸν, εἰς πειρασμὸς, ἁμαρτία μόνον, καὶ τοῦτο συνεχῶς ἐπᾴδων σοι τὸ ῥῆμα οὐκ ἐπαυσάμην· τὰ δὲ ἄλλα πάντα μῦθος, κἂν ἐπιβουλὰς εἴπῃς, κἂν ἀπεχθείας, κἂν δόλους, κἂν συκοφαντίας, κἂν λοιδορίας, κἂν κατηγορίας, κἂν δημεύσεις, κἂν ἐξορίας, κἂν ξίφη ἠκονημένα, κἂν πέλαγος, κἂν τὸν τῆς οἰκουμένης ἁπάσης πόλεμον. Οἷα γὰρ ἂν ᾖ ταῦτα πάντα, πρόσκαιρά τε ἐστι καὶ ἐπίκηρα, καὶ ἐν θνητῷ γενόμενα σώματι, καὶ τὴν νήφουσαν οὐδὲν παραβλάπτοντα ψυχήν· διά τοι τοῦτο καὶ τῶν χρηστῶν καὶ τῶν λυπηρῶν κατὰ τὸν παρόντα βίον τὸ εὐτελὲς ὁ μακάριος Παῦλος δεῖξαι βουλόμενος μιᾷ λέξει τὸ πᾶν ἐνέφηνεν, εἰπών· «τὰ γὰρ βλεπόμενα πρόσκαιρα» [1]). Τί τοίνυν τὰ πρόσκαιρα δέδοικας τὰ ποταμίων ῥευμάτων δίκην παραῤῥέοντα; τοιαῦτα γὰρ τὰ παρόντα, κἂν χρηστὰ ᾖ, κἂν λυπηρά. Προφήτης δὲ ἕτερος ἅπασαν τὴν ἀνθρωπίνην εὐημερίαν οὐδὲ χόρτῳ, ἀλλ' ἑτέρᾳ ὕλῃ εὐτελεστέρᾳ αὐτὴν παρέβαλεν, ἄνθος αὐτὴν ὀνομάσας χόρτου πᾶσαν ὁμοῦ. Οὐδὲ γὰρ μέρος αὐτῆς ἔθηκεν, οἷον πλοῦτον μόνον, ἢ τρυφὴν μόνον, ἢ δυναστείαν μόνον, ἢ τιμὰς μόνον, ἀλλὰ πάντα τὰ ἐν ἀνθρώποις δοκοῦντα εἶναι λαμπρὰ, μιᾷ προσηγορίᾳ τῇ τῆς δόξης περιλαβὼν, οὕτως ἐπήγαγε τὴν εἰκόνα τοῦ χόρτου, εἰπών· «πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου» [2]).

2. Ἀλλ' ἡ δυσημερία—δεινὸν καὶ βαρύ. Ἀλλ' ὅρα καὶ

---

[1]) 2 Кор. 16. 18. [2]) Иса. 40. 6.

ταύτην ἑτέρα παραβαλλομένην εἰκόνι, καὶ καταφρόνει καὶ ταύτης. Τὰς γὰρ λοιδορίας, καὶ τὰς ὕβρεις, καὶ τὰ ὀνείδη, καὶ τὰ σκώμματα τὰ παρὰ τῶν ἐχθρῶν, καὶ τὰς ἐπιβουλὰς ἱματίῳ παλαιωθέντι καὶ ἐρίῳ διαβρωθέντι παρεικάζων ἔλεγεν· «ὀνειδισμὸν ἀνθρώπων μὴ φοβεῖσθε, καὶ τῷ φαυλισμῷ αὐτῶν μὴ ἡττᾶσθε, ὅτι ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ ἔριον ὑπὸ σητὸς, οὕτω βρωθήσονται» [1]). Μηδέν σε τοίνυν ταραττέτω τῶν γινομένων, ἀλλ᾽ ἀφεῖσα τὸν δεῖνα καὶ τὸν δεῖνα παρακαλεῖν, καὶ τὰς σκιὰς περιτρέχειν (τοῦτο γὰρ ἡ ἀνθρωπίνη συμμαχία)· τὸν Θεὸν, ᾧ λατρεύεις, ἐνδελεχῶς παρακάλει νεῦσαι μόνον· καὶ ἅπαντα ἐν μιᾷ καιροῦ λύεται ῥοπῇ. Εἰ δὲ παρεκάλεσας, καὶ οὐκ ἐλύθη, τοιοῦτον τῷ Θεῷ ἔθος, μὴ ἐκ προοιμίων (τὸν γὰρ ἔμπροσθεν ἀναλήψομαι λόγον) καταλύειν τὰ δεινὰ, ἀλλ᾽ ὅταν κορυφωθῇ, ὅταν αὐξηθῇ, ὅταν σχεδὸν μηδὲν ὑπολελειμμένον ᾖ τῆς τῶν πολεμούντων κακίας, τότε ἀθρόον πάντα μεταβάλλειν ἐπὶ τὸ γαληνὸν, καὶ πρὸς ἀπροσδοκήτους τινὰς καταςάσεις αὐτὰ πραγμάτων ἄγειν· οὐ γὰρ τοσαῦτα δύναται μόνον ποιῆσαι χρηςὰ, ὅσα προσδοκῶμεν καὶ ἐλπίζομεν, ἀλλὰ καὶ πολλῷ πλείονα καὶ ἀπείρως μείζονα. Διὸ καὶ Παῦλος ἔλεγε· «τῷ δὲ δυναμένῳ ὑπὲρ πάντα ποιῆσαι, ὑπερεκπερισσοῦ ὧν αἰτούμεθα ἢ νοοῦμεν» [2]). Μὴ γὰρ οὐκ ἠδύνατο ἐκ προοιμίων κωλῦσαι τοὺς παῖδας τοὺς τρεῖς εἰς τὸν πειρασμὸν ἐκεῖνον μὴ ἐμπεσεῖν [3]); ἀλλ᾽ οὐκ ἠβουλήθη, πολλὴν αὐτοῖς συνάγων τὴν ἐμπορίαν [4]). Διὰ τοῦτο ἀφῆκε καὶ χερσὶν αὐτοὺς βαρβαρικαῖς παραδοθῆναι, καὶ τὴν κάμινον ἀναφθῆναι πρὸς ὕψος ἄφατον, καὶ τὴν βασιλικὴν ὀργὴν τῆς καμίνου χαλεπώτερον ἐκκαῆναι, καὶ χεῖρας δεθῆναι καὶ πόδας μετὰ πολλῆς τῆς σφοδρότητος, καὶ εἰς τὸ πῦρ ἐμβληθῆναι· καὶ ὅτε πάντες οἱ θεωροῦντες αὐτοὺς ἀπέγνωσαν αὐτῶν τὴν σωτηρίαν, τότε ἀθρόον καὶ παρ᾽ ἐλπίδα πᾶσαν ἀνεφαίνετο ἡ θαυματοποιΐα τοῦ ἀριςοτέχνου Θεοῦ, καὶ μετὰ πολλῆς ἐξέλαμπε τῆς ὑπερβολῆς. Τὸ μὲν γὰρ πῦρ ἐδεσμεῖτο, οἱ δεσμῶται δὲ ἐλύοντο, καὶ ναὸς εὐκτήριος ἡ κάμινος ἐγίνετο, καὶ πηγὴ, καὶ δρόσος, καὶ αὐτῶν βασιλείων

---

[1]) Иса. 51. 7, 8. [2]) Еф. 3. 20. [3]) Дан. 3.

[4]) Ἐμπορία въ смыслѣ: пріобрѣтеніе, польза.

σεμνοτέρα, και τὴν παμφάγον οὐσίαν ἐκείνην, καὶ σιδήρου καὶ λίθων περιγινομένην καὶ πάσης κρατοῦσαν ὕλης, τριχῶν ἐνίκα φύσις. Καὶ χορὸς ἵςατο παναρμόνιος αὐτόθι τῶν ἁγίων ἐκείνων ἑκατέραν τὴν κτίσιν εἰς τὴν θαυμαςὴν ταύτην καλούντων μελῳδίαν· ᾖδόν τε εὐχαριςηρίους ἀναπέμποντες ὕμνους ὑπὲρ ὧν ἐδέθησαν, ὑπὲρ ὧν ἐκάησαν, τόγε τῶν ἐχθρῶν μέρος [1]), ὑπὲρ ὧν πατρίδος ἐξέπεσον, ὑπὲρ ὧν αἰχμάλωτοι γεγόνασιν, ὑπὲρ ὧν τὴν ἐλευθερίαν ἀφῃρέθησαν, ὑπὲρ ὧν ἀπόλιδες, ἄοικοι καὶ μετανάςαι ἐγένοντο, ὑπὲρ ὧν ἐν ἀλλοτρίᾳ καὶ βαρβάρῳ διέτριβον γῇ· τοῦτο γὰρ ψυχῆς εὐγνώμονος. Καὶ ἐπειδὴ καὶ τὰ τῆς κακίας τῶν πολεμούντων ἀπήρτιςο (τί γὰρ μετὰ θάνατον λοιπὸν ἐπιχειρῆσαι ἠδύναντο;), καὶ τὰ τῶν ἀθλητῶν ἐπεπλήρωτο, καὶ ὁ ςέφανος ἐπλάκη, καὶ τὰ βραβεῖα αὐτοῖς συνελέγη, καὶ οὐδὲν λοιπὸν ἔλιπεν εἰς εὐδοκίμησιν, τότε δὴ τὰ δεινὰ λύεται, καὶ ὁ τὴν κάμινον ἅψας καὶ τοσαύτῃ παραδοὺς τιμωρίᾳ, οὗτος θαυμαςὸς ἐπαινέτης τῶν ἁγίων ἐκείνων ἀθλητῶν γίνεται, καὶ κήρυξ τῆς τοῦ Θεοῦ παραδοξοποιΐας, καὶ πανταχοῦ τῆς οἰκουμένης ἐκπέμπει γράμματα πολλῆς γέμοντα εὐφημίας, διηγούμενος τὰ γεγενημένα, καὶ ἀξιόπιςος γινόμενος κήρυξ τῶν τοῦ παραδοξοποιοῦ Θεοῦ θαυμάτων. Ἐπειδὴ γαρ ἐχθρὸς ἦν καὶ πολέμιος, ἀνύποπτα λοιπὸν καὶ παρὰ τοῖς ἐχθροῖς τὰ γραφόμενα ἦν.

3. Εἶδες τὸ εὐμήχανον τοῦ Θεοῦ; εἶδες τὸ σοφόν; εἶδες τὸ παράδοξον; εἶδες τὸ φιλάνθρωπον καὶ κηδεμονικόν; μὴ τοίνυν θορυβοῦ, μηδὲ ταράττου, ἀλλὰ μένε διηνεκῶς ὑπὲρ πάντων αὐτῷ εὐχαριςοῦσα, δοξολογοῦσα, παρακαλοῦσα, δεομένη, ἱκετεύουσα, κἂν μυρίοι θόρυβοι, κἂν μυρίαι ταραχαὶ ἐπίωσι, κἂν καταιγίδες, κἂν πάντα ἐπ' ὄψιν κέηται, μηδέν σε τούτων ταραττέτω. Οὐ γὰρ προλαμβάνεται ἡμῶν ὁ Δεσπότης ὑπὸ τῆς τῶν πραγμάτων δυσκολίας [2]), κἂν εἰς ἔσχατον ὄλεθρον πάντα κατενεχθῇ. Δυνατὸν γὰρ αὐτῷ καὶ τοὺς πεπτωκότας ἐγεῖραι, καὶ τοὺς πεπλανημένους ἐπιςρέψαι, καὶ τοὺς σκανδαλισθέντας διορθῶσαι, καὶ τοὺς μυρίων πληρωθέντας ἁμαρτημάτων ἀπαλλάξαι καὶ δικαίους

---

[1]) Сколько могли сдѣлать враги съ своей стороны.

[2]) Προλαμβάνεται, предупреждается, превышается, преообѣждается, ὑπὸ (или ἀπὸ) τῆς δυσκολίας.

ποιῆσαι, καὶ τοὺς νεκρωθέντας ζωογονῆσαι, καὶ τὰ κατασκαφέντα λαμπρότερα ἐργάσασθαι, καὶ τὰ παλαιωθέντα ἀνανεῶσαι. Εἰ γὰρ τὰ μὴ ὄντα ποιεῖ γενέσθαι, καὶ τοῖς μηδαμοῦ μηδαμῶς φαινομένοις χαρίζεται τὸ εἶναι, πολλῷ μᾶλλον τὰ ὄντα καὶ γενόμενα διορθώσεται. Ἀλλὰ πολλοὶ οἱ ἀπολλύμενοι, πολλοὶ οἱ σκανδαλιζόμενοι. Πολλὰ πολλάκις καὶ ἤδη τοιαῦτα γέγονεν· ἀλλ' ὕστερον τὴν προσήκουσαν ἔλαβε πάντα διόρθωσιν, πλὴν εἴ τινες ἀνιάτως ἔμειναν ἔχοντες [1]) καὶ μετὰ τὴν τῶν πραγμάτων μεταβολήν. Τί ταράττῃ καὶ ἀλύεις, εἰ ὁ δεῖνα ἐκβέβληται καὶ ὁ δεῖνα εἰσενήνεκται; ὁ Χριστὸς ἐσταυροῦτο, καὶ Βαραββᾶς ὁ λῃστὴς ἐζητεῖτο, καὶ ὁ διεφθαρμένος ἐβόα δῆμος, τὸν ἀνδροφόνον τοῦ σωτῆρος καὶ εὐεργέτου δεῖν μᾶλλον σωθῆναι. Πόσους νομίζεις ταῦτα ἐσκανδάλισε τότε; πόσους ταῦτα τέως ἀπώλεσε; μᾶλλον δὲ ἀνωτέρω τὸν λόγον ἀναγκαῖον ἀγαγεῖν. Οὐκ εὐθέως τεχθεὶς οὗτος ὁ σταυρωθεὶς μετανάστης ἐγίνετο καὶ φυγὰς καὶ μετὰ ὁλοκλήρου τῆς οἰκίας πρὸς τὴν ἀλλοτρίαν ἐξ αὐτῶν σπαργάνων ἀπῳκίζετο γῆν, διάστημα ὁδοῦ τοσοῦτον εἰς βάρβαρον ἀπαγόμενος χώραν; καὶ αἱμάτων ῥύακες ἐκ τῆς ὑποθέσεως ταύτης ἐγίνοντο, καὶ φόνοι ἄδικοι, καὶ σφαγαί, καὶ ἡ ἄωρος ἡλικία πᾶσα καθάπερ ἐν παρατάξει καὶ πολέμῳ κατεκόπτετο, καὶ τῶν μαζῶν ἀποσπώμενοι οἱ παῖδες σφαγῇ παρεδίδοντο, καὶ ἔτι τοῦ γάλακτος ἐπὶ τοῦ φάρυγγος ὄντος, διὰ τοῦ λαιμοῦ καὶ τῆς δέρρης τὸ ξίφος ἠλαύνετο. Τί ταύτης χαλεπώτερον γένοιτ' ἂν τραγῳδίας; καὶ ταῦτα ἔπραττεν ὁ ζητῶν αὐτὸν ἀνελεῖν, καὶ ὁ μακρόθυμος Θεὸς ἠνείχετο τοιαύτης τολμωμένης τραγῳδίας, τοσούτου ῥέοντος αἵματος, καὶ ἠνείχετο κωλῦσαι δυνάμενος, ἀπορρήτῳ τινὶ σοφίᾳ τὴν τοσαύτην ἐπιδεικνύμενος μακροθυμίαν. Ἐπειδὴ δὲ ἐπανῆλθεν ἀπὸ τῆς βαρβάρου χώρας, καὶ ηὐξήθη, πόλεμος αὐτῷ πάντοθεν ἀνερριπίζετο. Καὶ πρῶτον μὲν οἱ Ἰωάννου μαθηταὶ διεφθονοῦντο, καὶ ἐβάσκαινον, καί τοι γε ἐκείνου τὰ αὐτοῦ θεραπεύοντος, καὶ ἔλεγον· «ὅτι ὃς ἦν μετά σου πέραν τοῦ Ἰορδάνου, ἴδε οὗτος βαπτίζει, καὶ πάντες ἔρχονται πρὸς αὐτὸν» [2]). Ταῦτα γὰρ ὑποκνιζομένων

---

[1]) Т. е. ἑαυτούς.
[2]) Іоан. 3. 26.

ἦν λοιπὸν τὰ ῥήματα, καὶ φθόνῳ βαλλομένων, καὶ τηκομένων τῷ πάθει. Διὰ δὴ τοῦτο καὶ μετὰ Ἰουδαίου τινὸς εἰς τῶν μαθητῶν τῶν ταῦτα εἰρηκότων ἐφιλονείκει, καὶ ἐπύκτευε, καὶ τὸν περὶ καθαρσίων λόγον κινῶν καὶ βάπτισμα βαπτίσματι παραβάλλων, τὸ Ἰωάννου τῷ τῶν μαθητῶν τοῦ Χριςοῦ. «Ἐγένετο γάρ», φησιν, ἐκ τῶν μαθητῶν Ἰωάννου μετὰ Ἰουδαίου τινὸς ζήτησις περὶ καθαρισμοῦ» [1]). Ἐπειδὴ δὲ καὶ τῶν σημείων ἥψατο, πόσαι συκοφαντίαι; οἱ μὲν Σαμαρείτην αὐτὸν ἐκάλουν καὶ δαιμονῶντα, λέγοντες· «ὅτι Σαμαρείτης εἶ σὺ, καὶ δαιμόνιον ἔχεις» [2])· οἱ δὲ πλάνον, λέγοντες· «οὗτος οὐκ ἔςιν ἐκ τοῦ Θεοῦ, ἀλλὰ πλανᾷ τὸν ὄχλον» [3])· οἱ δὲ γόητα, λέγοντες· «ὅτι ἐν τῷ ἄρχοντι τῶν δαιμονίων τῷ Βεελζεβοὺλ ἐκβάλλει τὰ δαιμόνια» [4]), καὶ συνεχῶς ταῦτα ἐπέλεγον, καὶ ἀντίθεον ὠνόμαζον, καὶ γαςρίμαργον καὶ ἀδηφάγον, καὶ μέθυσον, καὶ πονηρῶν καὶ διεφθαρμένων φίλον. «Ἦλθε γάρ», φησιν, «ὁ υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων, καὶ λέγουσιν· ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης, τελωνῶν φίλος καὶ ἁμαρτωλῶν» [5]). Καὶ ὅτε δὲ τῇ πόρνῃ διελέγετο, ψευδοπροφήτην αὐτὸν ἐκάλουν· «εἰ γὰρ ἦν προφήτης», φησὶν, «ᾔδει, τίς ἐςιν αὕτη ἡ γυνὴ ἡ λαλοῦσα αὐτῷ» [6]), καὶ καθ' ἑκάςην ἡμέραν τοὺς ὀδόντας ἠκόνων κατ' αὐτοῦ. Οὐκ Ἰουδαῖοι δὲ μόνον οὕτως ἐπολέμουν αὐτῷ, ἀλλ' οὐδὲ αὐτοὶ οἱ δοκοῦντες εἶναι ἀδελφοὶ ὑγιῶς εἶχον πρὸς αὐτὸν, ἀλλὰ καὶ ἐκ τῆς οἰκίας ὁ πόλεμος αὐτῷ ἀνεῤῥιπίζετο. Ὅρα γοῦν, πῶς καὶ αὐτοὶ ἦσαν διεφθαρμένοι, ἐξ ὧν εὐαγγελιςὴς ἐπάγων ἔλεγεν· «οὐδὲ γὰρ οἱ ἀδελφοὶ αὐτοῦ ἐπίςευον εἰς αὐτόν» [7]).

4. Ἀλλ' ἐπειδὴ σκανδαλιζομένων μέμνησαι πολλῶν καὶ πλανωμένων, πόσους οἴει κατὰ τὸν καιρὸν τοῦ ςαυροῦ σκανδαλισθῆναι τῶν μαθητῶν; ὁ μὲν προέδωκεν, οἱ δὲ ἐδραπέτευσαν, ὁ δὲ ἠρνήσατο, καὶ πάντων ἀναχωρησάντων ἤγετο μόνος δεδεμένος. Πόσους τοίνυν οἴει πρώην ἑωρακότας τὰ σημεῖα αὐτὸν ἐργαζόμενον, νεκροὺς ἐγείροντα, λεπροὺς καθαίροντα, δαίμονας ἀπελαύνοντα, ἄρτους πηγάζοντα, τὰ ἄλλα τεράςια ἐργαζόμενον,

---

[1]) Іоан. 3. 25. [2]) Іоан. 8. 48. [3]) Іоан. 7. 12. [4]) Мат. 2. 24. [5]) Лук. 7. 34. [6]) Лук. 7. 39. [7]) Іоан. 7. 5

σκανδαλίζεσθαι κατὰ τὸν καιρὸν ἐκεῖνον, θεωροῦντας μόνον ἀπαγόμενον καὶ δεδεμένον, εὐτελῶν αὐτὸν ϛρατιωτῶν περιϛοιχιζομένων, καὶ ἱερέων Ἰουδαϊκῶν ἑπομένων καὶ θορυβούντων καὶ ταραττόντων, καὶ ἐχθροὺς ἅπαντας μόνον ἐν μέσῳ ἔχοντας ἀπειλημμένον [1]) αὐτὸν, καὶ τὸν προδότην παρόντα καὶ ἐναβρυνόμενον τέως; τί δὲ, ἡνίκα ἐμαϛιγοῦτο; καὶ γὰρ εἰκὸς παρεῖναι πλῆθος ἄπειρον. Ἑορτή τε γὰρ ἦν περιφανὴς ἡ πάντας συνάγουσα, καὶ μητρόπολις ἡ τὸ δρᾶμα τῆς παρανομίας δεξαμένη, καὶ ἐν μεσημβρίᾳ μέσῃ. Πόσους τοίνυν οἴει παρεῖναι τότε καὶ σκανδαλίζεσθαι, ὁρῶντας αὐτὸν δεδεμένον, μεμαϛιγωμένον, αἵματι περιῤῥεόμενον, ὑπὸ ἡγεμονικοῦ δικαϛηρίου ἐξεταζόμενον, καὶ οὐδένα τῶν μαθητῶν παρόντα; τί δὲ, ἡνίκα καὶ αἱ ποικίλαι ἐκεῖναι καὶ συνεχεῖς καὶ ἐπάλληλοι ἐγίνοντο κατ᾽ αὐτοῦ κωμῳδίαι; καὶ ποτὲ μὲν αὐτὸν ἀκάνθαις ἐϛεφάνουν, ποτὲ δὲ χλαμύδα περιετίθεσαν, ποτὲ δὲ κάλαμον ἐνεχείριζον, ποτὲ δὲ πίπτοντες αὐτὸν προσεκύνουν, πᾶν εἶδος χλευασίας καὶ γέλωτος κινοῦντες. Πόσους οἴει σκανδαλίζεσθαι; πόσους θορυβεῖσθαι; πόσους ταράττεσθαι, ὅτε ἐπὶ κόρρης αὐτὸν ἔπαιον καὶ ἔλεγον· «προφήτευσον ἡμῖν, Χριϛὲ, τίς ἐϛιν ὁ παίσας σε» [2]); καὶ ἦγον καὶ περιῆγον, πᾶσαν τὴν ἡμέραν εἰς τοῦτο ἀναλίσκοντες, εἰς σκώμματα καὶ λοιδορίας καὶ χλευασίαν καὶ γέλωτα ἐν μέσῳ θεάτρῳ Ἰουδαϊκῷ; τί δὲ, ὅτε αὐτὸν ἐῤῥάπιζεν ὁ δοῦλος τοῦ ἀρχιερέως; τί δὲ, ὅτε τὰ ἱμάτια αὐτοῦ ἐμερίζοντο οἱ ληϛαί; ἡνίκα δὲ ἐπὶ τὸν ϛαυρὸν ἀνηνέχθη γυμνὸς ἐπὶ τοῦ νώτου τὰς μάϛιγας ἔχων καὶ ἀνεσκολοπίζετο; οὐδὲ γὰρ τότε οἱ ἄγριοι θῆρες ἐμαλάττοντο, ἀλλὰ μανικώτεροι μᾶλλον ἐγίνοντο, καὶ τὰ τῆς τραγῳδίας ἐπετείνετο, καὶ τὰ τῆς χλευασίας ηὔξετο. Οἱ μὲν γὰρ ἔλεγον· «ὁ καταλύων τὸν ναὸν καὶ ἐν τρισὶν ἡμέραις ἐγείρων αὐτόν»· οἱ δὲ ἔλεγον· «ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι»· ἄλλοι δὲ ἔλεγον· «εἰ υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ ϛαυροῦ καὶ πιϛεύσομεν εἰς σέ» [3]). Τί δὲ, ὅτε τῇ σπογγιᾷ χολὴν καὶ ὄξος ποτίζοντες ἐνεπαρῴνουν αὐτῷ; τί δὲ, ὅτε οἱ ληϛαὶ ἐλοιδοροῦντο αὐτῷ; τί δὲ, ὅπερ καὶ ἔμπροσθεν ἔλεγον, τὸ φρικτὸν ἐκεῖνο καὶ

---

[1]) Ἀπειλημμένος (отъ ἀπολαμβάνω) ἐν μέσῳ, **стѣсненный, отдѣленный отъ другихъ.**

[2]) Мат. 26. 18. [3]) Мат. 27. 40—42.

παρανομώτατον, ότε τὸν λῃςὴν ἐκεῖνον καὶ τοιχωρύχον καὶ μυρίων γέμοντα φόνων ἄξιον ἔλεγον εἶναι ἐξαιτηθῆναι μᾶλλον αὐτοῦ, καὶ λαβόντες αἵρεσιν παρὰ τοῦ δικαςοῦ τὸν Βαραββᾶν προετίμησαν, οὐ ςαυρωθῆναι μόνον, ἀλλὰ καὶ πονηρὰν βουλόμενοι τῷ Χριςῷ περιθεῖναι δόξαν; ἐνόμιζον γὰρ δύνασθαι κατασκευάζειν ἐκ τούτων, ὅτι τοῦ λῃςοῦ χείρων ἦν καὶ οὕτω παράνομος, ὥςε μήτε φιλανθρωπίᾳ μήτε ἑορτῆς ἀξιώματι δύνασθαι σώζεσθαι. Πάντα γὰρ τούτου ἕνεκεν ἐποίουν, ὥςε αὐτοῦ τὴν ὑπόληψιν διαβάλλειν· διά τοι τοῦτο καὶ τοὺς δύο λῃςὰς αὐτῷ συνεςαύρωσαν. Ἀλλ' ἡ ἀλήθεια οὐ μόνον οὐ συνεσκιάζετο, ἀλλὰ καὶ μειζόνως διέλαμπε. Καὶ τυραννίδα δὲ αὐτῷ ἐνεκάλουν, λέγοντες· «πᾶς ὁ ποιῶν ἑαυτὸν βασιλέα οὐκ ἔςι φίλος τοῦ Καίσαρος» [1]), τῷ οὐκ ἔχοντι ποῦ τὴν κεφαλὴν κλῖναι τυραννίδος ἐπάγοντες ἔγκλημα. Καὶ ἐπὶ βλασφημίᾳ δὲ αὐτὸν ἐσυκοφάντουν. Ὁ γὰρ ἀρχιερεὺς διέρρηξε τὰ ἱμάτια αὐτοῦ, λέγων· «ἐβλασφήμησε, τί ἔτι χρείαν ἔχομεν τῶν μαρτύρων» [2]); ὁ δὲ θάνατος αὐτοῦ οἷος; οὐ καταδίκων; οὐκ ἐπαράτων; οὐχ ὁ αἴσχιςος; οὐχ ὁ τῶν τὰ ἔσχατα παρανενομηκότων καὶ οὐκ ἀξίων ὄντων οὐδὲ ἐπὶ τῆς γῆς τὴν ψυχὴν ἀφεῖναι; τὸ δὲ τῆς ταφῆς εἶδος οὐκ ἐν χάριτος ἐπληροῦτο μέρει; ἐλθὼν γάρ τις τὸ σῶμα ἐξῃτήσατο. Οὕτως οὐδὲ ὁ θάπτων ἦν τῶν οἰκείων, τῶν εὐεργετηθέντων, τῶν μαθητῶν, τῶν τοσαύτης ἀπολελαυκότων σωτηρίας, πάντων φρούδων γενομένων, πάντοθεν ἀποπηδησάντων· ἡ δὲ πονηρὰ ἐκείνη ὑπόληψις, ἣν διεσκέδασαν τῆς ἀναςάσεως εἰπόντες· «ὅτι ἦλθον οἱ μαθηταὶ αὐτοῦ καὶ ἔκλεψαν αὐτὸν» [3]), πόσους ὑπεσκέλισε; καὶ γὰρ ἐκράτησεν ὁ λόγος τότε, καίτοι πεπλασμένος ὢν καὶ χρημάτων γενόμενος ὠνητός, ἀλλ' ὅμως ἐκράτησε παρά τισι, μετὰ τὰ σήμαντρα, μετὰ τὴν περιφάνειαν τῆς ἀληθείας τὴν τοσαύτην. Οὐδὲ γὰρ τὸν περὶ τῆς ἀναςάσεως ᾔδεσαν λόγον τὸ πλῆθος, ὅπου γε οὐδὲ αὐτοὶ οἱ μαθηταὶ ἠπίςαντο. «Οὐδὲ γὰρ οἱ μαθηταὶ αὐτοῦ ᾔδεσαν», φησίν, «ὅτι δεῖ αὐτὸν ἐκ νεκρῶν ἀναςῆναι» [4]). Πόσους τοίνυν οἴει κατὰ τὰς ἡμέρας ἐκείνας σκανδαλισθῆναι; ἀλλ' ὅμως ὁ μακρόθυμος Θεὸς ἠνείχετο, τῇ οἰκείᾳ σοφίᾳ καὶ ἀπορρήτῳ πάντα οἰκονομῶν.

---

[1]) Ιοαн. 19. 12. [2]) Мат. 26. 15. [3]) Мат. 28. 13. [4]) Марк. 9. 32.

5. Εἶτα μετὰ τὰς ἡμέρας ἐκείνας πάλιν κρυπτόμενοι, λανθάνοντες, φυγαδευόμενοι οἱ μαθηταὶ, δεδοικότες, τρέμοντες, τόπον ἐκ τόπου συνεχῶς ἀμείβοντες οὕτως ἐλάνθανον, καὶ μετὰ πεντήκοντα ἡμέρας ἀρξάμενοι φαίνεσθαι, καὶ σημείων ἅπτεσθαι, οὐδὲ οὕτως ἀδείας ἀπήλαυον. Ἀλλα καὶ μετ' ἐκεῖνα, μυρία σκάνδαλα ματιζομένων αὐτῶν ἐγίνετο ἐν τοῖς ἀσθενεςέροις, τῆς ἐκκλησίας ταραττομένης, αὐτῶν ἐλαυνομένων, τῶν ἐχθρῶν κρατούντων πολλαχοῦ καὶ θορυβούντων. Ὅτε γὰρ τὴν πολλὴν ἐκ τῶν σημείων ἐκτήσαντο παῤῥησίαν, τότε πάλιν ἡ τοῦ Στεφάνου τελευτὴ διωγμὸν χαλεπὸν εἰργάσατο, καὶ πάντας διέσπειρε, καὶ τὴν ἐκκλησίαν ἐν θορύβῳ κατέςησε, καὶ πάλιν ἐν φόβῳ τὰ τῶν μαθητῶν, καὶ πάλιν ἐν φυγῇ, καὶ πάλιν ἐν ἀγωνίᾳ. Καὶ οὕτω διαπαντὸς τὰ τῆς ἐκκλησίας ηὔξετο, ὅτε ἤνθει διὰ τῶν σημείων, ὅτε φαιδρὰ ἐκ προοιμίων ἐφαίνετο· καὶ ὁ μὲν διὰ θυρίδος ἐχαλᾶτο, καὶ οὕτως ἐξέφευγε τοῦ ἄρχοντος τὰς χεῖρας· τοὺς δὲ ἄγγελος ἐξέβαλλε, καὶ οὕτως τῶν ἁλύσεων ἀπήλλαττε· τοὺς δὲ ἀγοραῖοι καὶ χειροτέχναι ὑποδεχόμενοι παρὰ τῶν ἐν δυναςείαις ἐλαυνομένους, πάντα ἐθεράπευον τρόπον, πορφυροπώλιδες γυναῖκες, καὶ σκηνοῤῥάφοι, καὶ σκυτοδέψαι πρὸς αὐτὰς οἰκοῦντες τὰς ἐσχατιὰς τῶν πόλεων, παρ' αἰγιαλὸν καὶ θάλασσαν. Πολλάκις δὲ οὐδὲ ἐν μέσαις ἐτόλμων φαίνεσθαι ταῖς πόλεσιν· εἰ δὲ καὶ αὐτοὶ ἐτόλμων, ἀλλ' οἱ ξενοδόχοι οὐκ ἐτόλμων· καὶ οὕτως ὑφαίνετο τὰ πράγματα διὰ πειρασμῶν, οὐ δι' ἀνέσεων, καὶ οἱ πρώην σκανδαλισθέντες μετὰ ταῦτα διωρθοῦντο, καὶ οἱ πλανηθέντες ἐπανήγοντο, καὶ τὰ κατεσκαμμένα ᾠκοδομεῖτο μειζόνως. Διὰ τοῦτο καὶ Παύλου αἰτήσαντος δι' ἀνέσεως μόνης βαδίζειν τὸ κήρυγμα, ὁ πάνσοφος καὶ εὐμήχανος Θεὸς οὐκ ἠνέσχετο τοῦ μαθητοῦ, ἀλλὰ καὶ πολλάκις παρακαλοῦντος οὐκ ἐπένευσεν, ἀλλ' εἶπεν· «ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμις μου ἐν ἀσθενείᾳ τελειοῦται» [1]). Εἰ βούλει τοίνυν καὶ νῦν λογίσασθαι μετὰ τῶν λυπηρῶν τὰ χρηςὰ, πολλὰ ὄψει γεγενημένα, εἰ καὶ μὴ σημεια καὶ θαύματα, ἀλλ' ἐοικότα σημείοις πράγματα καὶ δείγματα τῆς πολλῆς τοῦ Θεοῦ προνοίας καὶ ἀντιλήψεως ἄφατα. Ἀλλ' ἵνα μὴ πάντα μετ' εὐκολί-

[1]) 2 Κορ. 12. 9.

ας παρ' ἡμῶν ἀκούῃς, τοῦτό σοι καταλιμπάνω τὸ μέρος, ὥϛε μετὰ ἀκριβείας ἀναλέξαι πάντα καὶ παραθεῖναι τοῖς λυπηροῖς, καὶ καλὴν ἀσχολουμένην ἀσχολίαν, οὕτως ἀπάγειν σαυτὴν τῆς ἀθυμίας· πολλὴν γὰρ καὶ ἐντεῦθεν δέξῃ τὴν παράκλησιν. Πάντα σου τὸν εὐλογημένον οἶκον παρ' ἡμῶν πολλὰ προσειπεῖν παρακλήθητι. Ἐρρωμένη καὶ εὐθυμουμένη διατελοίης, δέσποινά μου αἰδεσιμωτάτη καὶ προσφιλεϛάτη. Εἰ βούλει με μακρὰ γράφειν, καὶ τοιαῦτα δήλωσόν μοι· μὴ ἀπατῶσα μέντοι με, ὅτι πᾶσαν ἀπέθου τὴν ἀθυμίαν καὶ ἐν ἀνέσει διάγεις. Τοιοῦτον γὰρ τῶν γραμμάτων τούτων τὸ φάρμακον, ὡς καὶ εὐθυμίαν σοι ἐμποιῆσαι πολλήν, καὶ ὄψει συνεχῶς ἐπιϛέλλοντα. Ἀλλὰ μή μοι γράψῃς πάλιν, ὅτι «καὶ πολλὴν ἔχω παραμυθίαν ἐκ τῶν γραμμάτων σου»· τοῦτο γὰρ οἶδα κἀγώ· ἀλλ' ὅτι τοσαύτην, ὅσην ἐγὼ βούλομαι, ὅτι οὐ συγχέῃ, ὅτι οὐ δακρύεις, ἀλλὰ καὶ ἐν ἀνέσει καὶ εὐθυμίᾳ διάγεις.

---

## Ἐπιϛολή

Τοῖς ἐγκεκλεισμένοις ἐπισκόποις, πρεσβυτέροις καὶ διακόνοις ἐν δεσμωτηρίῳ δι' εὐσέβειαν [1]).

## Глав. 1.

1. Μακάριοι τοῦ δεσμωτηρίου [2]), καὶ τῆς ἁλύσεως, καὶ τῆς τῶν δεσμῶν ὑποθέσεως ὑμεῖς· μακάριοι καὶ τρισμακάριοι, καὶ πολλάκις τοῦτο. Πᾶσαν ἀνηρτήσασθε τὴν οἰκουμένην τῷ περὶ ὑμᾶς φίλτρῳ· ἐραϛὰς ὑμῶν καὶ τοὺς πόῤῥωθεν ὄντας πεποιήκατε. Πανταχοῦ γῆς καὶ θαλάττης ᾄδεται ὑμῶν τὰ κατορθώματα, ἡ ἀνδρεία, ἡ ἀπερίτρεπτος γνώμη, τὸ ἀδούλωτον φρόνημα. Οὐδὲν ὑμᾶς κατέπληξε τῶν δοκούντων εἶναι δεινῶν, οὐ δικαϛήριον, οὐ δήμιος, οὐ βασάνων νιφάδες, οὐκ ἀπειλαὶ μυρίων γέμουσαι θανάτων, οὐ

---

[1]) Писано въ 404 году.

[2]) Подразумѣвается ἕνεκα или χάριν.

δικαςής πῦρ [1]) ἀπὸ τοῦ ςόματος ἀφιείς, οὐκ ἐχθροὶ θήγοντες τοὺς ὀδόντας καὶ μυρία εἴδη κινοῦντες ἐπιβουλῆς, οὐ συκοφαντίαι τοσαῦται, οὐκ ἀναίσχυντοι κατηγορίαι, οὐ θάνατος πρὸ τῶν ὀφθαλμῶν καθ' ἑκάςην ἡμέραν φαινόμενος· ἀλλ' ἤρκεσεν ὑμῖν εἰς παράκλησιν τῶν γινομένων ἡ τῶν γινομένων ὑπόθεσις [2]). Διὰ ταῦτα φανερῶς μὲν πάντες ὑμᾶς ςεφανοῦσι καὶ ἀνακηρύττουσιν, οὐ φίλοι μόνον, ἀλλὰ καὶ αὐτοὶ οἱ ἐχθροί, καὶ ταῦτα κατασκευάζοντες· εἰ καὶ μὴ φανερῶς, κἂν τις αὐτῶν ἀναπτύξειε τὸ συνειδὸς, πολὺ καὶ παρ' ἐκείνοις ὑμῶν εὑρήσει τὸ θαῦμα. Τοιοῦτον γὰρ ἀρετὴ, καὶ παρὰ τοῖς πολεμοῦσιν αὐτὴν θαυμάζεται. Τοιοῦτον κακία, καὶ παρὰ τοῖς μετιοῦσιν αὐτὴν καταγινώσκεται. Καὶ τὰ μὲν ἐνταῦθα τοιαῦτα, τὰ δὲ ἐν οὐρανοῖς τίς παραςῆσαι δυνήσεται λόγος; ἐγγέγραπται ὑμῶν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς, μετὰ τῶν ἁγίων κατηριθμήθητε μαρτύρων. Οἶδα ταῦτα ἐγὼ σαφῶς, οὐκ εἰς τὸν οὐρανὸν ἀναβὰς, ἀλλ' ἀπὸ θείων αὐτὰ μαθὼν χρησμῶν. Εἰ γὰρ ὁ γάμῳ παρανομουμένῳ παραςὰς, καὶ μηδὲ διορθῶσαι δυνηθεὶς τὴν παρανομίαν, ἀλλ' ἐλέγξας αὐτὴν μόνον, ὁ τῆς ςείρας καρπὸς, ὁ τῆς ἐρήμου πολίτης, ἐπειδὴ διὰ τοῦτο τὸ δεσμωτήριον ᾤκησε καὶ ἀπετμήθη, καὶ μάρτυς καὶ μαρτύρων ὁ πρῶτός ἐςιν· ὑμεῖς οἱ νόμοις πατέρων καὶ θεσμοῖς παραβαθεῖσι καὶ ἱερωσύνῃ ἐπηρεαζομένῃ καὶ παρανομουμένῃ παραςάντες, καὶ τοσαῦτα παθόντες ὑπερ ἀληθείας καὶ τοῦ λῦσαι συκοφαντίας ἀναισχύντους οὕτως, ἐννοήσατε, ἡλίκην λήψεσθε τὴν ἀμοιβήν. «Οὐκ ἔξεςί σοι ἔχειν τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ σου» [3]), εἶπε τότε ὁ γενναῖος ἐκεῖνος καὶ ὑψηλὸς ἀνὴρ, καὶ ἤρκεσεν αὐτῷ πρὸς παῤῥησίαν ἄφατον· εἴπατε καὶ ὑμεῖς· πρόκειται ἡμῶν τὰ σώματα κολάσεσι, τιμωρίαις, βασάνοις· ἀνάλισκε, δαπάνα, τιμώρησον, εἰ βούλει, συκοφαντεῖν οὐχ αἱρούμεθα, ἀλλ' ἀποθνήσκειν μυριάκις. Ἀλλ' οὐκ ἀπετμήθητε, ἀλλὰ πολλῷ χαλεπώτερα πεπόνθατε. Οὐ γάρ ἐςιν ἴσον ἐν βραχείᾳ καιροῦ ῥοπῇ κεφαλὴν ἀποθέσθαι,

---

[1]) Πῦρ въ переносномъ смыслѣ можетъ означать гнѣвъ, жестокость, приговоръ на наказаніе и мученія.

[2]) Ἡ τῶν γινομένων ὑπόθεσις—содержаніе, или самая сущность этихъ событій.

[3]) Мат. 14. 4.

καὶ τοσούτοις ἐπὶ τοσούτῳ χρόνῳ παλαίειν, ὀδύναις, φόβοις, ἀπειλαῖς, δεσμωτηρίοις, ἀπαγωγαῖς, δικαστηρίοις, δημίων χερσί, συκοφαντῶν ἀναισχύντοις γλώτταις, ὀνείδεσι, λοιδορίαις, σκώμμασι. Καὶ γὰρ τοῦτο μέγιστον ἄθλου εἶδος, καὶ τίθησιν αὐτὸ ἐν τάξει μεγάλων ἀγώνων ὁ μακάριος Παῦλος, οὕτω λέγων· «ἀναμιμνήσκεσθε τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων». Εἶτα λέγων τὴν ἄθλησιν, τοῦτο τέθεικεν, οὕτως εἰπών· «τοῦτο μὲν ὀνειδισμοῖς καὶ θλίψεσι θεατριζόμενοι, τοῦτο δὲ κοινωνοὶ τῶν οὕτως πασχόντων γενηθέντες» [1]. Εἰ δὲ οἱ κοινωνήσαντες ἤθλησαν, πολλῷ μᾶλλον οἱ ὑπομείναντες. Οὐδὲ γὰρ ἕνα, καὶ δύο, καὶ τρεῖς, ἀλλὰ πολλοὺς ὑπομεμενήκατε θανάτους τῇ γνώμῃ, εἰ καὶ μὴ τῇ πείρᾳ. «Χάρητε τοίνυν καὶ σκιρτήσατε» [2]. Τοῦτο γὰρ ὁ τῶν οὐρανῶν Δεσπότης ἐκέλευσε, μὴ μόνον μὴ ἀλγεῖν, μηδὲ καταπίπτειν, ἀλλὰ καὶ σκιρτᾶν καὶ ἥδεσθαι, ὅταν ὄνομα πονηρὸν ὑμῶν ἐκβάλλωσιν· εἰ δὲ ἐπὶ συκοφαντίᾳ χαίρειν δεῖ, ὅταν καὶ τοσαῦτα προσῇ πρὸς τῇ συκοφαντίᾳ, πληγαί, βάσανοι, ξίφη ἠκονημένα, δεσμωτήρια, ἁλύσεις, ἀπαγωγαί, περιαγωγαί, ἐχθρῶν ξίφη τοσαῦτα, ἐννόησον, ἡλίκος ὁ μισθός, ποῦ κορυφοῦται τὰ τῆς ἀμοιβῆς. Χαίρετε τοίνυν, σκιρτᾶτε, ἀνδρίζεσθε, κραταιοῦσθε, ἐννοήσατε, πόσους ἠλείψατε [3]) δι' ὧν ἐπάθετε, πόσων φρονήματα ἀνεστήσατε, πόσους ἐστηρίξατε σαλευομένους, οὐχὶ παρόντας, ἀλλὰ καὶ ἀπόντας, οὐ διὰ τῆς ὄψεως ὧν ὑπομεμενήκατε, ἀλλὰ καὶ διὰ τῆς ἀκοῆς μόνης καὶ τοὺς πόρρωθεν τὰ μέγιστα ὠφελήσαντες. Συνεχῶς ἐκεῖνο περιφέρετε τὸ ἀποστολικόν, ὅτι «οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλύπτεσθαι εἰς ἡμᾶς» [4]. Προσδοκᾶτε δὲ καὶ τὴν ταχίστην τῶν πειρασμῶν λύσιν, καὶ τελείαν ἀπαλλαγήν, καὶ εὔχεσθε συνεχῶς ὑπὲρ ἡμῶν. Εἰ γὰρ καὶ πολλῷ διῳκίσμεθα ὑμῶν τῷ μήκει τῆς ὁδοῦ, καὶ ἐπὶ πολὺν ἐχωρίσθημεν ὑμῶν χρό-

---

[1]) Евр. 10. 32, 33. [2]) Мат. 5. 12.

[3]) Ἀλείφειν въ смыслѣ: приготовлять къ борьбѣ, ободрять на подвиги. Ἀλείφειν ἐπὶ τοὺς ἀγῶνας, выраженіе употребляемое у классическихъ писателей объ атлетахъ, намащавшихъ свое тѣло предъ выступленіемъ на борьбу. См. Lübkers Reallexicon подъ словомъ Athleta.

[4]) Рим. 8. 18.

νον, ἀλλ᾽ ὡς παρόντες καὶ συνόντες ὑμῖν, οὕτως ὑμᾶς περιπτυσσόμεθα, οὕτως ὑμῶν ἑκάςου τὴν φίλην καταφιλοῦμεν κεφαλὴν, ὑπτίαις χερσὶ τοὺς ςεφανίτας δεχόμενοι. καὶ μέγιςον καὶ ἐντεῦθεν προσδοκῶντες ἡμῖν ἔσεσθαι κέρδος ἀπὸ τῆς πολλῆς περὶ ὑμᾶς ἀγάπης. Εἰ γὰρ τοὺς ἀγαπῶντας ὑμᾶς πολὺν ἀναμένειν δεῖ τὸν μισθὸν, ἐννοήσατε, ἡλίκα ὑμῖν τὰ τῆς ἀντιδόσεως τοῖς ἐν τοσούτοις διαλάμψασιν ἀγῶσιν.

# XIII.

## СВ. ИСИДОРЪ ПИЛУСІОТЪ.

Св. Исидоръ, уроженецъ Александрійскій, жившій въ концѣ 4-го и въ началѣ 5-го вѣка по Р. Хр., происходилъ изъ благороднаго и богатаго семейства, бывшаго въ родствѣ съ Александрійскими архіепископами Ѳеофиломъ и Кирилломъ. Воспитаніе, полученное имъ, соотвѣтствовало его происхожденію и отличнымъ его умственнымъ дарованіямъ; изъ собственныхъ его писаній видно, что онъ изучалъ греческую философію, исторію, классическихъ ораторовъ и поэтовъ; но, не пренебрегая мірскою образованностію, главнымъ образомъ упражнялся въ изученіи св. Писанія, которое въ совершенствѣ усвоилъ себѣ сколько умомъ, столько же и сердцемъ, а для дѣятельнаго исполненія святыхъ заповѣдей въ молодыхъ лѣтахъ рѣшился посвятить себя Богу. Оставивъ домъ своихъ родителей и богатое наслѣдство, св. Исидоръ удалился въ сѣверные предѣлы нижняго Египта и принялъ монашество въ одномъ изъ монастырей на горѣ, находящейся при восточномъ устьѣ Нила близъ города Пилусія (Πηλούσιον), гдѣ и прожилъ всю остальную жизнь, получивъ отъ этого прозваніе Пилусіота. Здѣсь строгая иноческая жизнь привлекла къ нему довѣріе и уваженіе монастырской братіи, и онъ былъ избранъ настоятелемъ монастыря и рукоположенъ въ пресвитера. Какъ настоятель монастыря, преподобный отецъ Исидоръ съ неутомимою дѣятельностію устроялъ вну-

тренній порядокъ въ своей обители и представлялъ живой образъ христіанскихъ добродѣтелей, а какъ пастырь церкви, ревностно подвизался для назиданія и благосостоянія всей восточной церкви Христовой. Отъ церковнаго чтеца до архіепископа, отъ простаго воина до царедворца, не было ни одного состоянія, изъ котораго кто-нибудь не получалъ бы отъ него назидательныхъ наставленій, особенно при важныхъ событіяхъ церковныхъ и гражданскихъ, происходившихъ во время его жизни, при появленіи новыхъ ересей и расколовъ въ Церкви, при неустройствахъ въ главныхъ восточныхъ церквахъ Константинопольской и Александрійской и въ самой церкви Пилусійской, при перемѣнахъ правителей Римской имперіи и Александрійской области; на все это болѣе или менѣе отзывался бдительный, проницательный и благочестивый настоятель обители близъ Пилусія, и своими словами и дѣлами оказывалъ благотворное вліяніе на многихъ современниковъ до самаго конца своей жизни, вѣроятно не достигшей до 448 года,—времени появленія ереси Евтихія, о которомъ онъ не упоминаетъ между другими тогдашними еретиками. Память его празднуется церковію 4-го Февраля.

Изъ писаній св. Исидора до насъ дошли только его письма, которыхъ насчитывается до 2012-ти, или за исключеніемъ нѣкоторыхъ, почти буквально сходныхъ съ другими, до 1997-ми, написанныхъ болѣе нежели къ пяти стамъ шестидесяти различнымъ лицамъ. Всѣ они по содержанію могутъ быть раздѣлены на а) догматико-полемическія, б) экзегетическія и в) нравственно-назидательныя; по характеру же своему, кромѣ прямыхъ указаній на современныя лица и событія, вообще отличаются смѣлымъ голосомъ истины, какимъ говорилъ, можно сказать, одинъ Исидоръ Пилусіотъ, какъ превосходный учитель и ревностный

блюститель православной вѣры и христіанской нравственности въ тогдашнее время. Патріархъ Фотій называетъ его самаго «образцомъ (κανών) священно-аскетической жизни», а писанія его «образцомъ словесныхъ произведеній» (Epist. 207 ad Amphiloch.); другіе превозносятъ въ письмахъ его ясность истолкованія св. Писанія и назидательность нравственныхъ наставленій всякаго рода, отличающихся «божественною и человѣческою пріятностію» (Euagr. Hist. Eccl. l. I. c. 15. Niceph. Callist. H. E. l. XIV. c. 53).

Для ознакомленія съ произведеніями св. Исидора здѣсь предлагается нѣсколько писемъ его изъ разныхъ отдѣловъ: 1) содержащихъ изложеніе догматическихъ предметовъ и имѣющихъ историческое значеніе, 2) представляющихъ превосходные образцы экзегетическаго толкованія св. Писанія и 3) исполненныхъ отеческаго назиданія касательно христіанской жизни.

Лучшія и позднѣйшія изданія писаній св. Исидора Пилусіота извѣстны:

1. Petri Possini Isidorianae collationes, in quibus S. Isidori Pelusiotae epistolae omnes comparantur, supplentur et emendantur. Romae, 1670.—Editio auctior et emendatior. Wenet. 1745.

2. Patrologiae Curs. Compl. Ser. graec. T. LXXVIII. Edit. I. P. Migne. Paris. 1864.

Текстъ избранныхъ писемъ заимствованъ изъ послѣдняго изданія, въ которомъ всѣ они раздѣлены на пять книгъ съ разнымъ числомъ писемъ въ каждой книгѣ.

# ΤΟΥ ἘΝ ἉΓΙΟΙΣ ΠΑΤΡΟΣ ἩΜΩΝ ἸΣΙΔΩΡΟΥ ΤΟΥ ΠΗΛΟΥΣΙΩΤΟΥ ἘΠΙΣΤΟΛΑΙ.

## 1.

Книг. 1. п. 109.

Μαραθωνίῳ μονάχῳ.

Κατὰ Μακεδονιανῶν, ἤτοι Πνευματομάχων [1]).

1. Εἰ ὁ Θεὸς καὶ Σωτὴρ ἡμῶν ἐνανθρωπήσας παρέδωκε συμπληρωτικὸν εἶναι τῆς θείας Τριάδος τὸ πανάγιον Πνεῦμα, καὶ ἐν τῇ ἐπικλήσει τοῦ ἁγίου βαπτίσματος σὺν Πατρὶ καὶ Υἱῷ. ὡς ἐλευθεροῦν τῶν ἁμαρτιῶν, ἀριθμούμενον, καὶ ἐπὶ τῆς τραπέζης τῆς μυςικῆς τὸν ἄρτον τὸν κοινὸν σῶμα ἰδικὸν τῆς αὐτοῦ [2]) σαρκώσεως ἀποφαῖνον· | πῶς διδάσκεις, ἐμβρόντητε, ποιητὸν, ἢ κτιςὸν, ἢ τῆς δούλης φύσεως εἶναι, ἀλλ' οὐ τῆς δεσποτικῆς, καὶ δημιουργοῦ, καὶ βασιλίδος οὐσίας συγγενὲς καὶ ὁμοούσιον τὸ Πνεῦμα τὸ ἅγιον; εἰ γὰρ δοῦλον, μὴ ἀριθμείσθω μετὰ τοῦ Δεσπότου· καὶ εἰ κτίσμα, μὴ συγκείσθω τῷ Κτίςῃ. Ἥνωται δὲ καὶ συνηρίθμηται, ἐπειδὴ τῷ ἀκριβεῖ τῶν τοιούτων δογματιςῇ τῷ Χριςῷ πείθεσθαι χρὴ. ἀσφαλῶς τὰ περὶ τῆς οἰκείας οὐσίας διδάσκοντι·| εἰ καὶ σοὶ μὴ δοκεῖ, τῷ σοφωτέρῳ τε καὶ τὰ οὐράνια πλέον Θεοῦ εἰδέναι κομπάζοντι, ἢ μᾶλλον τολμηρῶς ῥητορεύοντι κατὰ Θεοῦ.

---

1) Еретики 4-го вѣка Македоніане, названные по имени ересеначальника Македонія, бывшаго нѣкоторое время архіепископомъ Константинопольскимъ, отвергали божество Св. Духа и единосущіе Его съ Богомъ Отцемъ и Сыномъ и осуждены на 2 мъ вселенскомъ Соборѣ. Впослѣдствіи они назывались и Мараѳоніанами, по имени монаха Мараѳонія, бывшаго епископомъ Никомидійскимъ. Созом. Ц. Ист. IV. 27.

2) Т. е. воплотившагося Сына Божія.

Книг. 1. п. 323.

## Κυρίλλῳ ἀρχιεπισκόπῳ [1]).

1. Πολλαὶ μὲν μαρτυρίαι Γραφικαί, πολλαὶ δὲ θεωρίαι πρακτικαὶ [2]) τὸν ἀληθῆ τῆς τοῦ Κυρίου σαρκώσεως λόγον τρανοῦσιν ἀσφαλῶς, εἰ καὶ τῆς ἡμετέρας διανοίας καὶ γλώσσης ἀνώτερόν ἐϛι τὸ μυϛήριον. Ὅτι δὲ ὁ ἀληθινὸς καὶ ἐπὶ πάντων Θεὸς ἄνθρωπος γέγονεν ἀληθῶς, οὔτε ὃ ἦν τραπείς, καὶ ὃ οὐκ ἦν προσλαβών, ἐκ φύσεων δυοῖν ὁ εἷς ὑπάρχων Υἱός, ἄναρχος καὶ ἀπέραντος, πρόσφατος [3]) καὶ ἀΐδιος, οὐδ᾽ ἂν αὐτὸς ἀρνηθείης, πλείϛας ἔχων τοῦ ἁγίου Πατρὸς ἡμῶν μεγάλου Ἀθανασίου περὶ τούτων συναινέσεις, ἀνθρώπου τὰ θεῖα ὑπερφυῶς ἐμβατεύσαντος.

---

Книг, 2. п. 142.

## Παύλῳ.

### Περὶ δογμάτων· περὶ τῆς ἁγίας Τριάδος.

1. Ἥκιϛα μὲν χρὴ τὴν τῆς θεότητος φύσιν συϛέλλειν ἰουδαϊκῶς εἰς μόνον τὸν ἕνα Θεὸν καὶ Πατέρα· κατευρύνειν δὲ ὥσπερ εἰς ἁγίαν καὶ ὁμοούσιον Τριάδα. Προσώπων γὰρ ποιότητι καὶ ὑποϛάσεων ἰδιότητι διαϛέλλοντες, εἰς ἕνα πάλιν συϛέλλομεν Θεόν, διὰ τὸ τῆς οὐσίας ταὐτόν.

---

Книг. 2. п. 143.

## Τῷ αὐτῷ.

### Περὶ τοῦ αὐτοῦ.

1. Ἄγαμαι τὴν ἀλήθειαν, τὴν τῶν συνετῶν τὰς ψυχὰς εἰς τὸ καὶ τῇ τῶν οἰκείων δογμάτων προλήψει μαχήσασθαι περιϛή-

---

[1]) Т. е. св. Кириллу архіепископу Александрійскому.

[2]) Θεωρίαι πρακτικαί—соображенія, составляемыя на основаніи жизни и дѣятельности христіанской Церкви.

[3]) Πρόσφατος—недавно явившійся, новый. какъ у Апостола въ Посл. къ Евр. 10. 20.

σασαν. Οὕτω γὰρ σαφῆ καὶ λαμπρὰν τοῖς βουλομένοις κατοπτεῦσαι
τὴν περὶ τῆς ἁγίας Τριάδος ἔννοιαν ἔσχεν. Ὁ λέγων γὰρ, ὅτι εἷς
ἐστιν ὁ Θεός, οὐ πρὸς τὸν ἀριθμὸν κατέδραμε τῆς μονάδος, ἀλλὰ
πρὸς τὸ μυστήριον τῆς Τριάδος·| οὗ καὶ ἐν τῇ Παλαιᾷ Διαθήκῃ 7б.
ἐγκατέσπαρται ἡ διδασκαλία, ὡς καὶ Φίλωνα, καίτοι Ἰουδαῖον ὄντα
καὶ ζηλωτὴν [1]), δι' ὧν ἀπολέλοιπε συγγραμμάτων ἀπομαχήσα-
σθαι τῇ οἰκείᾳ θρησκείᾳ. Βασανίζων γὰρ τὸ εἰρημένον παρὰ τοῦ
Θεοῦ «ἐν εἰκόνι Θεοῦ ἐποίησε τὸν ἄνθρωπον» [2]), ἠναγκάσθη ὑπὸ
τῆς ἀληθείας καὶ ἐξεβιάσθη καὶ τὸν τοῦ Θεοῦ Λόγον θεολογῆσαι.|
Τί γάρ; εἰ καὶ δεύτερον τὸν συναΐδιον τῷ Πατρὶ, καὶ ἀριθμοῦ 8б.
καὶ χρόνων ὄντα ἀνώτερον καλεῖ, τῆς ἀκριβείας μὴ ἐφικνούμενος,
ὅμως ἔννοιαν ἔσχε καὶ ἑτέρου προσώπου. Καὶ οὐκ ἐνταῦθα μόνον
τοῦτο ἔπαθεν, ἀλλὰ καὶ τὸ «Θεὸς καὶ Κύριος» [3]) ἑρμηνεῦσαι
πειρώμενος, τῆς βασιλικωτάτης Τριάδος τὸ τῶν μὲν πάντη διαι-
ρετῶν ἑνικώτερον, τῶν δὲ ὄντως μοναδικῶν ἀφθονώτερον·| καὶ 9б.
οὕτως κατὰ κράτος εἷλεν αὐτοῦ τὴν ψυχὴν, ὡς ἀναγκασθῆναι
τοῦτο διαρρήδην καὶ εἰπεῖν καὶ ἐν συγγράμμασι καταλεῖψαι. Δύο
γὰρ ἔφησεν εἶναι τὰς ὄντως [4]) δυνάμεις, ὧν ἡ μὲν ποιητικὴ καὶ
εὐεργετική, φησι, καλεῖται Θεός, ἡ δὲ βασιλικὴ καὶ τιμωρητική,
Κύριος·| οὐ πόῤῥω βαίνων τοῦ εἰπόντος· «Χριστὸς Θεοῦ δύναμις, 10б.
καὶ Θεοῦ σοφία» [5]), δύναμις οὐκ ἀνυπόστατος, ἀλλ' ἐνυπόστατος,
καὶ παντοδύναμος, καὶ ὑποστάσεων δημιουργὸς, καὶ ἰσοσθενὴς
ἐκείνου, οὗ δύναμίς ἐστιν. Καὶ πάλιν ὁ Φίλων περὶ τοῦ θεάματος
οὗ εἶδε Μωϋσῆς ἐκφράζων [6]), φησί· «θέαμα πληκτικώτατον ὁρᾷ».|
Εἶτα μετ' ὀλίγα· «κατὰ μέσην δὲ τὴν φλόγα μορφή τις ἦν 11б.
περικαλλεστάτη τῶν ὁρατῶν, ἐμφερὴς οὐδενὶ, θεοειδέστατον ἄγαλμα,
φῶς αὐγοειδέστερον τοῦ πυρὸς ἀπαστράπτουσα, ἣν ἄν τις ὑποτύ-
πωσεν εἰκόνα τοῦ ὄντος εἶναι». Εἰ δέ τις περὶ τῆς εἰκόνος ἀκριβῶς
βούλεται μαθεῖν, ἀκουέτω φράζοντος Παύλου περὶ τοῦ Χριστοῦ·

---

[1]) Филонъ, Iудей и Зилотъ, жившій въ Александріи въ началѣ 1-го вѣка по Р. Хр. Приписываемыя ему здѣсь мнѣнія содержатся въ его сочиненіяхъ подъ общимъ заглавіемъ: Νόμων ἱερῶν ἀλληγορίαι.

[2]) Быт. 1. 27. [3]) Втор. 6. 4.

[4]) Въ нѣкоторыхъ спискахъ: τοῦ ὄντος.

[5]) 1 Кор. 1. 24. [6]) Исх. 3. 2.

12б «ὅς ἐςιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου» [1]). | Οὐκοῦν κἀκεῖνος θεολογίας ὀρθοδόξου ἅπτεται. Μὴ γὰρ δὴ τὴν ἀκρίβειαν ζήτει παρὰ τοῦ δυνηθέντος ὅλως διὰ σύνεσιν εἰλικρινῆ καὶ κατοπτεῦσαι τὴν ἀλήθειαν, καὶ τῇ οἰκείᾳ θρησκείᾳ ἀπομαγέσασθαι· ἀλλ' ἐκεῖνο ἐννόει, ὅτι εἰς ἓν πρόσωπον οὐ συνέκλεισε τὴν θεολογίαν, ὡς οἱ ἀπαίδευτοι τῶν Ἰουδαίων καθηγηταί, προλήψει τινὶ κατε-
13б χόμενοι, δογματίζουσιν. | Οὐκ ἐκ τούτων δὲ μόνον πληκτικωτάτων ὄντων εἰς τοσαύτην προήχθη, ὥς γε ἡγοῦμαι, τὴν ἔννοιαν, ἀλλὰ καὶ ἐκ τοῦ· «ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν» [2])· καὶ ἐκ τοῦ· «ἔβρεξε Κύριος παρὰ Κυρίου» [3])· καὶ ἐκ τοῦ· «ἐκάλεσε Κύριος ἐν ὀνόματι Κυρίου» [4])· καὶ ἐκ τοῦ· «εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· κάθου ἐκ δεξιῶν μου» [5])·
14б καὶ ἐκ τοῦ· «ἐν σοὶ ὁ Θεὸς, καὶ σὺ εἶ ὁ Θεός» [6]). | Τοὺς γὰρ λέγοντας, ὅτι μυριάκις ἐςὶν ἅγιος ὁ Θεὸς, καὶ τὸ «ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαώθ» [7]) παρερμηνεῦσαι τολμῶντας, λαμπρῶς ἐλέγχει τὸ «ἐξεζήτησα τὸ πρόσωπόν σου, τὸ πρόσωπόν σου, Κύριε, ζητήσω· μὴ ἀποςρέψῃς τὸ πρόσωπον ἀπ' ἐμοῦ» [8]). Εἰ μὴ γὰρ τὴν ἁγίαν Τριάδα ἀνεκήρυττεν ὁ φράσας, περιττολογίας
15б δίκαιος ἂν εἴη ἀπαιτηθῆναι δίκας. | Οὐ μόνον δὲ ἐν τούτῳ — χρῆναι γὰρ οἶμαι ἐπὶ σαφέςερον ὁρμῆσαι ῥητόν· — ἀλλὰ καὶ ἐν τῷ· «θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ ὑψίςῳ τὰς εὐχάς σου, καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεως, καὶ ἐξελοῦμαί σε, καὶ δο-
16б ξάσεις με» [9]). | Εἰ μὴ γὰρ ἡ Τριὰς ἐνταῦθα σαφῶς ἐκηρύττετο, ἐχρῆν ῥηθῆναι· θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος αὐτῷ τὰς εὐχάς σου, καὶ ἐπικάλεσαι αὐτὸν ἐν ἡμέρᾳ θλίψεώς σου, καὶ ἐξελεῖταί σε, καὶ δοξάσεις αὐτόν. Ἀλλ' οὕτω μὲν οὐκ
17б ἐρρέθη· | εἴρηται δὲ ὡς εἴρηται. Σαφῶς γὰρ, καὶ διὰ τούτων, καὶ δι' ἄλλων πολλῶν, ἅπερ (ἵνα μὴ μακρὸν ποιήσω τὸν λόγον, νῦν παραλείψω τοῖς ἀκούειν δυναμένοις) κηρύττει ἡ Παλαιὰ Διαθήκη, ὅτι οὐχ ἑνὸς προσώπου κηρύττει δεσποτείαν, ἀλλὰ τριῶν μὲν ὑποςάσεων, μιᾶς δὲ οὐσίας, ἵνα καὶ Ἰουδαίων ςηλιτεύσῃ τὴν ὡς ἐφ' ἑνὸς προσώπου οὐχ ὑγιῆ ἔννοιαν, οἷς καὶ Σαβέλλιος [10]) ἠκο-

---

[1]) Кол. 1. 15. [2]) Быт. 1. 26. [3]) Быт. 19. 24. [4]) Исх. 34. 5. [5]) Пс. 103. 1. [6]) Пс. 24. 5. [7]) Иса. 6. 3. [8]) Пс. 26. 8, 9. [9]) Пс. 49. 14, 15.

[10]) Савеллій—извѣстный еретикъ 3-го вѣка.

λούθησεν, ἴσως ἐκ τῆς ἄγαν τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα ἰσότητος εἰς τὸ μίαν ὑπόϛασιν δογματίσαι νευρωθεὶς·|καὶ Ἑλλήνων ἐξοϛρακίσαι τὴν πολυθείαν, ὧν Ἄρειος καὶ Εὐνόμιος [1]) ἑάλωσαν εἶναι φοιτηταί, τὴν τῶν ὑποϛάσεων διαφορὰν εἰς τὴν οὐσίαν παραλόγως ἑλκύσαντες. Εἰ δέ τις φαίη· διὰ τί γὰρ μὴ σαφῶς καὶ διαῤῥήδην ἐξ ἀρχῆς ταῦτα κεκήρυκται; φαίην, ὅτι μάλιϛα μὲν τοῖς συνετῶς ἀκούουσι λαμπρά ἐϛιν αὕτη καὶ ἀπόδειξις καὶ διδασκαλία, ὡς καὶ τῷ σοφῷ ἔδοξε Φίλωνι. |Εἰ δὲ καὶ συνεσκιασμένως ἐῤῥέθη, ἐκεῖνο λογίζεσθαι χρή, ὅτι Ἰουδαίοις τοῖς εἰς πολυθείαν ῥέπουσι νομοθετῶν οὐκ ἐδοκίμασε διαφορὰν προσώπων εἰσαγαγεῖν, ἵνα καὶ μὴ διάφορον φύσιν ἐν ταῖς ὑποϛάσεσιν εἶναι δογματίσαντες, εἰς εἰδωλολατρίαν ἐκκυλισθῶσιν· ἀλλὰ τὸ τῆς μοναρχίας ἐξ ἀρχῆς μαθόντες μάθημα, κατὰ μικρὸν τὸ τῶν ὑποϛάσεων ἀναδιδαχθῶσι δόγμα, τὸ πάλιν εἰς ἑνότητα φύσεως ἀνατρέχον·|ὡς εἶναι τὰ μὲν ἑνικῶς λεγόμενα τῆς ταυτότητος τῆς φύσεως παραϛατικά, τὰ δὲ ὑπερβαίνοντα τὸν ἑνικὸν ἀριθμόν, τῆς τῶν ὑποϛάσεων ἰδιότητος τῆς εἰς μίαν οὐσίαν συναγομένης. Τὸ μὲν γὰρ διαφόρους φύσεις [2]) ὑποτίθεσθαι, Ἑλληνικόν· τὸ δὲ ἓν πρόσωπον, ἤγουν μίαν ὑπόϛασιν, Ἰουδαϊκόν. Τὸ δὲ πλατύνοντα εἰς τὴν ἁγίαν Τριάδα τὰς ὑποϛάσεις εἰς μίαν οὐσίαν συνάγειν, ὀρθότατόν ἐϛι καὶ ἀληθέϛατον δόγμα.

---

## 2.

Книг. 2.° п. 3.

### Τιμοθέῳ ἀναγνώϛῃ.

### Πῶς ἡ σοφία ἐκέρασε τὸν ἑαυτῆς κρατῆρα.

1. Κρατῆρα λόγων ἡ τοῦ Θεοῦ σοφία, ὦ φιλομαθέϛατε, τὰς θείας ἐκέρασε Γραφάς, κρατῆρα οὐ μέλιτος, οὐ γάλακτος, οὐκ οἴνου, ἀλλὰ παιδείας καὶ φιλοσοφίας πεπληρωμένον, καὶ θείοις χαρίσμα-

[1]) Арій и Евномій—извѣстные еретики 4-го вѣка.

[2]) Т. е. въ Богѣ.

σιν ἐστεμμένον, ὅτις τοὺς χρωμένους εἰς ἀρετὴν καὶ εὐσέβειαν προτρέπει, τῶν μὲν ἐπιγείων ἀμελεῖν παρασκευάζων, τῶν δὲ
225 οὐρανίων εἴσω χωρεῖν·| κρατῆρα, οὐ μεθόδους περιέχοντα, οὐδὲ σοφίσματα, οὐδὲ φυσιολογίας ἀτόμους καὶ ἀπείρους [1]), ἀλλ' ἔργα ἀνδρῶν ὀνομαστοτάτων καὶ ἐνδοξοτάτων, οἷς ὅμοια καὶ πράττων καὶ λέγων, ἀρετῆς κόσμον ἕξεις. Ἀλλ' οὐδὲ τῶν πταισάντων τοὺς βίους καὶ τὰς τιμωρίας ἀπεσιώπησεν· ὅπως μαθὼν, τὰ μὲν καλὰ
235 ἔχοις, εἰ θέλοις, ζηλοῦν· τὰ δὲ φαῦλα, φεύγειν.| Ὅσον μὲν οὖν χρήσιμον εἰς τὴν καθ' ἡμᾶς φιλοσοφίαν ἐκ τῆς ἔξωθεν παιδεύσεως, ὥσπερ ἡ μέλιττα, δρεψάμενος (πολλὰ γὰρ, εἰ χρὴ τἀληθῆ λέγειν, ἀρετῆς ἕνεκεν πεφιλοσοφήκασι), τὸ λοιπὸν ἅπαν χαίρειν ἔα· μάλιστα ὁρῶν αὐτοὺς κατ' ἀλλήλων διαπρύσιον κεκινηκότας πόλεμον. Ἀριστοτέλης μὲν γὰρ ἐπανέστη Πλάτωνι· οἱ Στωϊκοὶ δὲ πρὸς
245 τοῦτον ἐφράξαντο. Τοῖς δὲ θείοις χρησμοῖς διὰ βίου δίδου σαυτόν.| Οὕτω γὰρ καὶ ἐξ ἐκείνων καὶ ἐκ τούτων ὠφελούμενος, μέγα καὶ σαυτῷ καὶ πᾶσιν ἔσῃ χρῆμα. Ἐπειδὴ δὲ βούλει γνῶναι, τί ἐστιν «ἐκέρασεν ἡ σοφία τὸν ἑαυτῆς οἶνον» [2]), καὶ δι' ἣν αἰτίαν οὐκ ἄκρατον αὐτὸν προὔθηκε, μάνθανε δι' ὀλίγων πολλά. Τὰ θεῖα καὶ ὑπερφυῆ παιδεύματα λόγοις καὶ παραδείγμασι σωματικοῖς ἐκέρασεν. Οὐ γὰρ οἷόν τε ἦν ἡμᾶς ἄλλως νοῆσαι. Τὴν γοῦν ἕνωσιν τῶν θείων νοημάτων καὶ τῶν ἐπιγείων λόγων, κρᾶσιν οὐκ ἀπεικότως ἐκάλεσε.

Книг. 2. п. 4.

Τῷ αὐτῷ.

Πῶς νοητέον τὸ «ἔχομεν τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσι».

255 1. Πολλὰ ἂν εἶχον γράψαι εἰς τὸ ῥητὸν ἀποστολικὸν, εἰ μὴ ἀπέστειλας μείζονα ἢ κατ' ἐμὲ ἐγκώμια τυγχάνοντα, ἃ μικροῦ δεῖν τὴν σιωπὴν τιμῆσαι παρεσκεύασε. Πέπαυσο τοίνυν οὕτως

[1]) Вм. ἀτόμους, вѣроятно, нужно читать: ἀτόπους. Здѣсь разумѣются искуственные способы ученія языческихъ философовъ и софистовъ.

[2]) Прит. 9, 1, 2.



ἐπαινῶν· τοὺς μὲν γὰρ ἀφραίνοντας ὑπτιώσεις, τοὺς δὲ ἐχέφρονας ἐρυθριᾶν παρασκευάσεις. Πλὴν ἀλλ' ἀποχρώντως παραινέσας, ὀλίγα περὶ τῆς ἀποστολικῆς εἴποιμι ῥήσεως.| Τὸ «ἔχομεν τοίνυν 265
τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσι» [1]), διττὴν μοι δοκεῖ ἔννοιαν ἔχειν· ἢ ὅτι ἔχομεν τὸν θησαυρὸν τοῦτον, τουτέστι τὸν οὐράνιον πλοῦτον καὶ τὰ ὑπερφυῆ καὶ μείζονα τῆς ἡμετέρας ἀξίας χαρίσματα, ἐν τῷ θνητῷ τούτῳ σώματι, ὀστρακίνῳ δικαίως κληθέντι, ἐπειδήπερ ἐκ γῆς γέγονεν· ἢ ὅτι ἔχομεν τὸν πλοῦτον τῆς θείας σοφίας ἐν ταῖς ἱεραῖς Γραφαῖς, εὐτελέσι καὶ ἰδιωτικαῖς λέξεσι καὶ παραδείγμασιν ἐμπεριεχόμενον.| Ὅτι γὰρ τοῦτο δηλοῖ, 275
ἐπήγαγε καὶ τὴν αἰτίαν, «ἵνα ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ Θεοῦ, καὶ μὴ ἐξ ἡμῶν». Οἱ γὰρ ὁρῶντες τοὺς κήρυκας τοῦ λόγου, ἀμαθεῖς μὲν ὄντας καὶ ἰδιώτας καὶ ἀσθενεῖς (ἐτύπτοντο γὰρ καὶ ἠλαύνοντο πάντοθεν), περιγινομένους δὲ καὶ νικῶντας, τὸν Θεὸν ἐδόξαζον. Ἡ γὰρ δύναμις τοῦ Θεοῦ ἐν τῇ ἀσθενείᾳ τῶν ἀποστόλων ἐδείκνυτο μειζόνως καὶ διέλαμπεν· ὅτι ἀσθενεῖς ὄντες, τῶν ἰσχυρῶν περιεγένοντο· καὶ πένητες ὄντες, τῶν πλουσίων ἐκράτουν· καὶ ἰδιῶται τυγχάνοντες, τῶν σοφῶν περιῆσαν.

---

Книг. 2. п. 5.

Τῷ αὐτῷ.

Εἰς τὸ αὐτό.

1. Ἔοικας τὴν κατάστασιν τῆς Ἐκκλησίας, τὴν ἐπὶ τῶν 285
προτέρων χρόνων, ἀγνοεῖν. Οὐ γὰρ ἂν γινώσκων περὶ τούτων ἠπόρησας. Ἐγὼ δὲ, δακρύσας θερμῶς, ὅτι τὰς θήκας ἔχοντες τοῦ πλούτου, τὸν πλοῦτον αὐτὸν διὰ ῥᾳθυμίαν—τόγε ἐμαυτοῦ φημι μέρος [2])—ἀπωλέσαμεν, ἐπὶ τὸ σαφηνίσαι τὰ δηλωθέντα ἧξω.| Οἱ ἀπόστολοι σῶμα ἔχοντες θνητὸν καὶ πηλοῦ παντὸς ἀσθε- 295
νέστερον, ἐλαυνόμενοί τε καὶ διωκόμενοι, νεκροὺς ἤγειρον, παρα-

[1]) 2 Кор. 4, 7.

[2]) Выраженіе: τὸ ἐμαυτοῦ μέρος, или κατὰ τὸ ἐμὸν μέρος, значить: съ моей стороны, что касается меня.

λυτικοὺς ἔσφιγγον, νοσοῦντας ἰῶντο, δαίμονας ἤλαυνον, προεφή-
τευον τὰ μέλλοντα, Πνεύματος ἁγίου παρουσίαν προυξένουν. Ἢ
30б οὐκ ἤκουσας τοῦ Σίμωνος φήσαντος αὐτοῖς· | «δότε κἀμοὶ τὴν ἐξου-
σίαν ταύτην, ἵνα ᾧ ἐὰν ἐπιθῶ τὰς χεῖρας, λαμβάνῃ Πνεῦμα
ἅγιον» [1]; τί τούτου τοῦ πλούτου ἴσον; τί δὲ τιμαλφέστερον; ἐγώ,
εἰ πάσης τῆς γῆς συναγαγών τις τὰς βασιλείας, τὴν Ἀσσυρίων
λέγω, καὶ Περσῶν, καὶ Μακεδόνων, καὶ Ῥωμαίων, μίαν τῷ λόγῳ
ποιήσειε, καὶ παραβάλλοι τούτῳ τῷ πλούτῳ, ὡς ἀνοήτου παιδὸς
31б καταγνώσομαι, καὶ μὴ εἰδότος διακρίνειν πραγμάτων φύσιν. | Εἰ
δὲ καὶ τὰ τούτων μείζονα ἐννοήσειας, μείζονα ὄψει τὸν πλοῦτον·
συνέστιοι καὶ ὁμοτράπεζοι τοῦ πάντων Δεσπότου γεγένηνται, ὁμι-
λίας κατηξιώθησαν θείας, παιδεύσεως ὑπερφυοῦς, υἱοθεσίας καὶ
32б φιλίας ἐντὸς ἐγένοντο. | Οἷον γὰρ ὕπαρχοί τινες ἦσαν περὶ τὸν
βασιλέα, ἀστέρες τῷ ἡλίῳ τῆς δικαιοσύνης συμπεριπολοῦντες, καὶ
δεχόμενοι οὐχὶ δέλτους ἐξ ἐλέφαντος [2]), ἴσως γέρας ἀνθρώπινον
ὠδινούσας, ἀλλ' ἐξουσίαν, οἵαν οὐδ' οἱ τῆς γῆς βασιλεῖς ἔχουσιν.
Ἐρρέθη γὰρ αὐτοῖς· «ὅσα ἐὰν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδε-
μένα ἐν τοῖς οὐρανοῖς· καὶ ὅσα ἐὰν λύσητε, ἔσται λελυμένα» [3]). |
33б Εἰ δὲ καὶ τὰ ἐκεῖσε ἐπηγγελμένα αὐτοῖς ἀγαθὰ λογίσαιο, πλέον
ἐκπλαγήσῃ. Εἰ δέ τις ἀπιστεῖ τοῖς μέλλουσιν, ἀπὸ τῶν παρόντων
ἀπόδειξιν λαμβανέτω. Ὁ γὰρ γῆς τε καὶ θαλάττης βασιλεύων
ἄπεισιν εἰς τὸ μνῆμα τοῦ ἁλιέως τὰ ὀστᾶ περιπτυξόμενος. Εἶδες
τὸν ἀκήρατον πλοῦτον ἐν ὀστρακίνοις σκεύεσι κείμενον; θέα καὶ
τὴν θείαν σοφίαν εὐτελέσι λόγοις καὶ παραδείγμασι κραθεῖσαν. |
34б Εἰ γὰρ πρὸς τὴν αὐτοῦ ἀξίαν μόνον προσέσχεν ὁ Θεός, καὶ μὴ
πρὸς τὴν ὠφέλειαν τῶν ἐντευξομένων, οὐρανίοις ἂν καὶ θείοις
λόγοις τε καὶ παραδείγμασιν ἐχρήσατο. Ἀλλ' ἐπειδὴ ἀνθρώποις
ἐνομοθέτει ἀσθενέσι τυγχάνουσι, καὶ ἀνθρωπίνων δεομένοις λόγων
(οὕτω γὰρ ῥαδίως τὰ ὑπὲρ αὐτοὺς νοῆσαι ἠδύναντο), ἰδιωτικαῖς
λέξεσιν ἐκέρασε τὰ θεῖα μαθήματα, ἵνα καὶ γυνὴ καὶ παῖς καὶ
ἁπάντων ἀνθρώπων ἀμαθέστατος κερδάνῃ τι καὶ ἐξ αὐτῆς τῆς

---

[1]) **Дѣян. 8. 19.**

[2]) Δέλτοι ἐξ ἐλέφαντος—**дощечки изъ слоновой кости, имѣвшія видъ греческой буквы Δ и означавшія достоинство сановниковъ.**

[3]) **Мат. 18. 18.**

ἀκροάσεως. Τῆς γὰρ τῶν πολλῶν καὶ ἀγελαιοτέρων φροντίσας σωτηρίας ὁ λόγος, σαφηνείᾳ τοσαύτῃ διὰ φιλανθρωπίαν τοῦ νομοθέτου κραθεὶς, οὐδένα τῆς κατὰ δύναμιν ὠφελείας ἀποστερεῖ. Οὔτε δὲ τῶν σοφωτέρων ἠμέλησεν. Ἐν τοσαύτῃ γὰρ σαφηνείᾳ οὕτως ἀπόῤῥητοι λόγοι καθάπερ θησαυροί τινες ἐνοικοῦσιν, ὡς καὶ τοὺς σοφωτάτους καὶ ἐλλογιμωτάτους τῶν ἀνθρώπων πρὸς τὸ βάθος τῶν νοημάτων ἰλιγγιᾶν καὶ παραχωρεῖν πολλάκις τῷ ἀκαταλήπτῳ τῆς σοφίας. 355.

---

Книг. 3. п. 95.

Ἰσιδώρῳ διακόνῳ.

Εἰς τὸ «κατ᾽ εἰκόνα καὶ καθ᾽ ὁμοιότητα».

1. Ἐπειδὴ, ὁ σοφώτατος καὶ ὀξύτατος, τὸ πολυθρύλλητον πρόβλημα ἑρμηνευθῆναί τοι συντόμως καὶ σαφῶς, καὶ μὴ διὰ κύκλων [1]) τινῶν, παρεκάλεσας, θάτερον δὲ θατέρῳ ἀντίκειται· τὸ μὲν γὰρ σαφὲς, πολλῶν δεῖται λόγων· τὸ δὲ σύντομον, ὀλίγων· ὡς ἂν οἷός τε ὦ, συγκεράσας τὴν σαφήνειαν τῇ συντομίᾳ, ἐπιστέλλω. Κρεῖττον μὲν ποιοῦσιν, τῷ κρείττονι μέρει τοῦ ἀνθρώπου τὸ κρεῖττον παραβάλλοντες. Εἰ δ᾽ ἀσαφὲς εἶναι δοκεῖ τὸ εἰρημένον, σαφέστερον εἰρήσεται. Ἄμεινον μὲν ποιοῦσιν, οἱ τῷ βελτίονι μέρει τἀνθρώπου, τοῦτ᾽ ἐστι τῇ λογικῇ ψυχῇ, τὸ θεῖον ἐξεικονίζοντες. Οἱ γὰρ ἀνθρωπόμορφον αὐτὸ ἡγούμενοι, πάμπαν ἠλίθιοι, ἐπειδὴ τοῖς συγκαταβατικῶς [2]) εἰρημένοις περιπλέκονται· καὶ οὐδὲν θειότερον ἐννοεῖν ἀνέχονται. Πῶς γὰρ εἴρηται· «ἐν σκέπῃ τῶν πτερύγων σου σκεπάσεις με» [3]), καί· «ἑπτὰ ὀφθαλμοὶ Κυρίου ἐπιβλέποντες ἐπὶ πᾶσαν τὴν γῆν» [4]), τοῦ ἀνθρώπου μήτε πτέρυγας, μήθ᾽ ἑπτὰ ὀφθαλμοὺς ἔχοντος; πῶς δ᾽ ὁ Παῦλος ἀπεφήνατο, μηδ᾽ «ἐνθυμήσεως ἀνθρώπου» τὸ θεῖον εἶναι ὅμοιον [5]); πῶς δ᾽ ὁ

---

[1]) Κύκλος—кругъ, околичность, искусственный образъ рѣчи риторическій или логическій.

[2]) Συγκαταβατικῶς—снисходительно, или примѣнительно къ понятіямъ людей.

[3]) Пс. 16 8. [4]) Зах. 4. 10. [5]) Дѣян. 17. 29.

Ἡσαίας εἶπεν· «εἰ πάντα τὰ ἔθνη ὡς ϛαγὼν ἀπὸ κάδου καὶ ὡς σίελος ἐλογίσθησαν, ὁ δὲ Λίβανος οὐχ ἱκανὸς εἰς καῦσιν, καὶ πάντα τὰ τετράποδα οὐχ ἱκανὰ εἰς ὁλοκάρπωσιν, τίνι ὁμοιώσατε Κύριον» [1]; πῶς δὲ Μωϋσῆς, οὗ τὴν λέξιν κακούργως ἑρμηνεύειν πειρῶνται, ἔφησε· «καὶ φυλάξεσθε σφόδρα ταῖς ψυχαῖς ὑμῶν· ὅτι οὐκ ἴδετε πᾶν ὁμοίωμα ἐν τῇ ἡμέρᾳ, ᾗ ἐλάλησε πρὸς ὑμᾶς» [2]; πλὴν οὐδ' ἐκεῖνοι [3]) τὸ ἀκριβές, ὥς γε ἡγοῦμαι, δογματίζουσιν. Ἀρχῆς γὰρ καὶ βασιλείας ἐϛὶν εἰκὼν ὁ ἄνθρωπος, οὐκ οὐσίας· εἰ δὲ εὖ πράξοι, καὶ ἀρετῆς. Εἰ γὰρ καὶ ἀθάνατον ὁριζόμεθα εἶναι τὴν νοερὰν ψυχὴν, ἀλλ' οὐ τῆς θειοτάτης ἐκείνης καὶ ἀνάρχου φύσεως ὁμοούσιον, ἀλλὰ τοσοῦτον ἀπέχουσαν, ὅσον εἰκὸς κτίσμα τοῦ Κτίσαντος. Εἰ γὰρ ἡ ψυχὴ κατ' εἰκόνα, δηλονότι καὶ ἡ τῆς γυναικός. Τί οὖν δήποτε εἶπεν ὁ Παῦλος· «ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλὴν, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων· ἡ δὲ γυνὴ δόξα ἀνδρός ἐϛι» [4]; τῆς γὰρ ψυχῆς τῆς γυναικὸς ἀθανάτου καὶ ἀφθάρτου οὔσης, ὥσπερ καὶ τῆς τοῦ ἀνδρὸς, τί δήποτε μετὰ διορισμοῦ τινος τοῦτ' ἔφρασεν ὁ Παῦλος; εἰ δὲ πρὸς ταῦτα ἀνθυπενέγκοιεν, ἀνθοπλίζοντες τὸν Μωϋσέα τῷ Παύλῳ, τό· «ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν» [5], μάλιϛα μὲν δυνατὸν εἰπεῖν, ὅτι ἑνικόν ἐϛι τὸ εἰρημένον, καὶ οὐ περὶ ἀμφοτέρων εἴρηται, πλὴν οὐ λέξομεν. Εἰ δὲ τὸ ἑξῆς προαγάγοιεν τὸ «καὶ ἀρχέτωσαν», πρὸς ἡμῶν ἔϛαι τὸ εἰρημένον. Δείκνυται γὰρ λαμπρῶς τὸ κατ' εἰκόνα, ἐν τῷ ἀρχικῷ χαρακτηριζόμενον. Εἰ δ' εἴποιεν· πῶς οὖν ὁ Παῦλος, τὸν μὲν εἰκόνα θείαν, τὴν δὲ τοῦ ἀνδρὸς ἀπεφήνατο; φήσομεν, ὅτι ἐξ ἀρχῆς μὲν ὁμότιμος ἦν ἡ γυνὴ, καὶ τῆς αὐτῆς ἠξιοῦτο ἀρχῆς· ἐπειδὴ δ' ἔπταισεν, ἠλαττώθη, καὶ ἠκρωτηριάσθη αὐτῆς ἡ ἀρχὴ, καὶ ὑπὸ τὸν ἄνδρα γεγένηται. «Οὐκ ἤνεγκάς, φησι, τὴν ἰσοτιμίαν, δέχου τὴν ἐλάττωσιν· πρὸς τὸν ἄνδρα σου ἡ ἀποϛροφή σου, καὶ αὐτός σου κυριεύσει» [6]. Ὥϛε ἡ μὲν κοσμοποιΐα τὴν πρὸ τῆς ἁμαρτίας τῆς γυναικὸς δηλοῖ ἀρχήν· τὸ δ' ἀποϛολικὸν λόγιον τὴν μετὰ τὸ πταῖσμα ὑποταγήν. Ὅτι δὲ τῷ κεχειροτο-

[1]) Иса. 40. 15—19. [2]) Втор. 4. 15.

[3]) Т. е. полагающіе образъ Божій въ разумной душѣ человѣка.

[4]) 1 Кор. 11. 7. [5]) Быт. 1. 26. [6]) Быт. 3. 16.



νῆσθαι πάντων τῶν ἐπιγείων ἄρχοντα τὸν ἄνθρωπον, τὸ «κατ' εἰκόνα» σώζεται· ἄκουσον τοῦ Μελῳδοῦ τὰς θείας δέλτους καὶ τὰς βασιλικὰς συλλαβὰς ἑρμηνεύοντος καὶ φράζοντος· «δόξῃ καὶ τιμῇ ἐϛεφάνωσας αὐτὸν, καὶ κατέϛησας αὐτὸν ἐπὶ πάντα τὰ ἔργα τῶν χειρῶν σου» [1]. Ὥσπερ γὰρ τὸ Θεῖον πάντων, οὕτω καὶ ὁ ἄνθρωπος τῶν ἐπὶ γῆς βασιλεύει. Ἔχει μὲν οὖν τὸ ἀρχικὸν σῶζον τὴν βασιλικὴν εἰκόνα. Τὸ «καθ' ὁμοίωσιν», εἰ μὴ δοκοίη τισιν ἐκ παραλλήλου [2]) λέγεσθαι, ὡς τό· «ἐὰν δὲ ἐκοιμήθην καὶ ὕπνωσα» [3], καὶ τό· «μακάριος ὁ συνιὼν ἐπὶ πτωχὸν καὶ πένητα» [4]· οὕτως ἑρμηνευτέον, ὅτι τὴν ἀρχὴν αὐτῷ ἐνεχείρισεν ὁ Θεὸς, ἵν' ἐπιδείξηται τὴν ἀρετὴν, καὶ σώσῃ τὴν ὁμοιότητα. Ἐλέξω, φησι, τὴν τιμήν, δεῖξον τὴν ἀρετήν· ἵνα τὸ μὲν τῇ δημιουργίᾳ, τὸ δὲ τῇ προαιρέσει τοῦ δημιουργηθέντος ἀνακέηται. Καὶ τάχα τοῦτο δηλοῖ, τὸ ἐξ ἀρχῆς μὲν εἰρῆσθαι· «ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν»· ὕϛερον δέ· «καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτὸν» [5], οὐ προστεθέντος τὸ «καθ' ὁμοίωσιν»· ἢ ὡς τὸ αὐτὸ ἐμφαινούσης τῆς λέξεως, ὡς ἔφθην εἰπών, ἢ ἀναρτηθείσης τῆς ἀρετῆς, ἵν' ᾖ τὸ τοιοῦτον τὸ εἰρημένον· «ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν», ἵν' ἐκ προαιρέσεως γένηται «καθ' ὁμοίωσιν»· διὸ πρὸ μὲν τῆς δημιουργίας ἀμφότερα εἶπε· μετὰ δὲ τὴν δημιουργίαν, θάτερον. Ὁ μονογενὴς γοῦν Θεὸς ἐπιδημήσας, φησί· «γίνεσθε ὅμοιοι τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς» [6]· ὡς τῆς μὲν δημιουργίας, τὸ «κατ' εἰκόνα» σωζούσης· τῆς δὲ προαιρέσεως, τὸ «καθ' ὁμοίωσιν». Εἰ δὲ φαῖεν· πῶς οὖν, εἴ γε τὴν ἀρχὴν πάντων τὴν ἐπὶ γῆς εἴληφεν ὁ ἄνθρωπος, τὰ θηρία δέδοικε; παρεὶς ἐκείνην τὴν ἀπολογίαν, εἴτε ἀληθὴς εἴη, εἴτε μὴ, ἥν τινες ἔφασαν, ὅτι ἐν ταῖς θείαις δέλτοις ἡ ἀρχὴ τῶν θηρίων οὐκ ἐνέκειτο, ἀλλ' ὕϛερον παρά τινων προσετέθη· ἐξ εὐθείας τὴν ἀπολογίαν ποιήσομαι. Ὅτι ἐξ ἀρχῆς μὲν αὐτῷ, ὅτε ἔλαμπεν ἡ

[1]) Пс. 8. 6, 7.

[2]) Ἐκ παραλλήλου—параллельно, соотвѣтственно, однозначительно, подобно тому, какъ употребляются однозначительныя слова и выраженія въ параллелизмахъ Еврейской поэзіи.

[3]) Пс. 3. 6. [4]) Пс. 40. 1. [5]) Быт. 1. 27. [6]) Мат. 5. 48.

εἰκὼν, πάντα ὑπέκειτο (διὸ καὶ ὀνόματα αὐτοῖς ἐπέθηκεν), ἐπειδὴ δὲ παρήκουσεν, ἠκρωτηριάσθη αὐτοῦ εἰκότως ἡ ἀρχὴ, καὶ πάσης μὲν οὐκ ἐξεβλήθη (ἵνα μὴ ἕωλος ἡ χάρις εὑρεθῇ), ἠκρωτηριάσθη δέ· οὐ γὰρ δίκαιον ἦν τὸν ἡττηθέντα καὶ ςεφανωθῆναι, ἀλλὰ τῷ φόβῳ τῶν θηρίων σωφρονισθῆναι. Ὅτι δὲ τοῦτ' ἔςιν ἀληθὲς, ὅτε ὁ Νῶε τὴν εἰκόνα ταύτην ἀνεκάθηρε τῷ δικαιοσύνην ἀσμενίσαι, ἦλθε πρὸς αὐτὸν πάντα τὰ θηρία, τὴν ἀρχαίαν δουλείαν ὁμολογοῦντα, καὶ μονονουχὶ τὸν ἐξ ἀρχῆς ἁμαρτόντα καὶ μέρος τῆς ἀρχῆς ἀπολέσαντα καταμεμφόμενα. Καὶ τὸν Δανιὴλ δὲ οἱ λέοντες ᾐδέσθησαν, καὶ τὸ πῦρ τοὺς παῖδας τοὺς τρεῖς [1]). Καὶ ἡ ἔχις τὸν Παῦλον οὐδὲν ἔβλαψε [2]). Δι' ὧν οὖν ἀνενεώσαντο τὴν προγονικὴν ἀρχὴν, δῆλός ἐςι κἀκεῖνος [3]) εἰληφὼς μὲν ὁλόκληρον, ἐκ μέρους δ' ἀπολέσας. Καὶ ταῦτα μὲν παρ' ἡμῶν. Εἰ δέ τις ἔχοι βέλτιον λέγειν, καὶ λεγέτω, καὶ ἀκουέσθω.

---

Книг. 3. п. 106.

Ἰσιδώρῳ διακόνῳ.

1. Ἀκούσας μὲν ἴσως ἀπιςήσεις· νοήσας δὲ εὖ οἶδ' ὅτι οὐ μόνον θαυμάσεις, ἀλλὰ καὶ κροτήσεις. Τί οὖν ἐςι τὸ ἐξ ἀρχῆς μὲν ἄπιςον ὀφθησόμενον, μετὰ δὲ ταῦτα οὐ μόνον θαυμαςὸν, ἀλλὰ καὶ κρότου ἄξιον φανησόμενον; εἴποιμι συντόμως ἐν βραχέσι συλλαβαῖς, μέγιςα πελαγῶν νοήματα [4]) ἐνσημηνάμενος. Τοῖς παλαιοῖς ὁ Θεὸς οὐ διὰ γραμμάτων διελέγετο, ἀλλὰ δι' ἑαυτοῦ, καθαρὰν εὑρίσκων αὐτῶν τὴν γνώμην καὶ τῆς ἄνευ μεσίτου διδασκαλίας ἀξίαν. Καὶ τοῦτο δῆλον ἐξ ὧν γραμμάτων ἄνευ διελέγετο καὶ τῷ Νῶε, καὶ τῷ Ἀβραὰμ, καὶ τοῖς εὐδοκίμοις ἀπογόνοις ἐκείνου, ὧν εἷς ἦν καὶ ὁ κορυφαιότατος ὁ πᾶσαν τοῦ διαβόλου τὴν δύναμιν συγκόψας, καὶ τὰ βέλη αὐτοῦ ἀναλώσας, καὶ τὴν φαρέτραν κενώσας, ὁ ἀοίδιμός, φημι, Ἰώβ. Ὅτε δὲ εἰς αὐτὸν τῆς κακίας τὸν πυθμένα κατηνέχθη ὁ δείλαιος τῶν Ἰουδαίων δῆ-

[1]) Дан. 3—6. [2]) Дѣян. 28. 3—5.
[3]) Т. е. первозданный человѣкъ.
[4]) Вѣроятно, нужно читать: πελαγη νοηματων



μος, τότε λοιπὸν τὰ γράμματα ἀναγκαῖα εἶναι ἐνομίσθη, καὶ ἡ διὰ τούτων ὑπόμνησις. Εἰ δὲ νομίζεις ἐν τῇ *Παλαιᾷ μόνον* τοῦτο γεγενῆσθαι, ἐπὶ δὲ τῆς Καινῆς μὴ κεκυρῶσθαι, φήσαιμι, ὅτι μάλιςα πάντων τοῦτο καὶ ἐν αὐτῇ δείκνυται. Οὐδὲ γὰρ τοῖς θεσπεσίοις ἀποςόλοις γραπτόν τι δέδοται, ἀλλ' ἀντὶ γραμμάτων ἡ τοῦ ἁγίου Πνεύματος ἐπηγγέλθη χάρις. «Ἐκεῖνος γὰρ ὑμᾶς, φησιν, ἀναμνήσει πάντα» [1]). Εἰ δὲ νομίζεις τοὺς ἐγγράφους τῶν ἀγράφων νόμων κυριωτέρους εἶναι, ἄκουσον τί φησιν αὐτὸς ὁ βασιλεύς· «διαθήσομαι αὐτοῖς διαθήκην καινὴν, διδοὺς νόμους μου ἐπὶ διάνοιαν αὐτῶν, καὶ ἐπὶ καρδίας αὐτῶν ἐπιγράψω αὐτούς» [2]). «Καὶ ἔσονται πάντες διδακτοὶ Θεοῦ» [3]). Ὅθεν καὶ ὁ Παῦλος Μωϋσέως μείζονα ἐμπεπιςεῦσθαι διισχυριζόμενος, ἔλεγεν εἰληφέναι νόμον, οὐκ ἐν πλαξὶ λιθίναις ἐγγεγραμμένον, ἀλλ' ἐν πλαξὶ καρδίας σαρκίναις ἐντυπωθέντα [4])· οὗ ὁ καταφρονῶν οὐ καταλεύσεται κατὰ τὸν παλαιὸν νόμον, ἀλλὰ πικροτάτῃ παραδίδοται κολάσει. Ἐπειδὴ δὲ τοῦ χρόνου διιππεύοντος, καὶ καθάπερ ἵππου ὀξυτάτου θέοντος, οἱ μὲν δογμάτων ἕνεκεν ἐξώκειλαν, οἱ δὲ βίου· ἀναγκαίως πάλιν ἐδέησεν τῆς ἀπὸ τῶν γραμμάτων διορθώσεως. Παραβεβασμένων γὰρ τῶν ἀγράφων ἐπὶ τὰ ἔγγραφα εἰκότως ὥρμησεν, ὁ παντὶ τρόπῳ τὸ ὑπήκοον εἰς ἀρετὴν ἐναγαγεῖν βουλόμενος. Ἐννοεῖν τοίνυν χρὴ ἡμᾶς, ἡλίκη ἐςὶ κατηγορία, τὸ τοὺς οὕτως ὀφείλοντας ζῆν εἰλικρινῶς, ὡς μηδὲ γραμμάτων δεῖσθαι, ἀλλ' ἀντὶ βιβλίων παρέχειν τὰς ψυχὰς τῷ θείῳ Πνεύματι, ἐπειδὴ τὴν τιμὴν ἀπωλέσαμεν ταύτην καὶ κατέςημεν εἰς τὴν τῶν γραμμάτων χρείαν, μηδὲ τῷ δευτέρῳ βοηθήματι χρῆσθαι πάλιν εἰς δέον. Εἰ γὰρ ἔγκλημα τὸ γραμμάτων δεῖσθαι, καὶ μὴ τὴν τοῦ ἁγίου Πνεύματος ἐπισπᾶσθαι διὰ καθαροῦ βίου διδασκαλίαν, σκοπῆσαι ἂν εἴημεν δίκαιοι, ἡλίκον ἐςὶ κακὸν, τὸ μηδὲ μετὰ τοσαύτην καὶ τηλικαύτην βοήθειαν («νόμον γὰρ, φησιν, εἰς βοήθειαν ἔδωκεν» [5])) ἐθέλειν κερδαίνειν, ἀλλ' εἰκῇ καὶ μάτην κείμενα τὰ γράμματα περιορᾶν, καὶ μείζονα προκαλεῖσθαι τὴν κόλασιν.

[1]) Іоан. 14. 26. [2]) Іер. 31. 31. 33. [3]) Іоан. 6. 45. [4]) 2 Кор. 3. 3.
[5]) Ис. 8. 20.

Книг. 4. п. 166.

## Ἀρχιβίῳ πρεσβυτέρῳ.

## Εἰς τό· «ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς».

1. Τὸ «ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς» [1], αὐτὸς μὲν ἔφης μὴ νοεῖν· ἐγὼ δ᾽ οἶμαι εἰρῆσθαι ἀντὶ τοῦ οὐσιωδῶς. Οὐ γὰρ ἐνέργεια θεότητος, ἣν ἐνουσία [2]) τίκτει, τὸν ναὸν ἐκεῖνον ἐκυβέρνα τὸν ἄχραντον, ἀλλ᾽ οὐσία μυρίας ἐνεργείας ἔχουσα· οὐ μερικὸν ἔχουσα χάρισμα, ἀλλ᾽ ἡ πηγὴ τῶν ἀγαθῶν. Αὐτός, φησιν, ὁ τῷ Πατρὶ συμβασιλεύων, καὶ τὰς τῶν ὑπερκοσμίων ἡνίας κατέχων, καὶ τὰ ἐπίγεια οἰακίζων, ἐνηνθρώπησε, καὶ ςρατηγικοῖς ὅπλοις ἐπὶ τῆς παρατάξεως ἔςη, ἵνα κἀκεῖνα κοσμήσῃ, καὶ νίκην τῷ τῶν ἀνθρώπων γένει κατορθώσῃ, καὶ τοὺς ἀλιτηρίους τροπώσηται δαίμονας, καὶ τὸν ςρατηγὸν αὐτῶν μέγα φυσῶντα καταλύσῃ, καὶ μυρίων χαρισμάτων τὴν Ἐκκλησίαν ἐμπλήσῃ. Ὁ βασιλεύς, φησιν, ἐςρατήγησεν, οὐχ ὁ ςρατηγὸς βασιλικῷ ἀξιώματι ἐκεκόσμητο· ὁ βασιλεὺς τῇ τοῦ δούλου μορφῇ ἔκρυψεν ἑαυτοῦ τὴν ἀξίαν ἐν τῇ παρατάξει, οὐ ςρατιώτης βασιλέως ἀξίωμα ἑαυτῷ ἐπεφήμιζε. Βασιλεὺς ἦν νομοθετῶν, οὐ ςρατιώτης νομοθετεῖν ἐπιχειρῶν· τὸ γὰρ «ἐγὼ δὲ λέγω ὑμῖν» [3]), βασιλέως· τὸ γὰρ «θέλω, καθαρίσθητι» [4]), αὐτοκράτορος· τὸ «γενηθήτω σοι ὡς θέλεις» [5]), αὐτοτελῆ τὴν ἐξουσίαν ἔχοντος· τὸ «σιώπα, πεφίμωσο» [6]), δεσπότου· καὶ ὅσα τοιαῦτα, ἵνα μὴ πάντα καταλέγων μηκύνω τὸν λόγον. Εἰ δὲ τὸ πάθος σε ταράττει, τὸ κατὰ Θεοῦ μὲν τολμηθὲν, σαρκὸς δὲ ἁψάμενον· ἄκουε τοῦ κορυφαίου τῶν ἀποςόλων λέγοντος· «Χριςοῦ οὖν παθόντος σαρκί» [7]). Εἰ τοίνυν ὁ τὰς κλεῖς τῶν οὐρανῶν ἐγκεχειρισμένος τὴν σάρκα κυρίως ἀπεφήνατο πεπονθέναι, τὴν παθῶν δεκτικὴν (ἀπαθὲς γὰρ τὸ Θεῖον)· εἰ καὶ, ὡς τὸν κληρονόμον ἀποκτείναντες, Ἰουδαῖοι πεπόνθασι τραγῳδίας ἁπάσης μείζονα, μὴ ταραττέτω σε τὸ πάθος,

[1]) Кол. 2. 9.

[2]) Въ другихъ спискахъ: ἡ οὐσία.

[3]) Мат. 5. 22. [4]) Мат. 8. 3. [5]) Мат. 15. 28. [6]) Мар. 4. 39. [7]) 1 Петр. 4. 1.



ἀλλ᾽ εἰς εὐχαριςίας μέγεθος χειραγωγείτω· ὅτι ὁ βασιλεὺς ὁ ἀπαθής, ὁ σκιὰν τροπῆς μὴ ἐπιδεχόμενος, τὴν οἰκείαν ἐκδέδωκε σάρκα· καὶ πολλὰ ὡς ἄνθρωπος ἀσθενὴς φθεγξάμενος, ἵνα ςρατηγήματι ἕλῃ τὸν πανοῦργον, τρόπαιά τε ςήσας λαμπρὰ, ἀνέβη εἰς τοὺς οὐρανοὺς, τὴν ἀπαρχὴν τῆς ἡμετέρας φύσεως ἠμφιεσμένος. Εἰ δὲ ἄνθρωπος ἦν, ὥς φασι, ψιλὸς, θείᾳ χάριτι κοσμηθεὶς, δι᾽ ἣν αἰτίαν πολλοὺς ἀνελόντες ἄνδρας ἁγίους Ἰουδαῖοι, οὐδὲν τοιοῦτον πεπόνθασιν, ἐπὶ δὲ τούτῳ πᾶσα νενίκηται τραγῳδία, παραβαλλομένη τοῖς τούτων πάθεσιν; ἀλλὰ δῆλον, ὅτι μὲν ἦσαν ἅγιοι, ὁ δὲ μονογενὴς Υἱὸς ἐνανθρωπῆσαι καταξιώσας. Τὸ γὰρ μὴ ἀπὸ τῆς αὐτῆς ἀξίας ἥκειν ἐπὶ τὰ πάθη, ἀλλὰ τοὺς μὲν εἶναι δούλους, τὸν δὲ Δεσπότην, ἀσύγγνωςον ἔτεκεν Ἰουδαίοις τὴν δίκην. «Οὗτος γάρ, φησιν, ἐςὶν ὁ κληρονόμος» [1])· οἱ ἀμπελουργοὶ τὸν κληρονόμον ἀποκτεῖναι ὥρμησαν, οὐ τὸν σύνδουλον, τὸν υἱὸν τοῦ οἰκοδεσπότου τὸν γνήσιον, οὐχ ἕνα ἐξ αὐτῶν εἰς υἱοθεσίας ἀξίωμα ἀνακομισθέντα. Πῶς γὰρ μετὰ τοὺς δούλους Υἱὸς ἀπεςάλη, ὃν καὶ ἐντραπῆναι ἐχρῆν; πῶς δὲ «δεύτερος ἄνθρωπος ἐξ οὐρανοῦ» [2]) εἴρηται; πῶς δὲ Θεὸς ἐπεδήμησεν, ἢ ἀνθρώπῳ συνέπραξεν; πῶς δὲ «ἐταπείνωσεν ἑαυτὸν» [3]), ἴσα Θεῷ ὑπάρχων; πῶς δὲ «ὁ Θεὸς τὸν Υἱὸν ἔπεμψεν, ὁμοιώματι σαρκὸς ἁμαρτίας» [4]); ἢ πῶς οὐκ ἐξευτελίζεται τὰ ἄχραντα μυςήρια, σῶμα καὶ αἷμα ἀνθρώπου δοκοῦντα εἶναι; πῶς δὲ ἔφη· «σῶμα δὲ κατηρτίσω μοι» [5]); πῶς δὲ ἀναγκαῖον ἔχειν τι καὶ τοῦτον, ὃ προσενέγκῃ; πῶς δὲ διὰ τοῦ ἰδίου αἵματος τοὺς αἰχμαλώτους ἐλυτρώσατο; ἢ πῶς «τὸν Κύριον τῆς δόξης ἐςαύρωσαν» [6]); πῶς δὲ «ὁ Λόγος σὰρξ ἐγένετο» [7]); πῶς δὲ «πολυμερῶς καὶ πολυτρόπως ὁ Πατὴρ λαλήσας ἐν τοῖς προφήταις, ὕςερον ἐλάλησεν ἐν Υἱῷ» [8]); ἢ πῶς «παραπλησίως Υἱὸς μετέσχε τῶν αὐτῶν» [9]); ἀλλ᾽ ἵνα μὴ πάντα καταλέγοντες ὄχλον πολὺν τῇ σῇ ἀκοῇ παρασκευάσωμεν, ἅπαντα τοίνυν λέξω· τὸ Θεὸν ὄντα ταπεινὰ φθέγξασθαι, καὶ οἰκονομικὸν [10]) ἐςὶ καὶ χρειῶδες, καὶ οὐδὲν τὴν

[1]) Мат. 21. 38. [2]) 1 Кор. 15. 47. [3]) Фил. 2. 8. [4]) Рим. 8. 3. [5]) Пс. 39. 7. [6]) 1 Кор. 2. 8. [7]) Іоан. 1. 14. [8]) Евр. 1. 1, 2. [9]) Евр. 2. 14.

[10]) Οἰκονομικὸν—согласно съ Божіимъ домостроительствомъ (οἰκονομία) нашего спасенія.

ἄχραντον ἀξίαν καταβλάπτον· τὸ δ' ἄνθρωπον ὄντα θεῖά τινα καὶ ὑπερφυῆ φράζειν, τῆς ἀνωτάτω τυγχάνει τόλμης. Βασιλεῖ μὲν γὰρ ἔξεστι μετριολογεῖν καὶ μετριοφρονεῖν· στρατιώτῃ δὲ ἢ στρατηγῷ βασιλικὰς ἀφιέναι φωνάς, οὐ θέμις. Εἰ μὲν οὖν Θεὸς ἦν, ὥσπερ καὶ ἦν, ἐνανθρωπήσας, καὶ τὰ ταπεινὰ χώραν ἔχει· εἰ δ' ἄνθρωπος ἦν, τὰ ὑψηλὰ χώραν οὐκ ἔχει.

---

## 3.

Книг. 2. п. 89.

### Ἀλεξάνδρῳ ποιητῇ.

1. Ἀρετῆς ἴσον οὐδέν, οὐ μόνον ὅτι καὶ ἀσυγκρίτῳ ὑπεροχῇ τῶν ἄλλων ἁπάντων διενήνοχεν, ἀλλ' ὅτι καὶ τὰ ἀνώμαλα πράγματα ἐξομαλίζει, καὶ τὰ ἄνισα ἐξισοῖ. Οὔτε γὰρ ἐν πενίᾳ ταπεινοῦται, οὔτε ἐν δουλείᾳ ἀνελευθέρους ὑπομένει διακονίας, οὔτε ἐν ἀδοξίᾳ συστέλλεται. Ἀλλ' οὐδ' ἐν πλούτῳ ἐξυβρίζει, οὔτε ἐν ἀρχῇ ἐπαίρεται, ἀλλὰ πᾶσι τούτοις τὴν ἑαυτῆς ἐπιβάλλουσα ἐπιστήμην, κανονίζει ταῦτα καὶ ῥυθμίζει, οὐκ ἐκείνοις ἑπομένη, ἀλλ' ἐκεῖνα τῇ ἑαυτῆς τέχνῃ ἀκολουθεῖν ἀναπείθουσα. Εἰ γὰρ χρὴ ἀκριβῶσαι τὸ Ὁμηρικὸν ἔπος, ὃ συνεχῶς (πρὸς κάλλος ἴσως σωματικὸν ἐπτοημένος) ἐπὶ σώματος, ὥς φασι, φέρεις· «καλή τε μεγάλη τε καὶ ἀγλαὰ ἔργ' εἰδυῖα», μᾶλλον περὶ ἀρετῆς εἰρῆσθαι δόξει, ἢ περὶ ἧς εἴρηται [1]). Τί γὰρ αὐτῆς μεῖζον, τί δὲ κάλλιον; τίς δὴ ταύτης λαμπρότερα ἐπίσταται ἔργα, τῆς καὶ τὰς ἀνωμαλίας τῶν πραγμάτων διὰ τῆς ἑαυτῆς φιλοσοφίας ἐξομαλιζούσης, καὶ ἴσον τὸ φρόνημα ἐν ἀνίσοις πράγμασι φυλαττούσης, καὶ ἀοίδιμον ἁπανταχοῦ ἑαυτῇ κατασκευαζούσης κλέος, καὶ τοὺς μὲν συμφοραῖς περιπίπτοντας παρακαλούσης, τοὺς δὲ ὑπὸ εὐημερίας ἐξυβρίζοντας σωφρονιζούσης; πρὸς ταύτην τοίνυν τεῖνον σαυτοῦ τῆς ψυχῆς τὸ ὄμμα, καὶ ταύτης τὸ κάλλος περισκόπει, ἵνα ἐραστὴς αὐτῆς διάπυρος γενόμενος, ἐπαινοῖο παρὰ πάντων καὶ ἀνακηρύττοιο.

---

[1]) Одисс. о. 418. Эти слова сказалъ пастухъ Евмей о своей матери.



Книг. 2. п. 233.

### Μαρτινιάνῳ.

### Περὶ φιλαργυρίας.

1. Τὸν μὲν τῶν σωμάτων ἔρωτα [1]), ἅτε δριμὺν μὲν ὄντα, ταχέως δὲ σβεννύμενον, διὰ τοῦτο οἱ ζωγράφοι σὺν λαμπάσι καὶ πτέρυξι γράφουσιν, ὅτι ποτὲ μὲν ὑπεκκαίει τὰ πάθη καπνίζων, ποτὲ δὲ διὰ κόρον ἀφίπταται. Τὸν δὲ τῶν χρημάτων οὐδεὶς οὔτε πλάσαι, οὔτε γράψαι ἐτόλμησε. τάχα μὲν ἐπειδὴ οὐδὲ ἔρως ἐστίν, ἀλλὰ μανία ἀνήκεστος· τάχα δὲ ἐπειδὴ οὔτε πλασθῆναι, ἀλλ' οὔτε γραφῆναι αὐτὸν οἷόν τε. Οὔτε γὰρ πεντήκοντα μόνον ἔχει κεφαλάς, κατὰ τὴν μυθευομένην ὕδραν [2]), δι' ὧν τῇ ἀπληρώτῳ γαστρὶ τὴν τροφὴν παραπέμπει. Οὐδὲ κατὰ τὸ ἀχόρταστον τέρας διάκειται, οὐδὲ κατὰ τὸν Βριαρέω ἑκατὸν χερσὶ μόναις ὥπλισται [3]). Ἀλλ' οὐδὲ πτερὰ ἔχει, κόρον γὰρ οὐκ οἶδε, πλησμονὴν οὐκ ἐπίσταται. Πῶς οὖν τις τοιοῦτο τέρας ἢ πλάσαι, ἢ γράψαι δυνηθῇ, ᾧ καὶ τὸ τῆς Σκύλλης [4]) παραβαλλόμενον ἐπιστεύθη ἄν, καίτοι ἄπιστον ὄν; ἀλλ' ἐπειδὴ ὁ λόγος παντὸς μὲν χρώματος ἐναργέστερός ἐστι, παντὸς δὲ κηροῦ εὐπλαστότερος, ὡς ἂν οἷός τε ᾖ, ὑπογράψαι τοῦτον πειράσεται· τῆς μὲν ἀκριβείας ἐφικέσθαι ἀδυνατῶν, τὴν δὲ θηριόμορφον αὐτοῦ καὶ ἀτερπῆ τοῖς ἑαλωκόσι στηλιτεύων μανίαν. Ἐμοὶ γὰρ δοκεῖ οὐ παιδὶ ἐοικέναι· οὐ γὰρ ἔρως ἐστί, μανία δὲ σαφής· ἀλλὰ γυναικὶ (καὶ τοῦτο γὰρ τῆς τε ἀνοίας αὐτῆς καὶ τῆς μοχθηρίας ἔστω τεκμήριον) θηριομόρφῳ τινί, καὶ πῦρ πνεούσῃ, μυρίας μὲν ἔχεις ἀντὶ τριχῶν ἐπὶ τῆς κεφαλῆς ἐχούσῃ, διὰ παντὸς συριττούσας καὶ θανατηφόρον ἰὸν ἐρευγομένας· μυρίας δὲ χεῖρας ὄνυξι κομώσας, δι' ὧν τοὺς

---

[1]) Ἔρως—олицетвореніе плотской любви; о немъ См. Lübkers Real-lexicon.

[2]) Ὕδρα—водяная змія, упоминаемая у греческихъ поэтовъ, то съ 9-ю, то съ 100, то съ безчисленнымъ множествомъ головъ. См. Pauly Real-Encyclop. T. III. p. 1164.

[3]) Βριάρεως. баснословный сторукій гигантъ, описанный съ двумя такими же братьями Гезіодомъ въ Θεογ. ст. 147. 617 и 734.

[4]) Σκύλλη—баснословное чудовище, описанное въ Одисс. μ. 85—100.

μὲν σπαράττει, τοὺς δὲ κατατοξεύει, παρ' ὧν δ' ἀφαρπάζει χρήματα, μυρία δὲ ςόματα. Οὐδὲ γὰρ ἀπειλεῖ μόνον, οὐδὲ συκοφαντεῖ, ἀλλὰ καὶ κολακεύει, καὶ δουλοπρεπῶς διαλέγεται, καὶ ἐπιορκεῖ, καὶ μυρίας ἐπινοεῖ προφάσεις, αἰσχρῶν κερδῶν ἕνεκα. Καὶ ὀφθαλμοὺς ἔχει οὐ κατὰ φύσιν ὁρῶντας, οὐδ' αἰδουμένους τινά, οὐ φίλον, οὐκ ἀδελφόν, οὐ συγγενῆ, οὐκ εὐεργέτην, ἀλλὰ τραχὺ, καὶ δριμὺ, καὶ ὠμὸν, καὶ ἀπάνθρωπον, καὶ πυρῶδες βλέποντας. Οὐ γὰρ τὴν τῶν πραγμάτων ὁρᾷ φύσιν, οὐδὲ συνίησιν, ὅτι πολλάκις μυρία κινήσασα [1]), εἰς τὰς τῶν ἐχθρῶν τὰ χρήματα παρέπεμψε χεῖρας. Διὸ μυρίας προσετρίψατο τῷ ἁλόντι τὰς ἁμαρτίας, ἀκοὰς δὲ τοσοῦτον πεφραγμένας, ὡς μήθ' ἱκεσιῶν, μήτε ςεναγμῶν, μήτ' ὀλοφυρμῶν, μήτε κακηγοριῶν ἐπακούειν. Τοσοῦτον δ' ἀπέχει τοῦ πτερὰ ἔχειν, ἃ τὸν κόρον δηλοῖ, ὅτι οὐδὲ πόδας αὐτῇ σωφρονῶν ἄν τις ἀπονέμοι. Οὐδὲ γὰρ οἶδε βαδίζειν, οὐδὲ μετακινεῖσθαι ἀπὸ τοῦ ἁλόντος, ἀλλὰ κατὰ πάντων τὰς χεῖρας πέμπουσα, σιδήρου παντὸς καὶ μολύβδου βαρυτέρα οὖσα ἐγκάθηται, πάντα μὲν δεχομένη καὶ πάντας ληϊζομένη, οὐδέποτε δὲ πληρουμένη, ἀλλὰ τὸ πλῆθος τῶν λαμβανομένων ὕλην ὑπεκκαύματος ἔχουσα, καὶ τὴν τελευτὴν τῶν ληφθέντων ἀρχὴν τῶν ληφθησομένων ποιουμένη. Τίς οὖν τοιαύτῃ μανίᾳ δριμυτάτῃ καὶ ἀκορέςῳ, καὶ μυρίας ἁμαρτίας καὶ κακηγορίας, ἀδοξίας τε καὶ ἀκολασίας προστριβομένῃ ἁλοίη ἄν; τίς ἂν ἕλοιτο ἐνταῦθα μὲν ζῆν οὕτως ἀθλίως, μαςιζόμενος νύκτωρ τε καὶ μεθ' ἡμέραν, καὶ ἀνάπαυσιν οὐκ εἰδὼς, οὐδ' ὕπνον, ἐκεῖσε δὲ ἀρχὴν τῶν τιμωριῶν ληψόμενος; τί λέγω ἀρχήν; ἐνταῦθα μὲν οὖν κολάζει καὶ τιμωρεῖται τοὺς ἁλόντας, παντὸς τυράννου πικρότερον, ἐναλλομένη καὶ τῶν καιρίων [2]) ἁπτομένη, καὶ μηδὲ μικρὸν ἀναπνεῦσαι συγχωροῦσα, ἀλλὰ τῶν εἰς τὰ μέταλλα τὴν χαλεπωτάτην ἐκείνην τινόντων κόλασιν πικροτέραν ἐπάγουσα τὴν δίκην. Τοῖς μὲν γὰρ ἔξεςι μετὰ τὸ ἔργον ὕπνῳ χρῆσθαι καὶ ἀναπαύλῃ, τοῖς δὲ καὶ τὸν τοῦ ὕπνου προχωννῦσα λιμένα, καὶ νύκτωρ ἐπιτάττει

---

[1]) Выраженіе: μυρία κινεῖν значитъ: употреблять безчисленныя средства, стараться разными способами.

[2]) Τὰ καίρια, т. е. μέλη,—самыя чувствительныя части человѣческой природы.



τὰ ὠμὰ καὶ ἀπάνθρωπα ἐπιτάγματα ἐκεῖνα. Τοὺς μὲν γὰρ ἐπὶ λῃςείας ἐξάγει, τοὺς δὲ ἐπ' ἀνδροφονίας. καὶ οὐδὲ τὴν ὁσίαν αὐτὴν αἰδεῖται [1]), ἣν καὶ βάρβαροι καὶ δαίμονες τιμῆς ἀξιοῦσιν· ἀλλὰ καὶ κατὰ νεκρῶν σωμάτων τὰς μιαρὰς τῶν ἁλόντων ὁπλίζει δεξιὰς, καινὸν καὶ παράνομον λῃςείας ἐπινοοῦσα τρόπον. Πάντ' οὖν ταύτης τὰ μοχθηρὰ ἐννοήσαντες, ὅτι θηριόμορφός ἐςι, καὶ ἀτερπὴς, καὶ πῦρ πνέουσα, ἀκόρεςός τε καὶ τυφλὴ καὶ ἀνήκοος, μισάνθρωπός τε καὶ μυσαρὰ, καὶ θεομισὴς, ἄσπονδός τε καὶ ἀμείλικτος καὶ ἀνήμερος· οὔτε γὰρ κολακευομένη, οὔτε θεραπευομένη ἐνδίδωσιν, ἀλλὰ τότε μᾶλλον ἀγριοῦται, ὅτε μάλιςα θεραπεύεται· μάλιςα μὲν πάντα κινῶμεν, ὥςε μὴ ἁλῶναι· ῥᾷον γὰρ μὴ ἁλῶναι, ἢ ἁλόντας διαφυγεῖν· εἰ καὶ ἑάλωμεν, συντείναντες ἑαυτοὺς, καὶ τὴν θείαν καλέσαντες συμμαχίαν·—ἄνευ γὰρ ταύτης οὐχ οἷόν τε τοιαύτης αἰχμαλωσίας ἐλευθερωθῆναι· κινδυνεύει γὰρ εἶναι τοῖς πολλοῖς αἰχμαλωσία ἀνακλήσεως ἄμοιρος·—τοῦ μὲν ἐθέλειν κερδαίνειν παυσώμεθα, τὰ δὲ συναχθέντα ἢ ἀθρόον, ἢ κατὰ βραχὺ διανέμωμεν τοῖς δεομένοις. Αὕτη γάρ ἐςι μόνη τῆς τοιαύτης αἰχμαλωσίας ἡ ἀνάκλησις.

---

Книг. 3. п. 351.

## Ἀντωνίῳ σχολαςικῷ [2]).

1. Ὁ τῆς παρθενίας ἀγὼν, μέγας μὲν καὶ λαμπρὸς καὶ ἔνθεος (πρὸς γὰρ τὴν ἔμφυτον τοῦ σώματος ἡδονὴν ὁ πόλεμος), ἐν δὲ τοῖς ἄλλοις ἄθλοις ἐξευμαρίζει τοὺς πόνους. Ῥαδίως γὰρ φιλοχρηματίας κρατήσει, κόσμου σωματικοῦ, ἀνδρός τε καὶ παίδων μὴ φροντίζουσα, δι' ὃ ὁ τῶν χρημάτων πορισμὸς ἀναγκαῖος εἶναι τοῖς ἀφιλοσόφοις δοκεῖ· πένθει τε ἀνάλωτος ἐςαι. Οὐ γὰρ ἤνθησε κλάδους, οἷς συνανθοῦσι καὶ αἱ φροντίδες καὶ τὰ πένθη. Ζώντων μὲν γὰρ τῶν παίδων ἀναγκάζονται μεριμνᾶν, τεθνεώτων δὲ πενθεῖν. Ὀδυνῶν τε καὶ ἀθυμιῶν ἔξω ἐσκήνωται, μηδ'

---

[1]) Ὁσία (отъ ὅσιος)—священное дѣло, богопочтеніе, и во особенности погребеніе умершихъ.

[2]) Σχολαςικός—школьный учитель, или адвокатъ.

ἀνδρὸς δουλευομένη φρονήματος, μήτε ὠδῖσι ταῖς τοῦ θανάτου γείτοσι διακοπτομένη. Οὐ παρευδοκιμουμένη ζηλοῖ, οὐκ ἀγαπωμένη ὑπτιοῦται· οὐκ ἀποςρεφόμενον κολακεύει, οὐ μισοῦντα θωπεύει, οὐχ ὑβρίζοντα ἀποςρέφεται. ἀλλὰ πάντων τούτων τῶν ἀνηκέςων κακῶν ἀπαλλαγὴ, ἡ πρὸς τὴν ἔμφυτον ἐπιθυμίαν μάχη, ἧς κρατοῦσα πάντα ἐκεῖνα ὑποκύπτοντα ἔχει. Διὸ καὶ ὁ τῶν ἀνθρωπίνων πραγμάτων ἀκριβῶς βασανίσας τὴν φύσιν, ἔγραφε περὶ τῶν πάντα ὑπομενόντων τὰ δυσχερῆ, ἵνα μόνον τὴν ἀπὸ τῆς ἐπιθυμίας λύτταν μὴ χειρώσωνται· «θλίψιν τῇ σαρκὶ ἕξουσιν οἱ τοιοῦτοι· ἐγὼ δὲ ὑμῶν φείδομαι» [1]). Ἀλλ᾽ ἐπειδὴ πολλοὶ μὲν τὴν ἀποςολικὴν συμβουλὴν, ὡς διὰ πραγμάτων μὴ δεικνυμένην ἀτιμάζοντες, τὸ δ᾽ ἀληθὲς τῇ ἡδονῇ συνηγοροῦντές φασιν, ὅτι, θλίψιν μὲν οὐκ ἔχουσιν οἱ τὸν γάμον ἀσπασάμενοι. ἀλλὰ καὶ τέρψιν καὶ τρυφήν· πολλοὶ δὲ δεινότητι χρώμενοι, καὶ ἀνδρειοτέρους ἑαυτοὺς τῶν τὴν ἁγνείαν ἐςεμμένων οἰόμενοι, οὐ δεόντως λέγουσιν, ὅτι ἀγεννοῦς τοῦτο ψυχῆς τεκμήριον.—Ταῖς γὰρ τῆς ἀγαμίας ἀγιςείαις ἀφιερώσαντες ἑαυτοὺς, ἀπέκλεισαν τῇ γενέσει τὰς διεξόδους, γάμων ἀμύητοι μείναντες, καὶ τῇ τῶν ἀναγκῶν γυμνότητι [2]) πρὸς τὰς μεταβολὰς τῶν πραγμάτων νεανιευσάμενοι, παραπλήσιόν τι ποιοῦσιν, ὡσπερανεί τις ἀσώματος τυγχάνων ἐνηβρύνετο τῷ ἄτρωτος εἶναι. Καὶ γὰρ καὶ αὐτοὶ τὰς παραλόγους τῶν ἀβουλήτων ἐφόδους δείσαντες, τὸν τῆς παιδογονίας θεσμὸν ἠτίμασαν, ἀτεκνίᾳ ἑαυτοὺς πρὸς τὰς μεταβολὰς ὀχυρώσαντες, καὶ τὸ ἀνάλωτον διὰ ταύτης πραγματευσάμενοι. Ἡμεῖς δὲ ταῖς τῆς μεταβολῆς παραλόγοις ῥοπαῖς παραδόντες ἑαυτοὺς, καὶ οὐ ψιλῶν τάξιν [3]) πρὸς αὐτὴν ταγέντες ἔξω τῆς φάλαγγος ἔςημεν, ἀλλὰ τοῖς βέλεσιν αὐτοῖς ὑποθέντες τὴν πολιτείαν, καὶ ἀφθονίαν παρασχόντες εἰς ἃ βούλοιντο πλήττειν, πρὸς ἐκείνην ἐφραξάμεθα, ὡς καὶ τιτρωσκομένους μὴ πλήττεσθαι, καὶ βληθέντας ἄκεντρα τοξεύεσθαι, καὶ ἐν τῇ τῶν δυσκόλων πείρᾳ τὸ δόγμα βεβαιούμενοι.

[1]) 1 Кор. 7. 28.

[2]) Γυμνότης въ смыслѣ: неимѣніе, отсутствіе. Ср. у Апостола въ 2 Кор. 5. 3.

[3]) Οἱ ψιλοὶ (подраз. ὅπλων) ςρατιῶται—легко вооруженные воины, безъ щита и копья, въ противоположность ὁπλίταις, или вовсе не вооруженные, находящіеся при обозѣ.



ὡς ἀρετὴ μεταβολῆς ἀδέσποτος, τὴν ἀκριβεςάτην ἐκφέρομεν βά-
σανον.—Ἐπεὶ τοίνυν τοιαῦτά τινα συνείροντες καταρρητορεύουσιν,
αἰσχυνόμενοι μὲν ἐπὶ τῷ ἀπολελεῖφθαι τῶν τῆς παρθενίας ἄθλων,
εὐπρόσωπον δὲ δοκοῦντες ἀπολογίαν προβάλλεσθαι, εἴσονται μὲν
διὰ τῶν πραγμάτων ἐπὶ τῶν ἐπάθλων, ὅσον γυναικὶ μὲν ἀνήρ,
ἀνδρὶ δὲ γυνή, καὶ γυναικὸς καὶ παίδων φροντίδες ἐμπόδιόν ἐςι
πρὸς σωτηρίαν· ἐλέγχονται δὲ καὶ νῦν εἰς τῶν κακῶν πυθμένα
διὰ ταῦτα συνελαυνόμενοι, δι᾽ ἃ καὶ οἱ μὲν τρυφῆς καὶ ἀνέσεως
ἀπολαύσεσθαι, οἱ δὲ καὶ μειζόνων ςεφάνων ἀξιωθήσεσθαι προσε-
δόκησαν. Ποίοις γὰρ πάθεσιν οὐχ ὑπόκεινται; ποίαν δὲ καπηλείαν
οὐ μεταχειρίζονται; πόσας δὲ ἀηδίας ὑπομένοντες, οὐκ αἰσθάνον-
ται; τί γὰρ τῶν καλῶν αὐτοὺς οὐ παριππεύει; τί δὲ κατασκηνοῖ
παρ᾽ αὐτοῖς ἐπαίνου ἄξιον; καὶ ταῦτα οὐ τοὺς τὸν τίμιον γάμον
ἀσπαζομένους ἀποκηρύττων λέγω (ἄπαγε), ἀλλὰ τοὺς ἀθυρώτῳ
καὶ ὀλισθηρᾷ γλώττῃ τολμῶντας τὸν γάμον τῆς παρθενίας ὑπερ-
τιθέναι κωμῳδῶν. Ὅσον γὰρ οὐρανὸς γῆς καὶ ψυχὴ σώματος
διαφέρει· τοσοῦτον ἡ παρθενία τοῦ γάμου διενήνοχεν. Ἐκείνη
μὲν γὰρ τὰ πρωτεῖα ἐν τῇ παρατάξει ἔχει, καὶ τὸ μέτωπον κο-
σμεῖ τῆς φάλαγγος, καὶ τὰ λαμπρὰ τρόπαια ἵςησιν· οὗτος δὲ σύμ-
μετρος ὢν, καὶ ταῖς ἀσθενεςέροις ἔρεισμα δοθεὶς, δύναται μὲν
σώζειν τοὺς φυλάττοντας, οὐ μὴν εἰς τὴν τῆς παρθενίας ἀνάξει
κορυφήν. Διὸ καὶ ὁ πνευματικὸς νόμος τοὺς γήμαντας καὶ ἀμπέ-
λους φυτεύσαντας εἰς τὸν κατὰ τῶν πνευματικῶν τῆς πονηρίας
πόλεμον ἐξελθεῖν ἀπηγόρευσε [1]). Μὴ τοίνυν οἱ τοιούτῳ κατεχό-
μενοι δεσμῷ τοῖς λελυμένοις ἁμιλλᾶσθαι οἰέσθωσαν· οὐδὲ γὰρ
οἷόν τε. Μηδὲ οἱ χρηματισμῷ καὶ κόσμῳ σωματικῷ ὅλον ἑαυτῶν
ἀναθέντες τὸν βίον, νομιζέτωσαν ἴσα ἆθλα λήψεσθαι τῶν ἀφιε-
ρωσάντων ἑαυτοὺς καὶ τὰ τοῦ Κυρίου μεριμνώντων· ἀλλὰ ἐν τῇ
προσηκούσῃ τάξει ἑαυτοὺς φυλάττοντες, μὴ ὁπλιζέτωσαν γλῶτταν
κατὰ τῶν εἰς τὴν οὐράνιον κορυφὴν ἀναβάντων. Οὐ γὰρ ὁ γάμος
κακόν· ἄπαγε· ἀλλὰ καὶ ἔννομον καὶ σύμμετρον ἀγαθόν. Ἀλλὰ
τὰ ἐπισυρέντα τῷ γάμῳ κακὰ, ἱκανὰ καὶ τὴν τοῦ γάμου ἀμβλῦναι
ἡδονήν. Εἰ δὲ καὶ μηδὲν τούτων ἐπήγετο, οὐδ᾽ οὕτως τῇ παρ-

[1]) Второз. 20. 6, 7.

θενίᾳ παραβάλλεσθαι δίκαιος ἦν. Ὁ δέ με καὶ ἐπειγόμενον παραδραμεῖν οὐκ ἐᾷ, τοῦτο ῥητέον· ὅτι ἡ μὲν παρθενία καὶ τἆλλα χειροῦται πάθη, ὁ δὲ γάμος καὶ τοῖς ἄλλοις ἁλίσκεται πάθεσι. Τίς γαρ, ἵνα παισὶ χορηγήσῃ τροφὰς, οὐ πάντα ποιεῖ τὰ μὴ πρέποντα καὶ εἰς κινδύνους ἑαυτὸν ῥιπτεῖ, καὶ εἰς πέλαγος, καὶ εἰς θηρίων βοράν; οὗτοι οὖν ὡς ἀνδρεῖοι καὶ τροπαιοῦχοι ἐναβρύνεσθαι θέλουσι! Καὶ τίς ἀνέξεται; τίς γὰρ αὐτοῖς ἐπαρκέσει καιρὸς πρὸς τὸ ταῦτα τὰ τραύματα θεραπεῦσαι; τίς δὲ οὐ συναλγήσει τοῖς ὑπὸ τοσούτων βελῶν κατατετρωμένοις; τοσαῦτα γὰρ αὐτοὺς περιέχει κακὰ, οἷα οὐδ' ἐννοῆσαι, οὐδὲ φράσαι διὰ τὸ πλῆθος δυνατόν. Παυέσθωσαν οὖν τῶν τοιούτων λόγων, καὶ μὴ κατὰ τῆς παρθενίας ὁπλιζέτωσαν τὴν γλῶτταν· ἀλλ' ὡς βασιλίδα αὐτὴν γεραιρέτωσαν, καὶ ὑπ' αὐτῇ ταττέσθωσαν, ἵνα ἔχοιεν αὐτὴν καὶ ὑπερασπίζουσαν καὶ πρεσβεύουσαν. Ἡλίῳ μὲν γὰρ τοὺς τὴν παρθενίαν (ἵνα καὶ οὐρανίοις χρήσωμαι παραδείγμασι), σελήνῃ δὲ τοὺς τὴν ἐγκράτειαν, ἄστροις δὲ τοὺς τὸν τίμιον γάμον ἀσπασαμένους καὶ διατηρήσαντας, παραβάλλεσθαι θέμις, μάλιστα ἐπιψηφίσαντος τοῦ θεσπεσίου Παύλου, καὶ λέγοντος· «ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων» [1]).

---

Книг. 5. п. 186.

Ἑλλήνων παισίν.

## Глав. 1—2.

1. Ὦ μειράκια (χρὴ γὰρ ὑμῖν ἀρχομένοις τοῦ βίου μηδὲν παράλογον φράσαι, ἀλλὰ τὴν ἀλήθειαν ἀπαμφιάσαι [2])), πάντων τῶν ὄντων ἢ δοκούντων ἀγαθῶν μέγιστόν τε καὶ κάλλιστόν ἐστιν ἡ ἀρετή· καὶ ταυτόν εἰσιν οἱ ταύτῃ συμβιοῦντες πρὸς τοὺς ἀμοιροῦντας, ὅπερ ἐκεῖνοι μὲν [3]) πρὸς τὰ θηρία, ἄγγελοι δὲ πρὸς τοὺς ἀνθρώπους· βαδίζουσι γοῦν διὰ τῆς ἀγορᾶς ἀγγέλοις ἐοικότες.

[1]) 1 Кор. 15. 41.

[2]) Ἀπαμφιάζω, или ἀπαμφιεννύω, разоблачаю, представляю безъ прикрасъ, безъ уменьшенія и безъ преувеличенія.

[3]) Т. е. ἀμοιροῦντες.



Ὥσπερ γὰρ λαμπτῆρες ἐν σκότῳ ἐξαίφνης ἀρθέντες ἐπιστρέφουσι πρὸς ἑαυτοὺς τὰς τῶν ἄλλων ὄψεις, οὕτω καὶ οὗτοι τοὺς ἄλλους καὶ ἐκπλήττουσι καὶ φωτίζουσιν. Οἱ δὲ ἀφέντες τὰ οἰκεῖα ἕπονται πρὸς τὴν φωνὴν ἀγαλλόμενοι· καὶ γίγνονται πρὸς ἐκείνους, ὃ δὴ πρὸς τοὺς ποιμένας τὰ πρόβατα, συγχωροῦντες ἄγειν αὐτοὺς, ὅπῃ ἂν βέλτιον· οἱ δὲ παραλαβόντες πειθηνίους, ἐξηγοῦνται καθάπερ προφῆται τὰ μέλλοντα. Ἐπειδὴ γὰρ πολλοὶ τῶν οὐ πολὺν τῆς ἀρετῆς ποιουμένων λόγον, παρ' οἷς ἡ παραυτίκα ἡδονὴ καὶ ῥαστώνη μεῖζον ἰσχύει τοῦ ποθ' ὕστερον συνοίσοντος· οἱ διὰ μὲν ἀπληστίαν καὶ ἀδικίαν τὰ παρόντα ἀγαπῶσι, διὰ δὲ σκαιότητα τρόπων τῶν μετὰ ταῦτα οὐδὲν προορῶσι, τῶν ἐν χεροῖν μόνον φροντίδα τιθέμενοι φράζουσι· «τὸ παρὸν εὖ τίθει» [1])· ἐκεῖνοι τὰ μέλλοντα σκοποῦντες προμηνύουσι, καὶ τῶν πραγμάτων ἐκβάντων κατὰ τοὺς λόγους [2]) στεφανοῦνται καὶ ἀνακηρύττονται. Οὗτοι ζῶντες μὲν τὰς κεκλιμένας μὲν ὀρθοῦσι, τὰς δ' ἑστώσας κοσμοῦσι πόλεις, τελευτήσαντες δὲ ἐγκαταλείπουσι κέντρον [3]) τοῦ πόθου· ἐπίσημοι γὰρ οἱ τάφοι, ἐν τιμῇ δὲ τὰ γένη, διηνεκὴς δὲ ἡ μνήμη δικαίων. Ἀρετῆς γὰρ ἐκτήσαντο φύσιν, ἧς οὐ πέφυκεν ἅπτεσθαι τελευτή. Τῶν μὲν γὰρ σωματικῶν πλεονεκτημάτων ῥᾳδίως ἕκαστον ἀποσβέννυται, καὶ πρόσκαιρον ἔχει τὴν χάριν, οἷον κάλλος, τάχος, ῥώμη. Τοῦ σώματος γὰρ φθειρομένου, ἀναγκαίως κἀκεῖνα φροῦδα οἴχεται· ἀρετῆς δὲ μόνης ἅτε ἐν ἀθανάτῳ ψυχῇ τρεφομένης, οὐ πέφυκεν ἅπτεσθαι μεταβολή. Οὐκοῦν παντὶ σθένει προσήκει τὴν ἀρετὴν ἀσκεῖν, ἀλλ' οὐχ ἡγεῖσθαι δοκεῖν ἀσκεῖν. Ἀλλὰ μηδ' εἰς πλοῦτον κεχηνότες καταμελεῖτε ταύτης. Ἔστι γὰρ ἐκεῖνος τῆσδε εὐτελέστερος· τὸν μὲν γὰρ ῥᾳδίως ἄν τις ἀφέλοιτο, τοῦτο μὲν λαθὼν, τοῦτο δὲ μεῖζον ἰσχύων· τῆς δὲ οὐκ ἂν ἀποστερήσειεν, οὐδὲ εἰ τοῦ σώματος χωρίσειας. Ἀρετὴν δέ φημι (μὴ γὰρ δὴ ἡ ὁμωνυμία ὑμᾶς σφαλλέτω) οὐ τὴν ἐν πολέμοις ἀνδρίαν, ἧς πολλάκις τὸ πλέον τοῖς πονηροῖς, ἢ τοῖς ἀγαθοῖς μέτεστιν· οὐδὲ τὴν Ὀλυμπιάσι νίκην, ἣ καὶ τοῖς ἐπιτυχοῦσιν ἐφίπταται· ἀλλ' οὐδὲ

[1]) Τὸ παρὸν εὖ τίθει—хорошо устрой настоящее—употребляется въ видѣ пословицы.

[2]) Матѳ. 16. 27.

[3]) Κέντρον въ смыслѣ латинскаго: centrum.

τὴν ἐν τοῖς λόγοις δεινότητα [1]· εὖ γὰρ ἔφησε Θουκυδίδης· «ὅτι ἀμαθία μετὰ σωφροσύνης ὠφελιμώτερον, ἢ δεξιότης μετὰ ἀκολασίας» [2]· οὐδ᾽ ἄλλο οὐδὲν τῶν τῷ παρόντι συγκαταλυομένων βίῳ· ἀλλὰ τὴν διὰ σωφροσύνης καὶ φρονήσεως, δικαιοσύνης τε καὶ ἀνδρίας, πραότητός τε καὶ ἐπιεικείας, φιλοσοφίας τε καὶ τῶν ἄλλων τῶν τοιούτων συγκροτουμένην καὶ συμπληρουμένην. Ἀλλὰ πολλοί, φασι, παρὰ τὴν ἀξίαν εὐημεροῦσι, καὶ ἀρετῆς χωρὶς πλουτοῦσιν. Ὁμολογῶ μὲν κἀγώ· τουτο δὲ πῶς ἂν εἰκότως ἀποτρέψειε τῆς ἀρετῆς, οὐ συνορῶ. Εἰ μὲν γὰρ οἷχέ τις σαφῶς ἀποδεῖξαι, νόμῳ φύσεως κεκωλυμένα ταῦτα ἀμφότερα συνελθεῖν, ἀρετήν τε, φημί, καὶ εὐημερίαν, μάλιςα μὲν οὐδ᾽ οὕτως εὔλογον ἦν τὸν πλοῦτον πρὸ τῆς ἀρετῆς ἑλέσθαι, τῇ ῥαθυμίᾳ δ᾽ ἂν ἴσως τουτο σκηπτομένῃ παρεῖχε συγγνώμην.

2. Ἐπειδὴ δὲ τοὺς αὐτοὺς εὕροι τις ἂν καὶ τὴν γνώμην ἀρίςους, καὶ λαμπροὺς καὶ τὸν παρόντα βίον, τί φεύγετε τὴν ἀρετὴν ὡς πάντως τὸν πλοῦτον ἕξοντες, εἰ μὴ ταύτην κτήσησθε; οὐ γὰρ ἐν τῷ τῆς ἀρετῆς ἐςερῆσθαι τὸ κεκτῆσθαι τὸν πλοῦτόν ἐςιν. Ἀλλὰ καὶ ἀρετῇ προσγένοιτ᾽ ἂν πολλάκις, τῆς θείας προνοίας τοῖς μὲν τὸ πρὸς ἀξίαν νεμούσης, τῶν δὲ τὴν ταλαιπωρίαν οἰκτειρούσης. Ἐπειδὴ γὰρ τῶν ὄντως ἀγαθῶν, τῶν οὐρανίων φημί, ἑαυτοὺς ἐςέρησαν, τὰ πρόσκαιρα αὐτοῖς χαρίζεται, καὶ ταύτῃ ἐκκόπτων αὐτῶν τὴν ἀπολογίαν. Σκοπήσετε δὴ τοῦτο, ὅτι ἀρετῆς ἀπούσης εὐημεροῦσί τινες, ἀλλά τινες ἂν ποτε ἦσαν ἐν τῷ εὐημερεῖν τῆς ἀρετῆς προσούσης. Καὶ μὴν εἴ τις ἐθέλοι μετὰ ἀκριβείας ζητεῖν (εἰ γὰρ καὶ παράδοξον δόξει τὸ λεχθησόμενον, ἀλλ᾽ ὅμως λελέξεται), ἐκ τοῦ παντὸς αἰῶνος μετὰ τῶν εὐφρονούντων, οὐ τῶν φαύλων εὕροι τὴν ἀληθῆ εὐημερίαν γεγεννημένην· εὐημερίαν ἔγωγε ὁρίζομαι τὴν αὐτάρκειαν· ὀλισθηρὸν γὰρ εἰς ἀκολασίαν ἡ τῆς χορηγίας ἑτοιμότης. Πάντως δὲ ὑμεῖς οὐκ ἀπιςήσετε, ἔναυλον ἔχοντες τὴν Ἰσοκράτους παραίνεσιν, οὐχ ἁπλῶς εἰρημένην, οὐδὲ ῥᾳδίως ἐλεγχομένην, ἀλλὰ τῇ ἀληθείᾳ ὠχυρωμένην·

[1]) Слово ἀρετὴ (отъ Ἄρης, или ἄρω, или ἀρέσκω) у древнихъ Грековъ имѣло исчисленныя здѣсь значенія, но не означало чисто нравственной душевной доблести.

[2]) Θукид. Ист. III. 37. 3.



«πλοῦτος δὲ κακίας μᾶλλον ἢ καλοκαγαθίας ὑπηρέτης ἐςίν· ἐξουσίαν μὲν τῇ ῥαθυμίᾳ παρασκευάζων, ἐπὶ δὲ τὰς ἡδονὰς τοὺς νέους παρακαλῶν» [1]). Εἰ δὲ τοῖς πολλοῖς τοὐναντίον δοκεῖ, διὰ τὸ τὴν δοκοῦσαν καὶ οὐ τὴν οὖσαν εὐπραγίαν περιεργάζεσθαι, θαυμαςὸν οὐδέν. Οἵ τε γὰρ παρὰ τὴν ἀξίαν πλουτοῦντες, αὐτῷ τούτῳ τῷ παρ᾽ ἀξίαν γνωριμώτεροι καθίςανται· οἱ δὲ εἰκότως εὐημεροῦντες, αὐτῷ τῷ εἰκότως εὐημερεῖν οὐ παρέχουσί τινι θαυμάζειν. Τὸ γὰρ παράδοξον πλείω ποιεῖ τὸν ὑπὲρ ἑαυτοῦ λόγον. Διὰ τοῦτ᾽ ἴσως ἐλάττους ὄντες οἱ παρὰ τὴν ἀξίαν εὐφερόμενοι, τὴν τοῦ πλείονος εἶναι δόξαν ἀπηνέγκαντο. Θῶμεν τοίνυν (χρὴ γὰρ καὶ ἀπὸ συγκρίσεως τὸ δέον σκοπῆσαι) ἴσους αὐτοὺς εἶναι· καὶ σκεψώμεθα, πότερον ἄμεινον μετ᾽ ἀρετῆς ὁ πλοῦτος ἢ καθ᾽ ἑαυτόν. Καὶ μὴν ὁ μὲν τῆς εὐημερίας ἐπιλειπούσης τῷ κτήματι τῆς ἀρετῆς ἔχει θαρρεῖν· τὸν δὲ οἰχομένης τῆς εὐπραγίας ἄτιμον ἀνάγκη κεῖσθαι. Ὑποθώμεθα δὲ πᾶσαν ῥαθυμίας ὁδὸν ἐκκόπτοντες, καὶ κεχωρίσθαι ταῦτα τῇ φύσει, καὶ τοῖς μὲν τὴν ἀρετήν, τοῖς δὲ τὸν πλοῦτον μεμερισμένως περιγίνεσθαι, καὶ μὴ μεταπίπτειν τὴν εὐημερίαν, ὥσπερ τὴν Κροίσου. Τίς οὖν οὐκ ἂν εἵλετο μᾶλλον Σόλων εἶναι, ἢ Κροῖσος; τίς δὲ οὐχὶ Πλάτων, ἢ Διονύσιος; τίς δὲ οὐ Σωκράτης μᾶλλον, ἢ Ἀρχέλαος [2]); καὶ τί δεῖ πολλοὺς φιλοσόφους καταλέγειν καὶ συγκρίνειν τυράννοις, ὧν καὶ ἡ μνήμη ἂν ἐσβέσθη, εἰ μὴ διὰ τὴν ἐκείνων ἀρετήν τε καὶ σοφίαν; διὸ καὶ τούτους παρείς, ἐπὶ τὸν συμβουλευτικὸν τρόπον τὸν λόγον τρέψαιμι. Εἰ τοίνυν ἀρετὴ μὲν κρείττων χρημάτων, ἡ δὲ εὐημερία ἡ ἀληθὴς τοῖς σπουδαίοις ἀκολουθεῖ, καὶ ἡ δοκοῦσα δὲ αὐτοῖς ἕπεται· εἰ καὶ διὰ τὸ εἰκότως εὐδοκιμεῖν οὐ παρέχουσι θαυμάζειν, τῶν φαύλων διὰ τὸ παρ᾽ ἀξίαν πλουτεῖν γνωριμωτέρων καθεςώτων καὶ πλειόνων δοκούντων· εἰ δὲ καὶ ἴσοι εἶεν τῷ ἀριθμῷ, ἀμείνους οἱ μετ᾽ ἀρετῆς εὐημεροῦντες· εἰ δὲ καὶ κεχώριςο ταῦτα τῇ φύσει, τὴν ἀρετὴν πρὸ τῆς εὐημερίας αἱρετέον· τί καταρραθυμοῦμεν τὸν τῆς

[1]) Исократ. Рѣч. 1. 5. Πρὸς Δημόνικον.

[2]) Крезъ—царь Лидійскій, жившій во времена Солона Аѳинскаго; Діонисій старшій—тираннъ Сиракузскій во времена философа Платона; Архелай—царь Македонскій во времена философа Сократа, отличавшіеся богатствомъ, но не добродѣтелями.

ἀρετῆς προδιδόντες ςέφανον; τούτων μὲν οὖν καὶ ἄλλων πολλῶν ἕνεκεν, ὦ παῖδες, ἐκ νέας ἡλικίας χρὴ τὴν ἀρετὴν ἀσκεῖν· οὐχ ἥκιςα δὲ, ἀλλὰ καὶ μάλιςα τοῦ ῥηθησομένου· ὁ μὲν γὰρ ἐν γήρᾳ ταύτην ἀσπασάμενος, ὅλον ἀναλίσκει τὸν ἐπίλοιπον χρόνον. ἵνα δυνηθῇ τὰ ἁμαρτηθέντα αὐτῷ κατὰ τὴν πρώτην καὶ δευτέραν καὶ τρίτην ἡλικίαν ἀποτρίψασθαι, καὶ πᾶσα αὐτῷ ἡ σπουδὴ εἰς τοῦτο δαπανᾶται· Καὶ οὐδ' οὕτω πολλάκις ἀρκεῖ· εἴγε ἀσύγγνωςα εἴη καὶ μεγάλα τὰ ἐπταισμένα. ἀλλ' ἀπελεύσεται πρὸς τὸν ἀδέκαςον κριτὴν, λείψανα τῶν τραυμάτων ἐπιφερόμενος. Ὁ δὲ ἐκ νέας ἡλικίας την ἀρετὴν περιπτυξάμενος, οὐκ εἰς τοῦτο ἀναλίσκει τον χρόνον, οὐδὲ κάθηται ὥσπερ ἐν ἰατρείῳ, δυσίατα ἕλκη θεραπεύων, καὶ παρὰ τῶν παροδευόντων ἄθλιος εἶναι νομιζόμενος· ἀλλ' ἐκ προοιμίων λαμπρὰ δέχεται τὰ βραβεῖα· κἀκεῖνος μὲν ςέργει καὶ ἀγαπητὸν ἡγεῖται, ἢν [1]) τὰς ἥττας ἀναμαχέσασθαι πάσας δυνηθῇ· οὗτος δὲ ἐκ βαλβῖδος αὐτῆς τροπαίοις καὶ ἀναῤῥήσεσιν ἀγάλλεται. καὶ νίκας συνάπτει νίκαις· καὶ καθάπερ Ὀλυμπιονίκης ἀπὸ γραμμῆς [2]) δι' ἀναῤῥήσεων ἐπὶ τὸ γέρας ὁδεύων, οὕτως ἀπελεύσεται πρὸς τὸν ἀγωνοθέτην καὶ κριτὴν τῶν τοιούτων παλαισμάτων, πολλοῖς καὶ λαμπροῖς τὴν κεφαλὴν ἀναδησάμενος ςεφάνοις. Ὅτι γὰρ ἔςιν μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν θεῖον δικαςήριον, οὐ μόνον πραγμάτων, οὐδὲ ῥημάτων. ἀλλὰ καὶ ἐννοιῶν ἐξεταςικὸν, καὶ φιλόσοφοι, καὶ λογοποιοὶ, καὶ ῥήτορες, καὶ ποιηταὶ, καὶ συγγραφεῖς ἐγγυῶνται, ὧν καὶ τὰς ῥήσεις παρεθέμην ἂν τῇδε τῇ παραινέσει, εἰ μὴ λεληθὸς ὄνειδος [3]) ᾤμην ὑμῖν προστρίβεσθαι, ἔναυλα ἔχουσι τὰ μαθήματα. Εἰ δὲ κρίσις ἐςὶν, ὥσπερ οὖν καί ἐςι, την ἀρετὴν ἀσκητέον· εἰ δὲ καί τισιν εἶναι δυσχερὴς δοκεῖ, ῥᾳδία ὑμῖν ἔςαι, εἰ φύγοιτε τὰ θέατρα καὶ τοὺς ἱπποδρόμους, τὴν κοινὴν τῆς οἰκουμένης λύμην· μᾶλλον δὲ οὐ τῆς οἰκουμένης, ἀλλὰ τῶν πόλεων τῶν ἐχουσῶν τὰ τοιαῦτα θεάματα· μᾶλλον δὲ οὐδὲ τῶν πόλεων, ἀλλὰ τῶν βουλομένων καὶ ὑποκατακλινομένων τοῖς τοιούτοις κακοῖς. Παντὶ τοίνυν θυμῷ πρὸς τοὺς τῆς ἀρετῆς ἄθλους ἀποδυτέον·

---

1) Ἢν вм. ἐάν.

2) Ὀλυμπιονίκη γραμμὴ—предѣльная черта, назначенная для участвовавшихъ въ Олимпійскихъ играхъ: тоже, что βαλβίς.

3) Λεληθὸς ὄνειδος—укоризна въ забывчивости.



οἱ μὲν ἐκ λαμπρῶν γονέων τεχθέντες, μὴ καταισχύνοντες το γένος· οἱ δὲ ἐκ ταπεινῶν φύντες, λαμπρύνοντες τοὺς τεκόντας· οἱ μὲν πλούσιοι κόσμον, οἱ δὲ πένητες ὅρμον κατασκευάζοντες ἑαυτοῖς· οἱ μὲν ὑμέτεροι πατέρες ὑμᾶς αἰδείσθωσαν· οἱ δὲ ἑτέρωθεν ἥκοντες παῖδες πατέρας ὑμᾶς ἡγείσθωσαν. Οὕτω γὰρ ὑμῖν πολιτευομένοις, καὶ λαμπρὰν ἀνάπτουσι τῆς ἀρετῆς τὴν λαμπάδα, καὶ τὸ θεῖον ὑμῖν οὐρανόθεν τοῦ Χριςοῦ ἐπιφανεῖται καὶ ἐπισπάσεται πρὸς ἑαυτὸ σέλας, ἀποκαλύπτον ὑμῖν καὶ τὴν τῶν οὐρανῶν βασιλείαν, καὶ τὴν ἐν αὐτῇ τῶν ἁγίων ὑπέρλαμπρον ἀξίαν.

---

# XIV.

## СВ. КИРИЛЛЪ АРХІЕПИСКОПЪ АЛЕКСАНДРІЙСКІЙ.

Знаменитый архіепископъ Александрійскій 5-го вѣка св. Кириллъ родился, вѣроятно, въ г. Александріи отъ христіанскихъ родителей; получивъ хорошее образованіе въ свѣтскихъ наукахъ, онъ однако съ юныхъ лѣтъ избралъ пустынническую жизнь на горѣ Нитрійской, и здѣсь, упражняясь въ иноческихъ подвигахъ, съ особенною ревностію занимался изученіемъ св. Писанія и писаній предшествовавшихъ отцевъ и учителей Церкви въ теченіи пяти лѣтъ. По прошествіи этихъ лѣтъ дядя его Ѳеофилъ архіепископъ Александрійскій взялъ его къ себѣ и причислилъ къ клиру въ санѣ діакона и потомъ пресвитера, поручивъ ему проповѣданіе Слова Божія съ участіемъ и въ другихъ дѣлахъ церковныхъ. Назидательность поученій, заботливость о благѣ пасомыхъ и благочестіе св. Кирилла въ короткое время пріобрѣли ему такую любовь и довѣренность православныхъ, что по смерти Ѳеофила клиромъ и народомъ онъ былъ признанъ болѣе всѣхъ достойнымъ избранія въ архіепископа александрійскаго и рукоположенъ въ этотъ санъ 12 Октября 412 года. Надежды паствы на избраннаго архи-

пастыря вскорѣ оправдались въ рѣшительной борьбѣ его съ мѣстными врагами Христовой Церкви, еретиками, язычниками и іудеями. Въ сознаніи своей церковной власти св. Кириллъ закрылъ бывшіе въ Александріи храмы еретиковъ Новатіанъ, уничтожилъ послѣднее убѣжище язычества близъ г. Канопа въ селеніи Манувисѣ, перенесши въ устроенный здѣсь храмъ св. Евангелистовъ мощи мучениковъ Кира и Іоанна, Іудеевъ же, наносившихъ дерзкія оскорбленія христіанамъ, изгналъ изъ ихъ синагогъ и изъ Александріи при содѣйствіи православнаго народа и иноковъ Нитрійской горы, не смотря на сопротивленіе своимъ мѣрамъ со стороны александрійскаго префекта Ореста. Избавляя свою паству отъ враговъ, Святитель въ тоже время заботился объ утвержденіи ея въ вѣрѣ и благочестіи своими архипастырскими распоряженіями, между прочими и внесеніемъ имени св. Іоанна Златоустаго въ церковные диптихи около 418 года, назидательнымъ проповѣданіемъ Слова Божія и своими писаніями въ объясненіе главнѣйшихъ догматовъ христіанской вѣры съ обличеніемъ заблуждающихся. Но священная ревность его о православіи, обширнѣйшая ученость и блистательный умъ во особенности открылись въ непреклонной и продолжительной борьбѣ его съ еретикомъ Несторіемъ и его послѣдователями.

Несторій, возведенный въ 428 году на Константинопольскую каѳедру, скоро обнаружилъ свое еретическое ученіе касательно таинства воплощенія Сына Божія, отвергая дѣйствительное соединеніе человѣческой и божеской природъ въ единомъ лицѣ І. Христа и наименованіе Дѣвы Маріи Богородицею. Св. Кириллъ, узнавъ о появленіи этой новой ереси въ предѣлахъ Египта, немедленно принялъ мѣры къ искорененію ея какъ въ своей паствѣ, такъ и въ другихъ обла-

стяхъ христіанскаго міра. и въ самомъ ересеначальникѣ. Онъ сначала въ окружномъ посланіи къ восточнымъ церквамъ ко времени пасхи 429 года и въ особомъ посланіи къ египетскимъ монахамъ предостерегалъ ихъ отъ новаго лжеученія; за тѣмъ въ письмѣ къ самому Несторію братски убѣждалъ его не возмущать мира Церкви и не отступать отъ ея ученія о лицѣ І. Христа и пресвятой Богородицѣ; но, видя неискренность и упорство ересеначальника, обратился къ императору Ѳеодосію младшему, супругѣ и сестрамъ его, препроводивъ къ нимъ свои три «книги о правой вѣрѣ», въ которыхъ опровергалъ заблужденія Несторіевы, и вмѣстѣ признавъ необходимымъ извѣстить о произведенныхъ Несторіемъ смятеніяхъ въ Церкви и Римскаго архіепископа. Целестинъ папа Римскій, составивъ по сему случаю въ Римѣ соборъ. который осудилъ сочиненія Несторія, увѣдомилъ объ этомъ св. Кирилла, превознося высокими похвалами его ревность и бдительность за чистотою вѣры, съ приложеніемъ своихъ писемъ къ восточнымъ епископамъ. Посылая Римскія письма къ Антіохійскому архіепископу Іоанну и Іерусалимскому Ювеналію, св. Кириллъ писалъ къ тому и другому и отъ своего лица, убѣждая ихъ принять участіе въ отраженіи новой ереси, а къ Несторію вмѣстѣ съ письмомъ препроводилъ свои «двѣнадцать анаѳематствъ» на главныя мысли, въ ней заключающіяся. Такъ была выяснена Святителемъ александрійскимъ необходимость общаго церковнаго осужденія ереси Несторія для прекращенія произведенныхъ ею разногласій и смятеній; императоромъ Ѳеодосіемъ созванъ былъ 3-й вселенскій соборъ въ г. Ефесѣ ко дню пятидесятницы 431 года, на которомъ св. Кириллъ занималъ мѣсто предсѣдателя и на которомъ опредѣлено исповѣдывать единаго Христа, Сына Божія, воплотившагося, а приснодѣву Марію

признавать въ собственномъ и истинномъ смыслѣ Богородицею, ученіе же Несторія отвергнуто съ низложеніемъ ересеначальника. За тѣмъ испытавъ въ Ефесѣ не мало огорченій отъ приверженцевъ Несторіанства и даже содержаніе подъ стражею въ теченіи двухъ мѣсяцевъ по проискамъ враговъ православія и противорѣчивымъ распоряженіямъ свѣтской власти, Святитель наконецъ восторжествовалъ надъ всѣми своими врагами и 30 Октября возвратился въ Александрію къ живѣйшей радости своей паствы. Въ послѣдующіе годы жизни св. Кириллъ съ великою мудростію и съ необыкновенною кротостію старался расположить колебавшихся восточныхъ епископовъ къ принятію опредѣленій Ефесскаго собора, защитить свои объясненія православнаго догмата отъ возраженій и подозрѣній противниковъ и водворить миръ въ Христовой Церкви; возвышаясь предъ всѣми, какъ главный въ то время ратоборецъ и представитель православія, противъ котораго были направлены нападенія противниковъ Ефесскаго собора, Святитель александрійскій при всей трудности своего положенія успѣшно достигалъ исполненія своихъ благихъ цѣлей и оказалъ такія же заслуги для Церкви въ борьбѣ съ Несторіанствомъ, какія оказалъ великій предшественникъ его св. Аѳанасій въ борьбѣ съ Аріанствомъ. Мирная кончина его въ Александріи послѣдовала въ 444 году, на 32-мъ г. его архіепископства. Память же его празднуется Церковію 18 Января и 8 Іюня.

Неутомимая дѣятельность св. Кирилла, какъ на пользу александрійской паствы, такъ и для огражденія чистоты вѣры вселенской Церкви, доставила ему отъ современниковъ и послѣдующихъ писателей названія «мужа апостольскаго», «пастыря превзошедшаго своею бдительностію славные примѣры предковъ», «славнѣйшаго защитника православной вѣры

и непрестающаго проповѣдника»: писанія же его пріобрѣли высокое уваженіе Церкви, засвидѣтельствованное не только историками, но и соборами Ефесскимъ, Халкидонскимъ, Трулльскимъ и другими (См. Прибавл. къ Творен. св. Отцевъ въ русск. пер. ч. 13. стр. 304. Москва. 1854 г.). Раскрытіе и объясненіе догмата о единствѣ лица въ І. Христѣ при двухъ естествахъ составляетъ одну изъ главныхъ заслугъ его, какъ богослова; но въ многочисленныхъ его писаніяхъ можно находить ясное и точное изложеніе и многихъ другихъ спасительныхъ истинъ вѣры и благочестія, отличающееся, кромѣ внутреннихъ достоинствъ, «рѣчью обработанною и приспособленною къ свойству идей и какъ бы поэзіею простою и не заботящеюся о метрѣ», по словамъ патріарха Фотія (Bibl. cod. XLIX). По содержанію и формѣ всѣ эти писанія, безъ многихъ дошедшихъ до насъ только въ отрывкахъ, могутъ быть раздѣлены на 1) *вѣроучительныя*, съ подраздѣленіемъ на а) догматическія и б) догматико-полемическія; къ первымъ относятся: «Сокровище ученія о святой и единосущной Троицѣ», «Семь собесѣдованій о святой и единосущной Троицѣ», «Книга о святой и животворящей Троицѣ»; ко вторымъ: «Три книги о правой вѣрѣ», «Двѣнадцать главъ или анаѳематствъ» и три сочиненія въ защиту ихъ, «Изъясненіе Никейскаго символа вѣры», «Схоліи о воплощеніи Единороднаго», «О вочеловѣченіи Господа», «О вочеловѣченіи Бога-Слова», «Пять книгъ противъ Несторія», «Противъ не хотящихъ исповѣдывать святую Дѣву Богородицею», «Разговоръ съ Несторіемъ о томъ, что святая Дѣва есть Богородица», «Собесѣдованіе о томъ, что Христосъ есть единъ», «Десять книгъ противъ Юліана богоотступника» и «Книга противъ Антропоморфитовъ»; 2) *Экзегетическія*, или содержащія толкованіе св. Писанія, какъ то: «О поклоненіи Богу духомъ и истиною», «Глафиры» (γλαφυρά) или нравственно-иносказательное объясненіе избранныхъ мѣстъ пятокнижія Моисеева; «Толкованія на пророка Исаію и 12 меньшихъ пророковъ»; 3) *Бесѣды*, сохранившіяся въ числѣ 46, изъ которыхъ 29 пасхальныхъ, написанныхъ въ видѣ окружныхъ посланій отъ александрійскаго епископа ко всѣмъ церквамъ о времени празднованія Пасхи, а прочія противъ Несторіанства и на разные случаи; и 4) *Письма*, числомъ до 70, частію историческаго и частію догматическаго и каноническаго содержанія, изъ которыхъ 49 на греческомъ языкѣ, а прочія сохранились только на латинскомъ.



Для настоящаго сборника избраны изъ писаній св. Кирилла Александрійскаго 1) Догматико-полемическое сочиненіе «О вочеловѣченіи Господа», имѣющее особенную важность потому, что бывъ написано въ послѣдніе годы жизни Святителя, содержитъ въ себѣ самое точное изложеніе мыслей его о предметахъ борьбы съ современными еретиками; 2) Бесѣда въ «Похвалу святой Маріи Богородицы», одна изъ торжественныхъ бесѣдъ, произнесенныхъ Святителемъ въ Ефесѣ, и 3) Бесѣда «объ исходѣ души и второмъ пришествіи» Христовомъ, замѣчательная какъ по мыслямъ о состояніи человѣческихъ душъ по разлученіи съ тѣлами, такъ и по глубинѣ чувствъ сокрушеннаго сердца, выраженныхъ авторомъ съ великимъ назиданіемъ для вѣрующихъ.

Лучшія и новѣйшія изданія писаній св. Кирилла извѣстны:

1. S. Cyrilli Alexandrini opera, graece et latine. Edit. S. Auberti, 7 vol. Paris. 1638.—Nov. Edit. 6. vol. Paris. 1737.

2. Patrologiae Cursus completus. Ser. graec. Edit. I. P. Migne. T. LXVIII—LXXVII. Paris. 1864.

Изъ неполныхъ изданій:

3. Scriptorum veterum nova Collectio. Ed. Angel. Mai. T. VIII. Rom. 1833.

4. Spicilegium Romanum. T. III—V. Edit. Angel. Mai. Rom. 1838—1841.

5. Nova patrum bibliotheca. T. II. Edit. Angel. Mai. Rom. 1844.

Текстъ избранныхъ статей заимствованъ изъ изданія Migne.

---

## ΤΟΥ ᾿ΕΝ ῾ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ῾ΗΜΩΝ ΚΥΡΙΛΛΟΥ ᾿ΑΛΕΞΑΝΔΡΕΙΑΣ

### I.

### Περὶ τῆς τοῦ Κυρίου ἐνανθρωπήσεως.

### Глав. 1—35.

1. Ὁ μὲν περὶ τῆς ἁγίας Τριάδος, ὡς ἐν εὐσεβῶν συλλόγῳ καὶ τοῖς εὐαγγελικοῖς δόγμασιν πειθομένων, ἀποχρώντως ἡμῖν, ὡς οἶμαι, λόγος διήνυσται [1]). Οὐ γὰρ ἀντειπεῖν ἐπὶ τοῦ παρόντος τοῖς ἀσεβέσιν, ἀλλὰ τοῖς φοιτηταῖς τῶν ἀποστόλων ἐκθέσθαι πίστιν προὐθέμεθα. Ἐπειδὴ δὲ καὶ τῶν θείων εὐεργεσιῶν τὸ μέγεθος ὑφάπτειν οἶδε μειζόνως τῶν φιλοθέων τὸν πόθον καὶ θερμοτέρους αὐτοὺς καθίστησιν ἐραστὰς τοῦ Θεοῦ, ἀναγκαίως καὶ ἐπὶ τοῦτον βαδιοῦμαι τὸν λόγον, τῇ θεολογίᾳ τὴν οἰκονομίαν συνάπτων [2]) καὶ δεικνὺς, ἡλίκα καὶ ὅσα ὁ Ποιητὴς τὸ ἡμέτερον εὐηργέτησε γένος. Οὐ γὰρ ἐπαύσαντο πώποτε τῶν θείων δωρεῶν αἱ πηγαὶ τοῖς ἀνθρώποις ἀγαθὰ ἀναβλύζουσαι.

2. Ἀλλ᾽ ἀφ᾽ οὗπερ τόνδε τὸν παναρμόνιον κόσμον ἐδημι-

[1]) Разумѣются предшествовавшія сочиненія св. отца о Св. Троицѣ.

[2]) Θεολογία—въ смыслѣ отвлеченнаго разсужденія о Богѣ во Св. Троицѣ; οἰκονομία—въ смыслѣ историческаго ученія о домостроительствѣ нашего спасенія.



ούργησεν, ταῖς ποικίλαις εὐεργεσίαις τὴν ἡμετέραν ἐπικλύζει φύσιν ὁ Ποιητής. Καὶ πρῶτον μὲν μὴ ὄντα πεποίηκε καὶ διαπλάττων ἐτίμησε, καὶ τὸν χοῦν εἰς ἀνθρώπου φύσιν μετέβαλεν ὡς ἠθέλησε, καὶ τῷ δυσειδεῖ πηλῷ κάλλος καὶ ψυχὴν ἐδωρήσατο, ὀφθαλμῶν λαμπρότητα, καὶ γαλήνης [1]) καθαρότητα, καὶ παρειῶν λειότητα, καὶ γλώττης ἁπαλότητα, καὶ αἵματος ὀχετοὺς εἰς ἅπαντα τοῦ σώματος διαθέοντας μέλη καὶ ἀρδείαν ἀποχρῶσαν σαρκὶ καὶ νεύροις χορηγοῦντας καὶ δέρματι, ὀστῶν ἀντιτυπίαν, καὶ τῶν ἐν τούτοις ἀποκειμένων μυελῶν τὸ χρειῶδες, καὶ τἄλλα ὅσα τοῦ ἀνθρωπίνου ζώου τὸ ὁρώμενον ἔχει. Καὶ πρὸς τούτοις νοῦν ἔδωκεν ἡγεμόνα καὶ κυβερνήτην, σοφίας πληρώσας, τέχνης ἁπάσης καὶ ἐπιστήμης ἐμπλήσας, καὶ λογικὸν ἀπέφηνε τὸ πήλινον ἄγαλμα, καὶ οἰκείαν εἰκόνα πεποίηκε τὸν χοϊκὸν ἀνδριάντα, τὸ ἀρχικὸν καὶ αὐτοκρατορικὸν καὶ δημιουργικὸν [2]) τῇ νοερᾷ ψυχῇ καὶ ἀθανάτῳ δωρησάμενος. Εἶτα βασιλέα κτηνῶν, καὶ τετραπόδων, καὶ ἑρπετῶν, νηκτῶν, καὶ ἀμφιβίων, καὶ τῶν ἀεροπόρων ὀρνίθων ἐχειροτόνησε. Πρὸ δὲ τούτων ὥσπερ τινὰ παστάδα χαριεστάτην ἄνωθεν ἐξέτεινεν οὐρανὸν, λειμῶνας ἀστέρων ἐγκαταπήξας, χρείαν τε ὁμοῦ καὶ τέρψιν παρέχοντας· ἥλιον τε ἀνίσχειν κελεύσας, καὶ δύεσθαι, καὶ ποιεῖν ἡμέρας καὶ νύκτας, καὶ τῷ δρόμῳ τὸν χρόνον μετρεῖν· σελήνην φθίνειν καὶ πλήθειν, καὶ ταῖς πυκναῖς μεταβολαῖς ἥδειν τε ὁμοῦ καὶ σημαίνειν κύκλον τὸν ἐνιαύσιον· γῆν δὲ κάτωθεν ὑπεστόρεσε, καὶ ποικίλον αὐτῇ κόσμον δέδωκεν, εἰς ἄλση καὶ λήϊα καὶ λειμῶνας διακρίνας· ὄρη κυρτώσας εἰς ὕψος, καὶ νάπας κοιλάνας, καὶ πεδία ὕπτια καὶ ἰσόπεδα δείξας, καὶ πηγὰς ἀναβλύζειν ἐν μέσῳ κελεύσας, καὶ ποταμοὺς τρέχειν ἄπαυστα, καὶ τἄλλα ὅσα γῆν καλλωπίζει καὶ θάλατταν.

3. Οὕτω δημιουργήσας τὸν πρῶτον ἄνθρωπον, καὶ τῇ εἰκόνι τιμήσας καὶ τῷ πλήθει τῶν δωρεῶν ἀποκλύσας, τίθησιν αὐτῷ τὸ τῆς φύσεως ὄνομα· Ἀδὰμ γὰρ αὐτὸν προσηγόρευσεν· τοῦτο δὲ τὸν χοῦν δηλοῖ τῇ Ἑβραίων φωνῇ. Μία δὲ καὶ αὕτη

[1]) Γαλήνη—тишина (въ воздухѣ), гладкая поверхность (на морѣ); въ переносномъ смыслѣ: спокойный и ясный видъ лица, или самое лице (πρόσωπον).

[2]) Т. е. способности умственныя, нравственныя и дѣятельныя.

περὶ τὸν ἄνθρωπον κηδεμονία. Ἐπειδὴ γὰρ ἔμελλε τοσούτοις ἀγαθοῖς ἐντρυφήσειν καὶ τοσούτων ἄρχων ἀνηγορεύθη καὶ βασιλεύς, ἵνα μὴ τῷ πλήθει τῶν δωρεῶν ὑπερμαζήσας καὶ τῷ ὕψει τῆς ἡγεμονίας ἐπαρθεὶς κατασκιρτήσῃ τοῦ κτίσαντος, καὶ μεγίστην ἐκ τῆς τυραννίδος ἀπενέγκηται βλάβην, κατὰ τὸν πρῶτον ἀποστάτην ἐκεῖνον τὸν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα δι' ἀλαζονείαν [1]), ἀναγκαίως ὁ σοφὸς τῶν ὅλων πρύτανις κωλύων αὐτοῦ τὸν ὄγκον τοῦ φρονήματος, Ἀδὰμ προσηγόρευσεν, ἵνα ἐκ τῆς προσηγορίας ἐννοῶν τὴν συγγένειαν, καὶ τὰς ἀφορμὰς τῆς φύσεως λογιζόμενος, καὶ τὸν πρόγονον χοῦν πρὸ τῶν ὀφθαλμῶν θεώμενος, ἑαυτὸν μὲν γνωρίζῃ, προσκυνῇ δὲ τὸν τοσαύτην εὐπρέπειαν αὐτῷ καὶ μεγαλοπρέπειαν δωρησάμενον· αὕτη πρώτη περὶ τὸν ἄνθρωπον ἐδείχθη τοῦ Ποιητοῦ μετὰ τὴν δημιουργίαν πρόνοια· οὕτως ἐξ ἀρχῆς οἷά τις πατὴρ καὶ ἰατρὸς καὶ διδάσκαλος, κοσμῶν ὁμοῦ καὶ ἰατρεύων καὶ διδάσκων αὐτὸν τὴν ἀρετήν, διετέλεσεν.

4. Οὕτως αὐτὸν διαπλάσας, οὕτως προσαγορεύσας, βοηθὸν αὐτῷ καὶ συνεργὸν καὶ τοῦ βίου κοινωνὸν παραχρῆμα ἐδημιούργησεν· οὐκ ἐκ μόνης δὲ τῆς γῆς, ὡς ἐπ' ἐκείνου, λαμβάνει τὰς ἀφορμὰς τῆς διαπλάσεως, ἀλλὰ μίαν τῶν πλευρῶν ἐκείνου λαβών, καὶ ταύτῃ καθάπερ τινὶ κρηπῖδι καὶ θεμελίῳ χρησάμενος, τὴν γυναικείαν φύσιν ποιεῖ· οὐχ ὕλης ἀπορίᾳ,—μόνη γὰρ αὐτῷ βουλὴ πρὸς τὴν ὅλων δημιουργίαν ἤρκεσεν,—ἀλλὰ ἐν τῇ φύσει τῆς ὁμονοίας θελήσας ἐνθεῖναι τὸν σύνδεσμον. Φυτεύει καὶ παράδεισον, καὶ φυτοῖς αὐτὸν κατακοσμεῖ παντοίοις, καὶ τοῦτον ἐνδιαίτημα τῷ ἀνθρώπῳ χαρίζεται, δεδωκὼς αὐτῷ γυμνάσιον ἀρετῆς, ἐντολὴν οὐκ ἐπίπονον, οὐδὲ γέμουσαν ἱδρῶτος, ἀλλὰ μάλα σωφρονοῦντι ῥαδίαν.

5. Πάντων γὰρ τῶν φυτῶν τοῦ παραδείσου κελεύσας ἀπολαύειν, ἑνὸς ἀπεγόρευσε τὴν μετάληψιν· οὐχ ἁπλῶς οὐδὲ τοῦτο πεποιηκώς, ἀλλ' ἵνα τὸν πεποιηκότα γνωρίζῃ, καὶ ὥσπερ τινὰ ζυγὸν ἔχῃ τὸν νόμον τοῦ δημιουργήσαντος, ἵνα γινώσκῃ, ὡς βασιλεύει μὲν τῶν ἐν τῇ γῇ, βασιλεύεται δὲ ἀπὸ πλάσαντος, ἄρχει καὶ ἄρχεται, δεσπόζει καὶ δεσπόζεται, ἡγεῖται καὶ ἄγεται. Ἄλλως δὲ καὶ πρόσφορος ἡ νομοθεσία τοῖς λογικοῖς· ἀλόγων γὰρ ἴδιον

---

[1]) Ησα. 14. 12.

τὸ νόμων χωρὶς πολιτεύεσθαι· τὸν δὲ περὶ βρώσεως νόμον τέθεικεν αὐτῷ ὁ Ποιητής, ἐπειδὴ τῶν ἄλλων νόμων ἡ θέσις περιττὴ τηνικαῦτα ἦν. Τί γὰρ αὐτῷ καὶ ἀπαγορεύειν ἐχρῆν; μὴ φονεῦσαι; ἀλλ' οὐκ ἦν ὁ τοῦτο πεισόμενος. Ἀλλὰ μὴ μοιχεῦσαι; ἀλλ' οὐδὲ βουληθεὶς οἷός τε ἦν, γυναικὸς ἄλλης οὐκ οὔσης. Ἀλλὰ μὴ κλέψαι; τὰ τίνος; αὐτοῦ γὰρ ἦν ἅπαντα. Ἁρμόδιος τοίνυν ο κόσμος ἐκεῖνος [1]) ἦν τῷ τότε καιρῷ, καὶ οὐ μόνον τοῖς μόνοις οὖσιν, ἀλλὰ καὶ παιδίοις ἀρτιγενέσι συμβαίνων.

6. Ἐπειδὴ δὲ φθόνῳ διαβόλου καὶ γυναικὸς εὐκολίᾳ τὴν ἀπάτην ἐδέξατο (ταύτην γὰρ ὡς ἁπαλωτέραν φενακίσας, πρότερον δι' αὐτῆς, ὡς πιθανωτέρας, τὸν Ἀδὰμ ὁ τῆς ἡμετέρας φύσεως ἀλάστωρ ἐπολιόρκησεν), ἐξεβλήθη μὲν εὐθὺς τοῦ παραδείσου, καὶ πρὸς τὴν συγγενῆ γῆν παρεπέμφθη, ἱδρῶτι καὶ πόνῳ καὶ ταλαιπωρίᾳ συγκληρωθείς, καὶ οἱόν τινι χαλινῷ τῇ γηπονίᾳ καὶ κακοπαθείᾳ καὶ ταῖς ἄλλαις τοῦ βίου πονηρίαις παραδοθείς. Ὡς γὰρ τὴν ἄπονον ἐκείνην καὶ ἄλυπον οὐκ ἐνεγκὼν εὐγνωμόνως ζωὴν, τῇ δυσημερίᾳ συζεύγνυται, ἵνα τὴν ἀπὸ τῆς εὐημερίας φερομένην νόσον διὰ τῶν πόνων ἀποσκευάσηται. Διακόπτει δὲ καὶ θανάτῳ τὸν δρόμον τῆς ἁμαρτίας ὁ νομοθέτης, καὶ αὐτὴν δείκνυσι τὴν τιμωρίαν φιλανθρωπίαν. Ἐπειδὴ γὰρ τῇ παραβάσει νομοθετῶν συνέζευξε θάνατον, παραβὰς δὲ ὑπὸ τὴν τιμωρίαν ἐκείνην ἐγένετο, οἰκονομεῖ τὴν τιμωρίαν σωτηρίαν γενέσθαι. Διαλύει γὰρ τοῦτο τὸ ζῶον ὁ θάνατος, καὶ παύει μὲν τὴν τῆς πονηρίας ἐνέργειαν, ἀπαλλάττει δὲ πόνων, καὶ ἱδρώτων ἐλευθεροῖ, λύπας καὶ φροντίδας ἐλαύνει, τέλος τοῖς τοῦ σώματος δίδωσι πάθεσι. Τοσαύτῃ φιλανθρωπίᾳ τὴν τιμωρίαν ἐκέρασεν ὁ κριτής!

7. Ἀλλ' οὐδὲν ἐντεῦθεν τὸ ἀχάριστον γένος τῶν ἀνθρώπων ἀπώνατο· μείζοσι δὲ ἀγνωμοσύναις τὸν εὐεργέτην ἠμείψατο. Εὐθὺς γὰρ ἀδελφοκτονία τολμᾶται, καὶ φθόνος, καὶ ψεῦδος, ἀκολασίαι τε καὶ ἀσέλγειαι, ἀδικίαι, καὶ ἀλληλοφονίαι, καὶ τῶν ἀλλοτρίων ἁρπαγαὶ, καὶ τἄλλα ὅσα ἐβλάστησεν ἡ ἁμαρτία κακά. Ἀλλ' οὐδὲ οὕτως ὁ Ποιητὴς, ἣν διέπλασεν, ἀπηγόρευσεν φύσιν· σοφῶς δὲ αὐτὸ καὶ διαφόρως ἐτέλεσεν, ἰατρεύων, ἐπιτιμῶν, ἐγκαλῶν,

---

[1]) **Κόσμος—міръ и порядокъ въ мірѣ, устройство.**

εἰσηγούμενος τὸ δέον, συμβουλεύων, ἀπειλῶν, ἐπάγων τὴν ἀπειλὴν, κολάζων τοὺς πονηροὺς, στεφανῶν τοὺς ἀγαθοὺς, καὶ τὸν μὲν ἀνακηρύττων, τὸν δὲ μετατιθεὶς, τὸν δὲ ξύλῳ μετὰ τοῦ γένους διασώζων καὶ σπινθῆρα τῇ φύσει διατηρῶν, ἐπικλύζων τὴν γῆν, διαφθείρων ὕδατι τοὺς ἐργάτας τῆς πονηρίας, αὔξων αὖθις τὸ ἀνθρώπινον γένος, μερικαῖς τιμωρίαις κοινὰς ἰατρείας ποιούμενος, πόλεις ἀσεβείαις συζώσας πυρὶ καταφλέγων οὐρανίῳ, τὸν σὺν αὐτοῖς μὲν οἰκοῦντα, τῆς δ' ἀσεβείας οὐ κοινωνοῦντα, τῆς τιμωρίας ἐλευθερῶν, εὐετηρίαις δωρούμενος, ἐν καιρῷ ὑετὸν χαριζόμενος, αὔξων ἀρρήτως τὰ παρὰ τῶν ἀνθρώπων καταβαλλόμενα σπέρματα, καρπῶν ἀφθονίας βρύειν τὰ δένδρα κελεύων, λιμῷ παιδεύων τοὺς οὐδὲν ἐκ τῆς εὐθηνίας ὠφεληθέντας, νόσους ἐπάγων καὶ πάλιν ταύτας ἐλαύνων, χαλασφενδονῶν τὰς τῆς ζωῆς ἀφορμὰς, νέφεσιν ἀκρίδος τὸν ἥλιον κρύπτων καὶ τοὺς καρποὺς διαφθείρων· νεύων αὖθις, καὶ τὰ λυπηρὰ μεταβάλλων, τοὺς τὴν εὐσέβειαν ἀγαπήσαντας οὐκ ἐῶν, καὶ τούτοις φαινόμενος, καὶ φιλικῶς διαλεγόμενος, καὶ διὰ τούτων προσημαίνων τὰ μέλλοντα.

8. Ἐπειδὴ δὲ ταῦτα καὶ τἆλλα τὰ μυρία καὶ δυσδιήγητα τῆς θείας οἰκονομίας εἴδη ὀλίγους μὲν εὐηργέτησεν, οἱ δὲ λοιποὶ τῶν ἀνθρώπων ἀνηκέστως διέκειντο, τότε δὴ, τότε τὸ μέγα καὶ ἄρρητον γίνεται τῆς οἰκονομίας μυστήριον· αὐτὸς γὰρ ὁ Λόγος τοῦ Θεοῦ, ὁ δημιουργὸς ἁπάσης τῆς κτίσεως, ὁ ἀχώρητος, ὁ ἀπερίγραπτος, ὁ ἀναλλοίωτος, ἡ πηγὴ τῆς ζωῆς, τὸ ἐκ τοῦ φωτὸς φῶς, ἡ ζῶσα τοῦ Πατρὸς εἰκὼν, τὸ ἀπαύγασμα τῆς δόξης, ὁ χαρακτὴρ τῆς ὑποστάσεως [1]), τὴν ἀνθρωπείαν φύσιν ἀναλαμβάνει, καὶ τὴν οἰκείαν εἰκόνα νεοποιεῖ τῇ ἁμαρτίᾳ διαφθαρεῖσαν, καὶ τὸν ἀνδριάντα τὸν ὑπὸ τοῦ υἱοῦ τῆς πονηρίας παλαιωθέντα ἀνανεοῖ, καὶ τοῦ πρώτου χαριέστερον δείκνυσιν, οὐκ ἀπὸ γῆς ὡς πάλαι τοῦτον δημιουργήσας, ἀλλ' αὐτὸς καταδεξάμενος· οὐ τὴν θείαν φύσιν εἰς ἀνθρωπείαν μεταβαλὼν, ἀλλὰ τῇ θείᾳ τὴν ἀνθρωπείαν συνάψας· μένων γὰρ ὃ ἦν, ἔλαβεν ὃ οὐκ ἦν· καὶ τοῦτο ἡμᾶς διδάσκει ὁ μακάριος Παῦλος βοῶν· «τοῦτο φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι

[1]) Евр. 1. 3.



ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών» [1]). Ἐξ ὧν εὔδηλον, ὡς ἡ τοῦ Θεοῦ μορφὴ, μένουσα ὃ ἦν, ἔλαβε τὴν δούλου μορφήν· μορφὴν δὲ καλεῖ οὐ τὸ φαινόμενον μόνον τοῦ ἀνθρώπου, ἀλλὰ πᾶσαν τὴν ἀνθρώπου φύσιν· ὥσπερ γὰρ ἡ τοῦ Θεοῦ μορφὴ τοῦ Θεοῦ τὴν οὐσίαν σημαίνει, ἀνείδεον γὰρ τὸ θεῖον καὶ ἀσχημάτιστον, καὶ οὐδεὶς ἂν εἴπῃ μὴ παραπαίων, μορφὴν ἔχειν καὶ μελῶν διαίρεσιν τὸν ἀσώματον καὶ ἀσύνθετον, οὕτως ἡ τοῦ δούλου μορφὴ οὐ τὸ ὁρώμενον τοῦτο μόνον, ἀλλὰ πᾶσαν τοῦ ἀνθρώπου δηλοῖ τὴν οὐσίαν.

9. Τινὲς δὲ τῶν τἀναντία φρονούντων τῆς εὐσεβείας, ἐπειδὴ τοῖς ἀποστολικοῖς ῥητοῖς πειρῶνται κατατοξεύειν ἀληθείας τὰ δόγματα, Ἄρειος μὲν καὶ Εὐνόμιος ἄψυχον ἄνθρωπον ἀνειλῆφθαι παρὰ τοῦ Θεοῦ Λόγου διαβεβαιούμενοι, Ἀπολινάριος δὲ ἔμψυχον, νοῦ δὲ ἐστερημένον, οὐκ οἶδ' ὅ τι νοῶν τὴν ἀνθρωπείαν ψυχήν· Μαρκίων δὲ καὶ Μάνης, καὶ ἡ λοιπὴ τῆς ἀσεβείας ἐκείνη συμμορία, τὸ τῆς οἰκονομίας ἅπαν ὁμοῦ ἀρνεῖται μυστήριον [2])· καὶ τὴν μὲν ἄρρητον τῆς ἁγίας Παρθένου σύλληψίν τε καὶ κύησιν, μῦθον εἶναι καὶ πλάσμα νομίζουσι· φαντασίᾳ δὲ σώματος τὴν θεότητα συγκαλυφθῆναι διαγορεύουσι, καὶ τούτῳ τῷ τρόπῳ τοῖς ἀνθρώποις ἄνθρωπον ἀναφανῆναι· ἀναγκαῖον τῶν ἀποστολικῶν ῥητῶν σαφῆ τῆς διανοίας παραστῆσαι τοῖς εὐσεβέσιν. «Ὃς ἐν μορφῇ Θεοῦ, φησιν, ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβὼν, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος». Ταῦτα τῶν προειρημένων αἱρετικῶν ἕκαστος οἰκειούμενος, τῶν βδελυρῶν δογμάτων κατασκευάζει τὸ ψεῦδος· Ἄρειος μὲν καὶ Εὐνόμιος καὶ Ἀπολινάριος καὶ οἱ κατὰ τούτους. τὴν τοῦ δούλου μορφὴν καὶ

[1]) Фил. 2. 5—7.

[2]) Арій и Евномій—извѣстные еретики, отвергавшие истинное божество I. Христа. Аполлинарій, пресвитеръ, а по другимъ епископъ Сирской Лаодикіи, еретикъ 4-го вѣка, училъ, что I. Христосъ принялъ только плоть человѣческую, а не душу, вмѣсто которой въ Немъ было Слово. Маркіонъ, родомъ изъ Понта, еретикъ 2-го вѣка, и Манесъ, родомъ изъ Персіи, еретикъ 3-го вѣка, между прочимъ учили, что I. Христосъ не имѣлъ дѣйствительной природы человѣческой и пострадалъ только призрачно. О нихъ см. въ Церк. Ист. Иннокентія.

τὸ σχῆμα καὶ τὸ ὁμοίωμα τοῦ ἀνθρώπου τὸ φαινόμενον τῆς ἡμετέρας φύσεως σημαίνειν διαγορεύοντες· οἱ δὲ τῆς μυσαρωτέρας φάλαγγος, τὸ σχῆμα καὶ τὸ ὁμοίωμα εἰς σκιάν τινα καὶ εἰκόνα καὶ φαντασίαν σώματι ἐοικυῖαν λαμβάνοντες.

10. Φρενοβλάβειαν δὲ τὴν ἀμφοτέρων παραυτίκα ἡμεῖς διελέγξομεν· μορφὴν γὰρ δούλου τὴν οὐσίαν, ὡς ἀπεδείξαμεν, προσαγορεύει τοῦ δούλου· εἰ γὰρ ἡ τοῦ Θεοῦ μορφὴ τὴν οὐσίαν δηλοῖ τοῦ Θεοῦ, εὔδηλον ὡς καὶ ἡ τοῦ δούλου τῆς οὐσίας ἐστὶ τοῦ δούλου σημαντική· τὸ δέ, «ἐν ὁμοιώματι τοῦ ἀνθρώπου γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος», οὐχ ὡς τῆς φύσεως ὀνόματα τέθεικεν ὁ Ἀπόστολος, ἀλλὰ τῆς ἐνεργείας· ἐπειδὴ γὰρ ὁ Δεσπότης Χριστὸς τὴν ἡμετέραν ἔχων φύσιν, τὴν ἡμετέραν οὐ κατεδέξατο πονηρίαν, ἀλλ᾽ ἁπάσης ἐλεύθερος, ὡς ὁ προφήτης βοᾷ, ὅτι «ἀνομίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ» [1]), καὶ ὁ τῆς ἐρήμου πολίτης Ἰωάννης συμμαρτυρεῖ λέγων· «ἴδε ὁ ἀμνός, ὁ αἴρων τοῦ κόσμου τὴν ἁμαρτίαν» [2])· ὁ μακάριος Παῦλος ἐν ὁμοιώματι ἀνθρώπου αὐτὸν ἀναγκαίως ἔφη γενέσθαι, καὶ σχήματι εὑρεθῆναι ὡς ἄνθρωπον, τῆς πονηρᾶς ἐνεργείας τῶν ἀνθρώπων ἀπηλλαγμένον. Διὸ καὶ ἑτέρωθι ἔλεγε· «τὸ γὰρ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκός, ὁ Θεὸς τὸν ἑαυτοῦ Υἱὸν πέμψας, ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, καὶ περὶ ἁμαρτίας, κατέκρινε τὴν ἁμαρτίαν ἐν σαρκί, ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα» [3]). Ὁρᾶτε, πῶς διὰ τούτων ἐκείνων λύει τὴν ἀσάφειαν. «Ὁ Θεός, φησι, τὸν ἑαυτοῦ Υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας»· οὐχ ἁπλῶς εἶπεν, ἐν ὁμοιώματι σαρκός, διαλύων τῶν ἀσεβῶν δογμάτων τὴν βλασφημίαν· προγινώσκει γὰρ ἅπαντα ἡ χάρις τοῦ Πνεύματος· ἀλλ᾽, «ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας», ἵνα μάθωμεν, ὡς τὸ «ὁμοίωμα», διὰ τὸ πάσης ἁμαρτίας ἀπηλλάχθαι τὸν ἡμέτερον Σωτῆρα, τέθεικεν· ἄνθρωπος γὰρ γενόμενος τὴν φύσιν, κατὰ [4]) τὴν ἁμαρτίαν γέγονεν ἄνθρωπος· διὸ ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί· ἀνθρωπείαν μὲν φύσιν ἀναλαβών, τῆς δὲ τυραννούσης ἐν τοῖς

[1]) Иса. 53. 9. [2]) Іоан. 1. 29. [3]) Рим. 8. 3, 4.

[4]) Κατὰ съ значеніемъ: по причинѣ, вслѣдствіе.



ἀνθρώποις ἁμαρτίας τὸν ζυγὸν μὴ δεξάμενος, ἀλλὰ πᾶσαν ταύτης ἀποῤῥίψας τὴν δεσποτείαν, καὶ δείξας, ὡς δυνατὸν ἐν ἀνθρωπείᾳ φύσει τῶν τῆς ἁμαρτίας περιγενέσθαι βελῶν· οὕτως κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί, τὸ ἀσθενὲς αὐτῆς ἐλέγξας, καὶ τὴν τυραννίδα παύσας, καὶ νικᾶν οὕτω τοὺς ἀνθρώπους διδάξας· διὸ ἐπήγαγεν ὁ μακάριος Παῦλος· «ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα τοῦ νόμου περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα». Οὐκοῦν ἐδικαιώθημεν, τῆς ἁμαρτίας ἐν σαρκὶ κατακριθείσης· κατέκρινε δὲ ἐν σαρκὶ τὴν ἁμαρτίαν, ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας γενόμενος, ὁ Σωτὴρ ὁ ἡμέτερος· τὴν μὲν ἀνθρωπείαν φύσιν ἀναλαβών, τὴν δὲ πάλαι ταύτης δεσπόζουσαν μὴ καταδεξάμενος ἁμαρτίαν. Οὕτως ὁ θεσπέσιος Παῦλος ἐν ὀλίγοις ῥήμασιν ἅπαν τῶν αἱρετικῶν τὸ ξίφος διέλυσεν, Ἀρείου μὲν καὶ Εὐνομίου τὴν μανίαν ἐλέγξας, ἐν τῇ τῶν προειρημένων ῥημάτων ἀρχῇ· «τοῦτο γὰρ φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ᾽ ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών». Οὐ γὰρ εἶπεν, ἐν μορφῇ Θεοῦ γενόμενος, ἀλλ᾽, «ἐν μορφῇ Θεοῦ ὑπάρχων». Οὐδὲ εἶπεν· οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα ἑαυτῷ, ἢ ἴσα ἀγγέλοις, ἢ ἴσα τῇ κτίσει, ἀλλ᾽ ἴσα, ἔφη, Θεῷ τῷ Πατρί, τῷ γεννήσαντι, ἀνάρχῳ, τῷ ἀγεννήτῳ, τῷ ἀπεράντῳ, τῷ τῶν ὅλων Δεσπότῃ. Ἄρειος μὲν οὖν καὶ Εὐνόμιος ἰσχυρὸν ἐντεῦθεν ἐδέξαντο τῆς οἰκείας ἀσεβείας τὸν ἔλεγχον, καὶ Σαβέλλιος δὲ καὶ Μάρκελλος καὶ Φωτεινὸς [1]), οἱ τὰς τρεῖς ὑποστάσεις ἀρνούμενοι, καὶ τὰς τῆς θεότητος συγχέοντες ἰδιότητας, ἐντεῦθεν βλασφημοῦντες ἐλέγχονται· ἕτερος γὰρ κατὰ τὴν ὑπόστασιν ὁ ἐν μορφῇ Θεοῦ ὑπάρχων, καὶ ἕτερος ἐκεῖνος, οὗ ἐν μορφῇ ὑπάρχει· καὶ ἄλλος πάλιν ὁ μὴ ἁρπαγμὸν ἡγησάμενος τὸ εἶναι ἴσα Θεῷ παρ᾽ ἐκεῖνον, οὗ ἴσος ὑπάρχει, ἀλλ᾽ οὐχ ἥρπασεν τὴν πρὸς αὐτὸν ἰσότητα. Πρὸς δὲ τούτοις καὶ ὁ ψευδώνυμος Παῦλος [2]), ὁ τὴν μὲν πρὸ αἰώνων

[1]) Маркеллъ, бывшій епископомъ Анкирскимъ въ Галліи, и послѣдователь его Фотинъ, бывшій епископомъ Сирмійскимъ въ Иллирикѣ, жили въ 4 вѣкѣ и соединяли въ своихъ лжеученіяхъ ереси Арія, Савеллія и Павла Самосатскаго.

[2]) Т. е. Павелъ Самосатскій, извѣстный еретикъ 3 го вѣка.

γέννησιν τοῦ Σωτῆρος ἀρνούμενος, ἰουδαϊκῷ δὲ κεχρημένος φρονήματι, καὶ τὴν ἐκ Παρθένου μόνην ὁμολογῶν, ἐκ τῶν αὐτῶν τούτων λόγων τὴν ἀξίαν τῆς ἀσεβείας αἰσχύνην καρποῦται· διδάσκεται γὰρ ὑπὸ τοῦ θείου Παύλου τὸν λαβόντα Θεὸν Λόγον καὶ τὴν ἀνθρωπείαν φύσιν τὴν ληφθεῖσαν, τὴν προϋπάρχουσαν μορφὴν τοῦ Θεοῦ καὶ ἐν τῷ τέλει τῶν αἰώνων προσληφθεῖσαν ἀπ' ἐκείνης δούλου μορφήν. Διδάσκεται δε πάλιν Ἀπολινάριος σὺν Ἀρείῳ καὶ Εὐνομίῳ, ὡς οὐχ ὁ Θεὸς Λόγος ὁ ἄτρεπτος εἰς σαρκὸς φύσιν ἐτράπη, ἀλλὰ τὴν ἡμετέραν ἀναλαβὼν οὐσίαν τὴν ἡμετέραν ἐπραγματεύσατο σωτηρίαν. Ἀπεδείξαμεν δέ, δι' ὧν εἰρήκαμεν, μορφὴν δούλου τὴν τοῦ ἀνθρώπου προσαγορευομένην οὐσίαν· εἰ γὰρ ἡ μορφὴ τοῦ Θεοῦ, οὐσία τοῦ Θεοῦ· ἀμόρφωτον γὰρ καὶ ἀνείδεον τὸ Θεῖον, ἁπλοῦν δὲ καὶ ἀσύνθετον καὶ ἀσχημάτιςον· καὶ ἡ τοῦ δούλου μορφὴ δηλονότι οὐσία δούλου εἰκότως ἂν νοηθείη· οὐσία δὲ δούλου, τουτέςιν ἀνθρώπου, οὐ τὸ φαινόμενον σῶμα μόνον, ἀλλὰ πᾶσα τοῦ ἀνθρώπου ἡ φύσις παρὰ τοῖς σωφρονοῦσι νενόμιςαι. Πρὸς δὲ τούτοις οἱ πρωτοςάται τῆς ἀσεβείας, καὶ πρῶτοι τὴν βλασφημίαν κατὰ τῆς εὐσεβείας βλαςήσαντες, καὶ χριςιανῶν μὲν ὄνομα ἑαυτοῖς ἐπιθέντες, πᾶσαν δὲ τὴν πολύθεον τῶν εἰδώλων πλάνην ὑπερακοντίσαντες, Μαρκίων, φημί, καὶ Μάνης, καὶ οἱ τῆς λοιμικῆς αὐτῶν καθέδρας μύςαι καὶ γείτονες, δι' αὐτῶν τούτων τῶν ῥημάτων τὴν οἰκείαν παραπληξίαν μανθάνουσι· τὴν κατὰ σάρκα γὰρ τοῦ Κυρίου γέννησίν τε καὶ ἐνανθρώπησιν οὐ δεχόμενοι, ἀκούουσι τοῦ θειοτάτου Παύλου διδάσκοντος, ὡς ἡ τοῦ Θεοῦ μορφὴ ἔλαβε τὴν τοῦ δούλου μορφήν· ἡ δὲ τοῦ δούλου μορφὴ οὐ φαντασία τις ἦν, οὐδὲ σκιά, οὐδὲ ἀέριον ἴνδαλμα, οὐδ' ἄλλο τι τῶν τοιούτων προσαγορεύεται, ἀλλ' ἡ τοῦ δούλου φύσις. Εἰ δὲ τὰ ἐπαγόμενα ἡμῖν προβάλλοιντο, «ἐν ὁμοιώματι ἀνθρώπου γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος», καὶ τὸ ἐν τῇ πρὸς Ῥωμαίους «ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας», πρῶτον αὐτῶν τὴν ἄνοιαν διελέγξωμεν· εἰ γὰρ τό, «ἐν ὁμοιώματι ἀνθρώπου, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος», φαντασίαν τινὰ ἀνθρωπείαν δηλοῖ, ἡ δὲ μορφὴ τοῦ δούλου—φύσις ἀνθρώπου· ἐναντία τίθησιν ὁ Ἀπόςολος· εἰ δὲ οὐκ ἐναντία τοῦ Ἀποςόλου τὰ ῥήματα, μάθωμεν, ὡς ἡ τοῦ δούλου μορφὴ οὐσία



δούλου τυγχάνει. Τὸ δὲ ἐν ὁμοιώματι ἀνθρώπων γενέσθαι καὶ σχήματι εὑρεθῆναι ὡς ἄνθρωπον, οὕτως νοήσομεν, ὅτι ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριςὸς τὴν ἡμετέραν ἔχων φύσιν, οὐ κατὰ πάντα ἴσος ἡμῖν ἐτύγχανεν· ἐγεννήθη μὲν γὰρ ἐκ γυναικὸς καὶ αὐτός, ἀλλ' οὐχ ὁμοίως ἡμῖν· ἐκ παρθενικῆς γὰρ ἐβλάςησε μήτρας· καὶ τέλειος μὲν ἄνθρωπος ἦν ὡς ἡμεῖς, εἶχε δὲ πλέον ἡμῖν τοῦ Θεοῦ Λόγου τὴν ἐνοίκησίν τε καὶ ἕνωσιν· καὶ σάρκα μὲν εἶχεν ἔμψυχόν τε καὶ λογικὴν ὡς ἡμεῖς, τῶν δὲ τῆς ἁμαρτίας οὐκ ἠνέσχετο κινημάτων ὥσπερ ἡμεῖς, ἀλλ' ἐν σώματι ὑφ' ἁμαρτίας πολεμουμένῳ τὴν τῆς ἁμαρτίας τυραννίδα κατέλυσε· διὰ τοῦτο ἐν ὁμοιώματι ἀνθρώπου γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, «ἑαυτὸν ἐταπείνωσεν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ ςαυροῦ» [1]· καὶ αὐτὸ δὲ τὸ ὄνομα τῆς ταπεινώσεως δηλοῖ τὴν τῆς ταπεινῆς ἀνάληψιν φύσεως. Ἄλλως τε περὶ τοῦ ἐν μορφῇ Θεοῦ ὑπάρχοντος διαλεγόμενος, ἐπήγαγεν· «ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος», διδάσκων, ὅτι ὁ ἀσώματος Θεοῦ Λόγος ὡς ἄνθρωπος ὤφθη, φύσιν ἀνθρωπείαν ἀναλαβών· διὸ καὶ τὸ «ὡς ἄνθρωπος» τέθεικεν, ἵνα μὴ τροπήν τινα γεγενῆσθαι νομίσωμεν τοῦ ἀοράτου Θεοῦ, ἀλλὰ πιςεύσωμεν, ὅτι σάρκα λαβὼν ἔμψυχόν τε καὶ λογικήν, Θεὸς ὢν ἐν ὁμοιώματι ἀνθρώπου ἐγένετο, καὶ σχήματι εὑρέθη ὡς ἄνθρωπος· οὕτως ὁ μέγας τῆς εὐσεβείας προαγωνιςής, ὁ μακάριος λέγω Παῦλος, τὰ ποικίλα καὶ διάφορα τῶν αἱρετικῶν κατέλυσε ςόματα. Ἀλλ' ἐνταῦθα μὲν ἡμᾶς ὁ λόγος παρήνεγκε, τὴν τῶν αἱρετικῶν ἐλέγχων ἐμβροντησίαν, καὶ ὅπλα ποιῶν τοῖς τροφίμοις τῆς εὐσεβείας τῆς ἀληθείας τὰ δόγματα. Ἀναχωρεῖν οὖν, ὅθεν ἐξέβην, καιρός.

11. Τοίνυν τὴν ἡμετέραν φύσιν ὁ Ποιητὴς οἰκτείρας ὑπὸ τοῦ πονηροῦ πολεμουμένην, καὶ τοῖς πικροῖς τῆς ἁμαρτίας βέλεσι βαλλομένην, καὶ τῷ θανάτῳ παραπεμπομένην, ἐπαμύνει τῇ εἰκόνι [2], καὶ τοὺς πολεμοῦντας καταγωνίζεται, οὐ γυμνῇ τῇ δυνάμει χρησάμενος τῇ θεότητι, οὐδὲ τῇ ἐξουσίᾳ τῆς βασιλείας κα-

---

[1] Фил. 2. 7, 8.
[2] Т. е. человѣку. сотворенному по образу Божію.

ταπλήξας τοὺς ἀντιπάλους, οὐκ ἀγγέλους στρατεύσας, οὐδὲ τοὺς ἀρχαγγέλους εἰς συμμαχίαν λαβὼν, οὐδὲ κεραυνοὺς ἢ πρηστῆρας κατὰ τῶν ἐναντίων ὁπλίσας, οὐδὲ μετὰ τῶν Χερουβὶμ φανεὶς ἐπὶ τῆς ἠπείρου καὶ τῶν ἡμετέρων ἀντιδίκων δικαστικῶς καταψηφισάμενος, ἀλλ᾽ εἰς τῶν ὑπευθύνων καὶ πολεμουμένων γινόμενος, καὶ κατακρύψας τὸ μεγαλοπρεπὲς τῆς θεότητος τῇ εὐτελείᾳ τῆς ἀνθρωπότητος, καὶ τὸν δρώμενον ἄνθρωπον εἰς πάλην ἀλείψας καὶ νικήσαντα στεφανώσας· καὶ παιδόθεν μὲν τὴν ἀρετὴν ἐκδιδάξας καὶ δικαιοσύνης εἰς ἀκρότατον ἀγαγὼν, ἀήττητον δὲ φυλάξας καὶ τῶν βελῶν τῆς ἁμαρτίας ἐλεύθερον, συγχωρήσας δὲ ὅμως ὑπὸ θάνατον γενέσθαι, ἵνα τῆς ἁμαρτίας τὴν ἀδικίαν ἐλέγξῃ, καὶ τοῦ θανάτου καταλύσῃ τὸ κράτος. Εἰ γὰρ τῶν ὑπὸ τὴν ἁμαρτίαν γεγενημένων ὁ θάνατος ἐπιτίμιον, ὁ ταύτης ἀπηλλαγμένος παντάπασι δηλονότι ζωῆς ἀπολαύειν, ἀλλ᾽ οὐ θανάτου, δίκαιος ἦν· τοίνυν ἡττηθεῖσα ἡ ἁμαρτία, καὶ τὸν νικητὴν κατακρίνασα θανάτῳ, καὶ τὴν αὐτὴν ἐξενεγκοῦσα κατὰ τοῦ νενικηκότος ψῆφον, ἣν ἀεὶ κατὰ τῶν ἡττωμένων ἐξέφερεν, ἀδικοῦσα ἑάλω. Μέχρι μὲν γὰρ τοὺς ὑπηκόους τῷ θανάτῳ παρέπεμπεν, ὡς δίκαια ποιοῦσα συνεχωρεῖτο τοῦτο ποιεῖν· ἐπειδὴ δὲ τὸν ἀθῷον καὶ ἀνεύθυνον καὶ στεφάνων καὶ ἀναῤῥήσεων ἄξιον τοῖς αὐτοῖς ἐπιτιμίοις ὑπέβαλλεν, ἀναγκαίως λοιπὸν ὡς ἄδικος τῆς ἐξουσίας ἐκβάλλεται. Και τοῦτο διδάσκων ὁ μακάριος Παῦλος ἔλεγεν· «τὸ γὰρ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκὸς, ὁ Θεὸς τὸν ἑαυτοῦ Υἱὸν πέμψας, ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, καὶ περὶ ἁμαρτίας, κατέκρινε τὴν ἁμαρτιαν ἐν τῇ σαρκὶ, ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα» [1]· Ὃ δὲ λέγει, τοιοῦτό ἐστι· σκοπὸς, φησιν, ἦν τῷ νόμῳ δικαιῶσαι τὴν φύσιν τῶν ἀνθρώπων· ἀδυνάτως δὲ εἶχε τοῦτο ποιεῖν, οὐ παρὰ τὴν οἰκείαν ἀσθένειαν, ἀλλὰ διὰ τὴν τῶν ἀκουόντων ῥᾳθυμίαν· ἐπιῤῥεπῶς γὰρ ἔχοντες περὶ τὴν τῆς σαρκὸς ἡδονὴν, ἔφυγον μὲν τὸ τῶν νομίμων ἐπίπονον, ταῖς δὲ τοῦ σώματος προσεχώρουν ἡδυπαθείαις· διὰ τοῦτο, φησιν, ὁ τῶν ὅλων Θεὸς τὸν ἑαυτοῦ πέμψας Υἱὸν ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, τουτέστιν ἀν-

---

[1] Римл. 8. 3, 4.

θρωπίνη μὲν φύσει, ἁμαρτίας δὲ ἀπηλλαγμένη, καὶ περὶ ἁμαρτίας, κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί, ἐλέγξας αὐτῆς τὴν ἀδικίαν, ὅτι τὸν ἀνεύθυνον καὶ ἁμαρτίας ἐλεύθερον τοῖς τῶν ἁμαρτωλῶν ἐπιτιμίοις ὑπέβαλλεν· οὐχ ἵνα δὲ δικαιώσῃ ὃν ἀνέλαβεν ἄνθρωπον, ταῦτα πεποίηκεν, ἀλλ' ἵνα, φησί, τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα. Ἐπὶ γὰρ πᾶσαν τὴν φύσιν τῶν ἀνθρώπων ἡ τοῦ Σωτῆρος ἡμῶν εὐεργεσία χωρεῖ· ὅτι καθάπερ τῷ προπάτορι Ἀδὰμ καὶ τῆς ἀρᾶς ἐκεινωνήσαμεν, καὶ γεγόναμεν ἅπαντες ὑπὸ τὸν θάνατον ὥσπερ ἐκεῖνος, οὕτω τοῦ Σωτῆρος Χριστοῦ καὶ τὴν νίκην οἰκειούμεθα, καὶ τῆς δόξης συμμεθέξομεν, καὶ τῆς βασιλείας συναπολαυσόμεθα. Καὶ τούτων μάρτυς ὁ μακάριος Παῦλος, τῶν τε παλαιῶν καὶ τῶν νέων ἀναμιμνήσκων, καὶ δεικνὺς τῶν προτέρων λύσιν γεγενημένην, τὴν τοῦ Σωτῆρος ἡμῶν δικαιοσύνην [1]).

12. «Εἰ γὰρ τῷ τοῦ ἑνός, φησι, παραπτώματι οἱ πολλοὶ ἀπέθανον, πολλῷ μᾶλλον ἡ χάρις τοῦ Θεοῦ, καὶ ἡ δωρεὰ ἐν χάριτι τῇ τοῦ ἑνὸς ἀνθρώπου Ἰησοῦ Χριστοῦ εἰς πολλοὺς ἐπερίσσευσε». Καὶ μετὰ βραχέα· «ἄρα οὖν ὡς δι' ἑνὸς παραπτώματος εἰς πάντας ἀνθρώπους τὸ κατάκριμα, οὕτω καὶ δι' ἑνὸς δικαιώματος δικαίωσις ζωῆς· ὥσπερ γὰρ διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἀνθρώπου ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοί, οὕτω καὶ διὰ τῆς ὑπακοῆς τοῦ ἑνὸς δίκαιοι κατασταθήσονται οἱ πολλοί» [2]). Ταῦτα καὶ ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ σαφέστερον διδάσκει λέγων· «ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτω καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται» [3]). Ἐξ ὧν εὔδηλον, ὡς ἡμετέρα νίκη τοῦ Σωτῆρος ἡμῶν ἡ νίκη· καὶ γὰρ ἧττα κοινὴ γέγονεν ἡ τοῦ προπάτορος ἡμῶν ἧττα· καὶ δεῖ, καθάπερ ἐκείνῳ τῆς κοινωνίας [4]) ἐκοινωνήσαμεν, οὕτως ἡμᾶς συναπολαῦσαι τῶν ἀγαθῶν τῷ ἐξ ἡμῶν μὲν ἀναληφθέντι, ὑπὲρ ἡμῶν δὲ στεφανωθέντι· διὸ καὶ ὁ θεῖος Ἀπόστολος ἔλεγεν, ὅτι «οὓς προέγνω καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ, εἰς τὸ εἶναι

---

[1]) 2 Кор. 5. 17. [2]) Рим. 5. 15, 18. [3]) 1 Кор. 15. 22.

[4]) Κοινωνία—въ смыслѣ грѣховной нечистоты, отъ прилаг. κοινός, которое иногда принимается за синонимическое съ ἀκάθαρτος, напр. Дѣян. Ап. 10. 14, 28; 11. 8.

αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς· οὓς αὐτὸς προώρισε, τούτους καὶ ἐκάλεσε· καὶ οὓς ἐκάλεσε, τούτους καὶ ἐδικαίωσε· καὶ οὓς ἐδικαίωσε, τούτους καὶ ἐδόξασε» [1]). Καὶ ἑτέρωθεν λέγει· «εἰ δὲ τέκνα, καὶ κληρονόμοι· κληρονόμοι μὲν Θεοῦ, συγκληρονόμοι δὲ Χριςοῦ· εἴπερ καὶ συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν» [2]). Καὶ ἀλλαχοῦ· «εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν» [3]). Ὑπὲρ πάσης τοίνυν τῆς ἡμετέρας φύσεως ὁ τοῦ Θεοῦ Θεὸς Λόγος τὴν ἡμετέραν ἀπαρχὴν ἀνελάβετο, ἵνα διὰ πάσης αὐτὴν ἀρετῆς ἀγαγὼν, εἰς πάλην μὲν προτρέψῃ τὸν ἀνταγωνιςὴν, δείξῃ δὲ τὸν ἀθλητὴν ἀήττητον· καὶ τοῦτον μὲν ςεφανώσῃ, ἐκείνου δὲ τὴν ἧτταν κηρύξῃ, καὶ καταθαῤῥεῖν αὐτοῦ πάντας παρασκευάσῃ· διὸ ἐν τοῖς ἱεροῖς Εὐαγγελίοις ἔλεγε, νῦν μέν· «εἶδον τὸν Σατανᾶν ὡς ἀςραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα» [4])· νῦν δέ· «ἐὰν μή τις εἰσέλθῃ εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ, καὶ τὸν ἰσχυρὸν δήσῃ, πῶς τὰ σκεύη αὐτοῦ διαρπάσει» [5]); οἰκίαν λέγων τοῦ ἰσχυροῦ τὴν ἀνθρωπείαν φύσιν, ὡς πρὸς ἐκεῖνον αὐτομολήσασαν, καὶ πᾶν τὸ κελευσθὲν ὑπ᾿ ἐκείνου ποιεῖν ἀνασχομένην, καὶ αὐθαίρετον δουλείαν ἐπισπασαμένην. Καὶ ἀλλαχοῦ δὲ, «θαρσεῖτέ, φησιν, ἐγὼ νενικηκα τὸν κόσμον» [6]). Καὶ ἑτέρωθεν· «νῦν κρίσις ἐςὶ τοῦ κόσμου τούτου, νῦν ὁ ἄρχων τοῦ κόσμου ἐκβληθήσεται ἔξω· κἀγὼ ἐὰν ἀπὸ τῆς γῆς ὑψωθῶ, πάντας ἑλκύσω πρὸς ἐμαυτόν» [7]). Καὶ προϊὼν δὲ τοῦτο λέγει σαφέςερον.

13. «Περὶ δὲ κρίσεως, ὅτι ὁ ἄρχων τοῦ κόσμου τούτου κέκριται» [8])· καὶ αὖθις· «ἔρχεται ὁ τοῦ κόσμου τούτου ἄρχων, καὶ ἐν ἐμοὶ οὐκ ἔχει οὐδέν» [9])· πάσης γὰρ ἀπηλλαγμένος αἰτίας, οὐδὲν εἶχε τῶν τοῦ διαβόλου σπερμάτων. Διὸ καὶ τὸ τυραννεῖν κατέπαυσεν, καὶ ἐξέβαλεν ἔξω, καὶ ὑπὸ τῶν πάλαι δουλευόντων πατεῖσθαι πεποίηκε, παρεγγυῶν καὶ λέγων· «ἰδοὺ δίδωμι ὑμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων, καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ» [10]). Ἵνα δὲ καὶ αὐτὴν ἴδωμεν τὴν πρὸς τὸν διάβολον πάλην, ἔλθωμεν ἐπὶ τὴν ἱςορίαν τῶν Εὐαγγελίων. Ἀνήχθη ὑπὸ τοῦ Πνεύματος Ἰησοῦς εἰς τὴν ἔρημον μετὰ τὸ βάπτισμα,

[1]) Рим. 8. 29, 30. [2]) Рим. 8. 17. [3]) 2 Тим. 2. 12. [4]) Лук. 10. 18. [5]) Мат. 12. 29. [6]) Іоан. 16. 33. [7]) Іоан. 12. 31, 32. [8]) Іоан. 16. 11. [9]) Іоан. 14. 30. [10]) Лук. 10. 19.



πειρασθῆναι ὑπὸ τοῦ διαβόλου [1]). Ἀνήχθη δὲ οὐχ ὁ Θεὸς Λόγος, ἀλλ᾿ ὁ ἐκ σπέρματος Δαβὶδ ὑπὸ τοῦ Θεοῦ Λόγου ληφθεὶς ναός· οὐ γὰρ τὸν Θεὸν Λόγον εἰς τὴν πρὸς τὸν διάβολον πάλην ἀπήγαγε τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ᾿ ὃν ἐν τῇ Παρθένῳ διέπλασε τῷ Θεῷ Λόγῳ ναόν. Ἄσιτος διετέλεσεν ἡμέρας τεσσαράκοντα καὶ νύκτας ἰσαρίθμους· οὐ γὰρ ἠθέλησεν ὑπερβῆναι τῶν πάλαι νενηςευκότων τὸ μέτρον, ἵνα μὴ φύγῃ τὴν πρὸς αὐτὸν ὁ ἀντίπαλος μάχην, ἵνα μὴ γνωρίσας τὸν κρυπτόμενον φύγῃ τὴν πρὸς τὸ φαινόμενον πάλην. Τούτου χάριν μετὰ τὸν προειρημένον ἀριθμὸν τῶν ἡμερῶν τῆς ἀνθρωπείας φύσεως τὸ πάθος ὑποφαίνει, καὶ συγχωρεῖ τῇ πείνῃ χώραν λαβεῖν, λαβὴν ἐκείνῳ διὰ τῆς πείνης διδούς· οὐ γὰρ προσελθεῖν ἐτόλμα, πολλὰ περὶ αὐτὸν θεοπρεπῆ γινόμενα θεωρῶν· καὶ γὰρ ἄγγελοι τεχθέντος ἐχόρευον, ἀνατείλας ἀςὴρ μάγους ἐποδήγησεν εἰς προσκύνησιν τοὺς τῆς αὐτῆς φάλαγγος κορυφαίους, καὶ αὐτὸν ἑώρα πᾶσαν ἐκ παιδὸς μετιόντα δικαιοσύνην, βδελυττόμενον κακίαν, μυσαττόμενον πονηρίαν· καὶ ταῦτα κατὰ τὴν εἰς αὐτὸν γεγενημένην πρόῤῥησιν ὑπὸ τοῦ προφήτου, ὅτι «πρὶν ἢ γνῶναι αὐτὸν ἀγαθὸν ἢ κακὸν, ἀπειθεῖ πονηρίᾳ τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν» [2])· ἐβόα δὲ καὶ Ἰωάννης· «ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου» [3]). Πατὴρ ἄνωθεν ἐμαρτύρησεν· «οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα» [4]). Τοῦ Πνεύματος ἡ χάρις ἐφοίτησε. Ταῦτα καὶ ὅσα τοιαῦτα τὸν διάβολον καταπλήττοντα προσελθεῖν οὐκ εἴα τῷ τῆς ἡμετέρας φύσεως ἀθλητῇ· ὡς δὲ τῆς πείνης τὴν προσβολὴν ὑπεδέξατο, καὶ τροφῆς αὐτὸν εἶδεν ἀνθρωπίνης δεόμενον, καὶ καρτερεῖν περαιτέρω τῶν παλαιῶν ἀνδρῶν οὐ δυνάμενον, προσέρχεται, λαβὴν οἰόμενος εὑρηκέναι μεγίστην, καὶ νικήσειν ῥᾳδίως πιστεύων.

14. Καὶ καθάπερ ἐν τοῖς πολέμοις τὸν πανταχόθεν τῇ πανοπλίᾳ κεκαλυμμένον κατατοξεῦσαί τις ἐθέλων, ὅλον τοῖς ὀφθαλμοῖς περισκοπῶν, πόῤῥωθεν ἐρευνῶν, μέλος γεγυμνωμένον ἐπιζητῶν, ἵνα τὸ βέλος ἐκεῖ ῥίψας τὸν ἀντίπαλον πλήξῃ, οὕτως ὁ διάβολος πάσῃ δικαιοσύνῃ τὸν Χριστὸν καθωπλισμένον ὁρῶν, καὶ

[1]) Мат. 6. 1. [2]) Иса. 7. 16. [3]) Іоан. 1. 29. [4]) Мат. 3. 17.

τόπον ζητῶν ἁρμόδιον, ἵνα τὸ βέλος ἐκεῖ ἀκοντίσῃ, ὡς εἶδε τὴν πεῖναν ἀναφανεῖσαν, προσέρχεται θαρσαλέως ὡς εὑρὼν τὸ ζητούμενον, ὡς τοῦ προπάτορος ἐν αὐτῷ θεωρήσας τὸ πάθος. Καὶ γὰρ ἐκεῖνον διὰ βρώσεως στερήσας τῆς ἀλύπου ζωῆς, ἱδρῶτι καὶ ταλαιπωρίᾳ καὶ θανάτῳ συνέζευξε· προσέρχεται τοίνυν λέγων· «εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, εἰπὲ, ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται» [1]. Οὐκ ἂν δὲ τοῦτο πεποίηκεν, εἰ μὴ τὸ πάθος τῆς πείνης ὁ Σωτὴρ κατεδέξατο· καὶ τοῦτο μάθοι τις ἐκ τῶν μετὰ ταῦτα σαφῶς· ὡς γὰρ ἡττήθη παλαίσας, καὶ διὰ τῆς πείρας ἔμαθεν, ὅτι αὐτός ἐστιν, ὃν οἱ προφῆται προεκήρυξαν ἅπαντες, οὐδὲ τὴν θέαν αὐτοῦ προσιόντας φέρειν ἐτόλμησεν, ἀλλ᾽ εὐθὺς ἐδραπέτευσεν, νῦν μὲν βοῶν· «τί ἡμῖν καὶ σοί, Υἱὲ τοῦ Θεοῦ; τί ἦλθες πρὸ καιροῦ βασανίσαι ἡμᾶς» [2]; νῦν δέ· «οἶδά σε τίς εἰ, ὁ Υἱὸς τοῦ Θεοῦ, ὁρκίζω σε, μή με βασανίσῃς» [3]. Οὕτως ἐδεδοίκει, καὶ κριτὴν ὡμολόγει· τότε πρὸ τῆς πείρας οὐ τοιούτοις ἐκέχρητο ῥήμασιν, ἀλλὰ θαῤῥῶν προσῄει λέγων· «εἰπὲ, ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται.» Τῆς μὲν γὰρ ἄνωθεν ἐλθούσης φωνῆς ἤκουσα, φησι, τοῦτό σε καλεσάσης, ἀπιστῶ δὲ, ἕως ἂν λάβω τὴν πεῖραν διδάσκαλον· πεῖσόν με διὰ τῶν πραγμάτων, ὡς ὃ κέκλησαι, ἀληθῶς ὑπάρχεις· ἂν γὰρ τοῦτο μάθω, φεύξομαι, καὶ δραπετεύσω, καὶ τὴν πρός σε παραιτήσομαι πάλην· οἶδα γὰρ ὅσον ἐμοῦ καὶ σοῦ τὸ διάφορον· δεῖξον τοίνυν τὸ θαῦμα καὶ τὴν θαυματουργίαν, δίδαξον τὸν τοῦ θαύματος ποιητήν· «εἰπὲ, ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται». Τούτων ἀκούσας κρύπτει μὲν τὴν θεότητα, ἐκ δὲ τῆς ἀνθρωπείας διαλέγεται φύσεως· «οὐκ ἐπ᾽ ἄρτῳ μόνῳ, λέγων, ζήσηται ἄνθρωπος, ἀλλ᾽ ἐν παντὶ ῥήματι διὰ στόματος ἐκπορευομένῳ Θεοῦ» [4]. Δύναμαι, φησιν, ἄνευ ἄρτου τραφῆναι· οὐ μόνον γὰρ ἄρτοις ἡ τῶν ἀνθρώπων συγκροτεῖται ζωὴ, ἀλλὰ ῥῆμα Θεοῦ ἀρκεῖ πᾶσαν τῶν ἀνθρώπων διαθρέψαι τὴν φύσιν· οὕτως ὁ Ἰσραηλιτικὸς διετράφη λαὸς, τεσσαράκοντα ἔτη συλλέγων τὸ μάννα, καὶ θήρας ἀπολαύων ὀρνίθων πεπεδημένης βουλῇ Θεοῦ· καὶ Ἠλίας κόρακας ἑστιάτορας ἔσχε· καὶ Ἐλισαῖος ἀγρίοις λαχάνοις τοὺς θιασώτας διέθρεψε· καὶ τί με δεῖ τὰ παλαιὰ καταλέγειν; Ἰωάννης

[1]) Мат. 4. 3. [2]) Мат. 8. 29. [3]) Лук. 8. 28. [4]) Мат. 4. 4.



οὗτος ὁ ἔναγχος ἐν τῷ Ἰορδάνῃ βαπτίζων, πᾶσάν τε τὴν ἡλικίαν ἐν τῇ ἐρήμῳ διατελέσας, ἀκρίσι τρέφεται καὶ μελιττῶν ἀγρίων καρπῷ· οὐδὲν τοίνυν ἀπεικὸς, καὶ ἡμᾶς ἀπὸ Θεοῦ ξένῃ ἑστιαθῆναι τροφῇ, καὶ ἄρτου μὴ δεηθῆναι. Τούτων ἀκούσας ὁ διάβολος, ἤλγησε μὲν ὡς ἡττηθεὶς, οὐκ ἀπηγόρευσε δὲ τὴν νίκην. ἀκούσας ὡς ἄνθρωπος εἴη· διὰ δευτέραν αὐτῷ καὶ τρίτην αὖθις πεῖραν προσάγει, πῇ μὲν λέγων· «εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, βάλε σεαυτὸν ἄνωθεν κάτω», πῇ δὲ τὰς βασιλείας τῆς οἰκουμένης ὑποδεικνὺς, καὶ ταύτας ἀντιδώσειν ὑπισχνούμενος, εἰ πρότερον παρ᾽ αὐτοῦ τὴν προσκύνησιν λάβοι [1]· ὡς δὲ πάλιν αὐτὸν τῶν παλαιῶν νομίμων ἀνέμνησε, «γέγραπται, λέγων, Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις» [2], καὶ ἐδίδαξεν, ὅτι οὐκ ἀνέξεται ἑτέρῳ τινὶ τὸ θεῖον γέρας προσενεγκεῖν, καὶ ἑτέρων δὲ ὑπομέμνησε ῥημάτων τοῦ Θεοῦ καὶ διδαγμάτων διαγορευόντων μὴ πειράζειν τὸν τῶν ὅλων Θεὸν, ὁ μὲν ἀπέδρα, τῆς ἥττης τὴν αἰσχύνην οὐ φέρων, καὶ δειλιῶν, καὶ τρέμων, καὶ τῆς τυραννίδος ἐκβληθήσεσθαι προσδοκῶν. Πάντα γὰρ αὐτοῦ κενώσας τὰ βέλη, καὶ πάσας αὐτοῦ τῆς ἀπάτης τὰς πάλας προσενεγκὼν, ἄτρωτον εὗρε καὶ ἀήττητον τὸν ἀθλητήν. Καὶ ὡς τῷ Ἀδὰμ προσελθὼν, οὐχ εὗρεν ὃν προσεδόκησεν· ἄγγελοι δὲ τῷ νικητῇ προσιόντες, οἳ πόῤῥωθεν ἑώρων τὴν πάλην, καθάπερ τινὲς ἐρασταὶ διηκόνουν, ἐχόρευον, εὐφήμουν τὸν ἀθλητὴν, ἐστεφάνουν, ἀνεκήρυττον, ἔχαιρον ἐπὶ τῇ τῶν ὁμοδούλων ἀνθρώπων ἐλευθερίᾳ, ἐγάννυντο τοῦ ἀντιπάλου τὴν ἧτταν ὁρῶντες.

**15.** Ταῦτα τὴν Ἀπολιναρίου ἐλέγχει ματαιολογίαν, ὃς ἀντὶ νοῦ τὸν Θεὸν Λόγον ἐνοικῆσαι λέγει τῇ προσληφθείσῃ σαρκί. Εἰ γὰρ νοῦν οὐκ εἶχεν ἀνθρώπινον ἡ ἀναληφθεῖσα φύσις, Θεὸς μὲν ὁ πρὸς τὸν διάβολον ἀγωνισάμενος ἦν, Θεὸς δὲ ὁ τὴν νίκην ἀναδησάμενος· Θεοῦ δὲ νενικηκότος, ἐγὼ μὲν οὐδὲν ἀπωνάμην τῆς νίκης, ὡς οὐδὲν εἰς ταύτην εἰσενεγκών· ἀλλὰ καὶ τῆς ἐντεῦθεν εὐφροσύνης γεγύμνωμαι, ὡς ἐπὶ τροπαίοις γαυριῶν ἀλλοτρίοις· ὁ δὲ διάβολος αὐχεῖ, καὶ κομπάζει, καὶ μέγα φρονεῖ, καὶ σεμνύνεται, ὡς Θεῷ παλαίσας, καὶ ὑπὸ Θεοῦ ἡττηθείς· μέγα γὰρ

[1]) Мат. 4. 5, 6. [2]) Мат. 4, 9, 10.

αὐτῷ καὶ τὸ ἡττηθῆναι ὑπὸ Θεοῦ· ὅτι εἰ ὁ Θεὸς Λόγος ἦν ἀντὶ νοῦ ἐν τῷ ληφθέντι, καὶ ὁ διάβολος δικαιολογίαις χρήσαιτο ἂν εὐλόγοις, καὶ εἴποι ἂν εἰκότως· ἐγὼ, Δέσποτα καὶ Ποιητὰ τῶν ὅλων, οὐ πρός σε τὴν μάχην ἀνεδεξάμην· οἶδα γάρ σου τὴν ἀξίαν, ἐπίςαμαι τὴν ἐξουσίαν, γινώσκω τὴν δεσποτείαν· ὁμολογῶ τὴν δουλείαν, εἰ καὶ ἀποςασίαν νοσῶ· παραχωρῶ δὲ καὶ ἀγγέλοις τῆς νίκης, καὶ πᾶσι τοῖς οὐρανίοις δήμοις, ὧν ποτε καὶ ὁ ταλαίπωρος εἷς ὑπῆρχον ἐγώ· τὴν δὲ μάχην πρὸς τοῦτον ἀνεδεξάμην, ὃν ἀπὸ πηλοῦ μὲν διέπλασας, κατ' εἰκόνα δὲ σὴν ἐποίησας, καὶ ἐτίμησας τῷ λόγῳ, καὶ παραδείσου πολίτην κατέςησας, καὶ γῆς καὶ θαλάττης δεσπότην ἀπέφηνας· τοῦτον μέχρι τῆς σήμερον ἡμέρας νικῶν, καὶ βάλλων, καὶ τῷ θανάτῳ παραπέμπων διατελῶ· τοῦτον εἰς τὸ ςάδιον ἀγαγὼν, καὶ παλαίειν ἐμοὶ κελεύσας, γενοῦ θεατὴς αὐτὸς καὶ τῶν παλαισμάτων ἀγωνοθέτης· εἰ δὲ βούλει καὶ τὰ παιδοτρίβου ποιεῖν, δίδαξον παλαίειν, ὑπόδειξον αὐτῷ τὰς τῆς νίκης λαβὰς, ἄλειψον ὡς θέλεις, μόνον μὴ συμμαχήσῃς παλαίοντι· οὐ γὰρ οὕτω θρασὺς ἐγὼ καὶ τοῦ φρονεῖν ἐξεςηκὼς, ὡς σοὶ τῷ Ποιητῇ παλαίειν ἐπιχειρῆσαι. Ταῦτα ἂν εἶπεν ὁ διάβολος δικαίως πρὸς τὸν Σωτῆρα Χριςὸν, εἴπερ οὐκ ἄνθρωπος ἦν, ἀλλὰ Θεὸς, ὁ ἀντὶ ἀνθρώπου παλαίων. Εἰ γὰρ νοῦς ἀνθρώπινος οὐκ ἦν ἐν αὐτῷ, Θεὸς ἀντὶ νοῦ ὑπάρχων τὰ τῷ νῷ ἐνήργει προσήκοντα· Θεὸς μὲν ἦν ὁ τῷ σώματι συμπεινάσας, Θεὸς δὲ ὁ διψήσας, καὶ κοπιάσας, καὶ ἄλλα πάντα τὰ ἀνθρώπινα ὑπομείνας παθήματα. Εἰ δὲ Θεὸς ὁ παλαίσας καὶ νικήσας, κἀγὼ τοῦ νίκους ἐςέρημαι, Θεὸς δὲ ὁ τὴν δικαιοσύνην ἅπασαν κατορθώσας. Εἴπερ, ὥς φασιν οἱ τῆς Ἀπολιναρίου τερθρείας ὁμολογηταὶ, ἐπειδὴ ἀδύνατον ἦν καὶ ἐν ἀνθρωπίνῳ νοΐ πληρῶσαι τῆς δικαιοσύνης τοὺς νόμους, οὐκ ἀνελάβετο τοῦτον ὁ Θεὸς Λόγος.

16. Τοῦτο δὲ λέγοντες, πρῶτον μὲν ἀδυναμίαν προσάπτουσιν οὐ τὴν τυχοῦσαν αὐτῷ τῷ Θεῷ, εἴπερ, ὥς φασιν, οὐχ οἷόν τε ἦν τοῦ νοῦ τοῦ ἀνθρωπίνου συνόντος δικαιῶσαι τὸν ἄνθρωπον. Ἔπειτα δὲ καὶ πᾶσι τοῖς ἁμαρτάνουσι, καὶ τοὺς θείους νόμους παραβαίνουσιν, ἀπολογίας ὑπανοίγουσι θύραν. Εἴποιεν γὰρ εἰκότως πρὸς τὸν τῶν ὅλων Θεόν· οὐκ ἀσύγνωςα, Δέσποτα, πεπλημμελήκαμεν, οὐδὲ τιμωρίας ἄξια, νοῦν ἡγεμόνα λαβόντες ἀσθενῆ,

καὶ φυλάττειν τοὺς σοὺς οὐ δυνάμενον νόμους. Καὶ μαρτυροῦσι πατριάρχαι, καὶ προφῆται, καὶ τῶν θεοφιλῶν ἀνθρώπων τὰ τάγματα, τῶν τε πρὸ τοῦ νόμου, καὶ τῶν μετὰ τὸν νόμον, οἱ ἐν ἀζυγίᾳ, οἱ ἐν ζυγῷ, οἱ ἐν πλούτῳ, οἱ ἐν ἀκτησίᾳ πληρῶσαί σου τὰς ἐντολὰς μὴ δυνηθέντες διὰ τοῦτον· καὶ ταῦτα παναγίῳ σου Πνεύματι βοηθούμενοι. Καὶ τί δεῖ τὰ πολλὰ λέγειν; αὐτὸς, ὦ Δέσποτα, ἐν σαρκὶ παραγέγονας, καὶ σάρκα μὲν ἡμετέραν ἀνέλαβες, τὸν δὲ νοῦν, ὡς κωλύοντα τῆς ἀρετῆς τὴν κτῆσιν καὶ τῆς ἁμαρτίας τὴν ἀπάτην ῥαδίως ὑποδεχόμενον, ἀπέῤῥιψας καὶ οὐκ ἠνέσχου λαβεῖν· γέγονας δὲ ἀντὶ νοῦ τῇ σαρκὶ, καὶ τῷ τρόπῳ τούτῳ τὴν δικαιοσύνην κατώρθωσας· τούτῳ τῷ τρόπῳ τὴν ἁμαρτίαν νενίκηκας· Θεὸς γὰρ ὑπάρχεις, βουλῇ ποιῶν τὸ δοκοῦν, νεύματι μετασκευάζων τὰ πράγματα. Ἡμεῖς δὲ νοῦν ἔχοντες τὸν ἀνθρώπινον, ὃν ἀναλαβεῖν οὐκ ἠθέλησας, ἀναγκαίως ὑπὸ τὴν ἁμαρτίαν τυγχάνομεν, τοῖς σοῖς ἀκολουθῆσαι ἴχνεσιν οὐκ ἰσχύσαντες. Τί γὰρ νοῦς ἀνθρώπινος πρὸς Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν, καὶ φῶς, καὶ δικαιοσύνην, καὶ ζωὴν, καὶ τὰς ἄλλας ἐνεργείας τῆς σῆς οὐσίας, αἳ καθάπερ ἀκτῖνες καὶ λαμπηδόνες ἐκ τῆς σῆς ἀνίσχουσι φύσεως; ταῦτ' ἂν εἰκότως εἴποιεν οἱ τῇ ἁμαρτίᾳ δουλεύειν αἱρούμενοι, εἴπερ ὁ Θεὸς Λόγος ἀληθῶς ἂν συνανέλαβεν ἄνθρωπον, τούτῳ τῷ τρόπῳ μηχανησάμενος τὸ ἀναμάρτητον.

**17.** Ἀλλὰ τὴν μὲν ἀδολεσχίαν ἐκείνων καταλίπωμεν ἐπὶ τοῦ παρόντος· ἡμεῖς δὲ ἐπὶ τὴν προκειμένην ὑπόθεσιν ἐπανέλθωμεν, καὶ δείξωμεν τὴν τοῦ Σωτῆρος ἡμῶν οἰκονομίαν ἀναγκαίως γεγενημένην. Ἐπειδὴ γὰρ ἅπας ὁ ἄνθρωπος ἠπατήθη, καὶ ἅπας ὑπὸ τὴν ἁμαρτίαν ἐγένετο, καὶ πρὸ τοῦ σώματος δὲ τὴν ἀπάτην ὁ νοῦς ὑπεδέξατο· ἡ τοῦ νοῦ γὰρ πρότερον συγκατάθεσις τὴν ἁμαρτιαν σκιαγραφεῖ, εἶθ' οὕτως διὰ τῆς ἐνεργείας τὸ σῶμα ταύτην μορφοῖ· εἰκότως ὁ Δεσπότης Χριςὸς τὴν πεπτωκυῖαν φύσιν ἀναςῆσαι βουλόμενος, πᾶσι χεῖρα ὀρέγει, καὶ κειμένην ἐγείρει τὴν σάρκα, φημὶ, καὶ τὸν νοῦν, ὃς ἐγεγόνει κατ' εἰκόνα τοῦ Κτίσαντος· ἀόρατός τε γὰρ ἐςι, καὶ ἀθέατος, ἀνέφικτός τε καὶ ἀκατάληπτος, οὐδ' ἑαυτὸν ἐπιςάμενος, πρὸς δὲ τούτοις καὶ ἀπερίγραφος· εἴπερ εἰς τὴν τῶν λογισμῶν ἀποβλέψαιμεν φαντασίαν, ἡγεμονίᾳ τε καὶ ἐξουσίᾳ τετιμημένος, τέχναις καὶ ἐπιςήμαις κεκο-

σμημένος, βραχύς τις καὶ νέος δημιουργὸς, ἢ, τό γε ἀληθέστερον εἰπεῖν, τοῦ Δημιουργοῦ μιμητὴς, βασιλεὺς τῆς ὁρωμένης κτίσεως, ἡ βασιλέως εἰκὼν, φόρους συλλέγων ἐκ γῆς, ἐκ θαλάττης, ἐξ ἀέρος, ἐξ ἡλίου καὶ σελήνης καὶ ἀςέρων, ἐξ οὐρανοῦ καὶ νεφῶν, ἐκ προβάτων καὶ βοῶν καὶ τῶν ἄλλων κτηνῶν, μᾶλλον δὲ πάντας αὐτῶν τοὺς καρποὺς δρεπόμενος· δι' αὐτὸν γὰρ ἐγένετο τὰ ὁρώμενα· Θεὸς γὰρ τούτων ἀπροσδεής. Οὔκουν ἠτίμασε τὸν οὕτω τίμιον, τὸν θεραπείας δεόμενον· οὐδὲ τὸ φθειρόμενον καὶ νόσῳ καὶ γήρᾳ δουλεῦον καὶ θανάτῳ ἀνέλαβε, τὸ δὲ λογικὸν καὶ ἀθάνατον καὶ κατ' εἰκόνα γεγενημένον ὑπερεῖδε, καὶ ταῦτα κακῶς, ὥς φασι, διακείμενον· ἀλλὰ πᾶσαν τὴν φύσιν παλαιωθεῖσαν ἐνεοποίησε. Καὶ τὸ μὲν αὐτῆς καινὸν ἀπειργάσατο, τὸ δὲ πεπαλαιωμένον καὶ διεφθαρμένον ἀνίατον εἴασε, καὶ ταῦτα τιμιώτατον ὑπάρχον, καὶ ἀθανασίᾳ τετιμημένον, καὶ λόγῳ κεκοσμημένον, καὶ τῆς τῶν νοητῶν μοίρας τυγχάνον; τῶν ἀτοπωτάτων γὰρ τὸ μὲν σῶμα τὸ πήλινον, καὶ χοϊκὸν, καὶ πάθεσι συνεζευγμένον, καὶ προσληφθῆναι, καὶ ἀναληφθῆναι, καὶ ἐκ δεξιῶν τῆς μεγαλωσύνης καθιδρυνθῆναι· τὸν δὲ νοῦν τὸν ἀόρατον, τὸν ἀθάνατον, τὸν ἡγεμόνα τοῦ ζώου, τὸν κατ' εἰκόνα θείαν γεγενημένον, τὸν ἀφθαρσίᾳ τετιμημένον, τὸν τοῦ σώματος ἡνίοχον καὶ κυβερνήτην καὶ μουσικὸν [1]), δι' ὃν οὐκ ἄλογος ἡ ἀνθρωπεία φύσις, ἀλλὰ σοφίας καὶ τέχνης καὶ ἐπιςήμης ἀνάπλεως, τοῦτον ἀπεῤῥίφθαι κάτω, καὶ τῆς τοῦ σώματος μὴ μεταλαγχάνειν τιμῆς· δι' ὃν τὸ σῶμα τῆς λογικῆς ἐγένετο κτίσεως· δι' ὃν νομοθεσίαι καὶ προφητεῖαι· δι' ὃν ἀγῶνες, καὶ πάλαι, καὶ νίκαι, καὶ αναῤῥήσεις καὶ ςέφανοι· δι ὃν καὶ τὸ σῶμα τὸ συναθλοῦν ἆθλον τῶν πόνων ἔχει τὴν τῶν οὐρανῶν βασιλείαν· δι' ὃν καὶ αὐτὴ τοῦ Σωτῆρος ἡμῶν ἡ παρουσία γεγένηται, καὶ τὸ τῆς οἰκονομίας ἐπραγματεύθη μυςήριον· οὐ γὰρ ὑπὲρ ἀψύχων ἢ ἀνοήτων τὰ σωτήρια κατεδέξατο πάθη, οὐδ' ὑπὲρ ἀλόγων κτηνῶν ἢ λίθων ψυχῆς ἐςερημένων, ἀλλ' ὑπὲρ ἀνθρώπων ψυχὴν ἀθάνατον ἔνοικον κεκτημένων.

18. 'Αλλ' ὁ τὸν ὕθλον προτιμήσας τῆς ἀληθείας 'Απολινά-

---

[1]) Μουσικὸς (отъ μοῦσα), знающій науки и искуства, а также научающій другихъ всему тому, что приписывается музамъ.

ριος, καὶ τῶν εὐσεβῶν δογμάτων τὴν οἰκείαν προτάξας ἀβολεσχίαν, τὴν μὲν σάρκα τὸν Θεὸν Λόγον ἀνειληφέναι φησί, καὶ ταύτῃ καθάπερ τινὶ παραπετάσματι χρήσασθαι· τοῦ δὲ νοῦ μὴ δεηθῆναι, αὐτὸν δὲ ἀντὶ νοῦ γενέσθαι τῷ σώματι. Ἀλλ', ὦ βέλτιστε, εἴποι τις ἂν πρὸς αὐτόν, οὐδὲ τοῦ σώματος ὁ Θεὸς Λόγος ἔχρῃζεν, ἀπροσδεὴς γάρ· ἠδύνατο δὲ καὶ μόνῳ προστάγματι τὴν ἡμετέραν πραγματεύσασθαι σωτηρίαν· ἀλλ' ἠθέλησεν ἔχειν τινὰ καὶ ἡμᾶς εἰς τὸ κατορθούμενον κοινωνίαν, οὗ χάριν λαβὼν φύσιν τὴν ἡμαρτηκυῖαν, πόνοις αὐτὴν οἰκείοις δικαιώσας, τῶν τε πικρῶν τυράννων ἀπήλλαξεν, ἁμαρτίας καὶ διαβόλου καὶ θανάτου, καὶ τῶν ἐπουρανίων θρόνων ἠξίωσε, καὶ διὰ τοῦ ληφθέντος παντὶ τῷ γένει τῆς ἐλευθερίας μετέδωκεν· ἀλλ' οὐδὲν τούτων εἰς νοῦν λαβὼν ὁ σοφώτατος τὸν μεγαλοφωνότατον κήρυκα τῆς θεολογίας, τὸν εὐαγγελιστὴν Ἰωάννην, μάρτυρα τῆς οἰκείας ἀνοίας ἔχειν ἡγεῖται· «ὁ Λόγος γάρ, φησι, σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν» [1]· καὶ ταῦτα σαφῶς εἰδώς, ὡς πολλαχοῦ τὸ πᾶν ἀπὸ μέρους ἡ θεία Γραφὴ προσαγορεύει, καὶ πῆ μὲν ἀπὸ τῆς ψυχῆς πάντα καλεῖ τὸν ἄνθρωπον, πῆ δὲ ἀπὸ τῆς σαρκὸς ὅλον τὸ ζῶον δηλοῖ. «Πᾶσαι γὰρ αἱ ψυχαὶ αἱ εἰσελθοῦσαι, φησιν, ἅμα Ἰακὼβ εἰς Αἴγυπτον ἑβδομήκοντα πέντε» [2]. Εὔδηλον δὲ ὡς οὐκ ἀσώματοι ἦσαν οἱ τοῦ Ἰακὼβ υἱοί τε καὶ ἔκγονοι, ἀλλ' ἀπὸ μέρους τὸ πᾶν ὁ ἱστοριογράφος ἐδήλωσε. Καὶ πάλιν· «ψυχὴ ἡ ἁμαρτάνουσα, αὐτὴ ἀποθανεῖται» [3]. Οὐδεὶς δὲ ἔγνω πώποτε ψυχὴν ἄνευ σώματος ἁμαρτίᾳ περιπεσοῦσαν. Καὶ αὖθις· «οὐ μὴ καταμείνῃ τὸ Πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις, διὰ τὸ εἶναι αὐτοὺς σάρκα» [4]. Καὶ ὁ προφήτης ἑτέρωθι· «πᾶσα σὰρξ χοῦς, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου» [5]. Καὶ ὁ μακάριος Δαβίδ, «ἐμνήσθη, φησίν, ὅτι σάρξ εἰσι, πνεῦμα πορευόμενον καὶ οὐκ ἐπιστρέφον» [6]. Παντὶ δὲ δήπουθεν γνώριμον, ὡς οὐκ ἄψυχοι ἦσαν οὗτοι ὧν κατηγορεῖ, καὶ οἷς νομοθετεῖ, καὶ ὧν ἑρμηνεύει τὴν φύσιν. Οὐ μόνον δὲ τοὺς κατηγορουμένους λέγει ἡ Γραφή, ἀλλὰ καὶ τῶν ἐπαινουμένων τοὺς κορυφαίους· καὶ τούτων μάρτυς ὁ μακάριος Παῦλος ἐν τῇ πρὸς Γαλάτας λέ-

---

[1]) Иоан. 1. 14. [2]) Быт. 46. 27. [3]) Иезек. 18. 4. [4]) Быт. 6. 3. [5]) Иса. 40. 6. [6]) Пс. 77. 39.

γων· «ότε δὲ εὐδόκησεν ὁ Θεὸς ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου, καὶ καλέσας διὰ τῆς χάριτος αὐτοῦ ἀποκαλύψαι τὸν Υἱὸν αὐτοῦ ἐν ἐμοί, εὐθέως οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι, ἀλλὰ πρὸς τοὺς πρὸ ἐμοῦ ἀποστόλους ἀνῆλθον» [1]. Εἰ δὲ οὐ μόνον ἐπὶ τοῦ σαρκικοῦ φρονήματος καὶ τῆς θνητότητος τὸ τῆς σαρκὸς φρόνημα λαμβάνεται, ἀλλὰ καὶ ἐπὶ πάσης τῆς τοῦ ἀνθρώπου φύσεως, εὔδηλον ὡς τὸ «ὁ Λόγος σὰρξ ἐγένετο» οὐ τὸ φαινόμενον τοῦ ζώου μόνον, ἀλλ' ὅλον σημαίνει τὸν ἄνθρωπον· οὐδὲ τροπήν τινα τῆς θείας οὐσίας εἰς σάρκα φησὶ γεγενῆσθαι, ἀλλὰ τὴν ὑπὸ τοῦ Θεοῦ Λόγου ἀνάληψιν τῆς ἀνθρωπείας κηρύττει φύσεως· ὥσπερ γὰρ τὸ «Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα» [2], οὐ τὴν εἰς κατάραν μεταβολὴν τῆς τῶν ἀγαθῶν πηγῆς αἰνίττεται, ἀλλὰ τὴν δι' αὐτοῦ γενομένην τῆς ἁμαρτίας ἤγουν τῆς κατάρας ἀπαλλαγήν, καὶ τὸ «γενέσθαι ἁμαρτίαν ὑπὲρ ἡμῶν τὸν μὴ γνόντα ἁμαρτίαν» [3], οὐ τὴν τῆς δικαιοσύνης σημαίνει τροπὴν (ἄτρεπτον γὰρ τὸ Θεῖον, καὶ ἀναλλοίωτον, ὡς διὰ τοῦ προφήτου βοᾷ· «ἐγώ εἰμι. καὶ οὐκ ἠλλοίωμαι» [4]), ἀλλὰ τὴν τῶν ἡμετέρων ἁμαρτημάτων ἀνάληψιν· «ἴδε γάρ, φησιν, ὁ ἀμνὸς τοῦ Θεοῦ, ἴδε ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου» [5]· οὕτω τὸ «ὁ Λόγος σὰρξ ἐγένετο» οὐ τὴν ἀλλοίωσιν λέγει τῆς Θεότητος, ἀλλὰ τῆς ἀνθρωπίνης φύσεως ἀνάληψιν· τὴν ἄφατον γὰρ τοῦ Θεοῦ φιλανθρωπίαν ὁ εὐαγγελιστὴς κηρύττων, ὡς ἐδίδαξεν, ὡς ἐν ἀρχῇ ὤν, καὶ πρὸς τὸν Θεὸν ὤν, καὶ οὐδέποτε μὴ ὤν, ὁ δημιουργήσας πάντα, ὁ τὰ μὴ ὄντα εἰς τὸ εἶναι ποιήσας, ἡ ζωή, τὸ φῶς τὸ ἀληθινόν, τὴν φθαρτὴν ἀνέλαβε φύσιν καὶ τὰ τῶν ἀνθρώπων ᾠκειώσατο πάθη, τὴν τῶν ἀνθρώπων πραγματευόμενος σωτηρίαν. Καὶ μειζόνως αὐτοῦ δεῖξαι τῆς εὐεργεσίας τὸ μέγεθος ἐθελήσας, οὐ τῆς ψυχῆς ἐμνημόνευσε τῆς ἀθανάτου, ἀλλὰ τῆς σαρκὸς τῆς παθητῆς, τῆς θνητῆς, τῆς φθειρομένης, τῆς ἐκ πηλοῦ γεγενημένης· καὶ ἀπὸ τοῦ μέρους τὴν πᾶσαν φύσιν ἐδήλωσεν, ὡς μαρτυρεῖ τὰ

---

[1] Гал. 1. 15. [2] Гал. 3. 13. [3] 2 Кор. 5. 21. [4] Малах. 3. 6. [5] Іоан 1. 29.

ἐπαγόμενα· «ὁ Λόγος γάρ, φησιν, σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν» [1]. Ἕτερος δὲ ὁ κατοικήσας κατὰ τὸν λόγον τῆς φύσεως [2], καὶ ἕτερος ὁ ναός. Διὸ καὶ τοῖς Ἰουδαίοις ἔλεγε· «λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν» [3]. Λύσις δὲ τοῦ ναοῦ, ψυχῆς καὶ σώματος ἡ διάζευξις· θάνατος γάρ ἐστι ψυχῆς ἀπὸ σώματος ἀναχώρησις· οὐκοῦν τὴν λύσιν τοῦ ναοῦ ὁ τῆς ψυχῆς ἐργάζεται χωρισμός· εἰ τοίνυν Ἰουδαῖοι τὸν ναὸν ἔλυσαν σταυρῷ καὶ θανάτῳ παραδεδωκότες, λύσις δὲ ναοῦ τῶν συνημμένων ὁ χωρισμός, ὁ δὲ Θεὸς Λόγος τοῦτον λυθέντα ἀνέστησε, σαφὲς οἶμαι τοῖς ἔμφροσιν, ὡς οὐκ ἄψυχον οὐδὲ ἄνουν, ἀλλὰ τέλειον ἄνθρωπον ὁ Θεὸς ἀνελάβετο Λόγος· εἰ γὰρ ἀντὶ τῆς ἀθανάτου ψυχῆς ἐν τῷ ἀναληφθέντι σώματι γέγονεν ὁ Θεὸς Λόγος, εἶπεν ἂν τοῖς Ἰουδαίοις· λύσατέ με, καὶ ἐν τρισὶν ἡμέραις ἀναστήσομαι· νῦν δὲ διδάσκων καὶ τοῦ ναοῦ τὸ τηνικαῦτα τὸ θνητόν, καὶ τὸ δυνατὸν τῆς ἐνοικούσης Θεότητος, «λύσατε, φησι, τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν»· οὐ γὰρ ἐγώ, φησιν, ὑφ' ὑμῶν λυθήσομαι, ἀλλ' ὁ ληφθεὶς ὑπ' ἐμοῦ ναός· καὶ οὗτος δὲ λύεται, ἵνα κρείττονος ἀναστάσεως ἀπολαύσῃ, ἵνα τὴν θνητὴν ἀπόθηται φύσιν, ἵνα τὴν φθορὰν ἀποδύσηται καὶ τὴν ἀφθαρσίαν ἐνδύσηται, ἵνα τοῦ θανάτου καταλύσῃ τὸ κράτος, ἵνα τῶν κεκοιμημένων ἀπαρχὴ γένηται, ἵνα λύσας τῆς φθορᾶς τὰς ὠδῖνας ἀναδειχθῇ τῶν νεκρῶν πρωτότοκος, καὶ διὰ τῆς οἰκείας ἀναστάσεως εὐαγγελίσηται τὴν πάντων ἀνθρώπων ἀνάστασιν.

19. Ὅτι δὲ ταῦτα οὕτως ἔχει, μαρτυρεῖ τῶν ἀποστόλων ὁ κορυφαῖος ἐν ταῖς Πράξεσι λέγων, ὅτι οὐκ ἐγκατελείφθη ἡ ψυχὴ αὐτοῦ εἰς ᾅδου, οὐδὲ ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν [4]. Λύσις τοιγαροῦν τοῦ ναοῦ, ψυχῆς καὶ σώματος χωρισμός· καὶ πάλιν ἀνάστασις, πρὸς τὴν σάρκα τὴν οἰκείαν ἐπάνοδος· εἰ τοίνυν, ὥς φασιν οἱ τῆς αἱρέσεως προστάται, ψυχὰς δύο τῶν ἀνθρώπων ἕκαστος ἔχει, τήν τε ζωτικὴν καὶ τὴν λογικήν, καὶ σὰρξ ἄνευ

---

[1] Іоан. 1. 14.

[2] Κατὰ τὸν λόγον τῆς φύσεως, по своей природѣ, по своему естеству. Здѣсь говорится о Богѣ Словѣ, принявшемъ естество человѣческое для спасенія людей.

[3] Іоан. 2. 19. [4] Дѣян. 2. 27.

ψυχῆς οὐκ ἂν ποτε νοηθείη τῆς ζωτικῆς (σῶμα γάρ, ἀλλ' οὐ σάρξ, φησι, τὸ τοιοῦτον προσαγορεύεται)· Πέτρος δὲ ἔφη, οὐ τὸ σῶμα τοῦ Κυρίου, ἀλλὰ τὴν σάρκα τοῦ Κυρίου μὴ ἰδεῖν διαφθοράν, καὶ τὴν ψυχὴν αὐτοῦ μὴ ἐγκαταλειφθῆναι εἰς ᾅδου· εὔδηλον ὡς τὴν μὲν ζωτικήν, ἣν οὐκ οἶδ' ὅπως λέγουσιν, εἶχεν ἡ διαφθαρεῖσα σάρξ, ἧς ἄνευ οὐκ ἂν προσαγορευθείη, ὥς φασι, σάρξ· ἡ δὲ ἀθάνατος καὶ λογικὴ καὶ τοῦ ζώου τὴν ἡγεμονίαν πεπιστευμένη οὐ κατελείφθη εἰς ᾅδου, ἀλλὰ πρὸς τὴν οἰκείαν ἐπανῆκε σάρκα· καὶ μάτην ἀδολεσχοῦσιν, ἄψυχον ἢ ἄνουν τοῦ Θεοῦ Λόγου τὸν ναὸν προσαγορεύοντες. Ἡμεῖς δὲ Πέτρῳ ἑψόμεθα, καὶ σάρκα κηρύττοντι μὴ δεξαμένην διαφθοράν, καὶ ψυχὴν μὴ καταλειφθεῖσαν εἰς ᾅδου, ἀλλ' ἐπανελθοῦσαν καὶ τῷ οἰκείῳ σώματι συναφθεῖσαν· πιστεύομεν δὲ καὶ αὐτῷ τῷ Κυρίῳ λέγοντι· «περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου» [1]. Τῆς γὰρ λύπης τὴν αἴσθησιν τὸ ἐν ἡμῖν λογικὸν ὑποδέχεται· εἰ δὲ ἀντὶ νοῦ ὁ Θεὸς Λόγος ὑπάρχων τὰ τοῦ νοῦ κατεδέχετο πάθη, αὐτὸς ἦν ὁ λυπηθείς, καὶ φοβηθείς, καὶ ἀγνοήσας, καὶ ἀγωνιάσας, καὶ ἀγγελικῇ συμμαχίᾳ ῥωσθείς· εἰ δὲ καὶ ταῦτα φήσουσιν οἱ τῆς Ἀπολιναρίου ματαιολογίας κληρονόμοι, μετὰ Ἀρείου καὶ Εὐνομίου τῶν χριστομάχων ταχθήτωσαν· ὧν γὰρ ἴση ἡ βλασφημία, τούτων μίαν εἶναι τὴν ἑταιρίαν δίκαιον· ἡμεῖς δὲ ἀκούσωμεν τοῦ Κυρίου λέγοντος· «ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν· οὐδεὶς αἴρει αὐτὴν ἀπ' ἐμοῦ» [2]. Ἐκ γὰρ τῶν λόγων τούτων μαθησόμεθα, ὡς ἕτερος μὲν ὁ τιθείς, ἕτερον δὲ τὸ τιθέμενον· καὶ Θεὸς μὲν ὁ τιθεὶς καὶ λαμβάνων, ψυχὴ δὲ ἡ τιθεμένη καὶ λαμβανομένη· καὶ Θεὸς μὲν τὴν ἐξουσίαν ἔχων, ψυχὴ δὲ ἡ ὑπὸ τὴν ἐξουσίαν ἐκείνην τεταγμένη.

20. Τούτοις συνῳδὰ καὶ Ἡσαΐας ὁ προφήτης θεσπίζει βοῶν· «ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ» [3], ὅ ἐστι μεθερμηνευόμενον, κατὰ τὴν τῶν Εὐαγγελίων διδασκαλίαν, «μεθ' ἡμῶν ὁ Θεός» [4]· τὸ δὲ «μεθ' ἡμῶν ὁ Θεὸς» μετὰ ἀνθρώπων ἑρμηνεύει Θεόν· εἰ τοίνυν τὸ κύημα τῆς Παρθένου ταύτην ἔλαβε

[1] Мат. 26 38. [2] Іоан. 10. 18. [3] Иса. 7. 14. [4] Мат. 1. 23.

τὴν προσηγορίαν, εὔδηλον ὡς ὁ Θεὸς ὁμοῦ καὶ ἄνθρωπος ἦν· τὸ μὲν ὑπάρχων, τὸ δὲ λαβὼν, καθ' ἑκάτερον τέλειος· διὰ μὲν γὰρ τοῦ «μεθ' ἡμῶν» τοῦ ἀνθρώπου τὸ τέλειον δείκνυται· τελείως γὰρ ἡμῶν ἕκαστος ἔχει τοῦ ἀνθρώπου τὴν φύσιν· διὰ δὲ τοῦ «Θεὸς» καὶ τῆς προσθήκης τοῦ ἄρθρου ἡ τοῦ Υἱοῦ θεότης γνωρίζεται· καὶ τούτου διδάσκαλος ὁ μακάριος Παῦλος λέγων· «ἐν ᾧ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς» [1]). Καὶ ὁ θεόληπτος δὲ Λουκᾶς ὁ εὐαγγελιστὴς ἐναργῶς ἡμῖν δείκνυσι τὸν νοῦν τὸν ἀνθρώπινον τοῦ Σωτῆρος Χριστοῦ· «τὸ παιδίον γάρ, φησιν, ηὔξανε, καὶ ἐκραταιοῦτο πνεύματι, πληρούμενον σοφίας, καὶ χάρις Θεοῦ ἦν ἐπ' αὐτῷ»· καὶ μετ' ὀλίγα· «Ἰησοῦς δὲ προέκοπτεν ἡλικίᾳ, καὶ σοφίᾳ, καὶ χάριτι παρὰ Θεῷ καὶ ἀνθρώποις» [2]). Τὸ δὲ σοφίᾳ προκόπτειν, οὐ Θεοῦ τοῦ σοφοῦ, τοῦ ἀπροσδεοῦς, καὶ ἀεὶ τελείου, καὶ μήτε ἐπίδοσιν, μήτε ἐλάττωσιν δεχομένου, ἀλλὰ τοῦ νοῦ τοῦ ἀνθρωπίνου, τοῦ ταῖς ἡλικίαις συμπροϊόντος, καὶ διδασκαλίας δεομένου, καὶ τέχνης καὶ ἐπιστήμης δεκτικοῦ, καὶ κατὰ βραχὺ τά τε ἀνθρώπινα καὶ τὰ θεῖα γνωρίζοντος.

21. Σαφέστερον δ' ἄν τις ἐκ τῆς πρὸς Ἑβραίους ἐπιστολῆς τὴν θείαν φύσιν καὶ τὴν ἀνθρωπείαν κατίδοι, ταῖς ἐνεργείαις μὲν διῃρημένας, τῷ προσώπῳ δὲ συνημμένας, καὶ τὸν ἕνα ὑποδεικνύσας Υἱόν. Οὐχ ἥκιστα δὲ καὶ τῆς ἐπιστολῆς τὸ προοίμιον ταύτην ἔχει τὴν διδασκαλίαν. Εἶπε γὰρ ὁ θεσπέσιος Παῦλος· «ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ» [3]). Καὶ δείξας αὐτὸν ὑπέρχρονον καὶ προαιώνιον (δι' αὐτοῦ γάρ, φησιν, καὶ τοὺς αἰῶνας ἐποίησεν), ἐπήγαγεν· «ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς, τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων, ὅσῳ διαφορώτερον παρ' αὐτοῖς κεκληρονόμηκεν ὄνομα» [4]). Ἐναντίον δὲ τοῦ γενέσθαι τὸ εἶναι· ὁ γὰρ ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως, οὐ γίνεται κρείττων ἀγγέλων, ἀλλ' ἐστιν ἀγγέλων οὐ κρείττων μόνον, ἀλλὰ καὶ Ποιητὴς καὶ Δεσπότης· εἰ δὲ ἐναντίον τοῦ εἶναι τὸ γενέσθαι, δι' ἐκείνου μὲν τὸν ἀεὶ ὄντα νοήσομεν, διὰ τούτου δὲ

---

[1]) Кол. 2. 9. [2]) Лук. 2. 40, 52 [3]) Евр. 1. 3. [4]) Евр. 1. 4.

τὸ ἐξ ἡμῶν ἀναληφθὲν, καὶ κρεῖττον τῶν ἀγγέλων γεγενημένον, διὰ τὴν πρὸς τὸν ἀνειληφότα ἕνωσιν· πάλιν μετ' ὀλίγα, πρὸς μὲν τὸν Υἱόν φησιν· «ὁ θρόνος σου, ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ῥάβδος εὐθύτητος, ἡ ῥάβδος τῆς βασιλείας σου· ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε, ὁ Θεὸς, ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου» [1]. Ὁ δὲ Θεὸς, καὶ μετὰ τοῦ ἄρθρου προσαγορευθεὶς Θεὸς, καὶ τὸν θρόνον ἔχων εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πῶς ἂν ὑπὸ τοῦ Θεοῦ χρισθείη; πῶς ἂν χειροτονητὴν λάβοι βασιλείαν, φυσικὴν ἔχων βασιλείαν; «ὁ θρόνος σου γάρ, φησιν, ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος». Οὐκοῦν ἐναντίον τὸ εἶναι βασιλέα τοῦ εἰς βασιλέα χρισθῆναι, διὰ τὸ ἀγαπῆσαι δικαιοσύνην καὶ μισῆσαι ἀνομίαν. Πόνων γὰρ ἆθλον ἡ τοιαύτη βασιλεία. Οὐκοῦν πάλιν τὸν μὲν Θεὸν, οὗ ὁ θρόνος εἰς αἰῶνα αἰῶνος, τὸν ἀεὶ ὄντα νοήσομεν· τὸν δὲ ὕςερόν ποτε χρισθέντα, διὰ τὸ περὶ τὴν ἁμαρτίαν μῖσος καὶ τὴν ἀγαπηθεῖσαν ὑπ' αὐτοῦ δικαιοσύνην, τὸ ἐξ ἡμῶν ληφθὲν, τὸ ἐκ Δαβὶδ, τὸ ἐξ Ἀβραὰμ, τὸ μετόχους ἔχον, οἷς πλεονεκτεῖ τῷ χρίσματι, ἐν ἑαυτῷ δεξάμενον πάντα τα χαρίσματα τοῦ παναγίου Πνεύματος· ἐν ἑκατέρᾳ δὲ φύσει τὸν ἕνα Υἱὸν προσκυνήσωμεν. Καὶ αὖθις δὲ ὁ μακάριος Παῦλος τὸν Δαβὶδ καλέσας εἰς μαρτυρίαν λέγοντα· «Κύριε, τί ἐςιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους, δόξῃ καὶ τιμῇ ἐςεφάνωσας αὐτόν»· ἐπήγαγε· «τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν, διὰ τὸ πάθημα τοῦ θανάτου δόξῃ καὶ τιμῇ ἐςεφανωμένον, ὅπως χάριτι Θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου» [2]. Τοῦτο δὲ μάλιςα σαφῶς δείκνυσι τοῦ ἀναληφθέντος ἀνθρώπου τὸ τέλειον· καὶ γάρ φησι· «τί ἐςιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ»; ἀλλὰ «τί ἐςιν ἄνθρωπος» καὶ πᾶσαν ὁμοῦ τὴν φύσιν περιλαβών· καὶ Κύριον μὲν προσαγορεύσας, τὸν ἐνοικήσαντα Θεὸν Λόγον, τὸν τῆς οἰκείας εἰκόνος μνησθέντα, τὸν ἀρρήτῳ φιλανθρωπίᾳ χρησάμενον· ἄνθρωπον δὲ τὸν ἐξ ἡμῶν ἀναληφθέντα ναὸν, ὃν τῇ παρουσίᾳ ἐπεσκέψατο, καὶ ἑαυτῷ συνῆψε, καὶ

---

[1]) Εβρ. 1. 8, 9. [2]) Εβρ. 2. 6—9.

τῇ ἑνώσει τὴν σωτηρίαν εἰργάσατο· καὶ τοῦτο ἑρμηνεύων ἔφη· «τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν διὰ τὸ πάθημα τοῦ θανάτου». Ἀπέθανε δὲ οὐχ ὁ ἀθάνατος Θεὸς Λόγος, ἀλλ' ἡ θνητὴ φύσις. Διὸ καὶ ἠλαττοῦτο βραχύ τι παρ' ἀγγέλους, τῷ τοὺς μὲν ἀθανάτους εἶναι, τὴν δὲ θνητήν. Ὁ δὲ Θεὸς Λόγος οὐκ ἐλάττων ἀγγέλων, ἀλλὰ Δεσπότης ἀγγέλων· «ἐν αὐτῷ γὰρ ἐκτίσθη τὰ πάντα, εἴτε ὁρατὰ, εἴτε ἀόρατα, εἴτε Θρόνοι, εἴτα Κυριότητες, εἴτε Ἀρχαι, εἴτε Ἐξουσίαι, εἴτε Ἄγγελοι, εἴτε Δυνάμεις· πάντα δὲ δι' αὐτοῦ, καὶ εἰς αὐτὸν ἔκτισαι» [1]. Καὶ μετὰ πολλὰ πάλιν· «ὃς ἐν ταῖς ἡμέραις, φησί, τῆς σαρκὸς αὐτοῦ δεήσεις καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον αὐτὸν ἐκ θανάτου ῥύσασθαι μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσενεγκών, καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας» [2]. Καίπερ ὢν Υἱός, ἔμαθεν ἐξ ὧν ἔπαθε τὴν ὑπακοήν, καὶ τελειωθεὶς γέγονεν ἅπασι τοῖς ὑπακούουσιν αὐτῷ αἴτιος σωτηρίας αἰωνίου. Τίς τοίνυν ὁ προσευχόμενος, καὶ δεήσεις καὶ ἱκετηρίας μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσενεγκών; τίς ὁ ἐν εὐλαβείᾳ συζήσας, καὶ διὰ τοῦτο ὃν ἱκέτευσε πείσας; τίς ὁ μαθὼν ἀφ' ὧν ἔπαθε τὴν ὑπακοήν, καὶ τὴν πεῖραν λαβὼν διδάσκαλον, καὶ ταύτην ἀγνοῶν πρὸ τῆς πείρας; τίς ὁ λαβὼν κατὰ μέρος τὴν τελειότητα; οὐχ ὁ Θεὸς Λόγος, ὁ τέλειος· ὁ εἰδὼς πάντα πριν γενέσεως αὐτῶν, ἀλλ' οὐ τῇ πείρᾳ μανθάνων· ὁ πάντας ἔχων εὐλαβουμένους, ἀλλ' οὐκ αὐτὸς εὐλαβούμενος· ὁ ἀφελόμενος πᾶν δάκρυον ἀπὸ παντὸς προσώπου, ἀλλ' οὐ δακρύειν ὑπ' ὀδύνης ἀναγκαζόμενος· ὁ ἀπαθὴς καὶ ἀθάνατος, ἀλλ' οὐ δεδιὼς τὸν θάνατον καὶ μετὰ κραυγῆς ἱκετεύων ἀπαλλαγῆναι θανάτου. Οὐκοῦν ἴδια ταῦτα τῆς ἀναληφθείσης ἀνθρωπότητος, ἣ καὶ τὸν θάνατον ἐδεδίει, καὶ διετέλει προσευχομένη, τῆς ἐνοικούσης θεότητος τῷ φόβῳ παραχωρούσης, ἵνα διὰ τῶν παθημάτων δειχθῇ τοῦ ληφθέντος ἡ φύσις. Καὶ πάλιν· «οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται· ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, εἰς τὸ ἱλάσκεσθαι ταῖς ἁμαρτίαις τοῦ λαοῦ» [3]. Ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθείς,

---

[1] Κολ. 1. 16. [2] Εβρ. 5. 7. [3] Εβρ. 2. 16.

δύναται τοῖς πειραζομένοις βοηθῆσαι. Καὶ μετ' ὀλίγα· «οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν, πεπειραμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας» [1]). Ἕτερον τοίνυν τὸ τοῦ Ἀβραὰμ σπέρμα παρὰ τὸν ἐπιλαμβανόμενον τούτου. Σπέρμα δὲ Ἀβραὰμ οἶδεν ὁ μακάριος Παῦλος τὸν Σωτῆρα Χριςὸν κατὰ σάρκα. «Οὐ γὰρ εἶπε, φησι, καὶ τοῖς σπέρμασί σου, ὡς ἐπὶ πολλῶν, ἀλλ' ὡς ἐφ' ἑνός, καὶ τῷ σπέρματί σου, ὅς ἐςι Χριςός» [2]). Και τὸ πειραθῆναι δὲ καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας, οὐ τοῦ Θεοῦ Λόγου ἴδιον, ἀλλὰ τοῦ ἀναληφθέντος σπέρματος.

22. Οὕτως ὁ θειότατος Παῦλος, διὰ πάσης τῆς ἐπιςολῆς, τάς τε τῶν φύσεων ἰδιότητας καὶ τοῦ προσώπου κηρύττει τὴν ἕνωσιν· διὸ Ἰησοῦν Χριςὸν καὶ ἄνθρωπον καὶ Θεὸν προσαγορεύει· «εἷς γάρ, φησι, Κύριος Ἰησοῦς Χριςός, δι' οὗ τὰ πάντα» [3]). Και πάλιν Τιμοθέῳ γράφων· «εἷς μεσίτης, φησί, Θεοῦ και ἀνθρώπων, ἄνθρωπος Χριςὸς Ἰησοῦς» [4])· καὶ ἐν αὐτῇ δὲ τῇ πρὸς Ἑβραίους· «Ἰησοῦς Χριςὸς χθὲς καὶ σήμερον ὁ αὐτός, καὶ εἰς τοὺς αἰῶνας» [5])· καὶ ἄλλας δ' ἄν τις ἐθελήσας εὕροι μυρίας μαρτυρίας ἐκ τῆς θειας Γραφῆς, τὸν τέλειον ἄνθρωπον κηρυττούσας καὶ τῶν αἱρετικῶν ἐλεγχούσας τὴν ἄνοιαν. Ἀλλ' ἡμῖν οὐ σχολὴ ταῦτα συλλέγειν ἐπὶ τοῦ παρόντος. Τοῖς φιλοπόνοις τοίνυν τὸν πόνον τοῦτον καταλιπόντες, ἡμεῖς τῆς προκειμένης πραγματείας ἐχώμεθα.

23. Τοιγαροῦν τὴν οἰκείαν εἰκόνα πολεμουμένην οἰκτείρας ὁ Ποιητής, καὶ θανάτῳ παραπεμπομένην, ἔκλινεν οὐρανούς, καὶ κατέβη [6]), οὐ τὸν τόπον ἀμείψας, οὐδ' ἑτέρωσε μεταβάς· πληροῖ γὰρ τὰ σύμπαντα, μᾶλλον δὲ ἄπειρος ἐςι, καὶ ἀχώρητος, καὶ πάντα ἔχων, κατὰ τὸν προφήτην, ἐν τῇ χειρί. «Τίς γάρ, φησιν, ἐμέτρησε τῇ χειρὶ αὐτοῦ τὸ ὕδωρ, καὶ τὸν οὐρανὸν σπιθαμῇ, καὶ πᾶσαν τὴν γῆν δρακί» [7]); καὶ πάλιν ὁ Δαβίδ· «ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς» [8]). Καὶ αὐτὸς δὲ ὁ Θεὸς διὰ τοῦ προφήτου· «ὁ οὐρανός μου θρόνος, ἡ δὲ γῆ

---

[1]) Евр. 4. 15. [2]) Гал 3. 16. [3]) 1. Кор. 8. 6. [4]) 1 Тим. 2. 5. [5]) Евр. 13. 8. [6]) 2 Цар. 22. 10. [7]) Иса. 40. 12. [8]) Пс. 94. 4.

υποπόδιον τῶν ποδῶν μου» [1]). Οὐκοῦν τὴν κατάβασιν νοήσωμεν συγκατάβασιν· ἔκλινε τοίνυν οὐρανοὺς, καὶ κατέβη, καὶ παρθενικὴν ἐκλεξάμενος νηδὺν κόρης ἁγίας καὶ εὐσεβείᾳ συντεθραμμένης, δι' ἀγγελικῆς φωνῆς τὸν τόκον προμηνυσάσης, καὶ τῆς συλλήψεως τὸν τρόπον προερμηνευσάσης, καὶ τῆς παρθενίας τὸν φόβον τῇ ἑρμηνείᾳ λυσάσης, εἰσοικίζεταί τε, καὶ ναὸν ἑαυτῷ κατασκευάζει, καὶ τὴν ἄσπαρτον καὶ ἀνήροτον σκηνὴν διαπλάττει· ἐπειδὴ ὁ πρώτως δουλεύσας τῇ ἁμαρτίᾳ ἀπάτωρ ἐτύγχανε, μητέρα δὲ μόνην εἶχε τὴν γῆν· «ἔλαβε γάρ, φησιν, ὁ Θεος χοῦν ἀπὸ τῆς γῆς, καὶ ἔπλασε τὸν ἄνθρωπον» [2]). Διὸ καὶ ὁ μακάριος Παῦλός φησιν· «ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκὸς, ὁ δεύτερος ἄνθρωπος ὁ Κύριος ἐξ οὐρανοῦ» [3]). Τούτου χάριν ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος ἐκ μόνης Παρθένου τὰς ἀφορμὰς λαβὼν τῆς διαπλάσεως, καὶ τούτῳ τῷ τρόπῳ τὸν ἀγεώργητον δημιουργήσας ναὸν, καὶ ἑαυτῷ συνάψας, πρόεισιν ἐκ τῆς Παρθένου, οὐ λύσας τῇ συλλήψει τὴν παρθενικὴν ζώνην, οὐ τῇ γεννήσει διαῤῥήξας, ἀλλ' ἀκήρατον καὶ ἀνέπαφον διαφυλάξας, καὶ τὸ μέγα τοῦτο καὶ ἄῤῥητον θαῦμα θαυματουργήσας· μέγα γὰρ τῷ ὄντι καὶ ἀνερμήνευτον καὶ λόγου δύναμιν ὑπερβαῖνον, βότρυν ἰδεῖν ἐκ γῆς ἄνευ κλημάτων βλαςήσαντα, σῖτον ἄνευ σπερμάτων φύντα, χιτῶνα χωρὶς νημάτων καὶ χειρῶν ὑφαντικῶν ὑφασμένον, ἄρτον οὐ μύλῃ καὶ χερσὶ καὶ πυρὶ δημιουργηθέντα, ἀλλ' ἀῤῥήτως ἐκ παρθενικῶν ἀλεύρων γεγεννημένον, καὶ τὴν οἰκουμένην καλύψαντα· πρὸς δὲ τούτοις, Παρθένον οἰκείῳ βρέφει θηλὴν ὀρέγουσαν, καὶ γάλακτος χορηγοῦσαν πηγὰς, καὶ μητέρα γενομένην τὴν γάμου νόμον οὐ δεξαμένην, μητέρα γενομένην τὴν πῶς γίνεται μήτηρ οὐκ ἐπιςαμένην, μητέρα γενομένην τὴν γυναῖκα πρότερον οὐ γενομένην, ἀλλ' ἐν παρθενίᾳ καὶ τὸν ὄγκον τῆς γαςρὸς ἐπιδεικνῦσαν, καὶ τὸν καρπὸν ἐν ταῖς χερσὶ περιφέρουσαν, καὶ τὰ μητρὸς ἐργαζομένην, σωζομένης τῆς παρθενίας, καὶ παρθένον μητέρα καλουμένην, καὶ τἀναντία ὀνόματά τε καὶ πράγματα κατὰ ταὐτὸν συνάγουσαν.

24. Οὕτως τεχθεὶς ὁ Δεσπότης Χριςὸς (οὐ γὰρ εὐαγὲς μετὰ τὸν τόκον ἢ Θεὸν Λόγον μόνον αὐτὸν προσαγορεύειν, ἢ

---

[1]) Иса. 66. 1. [2]) Быт. 2. 7. [3]) 1 Кор. 15. 47.

ἄνθρωπον γεγυμνωμένον θεότητος, ἀλλὰ Χριστόν, ὃ ἑκατέραν φύσιν τήν τε λαβοῦσαν καὶ τὴν ληφθεῖσαν δηλοῖ), πάντως τὰ ἡμέτερα πλὴν τῆς ἁμαρτίας καταδέχεται πάθη, σπαργανοῦται παραπλησίως τοῖς βρέφεσι, καὶ γάλακτι τρέφεται, καὶ τιθηνεῖται καὶ χερσὶ περιφέρεται, καὶ κόλποις ἐντίθεται, καὶ κατὰ νόμον περιτέμνεται, καὶ καθαρσίοις θυσίαις καθαίρεται, ἡ καινὴ καὶ μόνη τῆς οἰκουμένης θυσία, ὁ τοῦ κόσμου τὴν ἁμαρτίαν ἄρας Ἀμνός· ὑπὸ τοῦ Συμεὼν προσκυνεῖται, καὶ Σωτὴρ ὁμοῦ καὶ Δεσπότης προσαγορεύεται· φεύγει τὸν Ἡρώδην μετὰ τῆς μητρὸς καὶ τοῦ κηδεμόνος, καταλαμβάνει τὴν Αἴγυπτον, ἐπανέρχεται πάλιν, ἀγωνιᾷ, εἰς τὴν Ναζαρὲτ παραγίνεται, ἡλικίᾳ καὶ σοφίᾳ προκόπτει, τοῖς γονεῦσιν ὑποτάσσεται, πάσης τιμῆς ἀξιοῖ οὐ μόνον τὴν μητέρα, ἀλλὰ καὶ τὸν τῆς μητρὸς πάλαι μὲν μνηστῆρα, μετὰ ταῦτα δὲ κηδεμόνα καὶ φύλακα, τὰς ἐννόμους ἑορτὰς ἑορτάζει, τῷ ἱερῷ προσεδρεύει, τὴν ἰουδαϊκὴν ἐλέγχει παχύτητα· καὶ τοῦτο ποιεῖ δύο καὶ δέκα γεγονὼς μόνον ἔτη τέως μετὰ τὸν τόκον· ἐπιζητεῖται παρὰ τῶν προσηκόντων, ἀπολειφθεὶς ἐγκαλεῖται παρὰ τῆς μητρός, ἀπολογεῖται, καὶ ἠρέμα πως παραγυμνοῖ τὴν θεότητα. «Οὐκ οἴδατε γάρ, φησιν, ὅτι ἐν τοῖς οἰκείοις τοῦ Πατρός μου δεῖ εἶναί με» [1]); δεικνύς, ὡς οὐ μόνον ἐστὶ τὸ ὁρώμενον, ἀλλὰ καὶ Θεὸς ἐν τῷ ὁρωμένῳ κρυπτόμενος, ὑπέρχρονος καὶ προαιώνιος ἐκ τοῦ Πατρὸς προελθών· καὶ ἵνα συντόμως εἴπω, παραγίνεται πρὸς Ἰωάννην βαπτίζοντα, πείθει βαπτίσαι παραιτούμενον, προτυποῖ τὸ ἡμέτερον ἐν τῷ Ἰορδάνῃ βάπτισμα, δίδωσι τέλος τῷ νόμῳ, καὶ τὴν θύραν ὑπανοίγει τῆς χάριτος, ὑπὸ τοῦ Πατρὸς οὐρανόθεν ἀνακηρύττεται, τῇ παρουσίᾳ τοῦ Πνεύματος δείκνυται, ἀνάγεται εἰς τὴν ἔρημον ὡς εἰς ἁρμοδίαν τινὰ παλαίστραν ὑπὸ τοῦ Πνεύματος, καὶ νηστεύει μέν, οὐ πέρα δὲ τῶν μέτρων τῆς φύσεως, καὶ τροφῆς μὲν ἐφίεται, ἀλλὰ κρατεῖ τῆς ὀρέξεως, οὐ δουλεύει ταῖς ἡδοναῖς· καὶ καλεῖ μὲν τῇ πείνῃ τὸν ἀντίπαλον εἰς τὴν πάλην, περιγίνεται δὲ αὐτοῦ ἀνθρωπίνῃ φιλοσοφίᾳ, ἀλλ' οὐκ ἐξουσίᾳ θεότητος, ἀγωνίζεται, καταγωνίζεται, νικᾷ, ἐξελαύνει, τὴν τυραννίδα καταλύει, τὸ ἀσθενὲς

---

[1]) Λυκ. 2, 49.

ελέγχει, τὴν ἧτταν κηρύττει· «θαρσεῖτε γάρ, φησιν, ἐγὼ νενίκηκα τὸν κόσμον» [1])· προτρέπει πάντας εἰς ἀρετήν, τὴν νομοθεσίαν τῶν θείων δογμάτων ποιεῖ, τὴν διὰ τοῦ προφήτου ἐπηγγελμένην καινὴν διαθήκην δίδωσιν [2]), οὐρανῶν βασιλείαν ὑπισχνεῖται, τοῖς ἀμελοῦσιν ἀπειλεῖ τῆς γεέννης τὴν φλόγα.

25. Πιςοῦται τὰ λεγόμενα τῇ μεγάλῃ θαυματουργίᾳ, οἶνον ἀγεώργητον τῷ γάμῳ δωρούμενος, οἶνον χωρὶς κλημάτων ἐξ ὕδατος ἐργαζόμενος, οἶνον ἀσάφυλον τοῖς τοῦ γάμου δαιτυμόσι χαριζόμενος, εἰς οἶνον μεταβαλὼν τῶν ὑδάτων τὴν φύσιν, μὴ μεσιτευούσης ἀμπέλου, καὶ τῆς γῆς τὴν νοτίδα συλήσας, τιμῶν τὸν γάμον οὐ τῇ παρουσίᾳ μόνον, ἀλλὰ καὶ θαυματουργίᾳ· ἐπειδὴ γὰρ ἐκ παρθενικῆς ἐβλάςησε μήτρας, καὶ παρθενίαν ἤσκησέ τε καὶ τοῖς λόγοις ἐςῆρε, καὶ τὴν ἀζυγίαν ἔργοις καὶ λόγοις ἐτίμησεν, ἵνα μή τις ἀκολασίαν εἶναι νομίζῃ τὴν συζυγίαν, καὶ ὡς παρανόμου τοῦ γάμου κατηγοροίη, τιμᾷ τὸν γάμον τῇ παρουσίᾳ, αὔξει τὴν τιμὴν τῇ τοῦ δώρου φιλοτιμίᾳ, λύει τοῦ νυμφίου τὴν ἀπορίαν, ἐκπλήττει τοὺς συμπότας τῇ τοῦ καινοῦ πράγματος εὐοσμίᾳ. ἑαυτὸν διὰ τοῦ δώρου κηρύττει. Ἀγεώργητος γὰρ ὤν, τὸν ἀγεώργητον οἶνον δέδωκεν. Ἐκεῖθεν τοὺς ἀῤῥώςους ἰᾶται, καὶ λόγῳ λύει τὰς νόσους, καὶ νεύματι τῶν παθῶν ἀπαλλάττει τοὺς κάμνοντας, τοὺς δαιμονῶντας τῆς λύττης ἐλευθεροῖ, δείκνυσι τοὺς μεμηνότας καθεςηκότας, σφίγγει τοὺς παρειμένους, ἀρτίποδας τοὺς χωλοὺς ἀπεργάζεται, δείκνυσι τὸν ἥλιον τοῖς τὸ βλέπειν ἀφῃρημένοις, ἀνοίγει τὰς θύρας τοῦ σώματος δι᾽ ὧν ἐπὶ τὰ ἔξω διαχεῖται τὸ τῆς ψυχῆς ὀπτικόν, καὶ νῦν μὲν λόγῳ μόνῳ τοῦτο ποιεῖ, νῦν δὲ τὸν πηλὸν τὸν τῶν ὀμμάτων ἐπίβουλον ὀμμάτων θεραπευτήν, καὶ τῷ πολεμίῳ φαρμάκῳ κέχρηται, καὶ τὸ δηλητήριον ἀλεξητήριον δείκνυσι· ταῖς ἀκοαῖς καλουμέναις, τὸ δὲ ἀκούειν ἀφῃρημέναις, τὴν οἰκείαν ἐνέργειαν ἐπιδίδωσι. Ἄρτοις ὀλίγοις ἐν ἐρήμῳ πολλὰς ἐκόρεσε χιλιάδας, τοὺς πέντε ἄρτους, ὥσπερ εἰς ἄρουραν σπέρμα, ταῖς χερσὶν ἐμβαλών, καὶ τῆς γλώττης τὴν εὐλογίαν οἷόν τι νέφος ἐπαγαγών, δασὺ καὶ βαθὺ λήϊον καὶ ἅλω πλήρη τὰς τῶν ἀποςόλων χεῖρας ἀπέφηνεν, ἅλω οὐ πτύου δεομένην

---

[1]) Іоан. 16. 33. [2]) Іерем. 31. 31.

καὶ διακρίσεως, οὐ μύλου καὶ μάκτρας καὶ πυρὸς καὶ κλιβάνου, ἀλλ' αὐτοὺς τοὺς ἄρτους βρύουσάν τε καὶ πηγάζουσαν· καὶ ἵνα ἐν κεφαλαίῳ εἴπω, αἵματος ἔστησεν ὀχετοὺς τὴν ἴασιν ἑκοντὶ συληθεὶς [1])· κόρην ἄωρον ἁρπαγεῖσαν ὑπὸ θανάτου καὶ πενθουμένην ὑπὸ τῶν οἰκείων ἀνθαρπάσας τοῖς φύσασιν ἀποδέδωκεν· ἕτερον νεανίαν εἰς τὸν τάφον προπεμπόμενον εἰς ζωὴν ἐπανήγαγε, καὶ εἰς χαρὰν τὸ πένθος μετέβαλε, καὶ τὸν ἐπιτάφιον θρῆνον εἰς ὕμνων λόγον γαμηλίων ἔτρεψε· καὶ τὸν δυσώδη νεκρὸν μετὰ τετάρτην τῆς τελευτῆς ἐκ τῆς θήκης ἐξήγαγε, καὶ τὸν πεπεδημένον βαδίζειν ἐκέλευσε, καὶ παραχρῆμα ὅ τε θάνατος ἐδραπέτευσε, καὶ ὁ νεκρὸς ἔδραμε τῆς σηπεδόνος ἀπαλλαγείς, καὶ τὴν τῆς σηπεδόνος ἀποθέμενος δυσωδίαν, καὶ τὰς τοῦ θανάτου πύλας διαφυγών, καὶ ὑπὸ τῶν δεσμῶν τρέχειν οὐ κωλυόμενος, καὶ τῷ μὲν τοῦ προσώπου καλύμματι τὸ βλέπειν ἀφῃρημένος, ἀκωλύτως δὲ τρέχων πρὸς τὸν καλέσαντα, καὶ τὴν δεσποτικὴν ἐπιγινώσκων φωνήν.

26. Διὰ τούτων καὶ ἄλλων θαυμάτων τῶν επαγγελιῶν ἐμπεδώσας τὸ μέγεθος, καὶ τὸν χορὸν τῶν ἀποςόλων εἰς ἀρετὴν παιδοτριβήσας, προστρέχει τοῖς ἀναγράπτοις [2]) πάθεσιν ἐθελοντής· πολλάκις μὲν ταῦτα τοῖς φοιτηταῖς προμηνύσας, ἐπιτιμήσας δὲ τῷ Πέτρῳ, μεθ' ἡδονῆς μὴ καταδεξαμένῳ τὰ τῶν παθῶν εὐαγγέλια, καὶ δείξας ὡς διὰ τούτων κατορθοῦται τῆς οἰκουμένης ἡ σωτηρία· διὸ καὶ τοῖς ἐπελθοῦσιν ἑαυτὸν ὑπέδειξε λέγων· «ἐγώ εἰμι ὃν ζητεῖτε» [3]). Καὶ κατηγορούμενος οὐκ ἀντεῖπε. καὶ δυνάμενος λαθεῖν, τοῦτο ποιεῖν οὐκ ἠνέσχετο· καὶ ταῦτα πολλάκις ἡνίκα ἠβουλήθη διαφυγών· ἀλλὰ καὶ κλαίει μὲν τὴν Ἱερουσαλήμ, ὡς δὴ τῆς ἀπιςίας ἐπισπωμένης τὸν ὄλεθρον, καταψηφίζεται δὲ πανωλεθρίως τοῦ πολυθρυλλήτου πάλαι νεὼ· ἀνέχεται καὶ ἐπὶ κόρρης παιόμενος, ὑπὸ διπλῆν [4]) δουλείαν δουλεύοντος κολαφιζό-

---

[1]) Ἑκοντὶ συληθείς, безъ вѣдома или тайно, хотя и не безъ собственнаго желанія, увлеченный къ чему-нибудь.

[2]) Ἀνάγραπτος (изъ ἀνὰ и γράφω), предначертанный въ извѣстныхъ книгахъ, т. е. тотъ, о которомъ написано въ св. Писаніи.

[3]) Іоан. 18. 6.

[4]) Т. е. рабство по внѣшнему состоянію и рабство грѣховное по внутреннему состоянію.

μενος, ἐμπτυόμενος, ὀνειδιζόμενος, ςρεβλούμενος, μαςιγούμενος, καὶ τὸ τελευταῖον ςαυρούμενος, καὶ λαμβάνων λῃςὰς τῆς τιμωρίας κοινωνοὺς ἑκατέρωθεν, καὶ ἀνδροφόνοις καὶ κακούργοις συνταττόμενος, καὶ ὄξος καὶ χολὴν παρὰ τοῦ κακοῦ ἀμπελῶνος καρπούμενος, καὶ ἀκάνθαις ἀντὶ κλημάτων καὶ βοτρύων ςεφόμενος, καὶ πορφυρίδι χλευαζόμενος, καὶ καλάμῳ παιόμενος, καὶ λόγχῃ τὴν πλευρὰν ὀρυττόμενος, καὶ τέλος τάφῳ παραπεμπόμενος.

27. Ὑπέμεινε δὲ ταῦτα, τὴν ἡμετέραν μηχανώμενος σωτηρίαν· ἐπειδὴ γὰρ οἱ τῇ ἁμαρτίᾳ δουλεύσαντες τοῖς ἐπιτιμίοις ὑπεύθυνοι τῆς ἁμαρτίας ἐτύγχανον, αὐτὸς ἁμαρτίας ἀπηλλαγμένος, καὶ διὰ πάσης ὁδεύσας δικαιοσύνης, τὴν τῶν ἁμαρτωλῶν κατεδέξατο τιμωρίαν, διὰ μὲν τοῦ ςαυροῦ τῆς παλαιᾶς κατάρας τὴν ἀπόφασιν λύων («Χριςὸς γάρ, φησιν, ἐξηγόρασεν ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα· γέγραπται γάρ· ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐν ξύλῳ» [1]), διὰ δὲ τῶν ἀκανθῶν τέλος διδοὺς ταῖς Ἀδὰμ τιμωρίαις (μετὰ γὰρ τὴν ἁμαρτίαν ἤκουσεν ἐκεῖνος· «ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου, ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι» [2])), διὰ δὲ τῆς χολῆς τὸ πικρὸν καὶ ἐπίπονον τῆς θνητῆς καὶ παθητῆς ζωῆς τῶν ἀνθρώπων εἰς ἑαυτὸν ἀναλαμβάνων, διὰ δὲ τοῦ ὄξους τὴν ἐπὶ τὸ χεῖρον τῶν ἀνθρώπων μεταβολὴν αὐτὸς δεχόμενος, καὶ τὴν εἰς τὸ κρεῖττον ἐπάνοδον χαριζόμενος· τῇ πορφυρίδι σημαίνων τὴν βασιλείαν, τῷ καλάμῳ τὸ ἀσθενὲς καὶ σαθρὸν τῆς τοῦ διαβόλου δυνάμεως αἰνιττόμενος, τῷ ῥαπίσματι τὴν ἡμετέραν κηρύττων ἐλευθερίαν, τὰς ἡμετέρας ὑπομένων ὕβρεις, καὶ παιδείας, καὶ μάςιγας. Τὴν πλευρὰν τῷ Ἀδὰμ παραπλήσιον νυττόμενος, ἀλλ' οὐ γυναῖκα προϊοῦσαν ἐκεῖθεν δεικνύς, τὸν θάνατον διὰ τῆς ἀπάτης γεννήσασαν, ἀλλὰ πηγὴν ζωῆς τῷ διπλῷ νάματι τὴν οἰκουμένην ζωογονοῦσαν· ὧν τὸ μὲν ἡμᾶς ἐν κολυμβήθρᾳ νεοποιεῖ, καὶ τῇ ἀθανάτῳ περιβάλλει ςολῇ· τὸ δὲ τρέφει γεννηθέντας ἐν τῇ τραπέζῃ τῇ θείᾳ, καθάπερ τὰ βρέφη τὸ γάλα.

28. Φάρμακα τοίνυν ἐςὶν ἡμέτερα τὰ τοῦ Σωτῆρος ἡμῶν παθήματα· καὶ τοῦτο διδάσκων ὁ προφήτης βοᾷ· «αὐτὸς τὰς

---

[1]) Гал. 3. 13, 14. [2]) Быт. 3. 17.

ἁμαρτίας ἡμῶν φέρει, καὶ ὑπὲρ ἡμῶν ὀδυνᾶται· ἡμεῖς δὲ ἐλογισάμεθα αὐτὸν εἶναι ἐν πόνῳ, καὶ ἐν πληγῇ, καὶ ἐν κακώσει· αὐτὸς δὲ ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ μεμαλάκισαι διὰ τὰς ἀνομίας ἡμῶν· παιδεία εἰρήνης ἡμῶν ἐπ᾽ αὐτῷ· τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν· πάντες ὡς πρόβατα ἐπλανήθημεν, διὸ ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείραντος αὐτὸν ἄφωνος» [1]. Καὶ καθάπερ ποιμὴν τὰ πρόβατα διεσκεδασμένα θεωρῶν, ἓν τῶν προβάτων κατέχων, καὶ ἐφ᾽ ἣν βούλεται νομὴν ἄγων, ἕλκει τὰ λοιπὰ δι᾽ ἐκείνου πρὸς ἑαυτόν· οὕτως ὁ Θεὸς Λόγος τῶν ἀνθρώπων τὸ γένος πεπλανημένον ἰδών, τοῦ δούλου λαβὼν τὴν μορφήν, καὶ ταύτην συνάψας ἑαυτῷ, πρὸς ἑαυτὸν δι᾽ ἐκείνης ἐπέστρεψε πᾶσαν τὴν τῶν ἀνθρώπων φύσιν. καὶ εἰς τὴν θείαν νομὴν ἤγαγε τὰ κακῶς νεμόμενα καὶ τοῖς λύκοις προκείμενα. Διὰ ταῦτα ὁ Σωτὴρ ὁ ἡμέτερος τὴν ἡμετέραν φύσιν ἀνέλαβε. Διὰ ταῦτα ὁ Δεσπότης Χριστὸς τὰ σωτήρια κατεδέξατο πάθη, καὶ θανάτῳ παραπεμφθεὶς καὶ ταφῇ παραδοθείς, τὸ μὲν παλαιὸν ἐκεῖνο καὶ πολυχρόνιον κράτος ἔλυσε, τοῖς δὲ τῇ φθορᾷ πεπεδημένοις τὴν ἀφθαρσίαν ὑπέσχετο. Τὸν γὰρ λυθέντα ναὸν ἀνοικοδομήσας καὶ ἀνεγείρας, καὶ τοῖς κειμένοις καὶ προσδεχομένοις αὐτοῦ τὴν ἀνάστασιν ἀληθεῖς καὶ βεβαίας τὰς ὑποσχέσεις ὑπέδειξεν. Ὃν τρόπον γάρ, φησιν, ἡ ἐξ ὑμῶν ἀναληφθεῖσα φύσις τῇ τῆς θεότητος ἐνοικήσει τε καὶ ἑνώσει τῆς ἀναστάσεως ἔτυχε, καὶ τὸ φθαρτὸν ἀνατιθεμένη σὺν τοῖς παθήμασιν εἰς ἀφθαρσίαν καὶ ἀθανασίαν μετέβη· οὕτω καὶ ὑμεῖς τῆς χαλεπῆς τοῦ θανάτου δουλείας ἀπαλλαγήσεσθε, καὶ τὴν φθορὰν ἀποῤῥίψαντες σὺν τοῖς πάθεσιν, ἐνδύσεσθε τὴν ἀπάθειαν. Διὸ καὶ τὸ δῶρον τοῦ βαπτίσματος πᾶσιν ἀνθρώποις διὰ τῶν ἀποστόλων ἐξέπεμψε. «Πορευθέντες γάρ, φησι, μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος» [2]. Τὸ βάπτισμα τοῦ Δεσποτικοῦ θανάτου σκιαγραφία τις ὑπάρχει καὶ τύπος. «Εἰ γὰρ σύμφυτοι, φησιν ὁ Παῦλος, γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου τοῦ Υἱοῦ αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα» [3].

---

[1]) Иса. 53. 4—7. [2]) Мат. 28. 19. [3]) Рим. 6. 5.

29. Οὕτω γεννηθεὶς ὁ Δεσπότης Χριςὸς, οὕτω τραφεὶς, οὕτω θαυματουργήσας, διὰ ταῦτα παθὼν, ςαυρωθεὶς, ἀποθανὼν, κήρυκας ἀποςείλας πᾶσιν ἀνθρώποις τοὺς ἱεροὺς μαθητὰς, εἰς τὸν οὐρανὸν ἀνελήφθη· καὶ ταῦτα ἐν κεφαλαίῳ ἐν τοῖς πρὸς Τιμόθεον γραφεῖσιν ὁ Ἀπόςολος ἡμᾶς ἐδίδαξε, λέγων· «ὁμολογουμένως μέγα ἐςὶ τὸ τῆς εὐσεβείας μυςήριον, Θεὸς ἐφανερώθη ἐν σαρκὶ, ἐδικαιώθη ἐν Πνεύματι, ὤφθη ἀγγέλοις, ἐκηρύχθη ἔθνεσιν, ἐπιςώθη ἐν κόσμῳ, ἀνελήφθη ἐν δόξῃ» [1]). Καὶ τὴν μὲν φανέρωσιν συνέζευξε τῇ σαρκὶ, τὴν δὲ δικαίωσιν κατὰ τὴν τῶν αἱρετικῶν ἀβελτηρίαν [2]) ἐδικαιώθη δὲ τῇ συνεργείᾳ τοῦ Πνεύματος. Ἆρα τὸ δικαιῶσαν Πνεῦμα κρεῖττον τοῦ δικαιωθέντος Υἱοῦ; ἀλλ' οὐκέτι ταῦτα οὐκ ἔςι· τὸ γὰρ ἡμέτερον ἐδικαιώθη διὰ τοῦ ἐν αὐτῷ φανερωθέντος Θεοῦ, ὃς ἀχωρίςως αὐτῷ συνημμένος, τήν τε ἄκραν ἐπαίδευσεν ἀρετὴν, καὶ τῶν βελῶν τῆς ἁμαρτίας ἐφύλαξεν ἄγευςον, καὶ ἀμύητον, καὶ τῆς διαβολικῆς ἀπάτης ὑπέρτερον· καὶ θανάτου πρὸς βραχὺ γεύσασθαι συγχωρήσας, παραυτίκα τῆς ἐκείνου τυραννίδος ἀπήλλαξε, καὶ τῆς οἰκείας αὐτῷ ζωῆς μεταδέδωκε, καὶ εἰς οὐρανοὺς ἀνήγαγε, καὶ ἐκ δεξιῶν τῆς μεγαλωσύνης ἐκάθισε, καὶ ὄνομα αὐτῷ ἐχαρίσατο τὸ ὑπὲρ πᾶν ὄνομα, τὴν οἰκείαν αὐτῷ ἀξίαν δωρησάμενος· καὶ τὴν τῆς φύσεως αὐτοῦ προσηγορίαν λαβὼν, υἱὸς ἀνθρώπου ὁ προαιώνιος τοῦ Θεοῦ Λόγος ηὐδόκησεν ὀνομάζεσθαι. «Οὐδεὶς γὰρ, φησιν, ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐξ οὐρανοῦ καταβὰς ὁ υἱὸς τοῦ ἀνθρώπου, ὁ ὢν ἐν τῷ οὐρανῷ» [3]). Κατέβη δὲ οὐχ ὁ ἐκ σπέρματος Δαβὶδ ἐκ τῶν οὐρανῶν, ἀλλ' ὁ τῶν οὐρανῶν ποιητὴς, ὁ ὑπέρχρονος Θεοῦ Λόγος, ὁ πρὸ τῶν αἰώνων ὑπάρχων· διὰ δὲ τὴν πρὸς τὸ ἀνθρώπινον ἕνωσιν λαμβάνει τοῦ υἱοῦ τοῦ ἀνθρώπου τὸ ὄνομα. Καὶ ἑτέρωθι δὲ πάλιν οὕτως αὐτὸν προσαγορεύει· «ἐὰν ἴδητε τὸν υἱὸν τοῦ ἀνθρώπου ἀνερχόμενον ὅπου ἦν τὸ πρότερον» [4])· οὐχ ἡ τοῦ δούλου μορφὴ, ἀλλ' ἡ τοῦ Θεοῦ μορφή· καὶ αὖθις· «ὅτι υἱὸς ἀνθρώπου ἐςί, φησι, μὴ θαυμάζετε τοῦτο, ὅτι ἔρχεται ὥρα, ἐν

---

[1]) 1 Тим. 3. 16.

[2]) Ἀβελτηρία или ἀβελτερία, незнаніе лучшаго (τοῦ βελτίονος), невѣжество, неисправимое упорство въ заблужденіяхъ.

[3]) Еф. 4. 10. [4]) Іоан. 6. 63.

ἡ ἀκούσονται οἱ ἐν τοῖς μνήμασι τῆς φωνῆς αὐτοῦ, καὶ ἐξελεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάςασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα πράξαντες εἰς ἀνάςασιν κρίσεως» [1]). Οὐ τῆς ἀνθρωπότητος δὲ ψιλῆς τοῦτο τὸ ἴδιον, ἀλλὰ τῆς ἐνεργούσης θεότητος, καὶ τῆς φαινομένης δὴ ἀνθρωπότητος διὰ τὴν πρὸς τὴν θεότητα συνάφειάν τε καὶ ἕνωσιν.

30. Οὕτως ὁ Θεὸς Λόγος οἰκειοῦται τῆς τοῦ δούλου μορφῆς τὴν εὐτέλειαν, καὶ Θεὸς ὑπάρχων, ἄνθρωπος ἠθέλησεν ὀνομάζεσθαι. Καὶ ὥσπερ μετέλαβε τῶν τοῦ ἀνθρώπου ταπεινῶν, οὕτω τῶν ὑψηλῶν αὐτῷ μεταδέδωκε. Καλεῖται γὰρ τὸ τῆς Παρθένου βρέφος Ἐμμανουὴλ [2]), καὶ τὸ τοῖς σπαργάνοις ἐνειλημμένον [3]), καὶ θηλὴν ἕλκον, καὶ τρεφόμενον γάλακτι, καὶ καλεῖται μεγάλης βουλῆς Ἄγγελος, καὶ θαυμαςὸς σύμβουλος, καὶ Θεὸς ἰσχυρὸς, καὶ ἐξουσιαςὴς, καὶ ἄρχων εἰρήνης, καὶ πατὴρ τοῦ μέλλοντος αἰῶνος [4]), καὶ Υἱὸς Ὑψίςου, καὶ Σωτὴρ, καὶ Κύριος, καὶ τῶν ὅλων Δημιουργός. «Εἷς γάρ, φησι, Κύριος Ἰησοῦς Χριςὸς, δι' οὗ τὰ πάντα» [5]). Καὶ μὴν τὰ «Ἰησοῦς» καὶ «Χριςὸς» ὀνόματα, τῆς οἰκονομίας εἰσὶ σημαντικά· ἡ δὲ οἰκονομία οὐ πρὸ τῆς κτίσεως, οὐδὲ εὐθὺς μετὰ τὴν κτίσιν, ἀλλ' ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐγένετο· ἐπειδὴ τοίνυν τὸ «Χριςὸς» ὄνομα οὐ τὸν ληφθέντα μόνον, ἀλλὰ καὶ τὸν λαβόντα Λόγον μετὰ τοῦ ληφθέντος δηλοῖ (τοῦ Θεοῦ γὰρ καὶ τοῦ ἀνθρώπου τοῦτο σημαντικόν ἐςιν)· ὁ Παῦλος ἀνατίθησι καὶ τῷ ὁρωμένῳ, διὰ τὴν πρὸς τὸ κρυπτόμενον ἕνωσιν, τὴν τοῦ παντὸς ποίησίν τε καὶ διακόσμησιν· διὸ καὶ ἑτέρωθι τὸν Χριςὸν ἐπὶ πάντων προσαγορεύει Θεόν· «ἐξ ὧν γάρ, φησιν, Χριςὸς τὸ κατὰ σάρκα. ὁ ὢν ἐπὶ πάντων Θεός» [6])· οὐχ ἐπειδὴ τοῦ Δαβὶδ ὁ ἀπόγονος αὐτὸς καθ' αὑτὸν Θεός ἐςι καὶ ἐπὶ πάντων Θεὸς, ἀλλ' ὅτι τοῦ Θεοῦ τοῦ ἐπὶ πάντων ὑπῆρχε ναὸς, ἡνωμένην καὶ συνημμένην ἔχων ἑαυτῷ τὴν θεότητα.

31. Διὰ τοῦτο «Ἰησοῦς Χριςὸς χθὲς καὶ σήμερον, ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας» [7]). Οὐ γὰρ εἰς πρόσωπα δύο τὴν οἰκονομίαν μερίζομεν, οὐδὲ υἱοὺς δύο ἀντὶ τοῦ Μονογενοῦς κηρύττομέν τε καὶ δογματίζομεν, ἀλλὰ δύο μὲν τὰς φύσεις εἶναι καὶ μεμα-

---

[1]) Іоан. 5. 27—29. [2]) Мат. 1. 23. [3]) Лук. 2. 7. [4]) Иса. 9. 6. [5]) 2 Кор. 8. 6. [6]) Рим. 9. 5. [7]) Евр. 13. 8.

θήκαμεν καὶ διδάσκομεν· ἕτερον γὰρ θεότης, καὶ ἕτερον ἀνθρωπότης· ἕτερον τὸ ὄν, καὶ ἕτερον τὸ γενόμενον· ἄλλο ἡ τοῦ Θεοῦ μορφὴ, καὶ ἄλλο ἡ τοῦ ἀνθρώπου μορφή· καὶ ἄλλο ἡ λαβοῦσα, καὶ ἕτερον ἡ ληφθεῖσα· ἕτερον ὁ λυθεὶς ναὸς, καὶ ἕτερον ὁ λυθέντα τοῦτον ἀναςήσας Θεός.

32. Οὐ τὰς φύσεις τοίνυν συγχέομεν, οὐδὲ κρᾶσιν ποιητοῦ καὶ ποιήματος δογματίζομεν, καὶ τῷ τῆς κράσεως ὀνόματι τὴν σύγχυσιν συνεισφέρομεν· ἀλλὰ καὶ τοῦ Θεοῦ Λόγου τὴν φύσιν γνωρίζομεν, καὶ τῆς μορφῆς τοῦ δούλου τὴν οὐσίαν γινώσκομεν, ἑκατέραν δὲ φύσιν ὡς ἕνα προσκυνοῦμεν Υἱόν· θάτερον γὰρ θατέρῳ Χριςὸς ὀνομάζεται, καὶ οὔτε ἡ τοῦ δούλου μορφὴ ψιλὴ καὶ γυμνὴ τυγχάνουσα τῆς θεότητος, τοῦτο πώποτε παρὰ τῶν διδασκάλων ἐκλήθη τῆς εὐσεβείας. Οἱ δὲ τὴν κρᾶσιν λέγοντες, τῇ κράσει τὴν σύγχυσιν συνεισφέρουσι· τῇ δὲ συγχύσει ἡ τροπὴ συνεισφέρεται· τροπῆς δὲ εἰσιούσης, οὔτε Θεὸς ἐπὶ τῆς ἰδίας μένοι ἂν φύσεως, οὔτε ἄνθρωπος ἐπὶ τῆς οἰκείας. Ἀνάγκη γὰρ ἐκςῆναι τῶν τῆς οὐσίας ὅρων ἑκάτερον, καὶ μήτε τὸν Θεὸν γνωρίζεσθαι Θεὸν, μήτε τὸν ἄνθρωπον ἄνθρωπον. Τοῦτο δὲ οὐδὲ ἐπὶ τῆς τοῦ ἀνθρώπου κατασκευῆς λάβοι ἄν τις εὖ φρονῶν. Οὐ γὰρ τῷ σώματι τὴν ψυχὴν κεκρᾶσθαι, ἀλλ' ἡνῶσθαι, καὶ συνῆφθαι, καὶ οἰκεῖν, καὶ ἐνεργεῖν φαμεν. Καὶ οὔτε τὴν ψυχὴν θνητὴν, οὔτε τὸ σῶμα εἴποι τις ἂν ἀθάνατον, μὴ κομιδῇ παραπαίων, ἀλλὰ τὴν μὲν ἑκατέραν φύσιν διαιροῦμεν, ἓν δὲ ζῶον γνωρίζομεν τὸ ἐξ ἐκείνων συγκείμενον· καὶ ἑκατέραν μὲν φύσιν διῃρημένοις ὀνόμασιν ὀνομάζομεν, τὴν μὲν ψυχὴν, τὸ δὲ σῶμα, τὸ δὲ ἐξ ἀμφοτέρων συνεςηκὸς ζῶον ἑτέρῳ καλοῦμεν ὀνόματι· ἄνθρωπον γὰρ προσαγορεύομεν. Ταῦτα τοίνυν καὶ ἐπὶ τῆς οἰκονομίας τὴν εἰκόνα λαβόντες, τῆς βλασφημίας ἀπαλλαγῶμεν ἐκείνης, καὶ τὴν κρᾶσιν καταλιπόντες, τῷ τῆς ἑνώσεως καὶ συναφείας καὶ κοινωνίας ὀνόματι χρώμενοι διατελέσωμεν, φύσεων μὲν διάκρισιν, προσώπου δὲ ἕνωσιν δογματίζοντες. Οὕτω τὴν Ἀρείου καὶ Εὐνομίου βλασφημίαν ἐλέγξομεν, τὰ μὲν ταπεινῶς εἰρημένα καὶ πεπραγμένα τῷ Σωτῆρι Χριςῷ προσάπτοντες τῇ τοῦ δούλου μορφῇ· τὰ δὲ ὑψηλὰ καὶ θεοπρεπῆ καὶ μεγάλα τῇ ὑψηλῇ καὶ πάντα νοῦν ὑπερβαινούσῃ ἀνατιθέντες θεότητι.

33. Ἀλλὰ καιρὸς ἀναδραμεῖν ἐπὶ τὸ προκείμενον. Ἀναληφθεὶς τοίνυν εἰς οὐρανοὺς ὁ Δεσπότης Χριςὸς, καὶ ἑαυτὸν ὥσπερ ἐχέγγυον τῆς τῶν ἀνθρώπων εἰρήνης προσενεγκὼν τῷ Πατρὶ, πέμπει τοῖς ἀνθρώποις τὴν χάριν τοῦ Πνεύματος, ὥσπερ τινὰ τῶν ἐπηγγελμένων ἀγαθῶν ἀρραβῶνα, παιδοτρίβην, καὶ γυμναςὴν, τῶν τῆς εὐσεβείας ἀγωνιςὴν, φύλακα τῶν πιςευόντων ἀκοίμητον, φῶς τῶν προσιόντων ἄσβεςόν τε καὶ ἀνέσπερον, τῶν ψυχικῶν τραυμάτων θεραπευτὴν, ἰατρὸν τῶν ὑπὸ τῆς ἁμαρτίας γινομένων τραυμάτων, ςρατηγὸν ἀριςεύειν κατὰ τοῦ διαβόλου διδάσκοντα, ὑποπτέρους τοὺς χαμαιπετεῖς ἐργαζόμενον, τοὺς γηΐνους τὴν τῶν οὐρανῶν πολιτείαν παιδεύοντα, καταφρονεῖν σαρκὸς, ἐπιμελεῖσθαι ψυχῆς, διαπτύειν τὰ παρόντα, ἐφίεσθαι τῶν μελλόντων, ὁρᾶν τὰ προσδοκώμενα διὰ πίςεως, μηδὲν ἡγεῖσθαι τῶν ἐν τῷ βίῳ λαμπρὸν, δόξης καταγελᾶν, τῶν τοῦ πλούτου ῥευμάτων ὑπερορᾶν, ὥραν σώματος ὡς ἄνθος ὁρᾶν μαραινόμενον, μὴ ἀλγεῖν πενομένους, μὴ ἀνιᾶσθαι νοσοῦντας, χαίρειν ἀδικουμένους, λεηλατουμένους εὐφραίνεσθαι, φέρειν καρτερικῶς τὰ δεινὰ, ὑπερεύχεσθαι τῶν ἀντιδικούντων, εὐλογεῖν τοὺς καταρωμένους, καὶ πᾶσαν ἁπαξαπλῶς φιλοσοφίαν μεταδιώκειν. Ταῦτα ἐδίδαξεν ἡ χάρις τοῦ Πνεύματος, ταῦτα γῆν καὶ θάλατταν ἐξεπαίδευσε, ταῦτα καὶ βάρβαροι μετὰ τὴν τοῦ Σωτῆρος αὐτῶν φιλοσοφοῦσιν ἐπιδημίαν, ταῦτα ἠπειρῶται, ταῦτα οἱ ςρατιῶται, ταῦτα οἱ τὰς ἐσχατιὰς τῆς οἰκουμένης οἰκοῦντες.

34. Ἀνυμνήσωμεν τοίνυν τὸν τῶν ἀμυθήτων ἀγαθῶν χορηγὸν, τὸν ἐκ τῆς ἐσχάτης ἀλογίας εἰς τὴν προτέραν ἡμᾶς φύσιν ἐπαναγαγόντα, τὸν δι' ἡμᾶς πτωχεύσαντα, ἵνα ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσωμεν· καὶ σὺν αὐτῷ τὸν γνήσιον αὐτοῦ Πατέρα, ὃς οὕτως ἠγάπησε τὸν κόσμον, ὡς δοῦναι τὸν μονογενῆ αὐτοῦ Υἱὸν ὑπὲρ αὐτοῦ, ἵνα πᾶς ὁ πιςεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον [1]· καὶ σὺν Πατρὶ καὶ Υἱῷ τὸ Πνεῦμα τὸ ἅγιον, ἐν ᾧ βαπτιζόμενοι τὸν τῆς δωρεᾶς ἀρραβῶνα λαμβάνομεν, δι' οὗ τὰς ψυχὰς φωτιζόμεθα, δι' οὗ τὴν οἰκονομίαν διδασκόμεθα, δι' οὗ τὴν θεολογίαν παιδευόμεθα, δι' οὗ τῆς ἀλο-

---

[1] Ιοαн. 3. 16.

γίας ἀπαλλαττόμεθα, δι' οὗ τῆς πλάνης ἠλευθερώθημεν καὶ τὴν ἀλήθειαν ἔγνωμεν. Καὶ παυσώμεθα τὴν φύσιν πολυπραγμονοῦντες τοῦ ἀγεννήτου, εἰ καὶ αὐτὸς ἀγαθὸς καὶ δίκαιος, καὶ εἰ οἷόν τε εἶναί τινα μὴ γεννηθέντα ἢ γενόμενον· παυσώμεθα τὴν γέννησιν περιεργάζεσθαι τοῦ Μονογενοῦς, καὶ τὸν τρόπον ἐπιζητοῦντες, καὶ ἀγεννήτῳ καὶ γεννήτῳ διαιτῶντες, καὶ μετροῦντες τὰ ἀμέτρητα· παυσώμεθα κακῶς ἀνιχνεύοντες τὴν τοῦ Πνεύματος πρόοδον, καὶ ζητοῦντες μαθεῖν ἃ μόνῳ Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι γνώριμα· ἐμμείνωμεν οἷς ἐλάβομεν ὅροις· μὴ ὅρια μετενέγκωμεν, ἃ ἔθεντο οἱ πατέρες ἡμῶν· ἀρκεσθῶμεν τῇ δοθείσῃ διδασκαλίᾳ παρὰ τοῦ Πνεύματος. Μὴ βουληθῶμεν ὑπερβῆναι Παύλου τὴν γνῶσιν, ὃς ἐκ μέρους ἔφη γινώσκειν, καὶ ἐκ μέρους προφητεύειν, καὶ ἐν ἐσόπτρῳ βλέπειν καὶ ἐν αἰνίγματι τὴν ἀλήθειαν [1])· ἀναμείνωμεν τῶν ἐλπιζομένων ἀγαθῶν τὴν ἀπόλαυσιν. Τότε τὰ τέλεια μαθησόμεθα, ὅτε δι' ἀλαζονείας οὐ βλαβησόμεθα, ὅτε δι' ὑπερηφανίας οὐ πεσούμεθα, ὅτε ἐν ἀπαθείᾳ βιωσόμεθα. Οὐκοῦν ἐν τῷ παρόντι ταῖς τῶν πατέρων διδασκαλίαις ἐμμείνωμεν, ἵνα μὴ μείζω ζητοῦντες, καὶ τῶν ἐλαττόνων ἐκπέσωμεν· ὃ πέπονθεν ὁ προπάτωρ Ἀδάμ· καὶ γὰρ ἐκεῖνος ἐπιθυμήσας γενέσθαι Θεός, καὶ τὸ εἶναι εἰκὼν Θεοῦ προσαπώλεσε.

35. Τοίνυν περὶ τὴν θεολογίαν μηδεὶς ἀπιστίαν νοσείτω, μηδεὶς περὶ τὴν οἰκονομίαν χωλευέτω, ἀλλὰ τὸν ἐκ Παρθένου γεννηθέντα Χριστόν, Θεὸν ὁμοῦ καὶ ἄνθρωπον ὁμολογείτω καθ' ἑκάτερον· διὰ τοῦτο γὰρ καὶ Θεοτόκος καὶ ἀνθρωποτόκος [2]) ἡ ἁγία Παρθένος ὑπὸ τῶν τῆς εὐσεβείας διδασκάλων προσαγορεύεται· τοῦτο μὲν ὡς φύσει τὸν δούλῳ ἐοικότα γεννήσασα, ἐκεῖνο δὲ ὡς τῆς τοῦ δούλου μορφῆς καὶ Θεοῦ τὴν μορφὴν ἡνωμένην ἐχούσης· οὕτω διὰ θεολογίας καὶ οἰκονομίας τὸν τὸ μυστήριον ἡμῖν τὸ ἀποκεκρυμμένον γνωρίσαντα ἀνυμνήσωμεν, καὶ διὰ τῆς τοῦ βίου καθαρότητος ναοὺς ἑαυτοὺς τῷ Θεῷ κατασκευάσαντες, ἔνοικον αὐτὸν λάβωμεν· καὶ ταῖς ἀκτῖσιν αὐτοῦ φωτιζόμενοι, ὡς ἐν ἡμέρᾳ

---

[1]) 1 Кор. 13. 9.

[2]) Т. е. обоими названіями вмѣстѣ, такъ какъ І. Христосъ есть Богочеловѣкъ.

εὐσχημόνως περιπατήσωμεν [1]), προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριςοῦ [2]), μεθ᾽ οὗ τῷ Πατρὶ σὺν τῷ ἁγίῳ Πνεύματι δόξα καὶ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

## 2.

## ΟΜΙΛΙΑ.

### Ἐγκώμιον εἰς τὴν ἁγίαν Μαρίαν τὴν Θεοτόκον.

## Глав. 1—2.

1. Φαιδρὸς ἡμῖν ὁ λόγος καὶ χάριτος ἐμπεπλησμένος, ἐπειδὴ καὶ λαμπρὰ ἡ τῶν ἁγίων πατέρων σύνοδος [3]). Καὶ γὰρ σφόδρα μου ἐν λύπῃ ὑπάρχοντος διὰ τὴν παράνομον βλασφημίαν Νεςορίου [4]) διήγειρον τοῦτο τὸ πολύκλωνον καὶ πολυειδὲς καὶ ἀγγελικὸν καὶ ἐπουράνιον θέατρον. Οὗτοι οἱ τῆς εὐσεβείας διδάσκαλοι, οἱ ςῦλοι καὶ ὄροφοι τῆς πίςεως, οἱ πύργοι οἱ ἀσάλευτοι, οἱ λιμένες οἱ γαληνοφόροι, οἱ πιςοὶ καὶ φρόνιμοι οἰκονόμοι, οἱ σοφοὶ ἀρχιτέκτονες, οἱ τὸν αἰθέριον πλοῦν καὶ ἰσάγγελον βίον ἐπὶ γῆς διάγοντες, οἱ τῶν προφητῶν σύσκηνοι, καὶ τῶν ἀποςόλων σύνθρονοι, καὶ τῶν ἁγίων ἐκκλησιῶν προςάται, οἱ τῆς μιαρᾶς βλασφημίας ἔκδικοι, οἱ τῆς ἡμετέρας πτωχείας, μᾶλλον δὲ εὐφημίας, σοφοὶ ἀντιλήπτορες, οἱ τὸν καλλιεπῆ καὶ θεόμορφον τῆς ἀρχιερωσύνης θρόνον ἐπέχοντες, οἱ τὰ μελίῤῥυτα πηγάζοντες νάματα, οἱ τῆς Θεοῦ φρονήσεως πνευματικοὶ ῥήτορες, οἱ τὴν τετραπέρατον οἰκουμένην τῇ ἀκαμάτῳ ὁδοιπορίᾳ βαδίσαντες, οὓς οὔτε καύσων, οὔτε πελάγη θαλάττης, οὔτε κυμάτων μαινομένων θυμὸς ἄγριος, οὐ ζαλώδεις τρικυμίαι εἰς ὄκνον ἐνέβαλον, ἀλλὰ τοῖς πιςοφόροις βήμασι σκιρτῶντες ἐνταῦθα γεγόνασι, πάντα

---

[1]) Рим. 13. 13. [2]) Тит. 2. 13.

[3]) Бесѣда произнесена была Святителемъ въ г. Ефесѣ, въ храмѣ св. Іоанна Богослова, по окончаніи 3-го вселенскаго собора 431 года, въ присутствіи многихъ епископовъ, бывшихъ на этомъ соборѣ.

[4]) Несторій, бывшій архіепископъ Константинопольскій, ересеначальникъ Несторіанства, осужденный на 3 вселенскомъ соборѣ.

ὄκνον καταλείψαντες διὰ πόθον, μᾶλλον δὲ φόβον Κυρίου, καὶ ἀναλαβόντες τὸν ςαυρὸν, ὡς σοφοὶ ἔκδικοι τῆς Θεοτόκου Μαρίας, ἐνταῦθα παραγεγόνασι. Διὸ καὶ θαῤῥοῦντες ταῖς εὐχαῖς αὐτῶν ταῖς ἁγίαις, ὀλίγα τινὰ χαιρετίσωμεν ταύτην τὴν πόλιν, καὶ οὕτως ἐπὶ τὰ ἐγκώμια τῆς Θεοτόκου ἐκτενῶ μου τὸν λόγον. Χαίροις, ὦ Ἐφεσίων πόλις, μᾶλλον δὲ θαλασσοθέα [1]), διότι ἀντὶ λιμένων ἐπιγείων λιμένες ἀγγελικοὶ καὶ ἐπουράνιοι πρός σε παραγεγόνασι. Χαίροις, τῆς Ἀσιανῆς διοικήσεως τὸ καύχημα, ὅτι καθάπερ μαργαριτῶν τιμίων τοῖς τῶν ἁγίων ναοῖς κύκλῳ περιωκοδόμησαι, καὶ νῦν ὑπὸ πολλῶν ἁγίων πατέρων καὶ πατριαρχῶν ἰχνοπατουμένη ἁγιάζῃ. Εὐλογοῦνται γὰρ ἀληθῶς καὶ αἱ πύλαι, καὶ αἱ ῥύμαι, καὶ οἱ λιμένες, τῇ τῶν ἁγίων πατέρων ἐπιδημίᾳ. Ὅπου γὰρ πολλοὶ ποιμένες ἐλαύνουσι, πολὺς γίνεται δι' αὐτῶν ὁ τῆς ἁγιωσύνης σύλλογος· καὶ μάλιςα οὗτοι οἱ φιλόθεοι, καὶ φιλόπιςοι, καὶ ἰσάγγελοι, ἐξελαύνουσι πᾶσαν σατανικὴν ἐνέργειαν, καὶ Ἑλληνικὴν εἰδωλομανίαν, Πορφυριανῶν τε καὶ Σαβελλιτῶν, Φρυγῶν τε καὶ Ἀπολιναριτῶν. Φωτινῶν, καὶ πᾶσα ἁπλῶς αἵρεσις μιαρὰ καταισχύνεται [2]), δοξάζεται δὲ τὸ τῆς ὀρθοδόξου πίςεως καύχημα. Χαίροις δὲ καὶ αὐτὸς, τρισμακάριε Ἰωάννη, ἀπόςολε καὶ εὐαγγελιςὰ, τῆς παρθενίας τὸ καύχημα, τῆς ἁγνείας διδάσκαλε, τῆς τῶν δαιμόνων πλάνης ἐξολοθρευτὰ, τοῦ ναοῦ τῆς Ἀρτέμιδος καθαιρέτα [3]), τῆς Ἐφεσίων λιμὴν καὶ πρόμαχος, τῶν πτωχῶν τροφεὺς, τῶν θλιβομένων καταφυγὴ, τῶν ἐγγὺς καὶ τῶν μακρὰν ἀναψυχὴ καὶ ἀνάπαυσις. Χαίροις, ἀμίαντον σκεῦος σωφροσύνης ἐμπεπλησμένον· σοὶ γὰρ καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριςὸς ἐπὶ τοῦ ςαυροῦ ἀναλαμβανόμενος τὴν Θεοτόκον καὶ Ἀειπαρθένον, ὡς παρθένῳ, παρέδωκε [4]). Χαίροις δὲ καὶ αὐτὴ, Μαρία Θεοτόκε, Παρθενομήτωρ, Φωτοφόρε, σκεῦος ἀμίαντον. Χαίροις, Παρθένε Μαρία, μήτηρ καὶ δούλη, Παρθένε μὲν διὰ

---

[1]) *Θαλασσοθέα* (отъ *θάλασσα* и *θέαομαι*)—смотрящая на море.

[2]) Порфиріанами назывались Аріане, какъ отвергавшіе божество І. Христа подобно языческому философу Порфирію, жившему въ 3-мъ вѣкѣ; а Фригами или Катафригами—послѣдователи еретика Монтана, происходившаго изъ Фригіи и жившаго во 2-мъ вѣкѣ. См. Никифора Калл. Церк. Ист. IV. 22; V. 13; VIII. 25; X. 36; и св. Епифанія о ерес. гл. 48.

[3]) Дѣян. 19. 24—40. [4]) Іоан. 19. 26, 27.

τον ἐκ σοῦ τῆς Παρθένου τεχθέντα, μήτηρ δὲ διὰ τὸν ἐν ἀγκάλαις σαῖς βαςαχθέντα, καὶ γάλακτι σῷ τραφέντα· δούλη διὰ τὸν μορφὴν δούλου λαβόντα. Εἰσῆλθε γὰρ ὁ βασιλεὺς ἐν τῇ πόλει σου, μᾶλλον δὲ ἐν τῇ κοιλίᾳ σου, καὶ πάλιν ἐξῆλθεν ὡς αὐτὸς ἠθέλησε, καὶ ἡ πύλη σου ἐκέκλειςο. Συνέλαβες γὰρ ἀσπόρως, θεοπρεπῶς δὲ ἐγέννησας. Χαίροις, Μαρία, ὁ κατάλυτος ναὸς [1]), μᾶλλον δὲ ἅγιος, καθὼς βοᾷ ὁ προφήτης Δαβὶδ λέγων· «ἅγιος ναός σου, θαυμαςὸς ἐν δικαιοσύνῃ» [2]). Χαίροις, Μαρία, τὸ κειμήλιον τῆς οἰκουμένης· χαίροις, Μαρία, ἡ περιςερὰ ἡ ἀμίαντος. Χαίροις, Μαρία, ἡ λαμπὰς ἡ ἄσβεςος· ἐκ σοῦ γὰρ ὁ ἥλιος τῆς δικαιοσύνης γεγέννηται. Χαίροις, Μαρία, τὸ χωρίον τοῦ ἀχωρήτου, ἡ τὸν Μονογενῆ Θεὸν Λόγον χωρήσασα, ἡ τὸν ςάχυν ἄνευ ἀρότρου καὶ σπέρματος βλαςήσασα τὸν ἀμαράντινον. Χαίροις, Μαρία Θεοτόκε, δι' ἣν προφῆται κελαδοῦσι, δι' ἣν ποιμένες δοξολογοῦσι, λέγοντες σὺν ἀγγέλοις τὸν φοβερὸν ἐκεῖνον ὕμνον· «δόξα ἐν ὑψίςοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία» [3]). Χαίροις, Μαρία Θεοτόκε, δι' ἣν ἄγγελοι χορεύουσιν, ἀρχάγγελοι σκιρτῶσι φρικωδεςάτους ὕμνους ἀναπέμποντες. Χαίροις, Μαρία Θεοτόκε, δι' ἣν μάγοι προσκυνοῦσιν, ὑπὸ ἀςέρος λαμπαδούχου ὁδηγούμενοι. Χαίροις, Μαρία Θεοτόκε, δι' ἣν τὸ δωδεκάκτινον κάλλος τῶν ἀποςόλων ἐκλέλεκται. Χαίροις, Μαρία Θεοτόκε, δι' ἣν Ἰωάννης ἔτι ὢν ἐν τῇ κοιλίᾳ τῆς μητρὸς αὐτοῦ ἐσκίρτησε, καὶ προσεκύνησεν ὁ λύχνος τῷ φωτὶ τῷ ἀκοιμήτῳ [4]). Χαίροις, Μαρία Θεοτόκε, δι' ἧς προῆλθεν ἡ χάρις ἡ ἀνεκλάλητος, περὶ ἧς ὁ ἀπόςολος βοῶν ἔλεγεν· «ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις» [5]). Χαίροις, Μαρία Θεοτόκε, δι' ἧς προῆλθε τὸ φῶς τὸ ἀληθινὸν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριςός, ὁ λέγων ἐν τοῖς Εὐαγγελίοις· «ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου» [6]). Χαίροις, Μαρία Θεοτόκε, δι' ἧς ἐπέλαμψε φῶς τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις· «ὁ λαὸς γάρ, φησιν, ὁ καθήμενος ἐν σκότει, ἴδε φῶς

---

[1]) Κατάλυτος (изъ κατα и λύω) въ смыслѣ: удобный для отдохновенія, пристанища, или обитанія.

[2]) Пс. 64. 5, 6. [3]) Лук. 2. 14. [4]) Лук. 2. 41. [5]) Тит. 2. 11. [6]) Іоан. 8. 12.

μέγα» [1]). Ποῖον ἄρα φῶς, εἰ μὴ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριςὸν, τὸ φῶς τὸ ἀληθινὸν, τὸ φωτίζον πάντα ἄνθρωπον ἐργόμενον εἰς τὸν κόσμον [2]; Χαίροις, Μαρία Θεοτόκε, δι' ἣν ἐν Εὐαγγελίοις κηρύσσεται· «εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου» [3])· δι' ἣν καὶ ἐν πόλεσι καὶ ἐν κώμαις καὶ ἐν νήσοις ἐκκλησίαι ὀρθοδόξων τεθεμελίωνται. Χαίροις, Μαρία Θεοτόκε, δι' ἧς προῆλθεν ὁ τοῦ θανάτου νικητὴς, καὶ τοῦ ᾅδου ὀλοθρευτής. Χαίροις, Μαρία Θεοτόκε, δι' ἧς προῆλθεν ὁ τοῦ πρωτοπλάςου πλάςης, καὶ τῆς παραβάσεως αὐτοῦ διορθωτὴς, καὶ τῆς ἐν οὐρανῷ βασιλείας ὁδηγός. Χαίροις, Μαρία Θεοτόκε, δι' ἧς ἤνθησε καὶ ἐξέλαμψε τὸ τῆς ἀναςάσεως κάλλος. Χαίροις, Μαρία Θεοτόκε, δι' ἧς βάπτισμα ἁγιοσύνης φρικτόν τε καὶ Ἰορδανικὸν ἔρρευσε. Χαίροις, Μαρία Θεοτόκε, δι' ἧς ὁ Ἰωάννης καὶ Ἰορδάνης ἁγιάζονται, καὶ διάβολος ἀτιμάζεται. Χαίροις, Μαρία Θεοτόκε, δι' ἧς πᾶσα πνοὴ πιςεύουσα σώζεται. Χαίροις, Μαρία Θεοτόκε· διά σου γὰρ καὶ τὰ θαλάττια κύματα γαληνιῶντα καὶ ἡσυχάζοντα, τοὺς συνδούλους ἡμῶν καὶ συλλειτουργοὺς μετὰ χαρᾶς καὶ ἡμερότητος ἐβάςασαν. Καὶ γὰρ ἡ γῆ ποτε ὑπὸ ληςῶν πατουμένη, τῇ τῶν ἁγίων πατέρων ἐπιδημίᾳ εἰς εἰρήνην μεταβέβληται. Γέγραπται γάρ· «ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην» [4])! Ποίαν εἰρήνην; τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριςὸν τὸν κήρυκα τῆς εἰρήνης, τὸν λέγοντα ἐν τοῖς ἁγίοις Εὐαγγελίοις· «εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν» [5]). Ποίαν εἰρήνης; ἣν βλασφημήσας Νεςόριος οὐ παρεδέξατο λέγων, ὅτι οὐκ ἐτέχθη, φησὶν, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριςὸς ὁ τοῦ Θεοῦ Υἱὸς Λόγος ἐκ τῆς Παρθένου Μαρίας, μήτε ἄτρωτον τὸν τῆς παρθενίας τόκον ἐπιςάμενος, μήτε τῇ ἀρχαγγελικῇ φωνῇ πιςεύων τῇ λεγούσῃ· «χαῖρε, κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ» [6]). Περσικῇ γὰρ βασιλείᾳ ἐξομοιούμενος [7]) καὶ τὸν μονογενῆ Υἱὸν τοῦ Θεοῦ ἀθετεῖν πειρώμενος, ἐπὶ ἀπωλείᾳ πολλῶν καὶ βλασφημίᾳ ψυχῶν ταῦτα ἐμυθολόγησεν.

---

[1]) Иса. 9. 2. [2]) Іоан. 1. 29. [3]) Мат. 21. 9. [4]) Иса. 52. 7. Рим. 10. 15. [5]) Іоан. 14. 27. [6]) Лук. 1. 28.

[7]) Περσικὴ (ὄρνις)—павлинъ, также и пѣтухъ, отличающійся большимъ гребнемъ; или нужно читать: πέρσικῇ βασιλείᾳ.

2. Ἀλλ' ἐπειδὴ τῇ προτέρᾳ [1]) πολλὰ περὶ τοῦ κακῶς δυσφημήσαντος τούτου ἀλεκτρυόνος ἐκελάδησα, ὅτε τὸν πέρδικα ὑμῖν εἰσηγησάμην, ὃν Ἱερεμίας ὁ προφήτης ἐκήρυξε λέγων· «ἐφώνησε πέρδιξ, συνήγαγεν ἃ οὐκ ἔτεκεν» [2])· καὶ πάλιν ὁ μιαρὸς οὗτος καὶ βλάσφημος βλέπων τοὺς κόμητας ὑπερασπίζοντας αὐτοῦ, τούτοις θαῤῥῶν ἀνεπτερύξατο, καὶ δοκῶν ἡμᾶς καταπλῆξαι, μᾶλλον διήγειρε· δεῦτε, μετὰ ςεναγμῶν καὶ δακρύων συνήθως εἴπωμεν· «ἀγαθὸν πεποιθέναι ἐπὶ Κύριον, ἢ πεποιθέναι ἐπ' ἄρχουσιν» [3]). Οὗτος γὰρ, οὗτος ὁ ἐπικατάρατος τὴν χρυσοβελοθήκην αὐτοῦ κενώσας, ὑπάτους ἡμῖν, καὶ κόμητας, καὶ τῶν μαγίςρων χορὸν [4]) καὶ βασιλίδων διήγειρεν· ἀλλ' ἡμεῖς εἴπωμεν τὸ προφητικὸν ἐκεῖνο ῥῆμα· «οὗτοι ἐν ἅρμασι, καὶ οὗτοι ἐν ἵπποις, ἡμεῖς δὲ ἐν ὀνόματι Κυρίου τοῦ Θεοῦ ἡμῶν» [5]). Εἰ γὰρ καὶ πρὸς τὰς ἐξουσίας τοῦ κόσμου, ἢ πρὸς αὐτὸν τὸν εὐσεβέςατον βασιλέα ἐχρῆν τί με λαλῆσαι, οὐ μὴ αἰσχυνθήσομαι, οὐδὲ δειλανδρήσω, ἔχων τὸν προφήτην Δαβὶδ παραινοῦντά μοι συνεχῶς καὶ λέγοντα· «ἐλάλουν ἐναντίον βασιλέων καὶ οὐκ ἠσχυνόμην» [6]). Τίς ἤκουσε τοιαῦτα φρικτὰ καὶ φοβερὰ πράγματα; τὸν ὑπὸ προφητῶν καὶ ἀποςόλων ἡμῖν κηρυττόμενον Χριςὸν καὶ Θεὸν Λόγον, νῦν εἰς ἄνθρωπον μεταμορφούμενον, καὶ τὴν Θεοτόκον ἀνθρωποτόκον λεγομένην! Μή μοι λοιπόν τις λεγέτω τὴν τῶν ἀχαρίςων καὶ μιαρῶν Ἰουδαίων ἀπότομον τόλμαν, ἣν κατὰ Χριςοῦ ἐτόλμησαν οἱ ἀγνώμονες τότε. Τίς γὰρ παῤῥησίαν ἔδωκεν; ὁ βλασφημήσας τὸ λόγιον τοῦ Θεοῦ λέγων, ὅτι ἄνθρωπον ἐςαυρώσατε. Ἔτι δὲ καὶ πλάνην Ἑλλήνων, καὶ κνίσσας ἀνόμους καὶ θυσίας παρανόμους λίθοις προσφερομένας, ἀλλὰ καὶ τοῦτο ἀγνωμοσύνης τὸ ἐπιτήδευμα, καὶ τὴν πικρὰν νόσον Ἀρείου, καὶ τὴν μιαρωτάτην βλασφημίαν τῶν Μανιχαίων, καὶ λοιμικὸν ἐπιτήδευμα Σαβελλίου τε καὶ Πορφυρίου καὶ Φωτεινοῦ τοῦ κακόφρονος, εἰς

---

[1]) Подразумѣвается ἡμέρα.

[2]) Iер. 17. 11. [3]) Пс. 117. 19.

[4]) Подъ ὕπατοι (consules), κόμητες (comites) и μαγίςροι (magistri) разумѣются гражданскіе придворные чиновники, нѣсколько времени дѣйствовавшіе въ защиту еретика Несторія.

[5]) Пс. 19. 8. [6]) Пс. 118. 46.

ὂν ἐγκύψας καὶ οὗτος ἐβλασφήμησεν· οἴμοι! πάντας ὑπερέβαλεν ἡ τούτου κακία, καὶ πεπλήρωται εἰς αὐτὸν τὸ τοῦ ὑπερηφάνου ἐκείνου κεφάλαιον τοῦ λέγοντος· «καθελῶ μου τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομήσω»· ᾧ δὲ ἐρρέθη· «ἄφρων, ταύτῃ τῇ νυκτὶ οἱ ἄγγελοι τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ· ἃ δὲ ἡτοίμασας, τίνι ἔςαι» [1]); ὅσον γὰρ ἀνηνέχθης εἰς ὕψος μίασμα ὑπάρχων καὶ αἰσχρογενὴς, τοσοῦτον πάλιν κατηνέχθης εἰς βάραθρον βλασφημίας ἐμπεσών· ὃν οὐκ ἔπεισε Παῦλος ὁ ἀπόςολος, τὸ σκεῦος τῆς ἐκλογῆς [2]), ὁ τέττιξ ὁ ἐκκλησιαςικὸς, τὸ εὐαγγελικὸν καὶ ἐπουράνιον θυμίαμα, ἡ μυροτόκος πηγὴ, ὁ ἐπιςολοφόρος καὶ ἐπιςολογράφος, ὁ πηρωθεὶς ἐν τῇ ὁδῷ καὶ ἀναβλέψας διόλου πρὸς τὸ ὕψος τοῦ οὐρανοῦ τῇ θεογνωσίᾳ [3]), ὃν ὀπτασία Χριςοῦ ἐπ' ὄψιν ἔρριψε, καὶ θεογνωσία πάλιν πρὸς πίςιν ὡδήγησεν, ὃς τὴν οἰκουμένην ἐςήριξε πιςεύειν εἰς ὁμοούσιον Τριάδα, εἰς ἕνα Κύριον, μίαν πίςιν, ἓν βάπτισμα, ἕνα Πατέρα, ἕνα Υἱὸν, ἓν Πνεῦμα ἅγιον, ἀδιάςατον οὐσίαν, ἀπεριέργαςον, ἀκατάληπτον θεότητα, Θεὸν ἐκ Θεοῦ τὸν Κύριον, φῶς ἐκ φωτὸς, ἀπαύγασμα δόξης, ἐκ Παρθένου Μαρίας γεννηθέντα, κατὰ τὴν τοῦ ἀρχαγγέλου φωνὴν λέγοντος· «χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετά σου» [4]). Καὶ πάλιν ὁ αὐτός· «Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπί σε, καὶ δύναμις Ὑψίςου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἅγιον, κληθήσεται Υἱὸς Θεοῦ ζῶντος» [5]). Οὐ μόνον δὲ διὰ τοῦ ἀρχαγγέλου Γαβριὴλ, ἀλλὰ καὶ διὰ τοῦ μακαρίου Δαβὶδ ἀκούομεν καθ' ἑκάςην ἡμέραν κελαδοῦντα αὐτὸν ἐν ταῖς ἐκκλησίαις καὶ λέγοντα· «Κύριος εἶπε πρός με· Υἱός μου εἶ σύ· ἐγὼ σήμερον γεγέννηκά σε» [6]). Καὶ ὁ μεγαλόφρων Ἡσαΐας, υἱὸς Ἀμῶς τοῦ προφήτου, ὁ ἐκ προφήτου προφήτης, ἐκήρυξε λέγων· «ἰδοὺ ἡ Παρθένος ἐν γαςρὶ ἕξει, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουὴλ, ὅ ἐςι μεθερμηνευόμενον, μεθ' ἡμῶν ὁ Θεός» [7]). Ἀλλ' οὐ πιςεύεις προφήταις καὶ ἀποςόλοις, καὶ εὐαγγελιςαῖς καὶ τῷ ἀρχαγγέλῳ Γαβριήλ; κἂν τοὺς συνδαίμονάς σου μίμησαι, τοὺς φρίξαντας αὐτοῦ τὴν δύναμιν καὶ φωνήσαντας· «τί ἡμῖν καὶ σοι,

---

[1]) Лук. 12. 18—20. [2]) Дѣян. 9. 15. [3]) 2 Кор. 12. 2. [4]) Лук. 1. 28. [5]) Лук. 1. 35. [6]) Пс. 2. 7. [7]) Иса. 7. 14.

Ἰησοῦ Υἱὲ τοῦ Θεοῦ; ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς» [1]). Εἰ γὰρ καὶ κατ' ἐκεῖνον τὸν καιρὸν ἐλέγετο ὑπὸ τοῦ δαίμονος τὸ ἀληθὲς « πρὸ καιροῦ», ἀλλὰ καὶ νῦν ἐπί σε ἔφθακεν. Ἔδει μὲν ἐλθεῖν τὸν Ἀντίχριςον· ἀλλὰ ταχέως ἀντ' ἐκείνου παραγέγονας. Οὔτε τῷ πλανῶντί σε διαβόλῳ ἐπείσθης τῷ λέγοντι· «εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, εἰπὲ, ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται» [2]). Ὢ πράγματος φοβεροῦ καὶ ἐκςάσεως γέμοντος! οἱ δαίμονες σὺν τῷ πατρὶ αὐτῶν τῷ διαβόλῳ Υἱὸν Θεοῦ καλοῦσι τὸν ἐκ Μαριας γεννηθέντα, καὶ οὗτος τὸν Υἱὸν Θεοῦ εἰς ἄνθρωπον μεταφέρει, καὶ ἀνατροπήν τινα καὶ μανίαν κακὴν εὑράμενος, ἀνάςατον ποιῆσαι ἐζήτησε τὸν εὐσεβέςατον βασιλέα, φίλον καὶ δοῦλον ὄντα τῆς ὀρθοδόξου πίςεως, ἔτι δὲ καὶ χορὸν ἁγίων βασιλίδων ἐν πίςει διαλαμπουσῶν· ἀλλ' οὐκ ἠδυνήθη εἰς τέλος προχωρῆσαι. Τὰ γὰρ τῶν πτωχῶν τοῖς φιλοχρύσοις διδοὺς, ἐνόμισε δι' αὐτῶν νικᾶν τὴν ἀλήθειαν, καὶ διὰ τῆς παγκάκου φιλαργυρίας ναυαγίῳ δεινοτάτῳ περιέπεσεν· ἐν λιμένι διάγων, ἐναυάγησε, μὴ κατέχων τοὺς τῆς πίςεως οἴακας. Διὸ καὶ ὑποβρύχιος γέγονε τοῖς κακοῖς, καὶ θέατρον τραγῳδίας ὅλῃ τῇ οἰκουμένῃ. Ἐνόμισε γὰρ διὰ τοῦ παγκάκου καὶ πικροτάτου φρονήματος ἀναπείθειν τοὺς τῆς εὐσεβείας ἐργάτας, μὴ λαβὼν εἰς τὸν ἐσκοτισμένον αὐτοῦ νοῦν κατανοῆσαι διδασκαλίαν πατέρων καὶ ἀποςόλων καὶ εὐαγγελιςῶν, καὶ ἀρχαγγέλων φωνάς· ἀσπλαγχνίαν τινὰ καὶ μανίαν εὑράμενος κακὴν, καὶ ἀθείαν περιβεβλημένος, λοιμὸν καὶ ἄθεον θρησκείαν τῇ οἰκουμένῃ θεσπίσαι ἠθέλησεν. Ἀλλ' οὐχ εὗρεν ἡμᾶς ἀπαρασκευάςους πρὸς τὴν παράνομον αὐτοῦ καὶ δύσφημον ἐπίνοιαν. Οὐ γὰρ ὅπλοις ςρατιωτικοῖς θαῤῥοῦμεν, οὐδὲ τῇ χρυσοειδεῖ καὶ παγκάλῳ τιμωρίᾳ, ἀλλὰ διὰ τῶν ἁγίων καὶ θεοπνεύςων Γραφῶν πρὸς αὐτὸν τὰς ἀποκρίσεις ποιούμεθα. Τὰ γὰρ ἡμέτερα ὅπλα οὐ σαρκικὰ, οὐδ' ἐπίγεια, ἀλλὰ πνευματικὰ καὶ ἐπουράνια, καθὼς ὁ μακάριος Παῦλος ἐκήρυξεν [3]). Ἀλλὰ μὴ δόξῃ τις ταῦτα ἡμᾶς λέγοντας ὡς ἐπιχαίρειν τῷ πτώματί σου, πανάθλιε· καὶ γὰρ πεσόντος σου ἐπὶ τὸ σκάμμα τῆς δυσφημίας ταύτης, χεῖρά σοι διὰ γραμμάτων ὠρέξαμεν, καὶ παρήκουσας τῆς ἡμετέρας με-

[1]) Ματ. 8. 29. [2]) Ματ. 4. 3. [3]) 2 Κορ. 10. 4.

τριότητος· διὰ τοῦτο τὸν τῆς παρακοῆς ἐκληρονόμησας κίνδυνον. Ὅτι γὰρ τούτων οὕτως ὄντων ἀληθῶς μάρτυρα παρέχωμεν ἀξιόπιςον, τὸν ἁγιώτατον καὶ ἀρχιεπίσκοπον πάσης τῆς οἰκουμένης [1]), πατέρα τε καὶ πατριάρχην Κελεςῖνον τὸν τῆς μεγαλοπόλεως Ῥώμης, ὃς καὶ αὐτός σοι διὰ γραμμάτων παρῄνεσε, λέγων ἀποςῆναί σε τῆς μανιωδεςάτης δυσφημίας. Καὶ παρήκουσας δὲ αὐτοῦ, καὶ ἐνεκαυχήσω ἐν τῇ ματαιότητι τῆς μανίας σου· ξυρὸν πάσης τῆς οἰκουμένης γενόμενος, τὴν τετραπέρατον οἰκουμένην ἐτάραξας, καὶ πάντας τοὺς ἁγίους εἰς τὸν τόπον τοῦτον μετὰ πολλοῦ πόνου καὶ φόβου συνήλασας. Ἔγραψας γὰρ κακίαν, καὶ οὐδ᾽ ὅλως ἀγαθωσύνην. Διὰ τοῦτό σε ὁ Θεὸς καθελεῖ εἰς τέλος ἐκ τῆς ἱερωσύνης, καὶ ἀπὸ τῆς τῶν πατέρων σοφίας ἐκτελεῖς [2]), καὶ ἐκτείλας πρότερον ἀπὸ τῆς βασιλικῆς πόλεως, ἔπειτα καὶ ἐκ τοῦ θρόνου τῆς ἀρχιερωσύνης, οὗπερ ἀναξίως ἐτύγχανες. «Διὰ τοῦτο ὄψονται οἱ δίκαιοι καὶ φοβηθήσονται, καὶ ἐπί σοι γελάσονται καὶ ἐροῦσιν· ἰδοὺ ἄνθρωπος, ὃς οὐκ ἔθετο τὸν Θεὸν βοηθὸν αὐτοῦ, ἀλλ᾽ ἤλπισεν ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτοῦ, καὶ ἐνεδυναμώθη ἐπὶ τῇ ματαιότητι αὐτοῦ» [3]). Ἡμεῖς δὲ πάντες οἱ τῇ ἀληθείᾳ ἐξακολουθήσαντες τοῦ Εὐαγγελίου, ἐσόμεθα, κατὰ τὸ προφητικὸν ἐκεῖνο ῥῆμα, «ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ» [4]), δοξάζοντες Θεὸν Πατέρα παντοκράτορα, καὶ τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ τὸν ἐκ Μαρίας γεννηθέντα, καὶ τὸ Πνεῦμα τὸ ἅγιον, τὸ ζωοποιὸν καὶ ζωὴν παρέχον πᾶσιν, ὑποτασσόμενοι βασιλεῦσι πιςοτάτοις, τιμῶντες καὶ τὰς ἐν τῇ παρθενίᾳ διαλαμπούσας ἁγίας βασιλίδας· τῇ δὲ ὑπὸ γάμον [5]) ὑπερευξόμεθα υἱὸν ἰδεῖν ἐξ αὐτῶν γεννηθέντα, καὶ διαμεῖναι τὸ φιλόθεον καὶ φιλόπιςον καὶ ὀρθόδοξον βασίλειον ἐν Χριςῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

[1]) Целестинъ, современный св. Кириллу папа Римскій, названъ здѣсь «архіепископомъ всей вселенской», какъ архіепископъ древней столицы всей Римской имперіи.

[2]) Изъ ἐκ и τέλλω, отпадаю, лишаюсь.

[3]) Пс. 51. 8, 9. [4]) Пс. 51. 10.

[5]) Разумѣются супруга императора Θеодосія младшаго Евдокія и сестры его—Пульхерія, Аркадія и Марина, для которыхъ св. Кириллъ писалъ книги о правой вѣрѣ.

3.

'ΟΜΙΛΙΑ.

Περὶ ἐξόδου ψυχῆς, και περὶ τῆς δευτέρας παρουσίας.

## Глав. 1—7.

1. Φοβοῦμαι τὸν θάνατον, ὅτι πικρός μοί ἐστι. Φοβοῦμαι τὴν γέενναν, ὅτι ἀτελεύτητός ἐστι. Φοβοῦμαι τὸν τάρταρον, ὅτι οὐ μετέχει θέρμης. Φοβοῦμαι τὸ σκότος, ὅτι οὐ μετέχει φωτός. Φοβοῦμαι τὸν σκώληκα τὸν ἰοβόλον, ὅτι ἀτελεύτητός ἐστι. Φοβοῦμαι τοὺς ἀγγέλους τοὺς ἐπὶ τῆς κρίσεως, ὅτι ἀνελεήμονές εἰσι. Φοβοῦμαι ἐννοῶν τῆς ἡμέρας ἐκείνης τὸ φοβερὸν καὶ ἀδέκαςον δικαςήριον, τὸ βῆμα τὸ φρικῶδες, τὸν δικαςὴν τὸν ἀδέκαςον. Φοβοῦμαι τὸν ποταμὸν τοῦ πυρός, τὸν πρὸ τοῦ βήματος ἐκείνου συρόμενον, καὶ σφοδροτάτῃ καταχλάζοντα τῇ φλογὶ τὰς ἠκονημένας ῥομφαίας. Φοβοῦμαι τὰς ἀποτόμους τιμωρίας. Φοβοῦμαι τὴν κόλασιν τὴν οὐκ ἔχουσαν τέλος. Φοβοῦμαι τὸν ζόφον τὸν ἀφεγγῆ. Φοβοῦμαι τὸ σκότος τὸ ἐξώτερον [1]. Φοβοῦμαι τὰ δεσμὰ τὰ ἄλυτα, τὸν βρυγμὸν τῶν ὀδόντων, τὸν κλαυθμὸν τὸν ἀπαραμύθητον. Φοβοῦμαι τοὺς ἀφύκτους ἐλέγχους· οὐδὲν γὰρ κατηγόρων δεῖται ὁ δικαςὴς ἐκεῖνος, οὔτε μαρτύρων, οὔτε ἀποδείξεων, οὔτε ἐλέγχων· ἀλλ' ὅσα ἐπράξαμεν, καὶ ἐλαλήσαμεν, καὶ ἐβουλευσάμεθα, φέρει εἰς μέσον πρὸ τῶν ὀφθαλμῶν τῶν πεπλημμεληκότων. Τότε οὐδεὶς ὁ παριστάμενος καὶ ἐξαρπάζων τῆς τιμωρίας, οὐ πατὴρ, οὐ μήτηρ, οὐχ υἱός, οὐχὶ θυγάτηρ, οὐκ ἄλλος τις τῶν συγγενῶν, οὐ γείτων, οὐ φίλος, οὐ συνήγορος, οὐ χρημάτων δόσις, οὐ πλούτου περιουσία, οὐ δυναςείας ὄγκος, ἀλλὰ ταῦτα πάντα ὥσπερ κόνις εἰς σποδὸν ἐλήλαται, και μόνος κρινόμενος ἀπὸ τῶν αὐτῷ πεπραγμένων την ἐλευθεροῦσαν ἢ τὴν καταδικάζουσαν ὑπομένει ψῆφον.

---

[1]) Мат. 8. 12; 22. 13; 25. 30.

2. Οἴμοι! οἴμοι! τῆς συνειδήσεως ἐλεγχούσης με, καὶ τῆς Γραφῆς βοώσης καὶ διδασκούσης με· ὦ ψυχὴ, τῶν μιασμάτων καὶ παρά σοι ἐβδελυγμένων ἔργων! Οἴμοι, ὅτι τὸν ναὸν τοῦ σώματος ἔφθειρα, καὶ τὸ ἅγιόν σου Πνεῦμα ἐλύπησα, ὦ Θεὲ, ἀληθινά σου τὰ ἔργα, καὶ δικαία ἡ κρίσις σου, καὶ εὐθεῖαι αἱ ὁδοί σου, καὶ ἀνεξιχνίαστα τὰ κρίματά σου [1]). Διὰ πρόσκαιρον ἁμαρτίας ἀπόλαυσιν, ἀθάνατα βασανίζομαι· δι' ἡδονὴν σαρκὸς, τῷ πυρὶ παραδίδομαι. Δικαία ἡ κρίσις τοῦ Θεοῦ· ἐκαλούμην, καὶ οὐχ ὑπήκουον· ἐδιδασκόμην, καὶ οὐ προσεῖχον· διεμαρτύραντό μοι, ἐγὼ δὲ κατεγέλων· ἀναγινώσκων, καὶ ἐπιγινώσκων, οὐκ ἀπιστεύων, ἀλλ' ἐν ἀμελείᾳ, καὶ ῥαθυμίᾳ, καὶ ἀκηδίᾳ καὶ ἐν περισπασμοῖς, καὶ ταραχαῖς, καὶ ζάλαις τρυφῶν, καὶ σπαταλῶν, καὶ σκιρτῶν, ἀγαλλόμενος καὶ εὐφραινόμενος ἐδαπάνησά μου τὰ ἔτη, καὶ τοὺς μῆνας, καὶ τὰς ἡμέρας εἰς τὰ πρόσκαιρα, καὶ φθαρτὰ, καὶ γήϊνα κοπιῶν, καὶ μοχθῶν, καὶ ἀγωνιζόμενος· μὴ εἰς νοῦν λαμβάνων ἢ λογιζόμενος, οἷον φόβον καὶ τρόμον, καὶ ἀγῶνα, καὶ ἀνάγκην ἔχει ἰδεῖν ἡ ψυχὴ, ὅτε τοῦ σώματος χωρίζεται. Παραγίνονται γὰρ ἐφ' ἡμᾶς στρατιαὶ καὶ δυνάμεις οὐράνιοι· καὶ τῶν ἐναντίων δυνάμεων οἱ τοῦ σκότους ἄρχοντες, οἱ κοσμοκράτορες τῆς πονηρίας, οἱ τελωνάρχαι, καὶ λογοθέται, καὶ πρακτοψηφισαὶ τοῦ ἀέρος· καὶ σὺν αὐτοῖς ὁ ἀνθρωποκτόνος διάβολος, ὁ ἐν κακίᾳ δυνάστης, οὗ ἡ γλῶσσα, ὡσεὶ ξυρὸν ἠκονημένον, περὶ οὗ φησιν ὁ προφήτης· «τὰ βέλη τοῦ δυνατοῦ ἠκονημένα σὺν τοῖς ἄνθραξι τοῖς ἐρημικοῖς» [2])· καὶ ἐνεδρεύει ὡς λέων ἐν τῇ μάνδρᾳ αὐτοῦ [3]), ὁ δράκων ὁ μέγας, ὁ ἀποστάτης, ὁ ᾅδης, ὁ πλατύνων στόμα αὐτοῦ, ὁ ἄρχων τῆς ἐξουσίας τοῦ σκότους, ὁ ἔχων τοῦ θανάτου τὸ κράτος καὶ τρόπῳ τινὶ δίκην, κατέχων τὴν ψυχὴν, ἐπιφέρων καὶ ψηφίζων πάντα τὰ ἐμοὶ πεπραγμένα ἐν ἔργῳ καὶ λόγῳ, τὰ ἐν γνώσει καὶ ἐν ἀγνοίᾳ ἀνομήματα καὶ ἁμαρτήματα, ἀπὸ τῆς νεότητος ἕως τῆς ἡμέρας τοῦ τέλους, ἧς κατελήφθην, ἐξερευνῶν λοιπόν. Ὁποῖον φόβον καὶ τρόμον δοκεῖς τὴν ψυχὴν ἔχειν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, θεωροῦσαν τοὺς φοβεροὺς, καὶ ἀγρίους, καὶ ἀπηνεῖς, καὶ ἀνηλεεῖς καὶ ἀτιθάσσους δαίμονας, ὡς Αἰθίοπας ζοφώ-

---

[1]) Рим. 11. 33. [2]) Пс. 119. 4. [3]) Пс. 9. 30.

δεις παρισταμένους, ὧν καὶ αὐτὴ ἡ ἰδέα μόνη χαλεπωτέρα ὑπάρχει πάσης κολάσεως, οὕστινας ὁρῶσα ἡ ψυχὴ θορυβεῖται, θροεῖται, ὀδυνᾶται, ταράσσεται καὶ συςέλλεται, πρὸς τοὺς τοῦ Θεοῦ ἀγγέλους προσφεύγουσα· κατέχεται οὖν ἡ ψυχὴ ὑπὸ τῶν ἁγίων ἀγγέλων, διὰ τοῦ ἀέρος παρερχομένη, καὶ ὑψουμένη, εὑρίσκει τε τελώνια φυλάττοντα τὴν ἄνοδον, καὶ κρατοῦντα, καὶ διακωλύοντα τὰς ἀναβαινούσας ψυχάς.

3. Ἕκαςον τὸ τελώνιον τὰς οἰκείας ἁμαρτίας προσφέρει αὐτῶν· τὸ μὲν τῆς καταλαλιᾶς, ὅσα διὰ ςόματος καὶ γλώττης ἀπὸ ψεύδους καὶ ὅρκου καὶ ἐπιορκίας, ἀργολογίας τε καὶ φλυαρίας, καὶ ματαιολογίας καὶ γαςριμαργικὰς παραχρήσεις, ἀσωτοποσίας τε οἴνου, καὶ ἀμέτρους γέλωτας καὶ ἀπρεπεῖς, καὶ φιλημάτων ἀσέμνων καὶ ἀπρεπῶν, καὶ ᾀσμάτων πορνικῶν· οἱ δὲ ἅγιοι ἄγγελοι οἱ τὴν ψυχὴν ὁδηγοῦντες, προσφέρουσι καὶ αὐτοὶ, ὅσα διὰ ςόματος καὶ γλώσσης ἐλαλήσαμεν ἀγαθὰ, προσευχὰς, εὐχαριςίας, ψαλμοὺς, ᾠδὰς, ὕμνους, καὶ ᾄσματα πνευματικὰ, ἀναγνώσεις τῶν Γραφῶν, καὶ ὅσα διὰ ςόματος καὶ γλώσσης ἀγαθὰ τῷ Θεῷ προεπέμψαμεν. Δεύτερον τελώνιον—ὅρασις ὀμμάτων, καὶ ὅσα ἀπὸ ἀπρεποῦς θέας, καὶ περιέργου, καὶ ἀχαλινώτου ὁράσεως, καὶ νευμάτων δολίων. Τρίτον τελώνιον—τῆς ἀκοῆς, καὶ ὅσα διὰ τῆς τοιαύτης αἰσθήσεως τὰ ἀκάθαρτα πνεύματα δέχονται. Τέταρτον τελώνιον—ἡ ὄσφρησις ὀσμῆς τε εὐώδους ἀλειμμάτων καὶ ἡδονικῆς ὀσφρήσεως, ἅπερ γυναιξὶ θυμελικαῖς καὶ ἑταίραις πρέπουσι. Πέμπτον τελώνιον, ὅσα δι' ἀφῆς χειρῶν πονηρὰ καὶ χαλεπὰ ἐπράχθησαν· καὶ τὰ λοιπὰ τῆς κακίας τελώνια, φθόνου τε καὶ ζήλου, κενοδοξίας τε καὶ ὑπερηφανίας, πικρίας καὶ ὀργῆς, ὀξυχολίας τε καὶ θυμοῦ. πορνείας καὶ μοιχείας καὶ μαλακίας, φόνου τε καὶ φαρμακείας, καὶ τῶν λοιπῶν θεοςυγῶν καὶ μιαρῶν πράξεων· ὧν ἐν τῇ παρούσῃ ὥρᾳ οὐκ ἔνι λεπτομερῶς διηγήσασθαι, ἀλλ' ἐν ἑτέρῳ καιρῷ ταμιευέσθω· καὶ ἁπλῶς οὕτως καθεξῆς ἕκαςον πάθος ψυχῆς καὶ πᾶν ἁμάρτημα ἰδίους τελώνας ἔχει καὶ φορολόγους. Ψυχὴ οὖν ἡ ταῦτα καὶ μείζονα καὶ πλείονα τούτων θεωροῦσα, ὁποῖον φόβον, καὶ τρόμον, καὶ κλόνον δοκεῖς ἔχειν, ἕως ὅτου ἡ ἀπόφασις ἔλθῃ, καὶ ἡ ἐλευθερία αὐτῆς γένηται; ἐκείνη ἐςὶν ἡ ὥρα ἐπώδυνος, καὶ ἐπικίνδυνος, καὶ πολυςένακτος, καὶ

ἀπαραμύθητος, ἕως ἂν ἴδῃ τί τὸ ἀποβησόμενον. Αἱ γὰρ θεῖαι δυνάμεις ἵςανται, καὶ πρόσωπον τῶν ἀκαθάρτων πνευμάτων· καὶ αὗται τὰς καλὰς αὐτῆς ἐπιφέρουσι πράξεις, διά τε λόγων, καὶ ἔργων, καὶ λογισμῶν, καὶ ἐννοιῶν· κατανοεῖ ἡ ψυχὴ μέσον ἱςαμένη ἐν φόβῳ καὶ τρόμῳ, ἕως οὗ ἐκ τῶν πράξεων, καὶ τῶν ἔργων, καὶ λόγων αὐτῆς, ἡ κατακριθεῖσα δεσμευθῇ, ἢ δικαιωθεῖσα ἐλευθερωθῇ (τῶν ἰδίων γὰρ αμαρτημάτων ἕκαςος ταῖς σειραῖς σφίγγεται)· καὶ ἐὰν ᾖ ἀξία, εὐσεβῶς ζήσασα, καὶ θεαρέςως βιώσασα, παραλαμβάνουσιν αὐτὴν ἄγγελοι· καὶ λοιπὸν ἀμέριμνος οὖσα, πορεύεται ἔχουσα συνοδοιπόρους τὰς ἁγίας δυνάμεις, κατὰ τὸ γεγραμμένον· «ὡς εὐφραινομένων πάντων ἡ κατοικία ἐν σοί» [1]). Τότε πληροῦται τὸ εἰρημένον· «ἀπέδρα ὀδύνη, λύπη, καὶ ςεναγμός» [2]). Τότε ἀπαλλαγεῖσα τῶν πονηρῶν καὶ σαπρῶν καὶ φοβερῶν πνευμάτων ἐκείνων, πορεύεται εἰς ἐκείνην τὴν ἀνεκλάλητον χαράν. Ἐὰν δὲ εὑρεθῇ ἐν ἀμελείᾳ καὶ ἀσωτίᾳ ζήσασα, ἀκούει τὴν δεινοτάτην ἐκείνην φωνήν· «ἀρθήτω ὁ ἀσεβής, ἵνα μὴ ἴδῃ τὴν δόξαν Κυρίου» [3]). Τότε αὐτὴν καταλαμβάνουσιν ἡμέραι ὀργῆς, καὶ θλίψεως, καὶ ἀνάγκης, καὶ ςενοχωρίας, ἡμέραι σκότους καὶ γνόφου [4])· τότε ἀφέντες αὐτὴν οἱ ἅγιοι τοῦ Θεοῦ ἄγγελοι, παραλαμβάνουσιν αὐτὴν οἱ Αἰθίοπες ἐκεῖνοι δαίμονες, καὶ τύπτοντες αὐτὴν ἀνηλεῶς κατάγουσιν εἰς τὴν γῆν· καὶ διχάσαντες αὐτὴν, ῥίπτουσιν αὐτὴν δεδεμένην δεσμοῖς ἀλύτοις εἰς γῆν σκοτεινὴν καὶ ζοφερὰν, εἰς τὰ κατώτερα μέρη, ἐν τοῖς καταχθονίοις δεσμωτηρίοις καὶ φυλακαῖς τοῦ ᾅδου· ἔνθα τυγχάνουσιν ἀποκεκλεισμέναι αἱ ψυχαὶ τῶν ἁμαρτωλῶν, τῶν ἀπ' αἰῶνος κεκοιμημένων, καθὼς φησιν ὁ Ἰώβ· εἰς γῆν σκοτεινὴν καὶ ζοφερὰν, εἰς γῆν σκότους αἰωνίου, οὗ οὐκ ἔςι φέγγος, οὐδὲ ζωὴ βροτῶν [5]), ἀλλ' ὀδύνη αἰώνιος, καὶ λύπη ἀτελεύτητος, καὶ κλαυθμὸς ἄπαυςος, καὶ βρυγμὸς ὀδόντων ἀσίγητος, καὶ ςεναγμοὶ ἀκοίμητοι· ἐκεῖ οὐαὶ διαπαντὸς, ἐκεῖ οἴμοι, οἴμοι! ἐκεῖ κράζουσι, καὶ οὐκ ἔςιν ὁ βοηθῶν· βοῶσι, καὶ οὐδείς ἐςιν ὁ ῥυόμενος· οὐκ ἔςι διηγήσασθαι τὴν ἀνάγκην ἐκείνην· οὐκ ἔςιν

---

[1]) Пс. 86. 7. [2]) Иса. 35. 10. [3]) Иса. 26. 10. [4]) Соф. 1. 15. [5]) Іов. 10. 21.

εἰπεῖν διὰ γλώττης τὰς ὀδύνας τῶν ἐκεῖσε κατακειμένων καὶ ἀποκεκλεισμένων ψυχῶν· ἀδυνατεῖ πᾶν στόμα ἀνθρώπου φανερῶσαι τὸν φόβον καὶ τὸν τρόμον ἐκεῖνον· οὐκ ἔνι χείλη ἀνθρώπου ἰσχύοντα εἰπεῖν τὴν περίστασιν καὶ τὸν κλαυθμὸν αὐτῶν· στενάζουσι διηνεκῶς καὶ ἀπαύστως, ἀλλ' οὐδεὶς ὁ ἐλεῶν· κράζουσιν ἐκ βάθους, ἀλλ' οὐδεὶς ὁ εἰσακούων· ἀποδύρονται, ἀλλ' οὐδεὶς ὁ ῥυόμενος· ἀνακαλοῦνται καὶ κόπτονται, ἀλλ' οὐδεὶς ὁ σπλαγχνιζόμενος.

4. Τότε ποῦ ἡ καύχησις τοῦ κόσμου τούτου; ποῦ ἡ κενοδοξία; ποῦ ἡ τρυφή; ποῦ ἡ ἀπόλαυσις; ποῦ ἡ σπατάλη; ποῦ ἡ φαντασία; ποῦ ἡ ἀνάπαυσις; ποῦ ὁ κόσμος; ποῦ τὰ χρήματα; ποῦ ἡ εὐγένεια; ποῦ τότε ἡ τερπνότης; ποῦ ἡ ἀνδρεία τῆς σαρκός; ποῦ τὸ κάλλος τῶν γυναικῶν τὸ ψευδὲς καὶ ἀνωφελές; ποῦ τότε ἡ παῤῥησία ἡ ἀναιδὴς καὶ ἀναίσχυντος; ποῦ τότε ὁ καλλωπισμὸς τῶν ἱματίων; ποῦ ἡ ἡδονὴ τῆς ἁμαρτίας ἡ ἀκάθαρτος καὶ σιφνή; ποῦ ὁ τὴν βδελυρὰν τῶν ἀνέρων κοίτην ἡδονὴν ἡγούμενος; ποῦ οἱ τὰ μύρα καὶ τὰ ἀλείμματα ἀλειφόμενοι καὶ καπνιζόμενοι; ποῦ οἱ μετὰ τυμπάνων καὶ κιθάρας τὸν οἶνον πίνοντες; ποῦ τότε ἡ καταφρόνησις τῶν ἐν ἀφοβίᾳ ζώντων; ποῦ ἡ φιλαργυρία, καὶ ἡ φιλοχρηματία, καὶ ἡ ἐξ αὐτῶν ἀσπλαγχνία; ποῦ τότε ἡ ἀπάνθρωπος ὑπερηφανία ἡ πάντα βδελυσσομένη, καὶ ἑαυτὴν λογιζομένη εἶναί τι; ποῦ τότε ἡ κενὴ καὶ ματαία τῶν ἀνθρώπων δόξα; ποῦ ἡ λαγνεία καὶ ἡ ἀκολασία; ποῦ ἡ δυναστεία καὶ ἡ τυραννίς; ποῦ τότε βασιλεύς; ποῦ ἄρχων; ποῦ ἡγούμενος; ποῦ οἱ ἐπ' ἐξουσιῶν; ποῦ οἱ γαυριῶντες ἐπὶ πλήθει πλούτου, καὶ πτωχοὺς μὴ ἐλεοῦντες, καὶ τοῦ Θεοῦ καταφρονοῦντες; ποῦ τὰ θέατρα καὶ τὰ κυνήγια; ποῦ τότε οἱ μετεωριζόμενοι, καὶ οὐ μετριάζοντες, καὶ ἀμερίμνως βιοῦντες; ποῦ τὰ μαλακὰ ἐνδύματα, καὶ αἱ στρωμναὶ αἱ μαλακαὶ καὶ ἁπαλαί; ποῦ αἱ ὑψηλαὶ οἰκοδομαί, καὶ τὸ εὖρος τῶν στοῶν; ποῦ οἱ ἐν ἀφοβίᾳ ζήσαντες; τότε ἰδόντες, θαυμάσουσι καὶ φρίξουσι, καὶ καταπλαγέντες ὀλολύξουσι, ταραχθέντες σαλευθῶσι· τρόμος αὐτοὺς ἐπιλάβοι, καὶ ὠδῖνες ὡσεὶ τικτούσης, ἐν πνεύματι βιαίῳ συντριβήσονται ἀφανιζόμενοι [1]). Ποῦ τότε ἡ σοφία τῶν σοφῶν;

[1]) Ψαλ. 47. 7, 8.

ποῦ τῶν ῥητόρων ἡ εὐγλωττία, καὶ τὰ μάταια αὐτῶν πανουργεύματα; οὐαί, οὐαί! ἐταράχθησαν, ἐσαλεύθησαν ὡς ὁ μεθύων, καὶ πᾶσα ἡ σοφία αὐτῶν κατεπόθη. Ποῦ σοφός; ποῦ γραμματεύς; ποῦ συζητητὴς τοῦ αἰῶνος τούτου [1]);

5. Ὦ ἀδελφοί, ἀναλογίσασθε, ποταποὺς δεῖ ὑπάρχειν ἡμᾶς διδόντας λόγον καθ' ἓν ὧν ἐπράξαμεν, εἴτε μεγάλων εἴτε μικρῶν· μέχρι γὰρ τοῦ ἀργοῦ λόγου ἀπολογίαν δώσομεν τῷ δικαίῳ κριτῇ [2]). Ποταποὺς δεῖ ἡμᾶς εἶναι ἐν τῇ ὥρᾳ ἐκείνῃ; ἐὰν δὲ εὕρωμεν χάριν ἐνώπιον τοῦ Θεοῦ, οἵα χαρὰ δέχηται ἡμᾶς ἀφοριζομένους ἐκ δεξιῶν τοῦ Βασιλέως! Ποταποὺς δεῖ εἶναι ἡμᾶς εἰς τὴν χαρὰν ἐκείνην τὴν ἀνεκλάλητον, ὅτ' ἂν εἴπῃ ὁ Βασιλεὺς τῶν βασιλευόντων τοῖς ἐκ δεξιῶν αὐτοῦ μετὰ ἱλαρότητος· «δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου» [3]). Τότε κατακληρονομήσομεν ἐκεῖνα τὰ ἀγαθά, «ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν» [4]). Τότε λοιπὸν ἀμέριμνοί ἐσμεν, μηκέτι πτοούμενοι μηδεμίαν πτόησιν. Ἀναλογισώμεθα δὲ ταῦτα, καὶ τὴν τῶν ἁμαρτωλῶν ἀτελεύτητον κόλασιν, ὅταν εἰσάγωνται εἰς τὸ βῆμα τὸ φοβερόν, οἵα αἰσχύνη αὐτοὺς λήψεται ἐνώπιον τοῦ δικαίου κριτοῦ, μὴ ἔχοντας λόγον ἀπολογίας! Οἵα ἐντροπὴ λήψεται αὐτοὺς ἀφοριζομένους ἐξ εὐωνύμων τοῦ Βασιλέως! Οἷον σκότος ἐπιπέσει ἐπ' αὐτούς, ὅταν λαλήσῃ πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ, καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξῃ αὐτούς· ὅταν εἴπῃ πρὸς αὐτούς· «πορεύεσθε ἀπ' ἐμοῦ, οἱ κατηραμένοι, εἰς τὸ πῦρ τὸ αἰώνιον το ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ» [5]). Οἴμοι! οἴμοι! οἵαν θλῖψιν, καὶ ὀδύνην, καὶ στενοχωρίαν, καὶ φόβον, και τρόμον δέξεται τὰ πνεύματα αὐτῶν, ὅταν γένηται κραυγὴ πασῶν τῶν ἐπουρανίων δυνάμεων, λεγόντων· ἀποστραφήτωσαν οἱ ἁμαρτωλοὶ εἰς τὸν ᾅδην [6])! Οὐαί, οὐαί! οἷον μέλος ἀλαλάξουσι θρηνοῦντες, καὶ πενθοῦντες, καὶ ὀλολύζοντες, κοπτόμενοι, ἀπαγόμενοι κολασθῆναι πικρῶς εἰς ἀτελευτήτους

---

[1]) 1 Кор. 1. 20. [2]) Мат. 12. 16. [3]) Мат. 25. 34. [4]) Иса. 64. 4; 1 Кор. 2. 9. [5]) Мат. 25. 41. [6]) Пс. 9. 18.

αἰῶνας! Οἴμοι, οἴμοι! οἷός ἐστιν ὁ τόπος, ὅπου ἐστὶν ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων, ὁ καλούμενος Τάρταρος, ὃν καὶ αὐτὸς ὁ διάβολος φρίττει! Οὐαί, οὐαί! οἵα ἐστὶν ἡ γέεννα τοῦ πυρὸς τοῦ ἀσβέστου, καίοντος καὶ μὴ φωτίζοντος! οἴμοι, οἴμοι! οἷός ἐστιν ὁ ἀκοίμητος καὶ ἰοβόλος σκώληξ! Οὐαί, οὐαί! οἷον δεινόν ἐστιν τὸ σκότος ἐκεῖνο τὸ ἐξώτερον καὶ ἀεὶ μένον! Οἴμοι, οἴμοι! οἷοί εἰσιν οἱ ἄγγελοι ἐκεῖνοι, οἱ ἐπὶ τῶν κολάσεων ἄσπλαγχνοι καὶ ἀνελεήμονες! ὀνειδίζουσι γὰρ καὶ ἐπιπλήττουσι δεινῶς. Τότε οἱ κολαζόμενοι κράζουσιν ἐκτενῶς, καὶ ὁ σώζων οὐκ ἔστι· κεκράξονται γὰρ πρὸς Κύριον, καὶ οὐκ εἰσακούσεται αὐτούς [1])· τότε γνώσονται, ὅτι μάταια αὐτοῖς ἀπήει πάντα τὰ βίου· καὶ ἃ ἐδόκουν ἐνταῦθα χρηστὰ εἶναι, καὶ χαρμονῆς πλήρη, χολῆς καὶ ἰοῦ πικροῦ πικρότερα εὑρεθήσονται. Οὐαὶ τοῖς ἁμαρτωλοῖς! ὅταν οἱ δίκαιοι ἐκ δεξιῶν ἵστανται, κἀκεῖνοι θλίβονται· ὅταν οἱ ἁμαρτωλοὶ πενθῶσι, καὶ οἱ δίκαιοι χαίρωσιν· ὅταν οἱ δίκαιοι ἑορτάζουσι, καὶ οἱ ἁμαρτωλοὶ ὀδύρονται· ὅταν οἱ δίκαιοι ἐν γαλήνῃ, καὶ οἱ ἁμαρτωλοὶ ἐν χειμῶνι καὶ συμφορᾷ. Οὐαὶ τοῖς ἁμαρτωλοῖς! ὅταν οἱ δίκαιοι δοξάζονται, κἀκεῖνοι καταδικάζονται· οὐχὶ τοῖς ἁμαρτωλοῖς! ὅταν οἱ δίκαιοι κορέννυνται παντὸς ἀγαθοῦ, καὶ οἱ ἁμαρτωλοὶ ὑστερούμενοι στενάζουσιν. Οὐαὶ τοῖς ἁμαρτωλοῖς! ὅταν οἱ δίκαιοι δοξάζονται, κἀκεῖνοι ὀνειδίζονται· οἱ δίκαιοι ἐν ἁγιασμῷ, οἱ δὲ ἁμαρτωλοὶ ἐν ἐμπρησμῷ· οἱ δίκαιοι ἐγκωμιάζονται, οἱ δὲ ἁμαρτωλοὶ ταλανίζονται· οἱ δίκαιοι ἐν μοναῖς ἁγίων, οἱ δὲ ἁμαρτωλοὶ ἐν ἐξορίᾳ αἰωνίᾳ· οἱ δίκαιοι ἀκούσονται τὸ «δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου»· οἱ δὲ ἁμαρτωλοὶ ἀκούσουσι τὸ «πορεύεσθε ἀπ' ἐμοῦ, οἱ κατηραμένοι, εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ». Οἱ δίκαιοι εἰς παράδεισον, οἱ ἁμαρτωλοὶ εἰς τὸ πῦρ τὸ ἄσβεστον· οἱ δίκαιοι τρυφῶσιν, οἱ ἁμαρτωλοὶ τρύχονται. Οἱ δίκαιοι χορεύουσιν, οἱ δὲ ἁμαρτωλοὶ δεσμοῦνται. Οἱ δίκαιοι ᾄδουσιν, οἱ ἁμαρτωλοὶ θρηνοῦσιν. Οἱ δίκαιοι τὸ τρισάγιον, οἱ ἁμαρτωλοὶ τὸ τρισάθλιον. Οἱ δίκαιοι τὸ ᾆσμα, οἱ ἁμαρτωλοὶ τὸ χάσμα. Οἱ δίκαιοι

[1]) Ψα. 17. 42.

εἰς κόλπους Ἀβραάμ, οἱ ἁμαρτωλοὶ εἰς βράσματα Βελιάρ. Οἱ δίκαιοι εἰς ἀνάπαυσιν, οἱ ἁμαρτωλοὶ εἰς κατάκρισιν. Οἱ δίκαιοι δροσίζονται, οἱ ἁμαρτωλοὶ φλογίζονται. Οἱ δίκαιοι εὐφραίνονται, οἱ ἁμαρτωλοὶ τῇ λύπῃ ξηραίνονται. Οἱ δίκαιοι μεγαλύνονται, οἱ δὲ ἁμαρτωλοὶ τήκονται. Οἱ δίκαιοι ὑψοῦνται, οἱ δὲ ἁμαρτωλοὶ ταπεινοῦνται. Οἱ δίκαιοι θάλπονται, οἱ δὲ ἁμαρτωλοὶ μελαίνονται. Οἱ δίκαιοι τῶν ἀγαθῶν κορέννυνται, οἱ δὲ ἁμαρτωλοὶ κλονίζονται. Τοὺς δικαίους θρέψει θέα Θεοῦ, τοὺς ἁμαρτωλοὺς λυπήσει θέα πυρός. Οἱ δίκαιοι σκεῦος ἐκλογῆς, οἱ ἁμαρτωλοὶ σκεῦος γεέννης. Οἱ δίκαιοι χρυσὸς πεπυρωμένος, καὶ ἄργυρος δόκιμος καὶ λίθοι τίμιοι· οἱ ἁμαρτωλοὶ ξύλα, καλάμη, χόρτος, πυρὸς ὑπέκκαυμα [1]. Οἱ δίκαιοι σῖτος βασιλείας, οἱ ἁμαρτωλοὶ ἄχυρα ἀπολείας. Οἱ δίκαιοι σπόρος ἐκλεκτὸς, οἱ ἁμαρτωλοὶ ζιζάνια πυρός. Οἱ δίκαιοι ἅλας θεῖον, οἱ ἁμαρτωλοὶ βρῶμος καὶ δυσωδία. Οἱ δίκαιοι ναοὶ Θεοῦ ἀμίαντοι· οἱ ἁμαρτωλοὶ ναοὶ δαιμόνων μεμιασμένοι. Οἱ δίκαιοι ἐν τῷ νυμφῶνι, οἱ ἁμαρτωλοὶ εἰς χάος ἀπέραντον. Οἱ δίκαιοι ἐν φωτοφανείαις, οἱ ἁμαρτωλοὶ ἐν ζόφῳ θυέλλης. Οἱ δίκαιοι μετὰ ἀγγέλων, οἱ ἁμαρτωλοὶ μετὰ δαιμόνων. Οἱ δίκαιοι σὺν ἀγγέλοις χορεύουσιν, οἱ ἁμαρτωλοὶ μετὰ δαιμόνων θρηνοῦσιν. Οἱ δίκαιοι μέσον τοῦ φωτος, οι ἁμαρτωλοὶ μέσον τοῦ σκότους. Οἱ δίκαιοι ὑπὸ τοῦ Παρακλήτου παρακαλοῦνται, οἱ ἁμαρτωλοὶ σὺν τοῖς δαίμοσι τιμωροῦνται. Οἱ δίκαιοι παρίσανται τῷ θρόνῳ τῷ Δεσποτικῷ, οἱ ἁμαρτωλοὶ παρίσανται τῷ ζόφῳ τῷ τιμωρητικῷ. Οἱ δίκαιοι διαπαντὸς βλέπουσι τὸ πρόσωπον τοῦ Χριστοῦ. οἱ ἁμαρτωλοὶ διαπαντὸς ἵσανται κατὰ πρόσωπον τοῦ διαβόλου. Οἱ δίκαιοι μυοῦνται ἀγγέλοις, οἱ ἁμαρτωλοὶ μυοῦνται δαιμονίοις. Οἱ δίκαιοι ἱκεσίαν προσφέρουσιν, οἱ ἁμαρτωλοὶ θρῆνον ἄπαυστον. Οἱ δίκαιοι ἄνω, οἱ δὲ ἁμαρτωλοὶ κάτω. Οἱ δίκαιοι ἐν οὐρανῷ, οἱ δὲ ἁμαρτωλοὶ ἐν τῇ ἀβύσσῳ. Οἱ δίκαιοι εἰς ζωὴν αἰώνιον, οἱ ἁμαρτωλοὶ εἰς θάνατον ἀπωλείας. Οἱ δίκαιοι ἐν χειρὶ Θεοῦ, οἱ ἁμαρτωλοι ἐν τόπῳ διαβόλου. Οἱ δίκαιοι μετὰ τοῦ Θεοῦ, οἱ ἁμαρτωλοὶ μετὰ τοῦ Σατανᾶ. Οὐαὶ τοῖς ἁμαρτωλοῖς! ὅτε ἀφορίζονται ἀπὸ τῶν δικαίων. Οὐαὶ τοῖς ἁμαρτωλοῖς! ὅτε γυμνοῦνται αἱ πράξεις αὐτῶν, καὶ αἱ βουλαὶ

---

[1]) 1 Κορ. 3. 12.

τῶν καρδιῶν φανεροῦνται. Οὐαὶ τοῖς ἁμαρτωλοῖς! ὅτε οἱ συνδυασμοὶ τοῦ νοὸς ἐλέγχονται, καὶ αἱ συγκαταθέσεις τῶν πονηρῶν λογισμῶν ζυγοστατοῦνται, καὶ ταλαντεύεται ἡ διάνοια. Οὐαὶ τοῖς ἁμαρτωλοῖς! ὅτε μισοῦνται ὑπὸ τῶν ἁγίων ἀγγέλων, καὶ βδελύσσονται ὑπὸ τῶν ἁγίων μαρτύρων. Οὐαὶ τοῖς ἁμαρτωλοῖς! ὅτε ἐκβάλλονται ἐκ τοῦ νυμφῶνος· οὐαὶ τὴν τότε μεταμέλειαν! οὐαὶ τὴν τότε θλίψιν! οὐαὶ τὴν τότε ἀνάγκην! οὐαὶ τὴν τότε καταιγίδα! Δεινὸν, τὸ χωρισθῆναι ἀπὸ τῶν ἁγίων· ἀργαλεώτερον, τὸ χωρισθῆναι ἀπὸ τοῦ Θεοῦ· ἄτιμον, τὸ δεθῆναι χεῖρας καὶ πόδας καὶ εἰς τὸ πῦρ βληθῆναι· θλιβερὸν, τὸ ἐκπεμφθῆναι εἰς τὸ σκότος τὸ ἐξώτερον· γνοφερὸν, τὸ τρύζειν τοὺς ὀδόντας καὶ τήκεσθαι· βαρὺ, τὸ ἀπαύςως κολάζεσθαι· πονηρὸν, τὸ φλογίζεσθαι τὴν γλῶσσαν· ἀσυμπαθὲς, τὸ αἰτεῖν ῥανίδα ὕδατος, καὶ μὴ λαμβάνειν· πικρὸν, τὸ ἐν πυρὶ εἶναι καὶ βοᾶν, καὶ μὴ βοηθεῖσθαι. Ἀπαράβατος ὁ φάρυγξ, καὶ ἀμέτρητον τὸ χάος, ἄψυχτος ὁ ἀποκλεισθεὶς, ἀναπόδρασος ὁ κατεχόμενος, ἀνυπέρβατον τὸ τεῖχος τῆς φυλακῆς, ἄσπλαγχνοι οἱ τηρηταὶ, σκοτεινὸν τὸ δεσμωτήριον, ἄλυτα τὰ δεσμὰ, ἀνάσπαστοι αἱ ἁλύσεις, ἄγριοι καὶ ἀτίθασσοι οἱ ὑπηρέται τῆς φλογὸς ἐκείνης, βαρεῖαι αἱ κασίδες [1]) αἱ τιμωρητικαὶ ἐκεῖναι, ςερροὶ οἱ ὄνυχες καὶ ἄθραυςοι, σκληρὰ τὰ βούνευρα, θολώδεις καὶ καχλάζουσαι αἱ πίσσαι, δυσῶδες τὸ θεάφιον, ἀνθρακώδεις αἱ κλίναι αἱ ἐκεῖναι, ἄσβεςος ἡ πυρὰ, κνισσώδης καὶ βρωμώδης ὁ σκώληξ· ἀσυγχώρητον τὸ κριτήριον, ἀπροσωπόληπτος ὁ δικαςὴς, ἀπροφάσιςος ἡ ἀπολογία· κατεςιγμένα τὰ πρόσωπα τῶν δυναςῶν, πενιχροὶ οἱ δυνάςαι, πτωχοὶ οἱ βασιλεῖς· ἰδιῶται οἱ σοφοὶ, μωροὶ καὶ ἄδεκτοι οἱ ῥήτορες· ἄφρονες οἱ πλούσιοι, ἀνήκοα τὰ κολακεύματα τῶν πλαςογράφων· φανεραὶ αἱ καμπύλαι τῶν ῥαδιούργων, τηλαυγεῖς αἱ τροχιαὶ τῶν πλεονεκτῶν· βρωμώδης τῶν φιλαργύρων ἡ ὀσμὴ, φανερὰ τῶν ὑποκριτῶν ἡ ὑπουλότης, λινόπληγοι [2]) οἱ ἐπιθέται· πάντα γυμνὰ καὶ τετραχηλισμενα ἐνώπιον αὐτῶν.

---

[1]) Κασὶς, вѣроятно тоже, что κάσσυμα—ремень, бичь изъ ремня.

[2]) Λινοπληρὸς или λινοπλὴξ (изъ λινὸν и πλήσσω) говорится собственно о рыбѣ, попавшей въ сѣть и бьющейся въ ней; въ отношенiи къ человѣку значитъ: находящiйся въ безпокойномъ и безвыходномъ положенiи.

6. Οὐαὶ τοῖς ἁμαρτωλοῖς! βέβηλοι, καὶ ἐναγεῖς, καὶ ἀκάθαρτοί εἰσιν ἐνώπιον τοῦ Θεοῦ. Πῶς μεμίανται αὐτῶν αἱ ψυχαί! Πῶς βρωμοῦσιν αὐτῶν τὰ σώματα ἐκ τῆς λαγνείας καὶ ἀκολασίας! Πῶς εμόλυναν τὰ σώματα, καὶ ἐμίαναν τὴν ψυχήν, μὴ φυλάξαντες τὴν ςολὴν τοῦ ἁγίου βαπτίσματος! Πῶς ἀναισχύντως καὶ ἀνερυθριάςως τῇ κραιπάλῃ καὶ τῇ μέθῃ τῆς ἀσωτίας, τὴν ὀξοθήκην τῆς κοιλίας, τὸν ἀσκὸν τῆς γαςρός, τῇ αὐταρκείᾳ καὶ ἐγκρατείᾳ μὴ ςοιχήσαντες, ἀλλὰ τὸν πλοῦτον αὐτῶν αὐτὴν ἐμπιςεύσαντες, τρυφηλῶς εἰς τὰς ἡδονὰς ὡς χοῖροι τῷ βορβόρῳ ἐγκυλινδούμενοι, τὰς ἡμέρας καὶ τὰ ἔτη αὐτῶν ἐδαπάνησαν, μετεωριζόμενοι ἐν λογισμοῖς ῥυπαροῖς, καὶ φαύλαις ἐννοίαις, καὶ ἀργολογίαις, καὶ θυμελικοῖς ᾄσμασι! Πῶς ἠλλοιώθησαν τὴν καρδίαν αὐτῶν τῇ πωρώσει, εἰς νοῦν μὴ λαβόντες τὴν σύνταξιν τοῦ Χριςοῦ καὶ τὴν ἀπόταξιν τοῦ διαβόλου! Πῶς ἐξετράπησαν τῆς εὐθείας ὁδοῦ, ἐν τῷ σκότει τῆς ἀγνοίας βαδίσαντες, καὶ τῷ ὕπνῳ τῆς ῥαθυμίας ἐκδόντες, εἰς πέταυρον τῆς γεέννης ἑαυτοὺς ποντίσαντες! Πῶς ἀπηλλοτριώθησαν τοῦ φωτὸς τῶν ἀρετῶν, ἀγαπήσαντες τὸ σκότος τῆς ἁμαρτίας, διὰ τὸ βαδίσαι αὐτοὺς τῇ πλατείᾳ καὶ εὐρυχώρῳ ὁδῷ τῆς τριβακῆς κακίας! Πῶς ἐπελάθοντο τῆς τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριςοῦ ἐπιδημίας, καὶ τῶν πολλῶν καὶ ἀνεξιχνιάςων αὐτοῦ εὐεργεσιῶν, καθαρισθέντες μὲν δι' ὕδατος τοῦ θείου βαπτίσματος καὶ Πνεύματος ἁγίου, καὶ ςολισθέντες τῷ μύρῳ τῆς ἀγαλλιάσεως, διὰ δὲ μικρὰν ἡδονήν, μισητὴν καὶ συχαντὴν [1]), ἀθετήσαντες τὰς τοιαύτας καὶ τηλικαύτας δωρεάς, ἐδουλώθησαν πνεύματι πορνείας καὶ μοιχείας. Οὐαὶ τοῖς καταλείψασι τὴν υἱοθεσίαν, καὶ ἀκολουθήσασι ταῖς τοῦ κόσμου ἡδοναῖς! Οὐαὶ τοῖς ἑπομένοις τοῖς τοῦ κόσμου συντυχίαις! Οὐαὶ τοῖς ἀγαπῶσι τὸ σκότος τῆς ἁμαρτίας! Οὐαὶ τοῖς καταλιποῦσι τὸ φῶς τῆς ἀληθείας! Οὐαὶ τοῖς περιπατοῦσιν ἐν νυκτὶ τῆς ἁμαρτίας! Οὐαὶ τοῖς καταλιμπάνουσι τὴν ἡμέραν τῆς θεογνωσίας! Οὐαὶ τοῖς ἐμπεπλησμένοις τῇ κακῇ συνηθείᾳ τοῦ γέλωτος!

---

[1]) Συχαντὸς, **вѣроятно, вмѣсто** ἥσυχος **или** ἡσυχαντος (**отъ** ἡσυχαινω), **въ смыслѣ: праздный. безполезный.**

Οὐαὶ τοῖς καλλωπιζομένοις πρὸς τὸ τρῶσαι ψυχὰς εἰς συνουσίαν καὶ λαγνείαν ἀκολασίας ἀκαθάρτου! ἀληθῶς ἄγκιςρόν ἐςι τοῦ διαβόλου, ὁ καλλωπισμός· τοῖς οὖν ποθοῦσι, καὶ ζητοῦσι, καὶ θέλουσι σωθῆναι, μισητός ἐςιν. Οὐαὶ τοῖς διαβάλλουσιν εἰς τῷ ἑνί! Οὐαὶ τοῖς παρακροαταῖς, καὶ συμβαλλομάχοις, καὶ ταραχοποιοῖς! Οὐαὶ τοῖς ὀμνύουσι διὰ φιληδονίαν. Οὐαὶ τοῖς ἐπιόρκοις! Οὐαὶ τοῖς γαςριμάργοις, ὧν θεὸς ἡ κοιλία [1])! Οὐαὶ τοῖς μεθύουσι! Μακάριος δὲ ὁ ἐνταῦθα ἑαυτὸν εὐτελίζων καὶ ταπεινῶν διὰ τὸν Θεὸν, καὶ ἐξουθενῶν καὶ κατακρίνων! ὁ τοιοῦτος ὑπὸ Θεοῦ ὑψίςου ὑψοῦται, καὶ ὑπὸ ἀγγέλων ἐπαινεῖται, καὶ ἐν τῇ κρίσει ἐς εὐωνύμων οὐχ ἵςαται. Μακάριος ἄνθρωπος ὁ καρτερῶν ἐν προσευχαῖς, καὶ ὑπομένων ἐν νηςείαις, καὶ χαίρων ἐν ἀγρυπνίαις, καὶ ἀντιπαλαίων, καὶ ἀποσοβῶν τὸν ὕπνον, κάμπτων τε τὰ γόνατα εἰς δοξολογίαν Θεοῦ, κρούων τὸ ςῆθος, τύπτων τὸ πρόσωπον, ὑψῶν τὰς χεῖρας εἰς τὸν ἀέρα, αἴρων τὸ ὄμμα εἰς οὐρανὸν πρὸς Κύριον, ἐννοῶν τὸν ἐπὶ θρόνου δόξης καθήμενον, καὶ καρδίας ἐτάζοντα, καὶ νεφροὺς ἐμβατεύοντα [2])! ὁ γὰρ τοιοῦτος ἀπολαύει τῶν αἰωνίων ἀγαθῶν, υἱὸς, καὶ ἀδελφὸς, καὶ φίλος, καὶ κληρονόμος Θεοῦ γίνεται. Τούτου λάμψει τὸ πρόσωπον ὡς ὁ ἥλιος ἐν ἡμέρᾳ κρίσεως, ἐν ᾗ ἡ τῶν οὐρανῶν βασιλεία. Ὁ δὲ ἀγαπῶν τὴν ἀλήθειαν, φίλος Θεοῦ εὑρίσκεται· ὁ δὲ ψεύδη ἐνδελεχίζων, φίλος δαιμόνων γίνεται. Ὁ μισῶν τὸν δόλον, λυτροῦται τῆς ἀρᾶς. Ὁ ὑπομένων τοὺς πειρασμοὺς, ὡς ὁμολογητὴς ςεφανοῦται ἐνώπιον τοῦ βήματος τοῦ Χριςοῦ. Ὁ γογγύζων καὶ δυσπετῶν ἐν ταῖς συμπιπτούσαις συμφοραῖς, καὶ ταῖς συμβαινούσαις θλίψεσιν ἀκηδιῶν τε καὶ βλασφημῶν, οὗτος πεπλάνηται καὶ φρένας χωρὰς ἔχει. Ὁ πρᾶος, καὶ ἐπιεικὴς, καὶ ταπεινόφρων, ὑπὸ Θεοῦ ἐπαινεῖται, μακαρίζεται ὑπὸ τῶν ἀγγέλων, καὶ ἐγκωμιάζεται ὑπὸ τῶν ἀνθρώπων. Ὁ δὲ πικρὸς, καὶ ὀξύθυμος, καὶ ὀξύχολος, κεκατήραται ἀπὸ Θεοῦ· τούτου ἡ βρῶσις, βότρυς πικρίας δαιμόνων· ὁ δὲ οἶνος, θυμὸς δρακόντων, καὶ ἡ πῶσις ἰὸς ἀσπίδος ἀνίατος. Οἱ καθαροὶ τῇ καρδίᾳ ὁρῶσι τὴν τοῦ Θεοῦ δόξαν· οἱ δὲ ἐρρυπωμένοι τὸν νοῦν, ἐνοπτρίζονται τὸν διάβολον. Οἱ τὰ φαῦλα πράξαντες, καὶ

---

[1]) Φιλ. 3. 19. [2]) Πς. 7. 10. Ιερ. 17. 10.

τὰ ἄτοπα ἐννοοῦντες, καὶ τὰ κακὰ λογιζόμενοι εἰς τὸν πλησίον, κωλύουσιν αὐτοὺς τῆς θείας κοινωνίας. Οἱ τὸ πρόσωπον φοινικείοις ὑγραίνοντες, καὶ ψιμμυθίῳ τὰς παρειὰς τρίβοντες, καὶ λευκαίνοντες, καὶ δι' ἐσόπτρων καὶ κατόπτρων ζολιζόμενοι, πρὸς τὸ ζωγρῆσαι καὶ σαγηνεῦσαι ψυχὰς εἰς ἀκολασίαν καὶ ἐπιθυμίας ἀτόπους, καὶ ἔρωτας σατανικούς, ἐν ἡμέρᾳ κρίσεως θεοσεβεῖς οὐχ εὑρίσκονται, ἀλλ' ὡς καταφρονηταὶ τῶν ἐντολῶν τοῦ Θεοῦ κολάζονται. Οἱ περιεργαζόμενοι κάλλος ἀλλότριον, τῆς καλλονῆς τοῦ παραδείσου στερίσκονται. Οἱ ἐπιχαίροντες ἐπὶ πτώσει ἑτέρων, ἑαυτοὺς πτωματίζουσιν. Οἱ ἐπιθυμοῦντες τὰ ἀλλότρια, τὰ ἴδια προδιδοῦσι καὶ ἀπόλονται. Οἱ κενόδοξοι, καὶ ὑπερήφανοι, καὶ ἀνθρωπάρεσκοι, μετὰ τοῦ διαβόλου καταδικάζονται. Οἱ ὑποκριταί, μετὰ τοῦ Σατανᾶ τιμωροῦνται. Οἱ τὸ σῶμα παρὰ τὸ δέον τρέφοντες, λιμοκτονοῦσι τὴν ψυχήν· οἱ ἐν γνώσει καὶ ἄνευ ἀνάγκης ἁμαρτάνοντες, καὶ μὴ μετανοοῦντες, μετὰ ἀπίστων κολάζονται· οἱ λέγοντες «ἐν νεότητι ἁμαρτήσωμεν, καὶ ἐν γήρᾳ μετανοήσωμεν», ὑπὸ δαιμόνων ἐμπαίζονται, καὶ χλευάζονται, καὶ ὡς ἑκουσίως ἁμαρτάνοντες, τῆς μετανοίας οὐκ ἀξιοῦνται, ἀλλ' ἐν νεότητι ὑπὸ τῆς τοῦ θανάτου δρεπάνης θερίζονται· ὡς Ἀμμὼν ὁ τοῦ Ἰσραὴλ βασιλεύς, ὁ καὶ τὸν Θεὸν παροργίσας διὰ τοὺς πονηροὺς αὐτοῦ λογισμοὺς καὶ τὰς βεβήλους αὐτοῦ ἐννοίας [1]). Οἱ γὰρ λέγοντες «σήμερον ἁμαρτήσωμεν, καὶ αὔριον μετανοήσωμεν», οἱ τοιοῦτοι ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν· καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία [2]), καὶ τὴν «σήμερον» ἀπώλεσαν, τὸ σῶμα φθείραντες καὶ μιάναντες, καὶ τὴν ψυχὴν μολύναντες, καὶ τὸν νοῦν ζοφώσαντες, καὶ τὴν διάνοιαν θολώσαντες, καὶ τὴν συνείδησιν βορβορώσαντες· τὴν δὲ «αὔριον» ἐκλάπησαν· οἱ γὰρ μὴ κλαίοντες διὰ τὸ πτῶμα τῆς πορνείας, καὶ μὴ πενθοῦντες διὰ τὸν βόρβορον τῆς μοιχείας, καὶ μὴ θρηνοῦντες διὰ τὸ πέταυρον τῆς ἀρρενοκοιτίας, καὶ μὴ ὀλολύζοντες διὰ τὴν μαλακίαν, οὐ δύνανται ὁλοψύχως μετανοῆσαι περὶ τὰ ἀπελθόντα ἁμαρτήματα, οὔτε διορθώσασθαι τὰ μέλλοντα. Οἱ γὰρ μὴ ζητοῦντες ἅπερ ἀπώλεσαν, καὶ τὰ σωζόμενα οὐκ ἐκτήσαντο. Οἱ μὴ ψηφίζοντες

---

[1]) 4 Цар 21. 19—22. [2]) Рим. 1. 21.

τὴν φυρασίαν τῆς ἐνθήκης, καὶ τὰ κεφάλαια ζημιοῦνται [1]). Οἱ μὴ κοπιῶντες νουνεχῶς καὶ νήφοντες ἐν εὐχαῖς αἰχμαλωτίζονται ὑπὸ αἰσχρῶν λογισμῶν· οἱ δὲ αἰχμαλωτισθέντες δουλεύουσι τῇ κακῇ συνηθείᾳ, ἄκοντες καὶ μὴ βουλόμενοι. Οἱ μὴ ἀγρυπνοῦντες νηφόντως ἐν τῇ ψαλμῳδίᾳ, κλέπτονται. Οἱ μὴ γρηγοροῦντες ἐν τῇ ἀκροάσει τῶν θείων Γραφῶν, ἀλλ' ὕπνῳ τῆς ῥαθυμίας ἑαυτοὺς ἐκδόντες, μετὰ τῶν πέντε μωρῶν παρθένων ἀποκλεισθήσονται [2]). Οἱ τὰ ὅπλα τῆς νηστείας ῥίπτοντες, ὑπὸ τῆς γαστριμαργίας σκελίζονται, καὶ ὑπὸ τῆς πορνομοιχοῦς ἀναιροῦνται ἁμαρτίας· οἱ τὰς τοῦ Θεοῦ ἐντολὰς μὴ φυλάξαντες, ὑπὸ δαιμόνων τιτρώσκονται καὶ ἐν γεέννῃ πυρὸς καταδικάζονται. Οἱ τῆς Ἐκκλησίας καὶ τῆς κοινωνίας ἑαυτοὺς μακρύνοντες, ἐχθροὶ τοῦ Θεοῦ γίνονται καὶ δαιμόνων φίλοι. Αἰσχυνέσθω πᾶσα αἵρεσις τῶν ἀθέων αἱρετικῶν, καλυπτέσθω τὸ γένος τῶν ἀπίστων, ἀπολέσθω ἡ συναγωγὴ τῶν Ἰουδαίων, ἐμφραττέσθω τὰ ἀκάθαρτα στόματα τῶν ἀρνησιθέων Ἑβραίων, ὅταν ὁ δοκιμάζων τὰς καρδίας, καὶ τοὺς νεφροὺς ἐτάζων, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, διικνούμενος μέχρι μερισμοῦ σαρκὸς καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν, κάθηται δικάζων [3]). Τότε δή, τότε οὐκ ὀλίγους τινὰς ἐκ πολλῶν, ἀλλὰ πάντας ἐκκαλυπτομένους ὄψει, καὶ οὔτε δορὰ τοῦ προβάτου τὸν λύκον δύναται καλύψαι, οὔτε κονίασις τῶν ἔργων τὸν ἔνδον ἀποκρύψαι λογισμόν· οὐκ ἔστι γὰρ κτίσις ἀφανὴς τῷ κρίνοντι, ἀλλὰ πάντα γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ [4]).

7. Οὐκοῦν πρὸς τὰς τοῦ Θεοῦ ἐντολὰς σαρκικοῖς ἀντιταξώμεθα πάθεσι· ταπεινώσωμεν λογισμοὺς κενοδόξους, ἐπανασῶμεν τῷ διαβόλῳ πρὸς μάχην, ὀμματώσωμεν εἰς νῆψιν τὴν διάνοιαν, κοιμήσωμεν λογισμοὺς ἁμαρτίας· κτησώμεθα προσευχὴν ἀρέμβαστον, νοῦν νήφοντα, διάνοιαν διεγηγερμένην, συνείδησιν ἀθόλωτον, ἐγκράτειαν ἀτελεύτητον, νηστείαν ἀνυπόκριτον, ἀγάπην ἀπροσωπόληπτον, ἁγνείαν ἀνόθευτον, σωφροσύνην ἀμίαντον, ταπείνωσιν ἀνύπουλον, ψαλμῳδίαν ἄπαυστον, ἀνάγνωσιν ἀκενόδοξον, γονυκλισίαν

---

[1]) Не дѣлающіе приращенія ввѣреннаго имъ имущества теряютъ и капиталъ. Ср. Матѳ. 25. 26, 27

[2]) Мат. 25. 10. [3] Евр. 4. 12. [4]) Евр. 4. 13.

ἀνυπερήφανον, δέησιν διηνεκῆ, βίον καθαρὸν, λόγον ἀληθῆ, ξενοδοχίαν ἀγόγγυϛον, ὑπομονὴν εὐχάριϛον, ἐλεημοσύνην ἀνεξέταϛον· τὴν ὀξυχολίαν ἐξοϛρακίσωμεν, τὴν ὀργὴν ἐκδιώξωμεν, τὴν ἀκηδίαν ἐξεπώσωμεν, τὸν θυμὸν ἀποκτείνωμεν, τὴν λύπην μαράνωμεν, τὴν φιλαργυρίαν ξηράνωμεν. Μὴ φοβηθῶμεν τὸν κοινὸν θάνατον, τὸν τοῦ γένους τῶν ἀνθρώπων θεριϛὴν, ἀλλὰ τὸν ὀλοθρευτὴν τῶν ἀνθρώπων· θάνατος γὰρ κυρίως οὐχὶ ὁ χωρίζων τὴν ψυχὴν ἀπὸ τοῦ σώματος, ἀλλ' ὁ χωρίζων ψυχὴν ἀπὸ τοῦ Θεοῦ. Ὁ Θεὸς ζωή ἐϛιν· ὁ δὲ τῆς ζωῆς χωριζόμενος τέθνηκε, τὴν πρόσθεν παῤῥησίαν ὡς τὴν ζωὴν ἀποβαλών· καὶ ἐπειδὴ θάνατος, ὁ διάβολος ὁ τοῦ θανάτου πατὴρ, ἵϛαται ὡς ἀντίπαλος ἰσχυρὸς καθοπλιζόμενος, ἵνα ἡμᾶς ἐν ταῖς ἁγίαις ἡμέραις παλαίῃ καὶ ῥήξῃ, καὶ εἴπῃ· ἐνίκησα τοὺς Χριϛοῦ ϛρατιώτας, κάλλος δείξας γυναικῶν, καὶ ἀπὸ τῆς ἀκοῆς ἐκρέμασα αὐτούς [1])· κενοδοξίᾳ καὶ γαϛριμαργίᾳ βοθρίσας, ἐδραξάμην αὐτῶν τῆς κόμης τῶν ἀρετῶν, καὶ σκελίσας ταῖς ἐπιθυμίαις, καὶ γαργαλίσας τῇ οἰνοποσίᾳ, ὠθίσας ἔῤῥιψα εἰς βόθρον πορνείας· μὴ οὖν χαροποιήσωμεν τοὺς ἀκαθάρτους δαίμονας, διότι ὁ ἡμέτερος Θεὸς πάντων ἐϛὶ σωτηρία καὶ δαιμόνων ὀλετήρ. Ἐπεὶ τοίνυν καὶ ἡμεῖς σώματα συμπεπλέγμεθα, καὶ θανάτῳ ὑπεύθυνοί ἐσμεν, ἀγωνισώμεθα γενναίως, ἵνα τοὺς ἀκαθάρτους νικήσωμεν δαίμονας· ἐὰν γὰρ τὸν φόβον ἔχωμεν ἐν τῇ καρδίᾳ, καὶ τὴν μνήμην τοῦ θανάτου ἐν τῇ ψυχῇ περιφέρωμεν, πάντες οἱ δαίμονες καθ' ἡμῶν ὁπλίζονται· ἀλλ' ὥσπερ κριοκρούοντες, ὡς τεῖχος ἡμᾶς εὑρήσουσι, διὰ τὸ εἶναι τὸν Κύριον ἡμῶν μεθ' ἡμῶν· ὅτι αὐτῷ πρέπει δόξα, τιμὴ καὶ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

[1]) Κρεμάω τινὰ—въ переносномъ смыслѣ можетъ значить, подобно латинскому выраженію suspensum teneo: внушаю ложныя надежды, ввожу въ недоумѣніе, смущаю, обольщаю.

## XV.

## СВ. ІОАННЪ ДАМАСКИНЪ.

Св. Іоаннъ, называемый Дамаскинымъ потому, что родился въ главномъ городѣ Сиріи Дамаскѣ около 680 года и долго жилъ и дѣйствовалъ въ этомъ городѣ, происходилъ отъ родителей знаменитыхъ древностію рода, гражданскими заслугами и христіанскимъ благочестіемъ. Отецъ его Сергій, по прозванію Мансуръ, исправлялъ при Дамасскомъ Калифѣ Абд-Альмаликѣ (685—705 г.) должность главнаго казначея, съ благочестивою ревностію употребляя свое вліяніе при дворѣ ко благу Христовой Церкви и свое имущество на пользу христіанъ, страждущихъ между магометанами. Дѣла вѣры и благотворительности отца были вознаграждены отъ Бога дарованіемъ ему сына Іоанна съ высокими умственными и нравственными качествами и превосходнаго наставника для сына въ лицѣ одного Калабрійскаго инока, по имени Козьмы, привезеннаго плѣнникомъ въ Дамаскъ и выкупленнаго Сергіемъ. Подъ руководствомъ этого ученаго и благочестиваго инока Іоаннъ изучилъ риторику и діалектику, физику и астрономію, поэзію и музыку, философію и богословіе, вмѣстѣ съ другимъ юношею, принятымъ въ домъ ихъ, Іерусалимскимъ сиротою Козьмою (впослѣдствіи епископомъ Маіумскимъ). По смерти отца Іоаннъ занималъ также высокую должность при Дамасскомъ дворѣ, сдѣлавшись ближайшимъ совѣтникомъ Калифа Велида (705—715 г.), но оставался

истиннымъ исповѣдникомъ христіанской вѣры и отличался постоянною готовностію употреблять свои дарованія и средства на пользу святой Церкви. Особымъ поводомъ къ усиленной дѣятельности его для православной Церкви послужило появленіе новой ереси иконоборства, успѣвшей достигнуть того, что Византійскій императоръ Левъ Исавръ въ 726 году издалъ указъ, запрещавшій почитаніе св. иконъ. Іоаннъ Дамаскинъ выступилъ на защиту православной истины своими писаніями, которыя распространившись въ народѣ и сдѣлавшись извѣстными въ Константинополѣ, произвели такую противъ него злобу въ иконоборномъ императорѣ, что этотъ послѣдній посредствомъ подложнаго письма оклеветалъ Іоанна предъ Дамасскимъ калифомъ въ политической измѣнѣ и былъ причиною рѣшительной перемѣны въ жизни защитника иконопочитанія. Разгнѣванный калифъ повелѣлъ отсѣчь мнимому измѣннику правую руку, которая однако была возвращена Іоанну и чудеснымъ образомъ приросла къ своему мѣсту послѣ пламенной молитвы его предъ иконою Богоматери, по сказанію древняго жизнеописателя его, патріарха Іерусалимскаго Іоанна (Vit. S. Damasc. cap. XVII—XX. Migne. T. XCIV. p. 455—460). Послѣ этого Іоаннъ Дамаскинъ, пожелавъ лучше страдать съ людьми Божіими, нежели наслаждаться временными почестями, и раздавъ свое имѣніе бѣднымъ и роднымъ, вмѣстѣ съ другомъ и нареченнымъ братомъ своимъ Козьмою удалился въ лавру св. Саввы близъ Іерусалима, и здѣсь съ глубокимъ смиреніемъ проходилъ подвиги послушанія до тѣхъ поръ, пока патріархъ Іерусалимскій Іоаннъ 5-й, знавшій благочестивую его жизнь, ревность по истинѣ и обширную ученость, рукоположилъ его въ пресвитера Іерусалимской церкви Воскресенія Христова и оставилъ при себѣ въ качествѣ помощника и совѣтника въ церков-

ныхъ дѣлахъ и проповѣданіи Слова Божія. Вскорѣ однако, вѣроятно по смерти этого патріарха (въ 735 г.), св. Іоаннъ оставилъ Іерусалимъ и опять поселился въ лаврѣ св. Саввы, гдѣ съ прежнею ревностію продолжалъ служить Богу и Христовой Церкви своими рѣдкими талантами и многосторонними свѣдѣніями до конца жизни, послѣдовавшаго ранѣе 787 года—7-го вселенскаго собора, на которомъ была провозглашена ему «вѣчная память». 4-го Декабря православная Церковь ублажаетъ его въ ликѣ святыхъ, какъ искуснаго защитника христіанскихъ догматовъ, мудраго наставника православія, свѣтлаго учителя благочестія и богодухновеннаго пѣснопѣвца.

Оставшіяся послѣ св. Іоанна писанія, несомнѣнно ему принадлежащія, по своему содержанію и направленію свидѣтельствуютъ о всѣхъ этихъ достоинствахъ письменной его дѣятельности.

1) *Апологетическая* дѣятельность его началась еще тогда, когда онъ не принадлежалъ къ церковному клиру. По порученію Дамасскаго архіепископа Петра и по собственному усердію онъ написалъ сочиненіе «Противъ Манихеевъ» которыхъ ересь возобновили тогда Павликіане въ Сиріи, также «Противъ Яковитовъ», державшихся ереси Монофизитовъ; за тѣмъ одно за другимъ «Три слова противъ отвергающихъ святыя иконы», и «Книжку о правомысліи» въ обличеніе всѣхъ ересей, анаѳематствованныхъ шестью вселенскими соборами. По возвращеніи изъ Іерусалима въ лавру св. Саввы преподобный Отецъ не оставлялъ борьбы съ лжеученіями, возмущавшими Церковь, и писалъ: «Противъ богоненавистной ереси Несторіанъ», продолжавшихъ распространять ложное ученіе о лицѣ І. Христа и Богоматери; «О двоякой природѣ» въ І. Христѣ противъ Акефаловъ, державшихся ереси Монофизитовъ; «О трисвятой пѣсни» также противъ

Монофизитовъ, и «О двухъ воляхъ во Христѣ» противъ Маронитовъ, державшихся ереси Моноѳелитовъ; въ руководство же христіанамъ. окруженнымъ магометанами, писалъ «Разговоры между Сарациномъ и Христіаниномъ», въ которыхъ опровергалъ возраженія противъ откровенныхъ истинъ христіанства. Вмѣстѣ съ тѣмъ до конца жизни своей не переставалъ возвышать голосъ свой противъ господствовавшаго лжеученія иконоборства, болѣе и болѣе усиливавшагося при сынѣ Льва Исавра Константинѣ Копронимѣ, который, созвавъ въ Константинополѣ соборъ изъ противниковъ иконопочитанія въ 754 году, провозгласилъ анаѳему между другими защитниками православія и Іоанну Дамаскину, тогда какъ весь православный міръ воздавалъ ему славу. какъ «превосходному (ἄριςος) учителю, блиставшему и жизнію и словомъ». 2) *Догматическія* писанія св. Іоанна относятся къ послѣднему періоду его жизни въ лаврѣ св. Саввы. Здѣсь по просьбѣ друга и нареченнаго брата Козьмы, епископа Маюмскаго, онъ написалъ важнѣйшій изъ трудовъ своихъ подъ общимъ названіемъ «Источникъ вѣдѣнія (πηγὴ γνώσεως)», въ которомъ, послѣ предварительнаго изложенія истинъ философскихъ, имѣющихъ отношеніе и къ богословію, подъ заглавіемъ «Діалектики» и краткаго обозрѣнія «Ересей». содержится «Точное изложеніе православной вѣры», состоящее изъ 100 главъ. Это было первымъ въ христіанской письменвости систематическимъ изложеніемъ истинъ христіанскаго откровенія на основаніи Слова Божія, соображеній разума и свидѣтельствъ предшествовавшихъ отцевъ и учителей Церкви, которое послужило образцомъ подобныхъ трудовъ для богослововъ востока и запада и за которое справедливо назвали преподобнаго автора «провозвѣстникомъ (ςόμα) и истолкователемъ всѣхъ богослововъ». Кромѣ того

имъ написано въ видѣ богословскаго словаря обширное сочиненіе подъ заглавіемъ: «Священныя параллели» или сличенія изреченій св. Писанія объ истинахъ вѣры и благочестія съ изреченіями отцевъ и учителей Церкви, расположенныя по греческому алфавиту и особенно важныя потому, что въ нихъ сохранено много драгоцѣнныхъ памятниковъ древней святоотеческой письменности. Сюда же принадлежатъ его «Еклоги» на посланія ап. Павла и нѣкоторыя другія книги св. Писанія, и краткія разсужденія «О святой Троицѣ», «Введеніе въ догматику», «О природѣ человѣка», «Объ образѣ Божіемъ въ человѣкѣ» и подобныхъ предметахъ богословія. 3) Памятниками *проповѣднической* и *нравоучительной* дѣятельности его остались: а) 13 словъ и бесѣдъ, относящихся къ служенію его въ санѣ пресвитера Іерусалимской церкви, на важнѣйшіе праздники и большею частію во славу Пресвятой Дѣвы Богородицы, и б) Краткія разсужденія «О святыхъ постахъ», «О восьми злыхъ духахъ» или о восьми главныхъ грѣхахъ, и «О добродѣтеляхъ и порокахъ». 4) Во время перваго пребыванія въ лаврѣ св. Саввы св. Іоаннъ началъ и до конца жизни ревностно продолжалъ облекать истины христіанской вѣры и нравственности въ форму стройныхъ и благозвучныхъ *пѣснопѣній*, въ составленіи которыхъ онъ явилъ себя несравненнымъ и неистощимымъ. Онъ составилъ до 64 каноновъ во славу Спасителя, Божіей Матери и другихъ святыхъ, множество тропарей, стихиръ и молитвъ для утренняго, дневнаго и вечерняго богослуженія, превосходныхъ сколько по поэтическому вдохновенію, столько же и по догматическому содержанію, и цѣлый кругъ воскресныхъ службъ подъ именемъ Октоиха, книги пѣснопѣній, раздѣленныхъ на восемь гласовъ или напѣвовъ. Эти драгоцѣнныя произведенія духовной поэзіи, сдѣлавшіяся достояніемъ православ-

ной Церкви, доставили ему названіе «златоточиваго (χρυσοῤῥόας)» по обилію «текущей въ нихъ благодати Святаго Духа» (См. Учен. объ Отцахъ Церкви, Филар. Черн. изд. 1882. Т. III. стр. 197—205).

Въ настоящемъ сборникѣ изъ всѣхъ писаній преподобнаго Отца помѣщаются: 1) Слово 1-е «противъ отвергающихъ святыя иконы», имѣвшее большую важность какъ въ жизни св. Іоанна, такъ и для всей христіанской Церкви при тѣхъ обстоятельствахъ, въ которыхъ написано; 2) нѣсколько главъ изъ «Точнаго изложенія православной вѣры», знаменитѣйшаго изъ письменныхъ трудовъ его, и 3) одинъ богослужебный «канонъ» изъ Октоиха и «Молитва» въ стихахъ, какъ образцы пѣснотворнаго и поэтическаго таланта этого святаго отца Церкви.

Лучшія и новѣйшія изданія писаній его суть:

1. S. Ioannis Damasceni opera omnia. Edit. P. Mich. Lequien. 2 Fol. Paris 1712. Edit. 2. Fol. 2. Venet. 1748.

2. Patrologiae Cursus completus. Ser. graec. Ed. I. P. Migne. T. XCIV—XCVI. Paris. 1864.

Нѣкоторыя изъ прозаическихъ и стихотворныхъ произведеній св. Іоанна Дамаскина появились въ изданіяхъ:

3. Nova patrum bibliotheca. T. IV. и Spicilegium Romanum. T. IV и IX. Edit. Angel. Mai. Rom. 1841—1852.

4. Anthologia graeca carminum christianorum. Ed. W. Christ. et M. Paranikas. Lips. 1871.

5. Богослужебные каноны на греческомъ, славянскомъ и русскомъ языкахъ. Изд. 3. С. П. Б. Синод. Типогр. 1875 г.

Текстъ избранныхъ статей заимствованъ изъ изданія Migne.

# ΤΟΥ ΈΝ ἉΓΙΟΙΣ ΠΑΤΡΟΣ ἩΜΩΝ

# ἸΩΑΝΝΟΥ ΤΟΥ ΔΑΜΑΣΚΗΝΟΥ

## I.

## Λόγος πρῶτος ἀπολογητικὸς πρὸς τοὺς διαβάλλοντας τὰς ἁγίας εἰκόνας.

### Глав. 1—29.

1. Ἐχρῆν μὲν ἡμᾶς ἀεὶ τῆς ἑαυτῶν συναισθανομένους ἀναξιότητος σιγὴν ἄγειν, καὶ Θεῷ τὴν τῶν ἡμαρτημένων ἡμῖν προσάγειν ἐξομολόγησιν· ἀλλ' ἐπειδὴ πάντα καλὰ ἐν καιρῷ αὐτῶν, ὁρῶ δὲ τὴν Ἐκκλησίαν, ἣν ὁ Θεὸς ᾠκοδόμησεν ἐπὶ τῷ θεμελίῳ τῶν ἀποςόλων καὶ προφητῶν, ὄντος ἀκρογωνιαίου Χριςοῦ τοῦ Υἱοῦ αὐτοῦ [1]), βαλλομένην ὥσπερ θαλαττίῳ κλύδωνι, κύμασιν ἀλλεπαλλήλοις κορυφουμένῳ, ἐξ ἐπαχθεςάτης φορᾶς τῶν πονηρῶν πνευμάτων κυκωμένην τε καὶ ταραττομένην, καὶ τὸν χιτῶνα Χριςοῦ τὸν ἄνωθεν ὑφαντὸν διαιρούμενον, ὃν ἀσεβῶν διελεῖν ηὐθαδίσαντο παῖδες, καὶ τὸ σῶμα αὐτοῦ εἰς διαφόρους κατατομὰς τεμνόμενον, ὅ ἐςιν ὁ τοῦ Θεοῦ λόγος καὶ ἡ τῆς Ἐκκλησίας ἄνωθεν κεκρατηκυῖα παράδοσις, οὐκ εὔλογον ἡγησάμην σιγᾶν καὶ δεσμὸν ἐπιθεῖναι τῇ γλώσσῃ, τὴν ἠπειλημένην ἀπόφασιν ὑφορώμενος, τὴν φάσκουσαν· «ἐὰν ὑποςείλῃ, οὐκ εὐδοκεῖ ἐν σοὶ ἡ ψυχή μου» [2])· καί· «ἐὰν ἴδῃς τὴν ῥομφαίαν ἐρχομένην, καὶ μὴ ἀναγγείλῃς τῷ ἀδελφῷ σου, ἐκ σοῦ ἐκζητήσω τὸ αἷμα αὐτοῦ» [3]). Φόβῳ τοίνυν ἀφορήτῳ βαλλόμενος, ἐπὶ τὸ λέγειν ἐλήλυθα, οὐ βασιλέων ὕψος πρὸ τῆς ἀληθείας τιθείς. «Ἐλάλουν γάρ», ἤκουσα τοῦ θεοπάτορος λέγοντος Δαβίδ, «ἐναντίον βασιλέων, καὶ οὐκ ᾐσχυνόμην» [4])· ἀλλὰ μᾶλλον τούτῳ πρὸς τὸ λέγειν νυττόμενος. Δεινὸν γὰρ βασιλέως λόγος πρὸς ὑπαγωγὴν τῶν ὑπηκόων· ὀλί-

[1]) Еф. 2. 20. [2]) Евр. 10. 38. [3]) Езек. 33. 6. [4]) Пс. 118. 46.

γοι γὰρ ὅσοι τῶν ἀνέκαθεν βασιλικῶν κατωλιγώρησαν θεσπισμάτων, ὅσοι τὸν ἐπὶ γῆς βασιλέα βασιλευόμενον οἴδασιν ἄνωθεν, καὶ ὡς κρατοῦσιν οἱ νόμοι τῶν βασιλέων.

2. Πρῶτον μὲν οὖν ἁπάντων, οἷόν τινα τρόπιν ἢ θεμέλιον τῷ λογισμῷ καταπήξας, τὴν τῆς ἐκκλησιαςικῆς θεσμοθεσίας συντήρησιν, δι᾽ ἧς σωτηρία προσγίνεσθαι πέφυκε, τοῦ λόγου τὴν βαλβίδα ἠνέωξα, καὶ τοῦτον, ὥσπερ ἵππον εὐχάλινον, τῆς ἀφετηρίας [1]) παρώρμησα. Δεινὸν γὰρ ὄντως ᾠήθην, καὶ πέρα δεινῶν, τοσούτοις τὴν Ἐκκλησίαν ἀμαρύσσουσαν προτερήμασι, καὶ ταῖς τῶν εὐσεβεςάτων ἀνδρῶν ἄνωθεν παραδόσεσιν ὡραϊσθεῖσαν, παλινοςεῖν ἐπι τὰ πτωχὰ ςοιχεῖα [2]), φοβουμένην φόβον, οὗ οὐκ ἔςι φόβος [3])· καὶ ὥσπερ οὐκ ἐγνωκυῖαν τὸν ὄντως Θεὸν, ὑφορᾶσθαι τὸν εἰς εἰδωλολατρείαν ὄλισθον, καὶ κἂν γοῦν ἐν σμικροτάτῳ τῆς τελειότητος λείπεσθαι, ὥσπερ τινὰ ςιγμὴν ἐπίμονον ἐν μέσῳ προσώπου λίαν ὡραϊσμένου φέρουσαν, τῷ ἀπόσῳ [4]) τοῦ παραγράμματος τοῦ κάλλους τὸ πᾶν λυμαινομένην. Οὐ γὰρ μικρὸν τὸ μικρὸν, ὅταν εἰς μέγα ἐκφέρῃ, ὅπου γε οὐδὲ σμικρὸν τὸ παρεγχάραγμα, ἄνω κεκρατηκυῖαν Ἐκκλησίας ἀνατραπῆναι παράδοσιν, οἷα κατεγνωσμένων τῶν προκαθηγησαμένων ἡμᾶς, ὧν ἐχρῆν ἀναθεωροῦντας τὴν ἀναςροφὴν μιμεῖσθαι τὴν πίςιν [5]).

3. Ἐκλιπαρῶ τοίνυν πρῶτον μὲν τὸν παντοκράτορα Κύριον, ᾧ γυμνὰ πάντα καὶ τετραχηλισμένα, πρὸς ὑμᾶς ὁ λόγος [6]), εἰδότα τῆς ταπεινῆς μου γνώμης ἐν τούτῳ τὸ ἀκραιφνὲς καὶ τοῦ σκοποῦ τὸ εἰλικρινὲς, δοῦναί μοι λόγον ἐν ἀνοίξει ςόματός μου, καὶ τοῦ νοῦ τὰς ἡνίας οἰκείαις χερσὶν ἀναδέξασθαι, καὶ τοῦτον πρὸς ἑαυτὸν ἐπισπάσασθαι, πρὸς ἐνώπιόν τε καὶ εὐθεῖαν τρίβον τὴν ῥύμην ποιούμενον, μὴ ἐγκλίνοντα πρὸς τὰ δοκοῦντα δεξιὰ, ἢ ἀριςερὰ γνωριζόμενα· μεθ᾽ ὃν ἅπαντα τὸν τοῦ Θεοῦ λαὸν, τὸ ἔθνος τὸ

---

[1]) Ἀφετηρία (прилаг. ἀφετήριος, отъ ἀφίημι) тоже, что βαλβίς, перегородка, отъ которой начинается ристалище, начальное мѣсто бѣга или ѣзды на общественныхъ играхъ, или вообще—начало движенія съ какого-нибудь мѣста.

[2]) Гал. 4. 9. [3]) Пс. 52. 6.

[4]) Τὸ ἄποσον (изъ α и ποσὸς), несоразмѣрность, несоотвѣтствіе.

[5]) Евр. 13 7.

[6]) При обращеніи рѣчи къ вамъ.

ἅγιον, τὸ βασίλειον ἱεράτευμα, σὺν τῷ καλῷ ποιμένι τῆς λογικῆς Χριςοῦ ποίμνης, τῷ τὴν Χριςοῦ ἱεραρχίαν ἐν ἑαυτῷ ὑπογράφοντι [1]), δέξασθαί μου τὸν λόγον μετ᾽ εὐμενείας, μὴ τῷ ἐλαχίςῳ τῆς ἀξίας προσέχοντας, ἢ λόγων ἐπιζητοῦντας ςροφάς· ἐπεὶ τούτων οὐ παντελῶς ἴδρις ὁ πένης ἐγώ· ἀλλὰ τῆς τῶν νοημάτων φροντίσαι δυνάμεως. Οὐ γὰρ ἐν λόγῳ ἡ βασιλεία τῶν οὐρανῶν, ἀλλ᾽ ἐν δυνάμει [2]). Οὐ γὰρ νικῆσαι σκοπὸς, ἀλλὰ τῇ ἀληθείᾳ πολεμουμένῃ χεῖρα ὀρέξαι, τῆς προαιρέσεως ὀρεγούσης χεῖρα δυνάμεως. Ἀρωγὸν τοίνυν τὴν ἐνυπόςατον ἐπικεκλημένος ἀλήθειαν, ἐντεῦθεν τοῦ λόγου τὰς ἀρχὰς ποιήσομαι.

4. Οἶδα τὸν ἀψευδῶς εἰπόντα· «Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐςι» [3]). Καί. «Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις» [4]). Καί· «οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι». Καί· «οὐ ποιήσεις γλυπτὸν, πᾶν ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ὅσα ἐν τῇ γῇ κάτω» [5]). Καί· «αἰσχυνθήτωσαν πάντες οἱ προσκυνοῦντες τοῖς γλυπτοῖς» [6]). Καί· «θεοὶ, οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν» [7])· καὶ ὅσα τοιουτοτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν ἐλάλησεν ἡμῖν ἐν τῷ μονογενεῖ αὐτοῦ Υἱῷ, δι᾽ οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν [8]). Οἶδα τὸν εἰπόντα· «αὕτη δέ ἐςιν ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσί σε, τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέςειλας Ἰησοῦν Χριςόν» [9]). Πιςεύω εἰς ἕνα Θεὸν, μίαν τῶν πάντων ἀρχὴν, ἄναρχον, ἄκτιςον, ἀνώλεθρον καὶ ἀθάνατον, αἰώνιον καὶ ἀΐδιον, ἀκατάληπτον, ἀσώματον, ἀόρατον, ἀπερίγραπτον, ἀσχημάτιςον, μίαν ὑπερούσιον οὐσίαν, ὑπέρθεον θεότητα, ἐν τρισὶν ὑποςάσεσι, Πατρὶ, καὶ Υἱῷ, καὶ ἁγίῳ Πνεύματι, καὶ τούτῳ μόνῳ λατρεύω, καὶ τούτῳ μόνῳ προσάγω τὴν τῆς λατρείας προσκύνησιν. Ἑνὶ Θεῷ προσκυνῶ, μιᾷ θεότητι· ἀλλὰ καὶ Τριάδι λατρεύω ὑποςάσεων, Θεῷ Πατρὶ, καὶ Θεῷ Υἱῷ σεσαρκωμένῳ, καὶ Θεῷ ἁγίῳ Πνεύματι, ἑνὶ Θεῷ. Οὐ προσκυνῶ τῇ κτίσει παρὰ τὸν κτίσαντα, ἀλλὰ προσκυνῶ τὸν κτί-

---

[1]) Разумѣется современный патріархъ Константинопольскій св. Германъ († 740 г.).

[2]) 1 Кор. 2. 5. [3]) Втор. 6. 4. [4]) Втор. 6. 13. [5]) Исх. 20. 3. [6]) Пс. 96. 7. [7]) Іер. 10. 11. [8]) Евр. 1. 1. [9]) Іоан. 17. 2.

την, κτισθέντα τὸ κατ' ἐμὲ καὶ εἰς κτίσιν ἀταπεινώτως καὶ ἀκαθαιρέτως κατεληλυθότα, ἵνα τὴν ἐμὴν δοξάσῃ φύσιν καὶ θείας κοινωνὸν ἀπεργάσηται φύσεως. Συμπροσκυνῶ τῷ βασιλεῖ καὶ Θεῷ τὴν ἁλουργίδα τοῦ σώματος, οὐχ ὡς ἱμάτιον, οὐδὲ ὡς τέταρτον πρόσωπον· ἄπαγε· ἀλλ' ὡς ὁμόθεον χρηματίσασαν, καὶ γενομένην ὅπερ τὸ χρίσαν ἀμεταβλήτως [1]). Οὐ γὰρ θεότης ἡ φύσις γέγονε τῆς σαρκὸς, ἀλλ' ὥσπερ ὁ Λόγος σὰρξ ἀτρέπτως γέγονε, μείνας ὅπερ ἦν, οὕτω καὶ ἡ σὰρξ Λόγος γέγονεν, οὐκ ἀπολέσασα τοῦθ' ὅπερ ἐςὶ, ταυτιζομένη δὲ μᾶλλον πρὸς τὸν Λόγον καθ' ὑπόςασιν. Διὸ θαῤῥῶν εἰκονίζω Θεὸν τὸν ἀόρατον, οὐχ ὡς ἀόρατον, ἀλλ' ὡς ὁρατὸν δι' ἡμᾶς γενόμενον, μεθέξει σαρκός τε καὶ αἵματος [2]). Οὐ τὴν ἀόρατον εἰκονίζω θεότητα, ἀλλ' εἰκονίζω Θεοῦ τὴν ὁραθεῖσαν σάρκα. Εἰ γὰρ ψυχὴν εἰκονίσαι ἀμήχανον, πόσῳ μᾶλλον Θεὸν, τὸν καὶ τῇ ψυχῇ δόντα τὸ ἄϋλον;

5. Ἀλλά, φησιν, εἶπεν ὁ Θεὸς διὰ Μωϋσέως τοῦ νομοθέτου· «Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις»· καί· «οὐ ποιήσεις πᾶν ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ, καὶ ὅσα ἐν τῇ γῇ». Ἀδελφοί, ὄντως πλανῶνται οἱ μὴ εἰδότες τὰς Γραφὰς, ὡς τὸ γράμμα ἀποκτείνει, τὸ δὲ πνεῦμα ζωοποιεῖ· οἱ μὴ ἐρευνῶντες τὸ ὑπὸ τῷ γράμματι κεκρυμμένον πνεῦμα [3]). Πρὸς οὓς ἂν ἀξίως εἴποιμι· ὁ τοῦτο διδάξας ὑμᾶς, διδαξάτω καὶ τὸ ἑπόμενον. Μάθε, ὅπως ἑρμηνεύει ὁ νομοθέτης ὧδέ πως ἐν τῷ Δευτερονομίῳ λέγων· «καὶ ἐλάλησε Κύριος πρὸς ὑμᾶς ἐκ μέσου τοῦ πυρός· φωνὴν ῥημάτων ὑμεῖς ἠκούσατε, καὶ ὁμοίωμα οὐκ εἴδετε, ἀλλ' ἢ φωνήν». Καὶ μετ' ὀλίγα· «καὶ φυλάξασθε σφόδρα τὰς ψυχὰς ὑμῶν, ὅτι ὁμοίωμα οὐκ εἴδετε ἐν τῇ ἡμέρᾳ, ᾗ ἐλάλησε Κύριος πρὸς ὑμᾶς ἐν Χωρὴβ ἐν τῷ ὄρει, ἐκ μέσου τοῦ πυρὸς, μήποτε ἀνομήσητε καὶ ποιήσητε ὑμῖν ἑαυτοῖς γλυπτὸν ὁμοίωμα, πᾶσαν εἰκόνα, ὁμοίωμα ἀρσενικοῦ ἢ θηλυκοῦ, ὁμοίωμα παντὸς κτήνους τῶν ὄντων ἐπὶ τῆς γῆς, ὁμοίωμα παντὸς ὀρνέου πτερωτοῦ», καὶ τὰ ἑξῆς. Καὶ μετὰ βραχέα· «καὶ μήποτε ἀναβλέψας εἰς τὸν οὐρανὸν, καὶ ἰδὼν τὸν ἥλιον, καὶ τὴν σελήνην, καὶ τοὺς ἀςέρας,

[1]) Тѣло, принятое І. Христомъ, безъ измѣненія человѣческой тѣлесности, сдѣлалось тѣмъ же, что самъ Христосъ (ὅπερ τὸ χρίσαν).

[2]) Евр. 2. 14. [3]) 2 Кор. 3. 6.

καὶ πάντα τὸν κόσμον τοῦ οὐρανοῦ, πλανηθεὶς προσκυνήσῃς αὐτοῖς καὶ λατρεύσῃς αὐτοῖς» [1]).

6. Ὁρᾷς, ὡς εἷς ἐστιν ὁ σκοπὸς, ὥστε μὴ λατρεῦσαι τῇ κτίσει παρὰ τὸν κτίσαντα, μηδὲ προσαγαγεῖν τὴν τῆς λατρείας προσκύνησιν, ἀλλ' ἢ μόνῳ τῷ δημιουργῷ; διὸ πανταχῇ συνάπτει τῇ προσκυνήσει τὴν λατρείαν. Πάλιν γάρ φησιν· «οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι, πλὴν ἐμοῦ· οὐ ποιήσεις ἑαυτῷ γλυπτὸν, οὐδὲ πᾶν ὁμοίωμα. οὐδὲ προσκυνήσεις αὐτοῖς, οὐδ' οὐ μὴ λατρεύσῃς αὐτοῖς, ὅτι ἐγώ εἰμι Κύριος ὁ Θεὸς ὑμῶν» [2]). Καὶ πάλιν· «τοὺς βωμοὺς αὐτῶν καθελεῖτε, καὶ τὰς στήλας αὐτῶν συντρίψετε, καὶ τὰ ἄλση αὐτῶν ἐκκόψετε, καὶ τὰ γλυπτὰ τῶν θεῶν αὐτῶν κατακαύσετε πυρί· οὐ γὰρ μὴ προσκυνήσητε Θεῷ ἑτέρῳ» [3]). Καὶ μετ' ὀλίγα· «καὶ θεοὺς χωνευτοὺς οὐ ποιήσεις σεαυτῷ» [4]).

7. Ὁρᾷς, ὡς τῆς εἰδωλολατρείας ἕνεκα ἀπαγορεύει τὴν εἰκονογραφίαν, καὶ ὅτι ἀδύνατον εἰκονίζεσθαι Θεὸν, τὸν ἄποσον, καὶ ἀπερίγραπτον, καὶ ἀόρατον; «οὐ γὰρ εἶδος αὐτοῦ, φησιν, ἑωράκατε»· καθὰ καὶ Παῦλος ἑστὼς ἐν μέσῳ τοῦ Ἀρείου πάγου, φησί· «γένος οὖν ὑπάρχοντες τοῦ Θεοῦ, οὐκ ὀφείλομεν νομίζειν, χρυσίῳ, ἢ ἀργυρίῳ, ἢ λίθῳ, χαράγματι τέχνης καὶ ἐνθυμήσεως ἀνθρώπου, τὸ θεῖον εἶναι ὅμοιον» [5]).

8. Ἰουδαίοις μὲν, διὰ τὸ πρὸς εἰδωλολατρείαν εὐόλισθον ταῦτα νενομοθέτητο· ἡμεῖς δὲ, θεολογικῶς εἰπεῖν, οἷς ἐδόθη φυγοῦσι τὴν δεισιδαίμονα πλάνην μετὰ τοῦ Θεοῦ γενέσθαι, ἐπεγνωκόσι τὴν ἀλήθειαν, καὶ Θεῷ μόνῳ λατρεύειν, καὶ τῆς θεογνωσίας καταπλουτῆσαι τὴν τελειότητα, καὶ εἰς ἄνδρα καταντῆσαι τέλειον [6]), παρελθοῦσι τὴν νηπιότητα, οὐκ ἔτι ὑπὸ παιδαγωγόν ἐσμεν [7]), λαβόντες τὴν διακριτικὴν ἕξιν παρὰ Θεοῦ, καὶ εἰδότες τί τὸ εἰκονιζόμενον, καὶ τί τὸ εἰκόνι μὴ περιγραφόμενον. «Οὐ γὰρ εἶδος αὐτοῦ, φησιν, ἑωράκατε». Βαβαὶ τῆς σοφίας τοῦ νομοθέτου! Πῶς εἰκονισθήσεται τὸ ἀόρατον; πῶς εἰκασθήσεται τὸ ἀνείκαστον; πῶς γραφήσεται τὸ ἄποσον, καὶ ἀμέγεθες, καὶ ἀόριστον; πῶς ποιωθήσεται τὸ ἀνείδεον; πῶς χρωματουργηθήσεται τὸ

---

[1]) Втор. 4. 12—19. [2]) Втор. 5. 8, 9. [3]) Втор. 12. 3. [4]) Исх. 34. 17. [5]) Дѣян. 17. 29. [6]) Еф. 4. 13. [7]) Гал. 3. 25.

ἀσώματον; τί οὖν τὸ μυστικῶς μηνυόμενον; δῆλον ὡς, ὅταν ἴδῃς διά σε γενόμενον ἄνθρωπον τὸν ἀσώματον, τότε δράσεις τῆς ἀνθρωπίνης μορφῆς τὸ ἐκτύπωμα· ὅταν ὁρατὸς σαρκὶ ὁ ἀόρατος γένηται, τότε εἰκονίσεις τὸ τοῦ ὁραθέντος ὁμοίωμα· ὅτε ὁ ἀσώματος καὶ ἀσχημάτιστος, ἄποσός τε καὶ ἀπήλικος, καὶ ἀμεγέθης τῇ ὑπεροχῇ τῆς ἑαυτοῦ φύσεως, ὁ ἐν μορφῇ Θεοῦ ὑπάρχων, μορφὴν δούλου λαβὼν ταύτῃ συςαλῇ πρὸς ποσότητά τε καὶ πηλικότητα, καὶ χαρακτῆρα περιθῆται σώματος, τότε ἐν πίναξι χάραττε, καὶ ἀνατίθει πρὸς θεωρίαν τὸν ὁραθῆναι καταδεξάμενον. Χάραττε τούτου τὴν ἄφατον συγκατάβασιν, τὴν ἐκ Παρθένου γέννησιν, τὴν ἐν Ἰορδάνῃ βάπτισιν, τὴν ἐν Θαβὼρ μεταμόρφωσιν, τὰ πάθη τὰ τῆς ἀπαθείας πρόξενα, τὸν θάνατον, τὰ θαύματα, τὰ τῆς θείας αὐτοῦ σύμβολα φύσεως, δι' ἐνεργείας σαρκὸς ἐνεργείᾳ θείᾳ πραττόμενα, τὸν ςαυρὸν τον σωτήριον, τὴν ταφὴν, τὴν ἀνάςασιν, τὴν εἰς οὐρανοὺς ἄνοδον· πάντα γράφε, καὶ λόγῳ, καὶ χρώμασι. Μὴ φοβοῦ, μὴ δέδιθι· οἶδα διαφορὰν προσκυνήσεως. Προσεκύνησε ποτὲ Ἀβραὰμ τοῖς υἱοῖς Ἐμμὼρ, ὅτε τὸ σπήλαιον τὸ διπλοῦν εἰς τάφου κλῆρον ὠνήσατο. ἀνδράσιν ἀσεβέσι καὶ ἀγνωσίαν νοσοῦσι Θεοῦ [1]· προσεκύνησεν Ἰακὼβ Ἡσαῦ τῷ ἀδελφῷ, καὶ Φαραὼ ἀνδρὶ Αἰγυπτίῳ, ἀλλὰ μὴν καὶ ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου· προσεκύνησε μὲν, ἀλλ οὐκ ἐλάτρευσε· προσεκύνησαν Ἰησοῦς ὁ τοῦ Ναυῆ καὶ Δανιὴλ ἀγγέλῳ Θεοῦ, ἀλλ' οὐκ ἐλάτρευσαν. Ἕτερον γαρ ἐςιν ἡ τῆς λατρείας προσκύνησις, καὶ ἕτερον ἡ ἐκ τιμῆς προσαγομένη τοῖς κατά τι ἀξίωμα ὑπερέχουσιν.

9. Ἀλλ' ἐπειδὴ περὶ εἰκόνος ὁ λόγος καὶ προσκυνήσεως, φέρε τὸν περὶ τούτων λόγον διευκρινήσωμεν. Εἰκὼν μὲν οὖν ἐςιν ὁμοίωμα χαρακτηρίζον τὸ πρωτότυπον, μετὰ τοῦ καί τινα διαφορὰν ἔχειν πρὸς αὐτό. Οὐ γὰρ κατὰ πάντα ἡ εἰκὼν ὁμοιοῦται πρὸς τὸ ἀρχέτυπον. Εἰκὼν τοίνυν ζῶσα, φυσικὴ καὶ ἀπαράλλακτος τοῦ ἀοράτου Θεοῦ, ὁ Υἱὸς [2], ὅλον ἐν ἑαυτῷ φέρων τὸν Πατέρα, κατὰ πάντα ἔχων τὴν πρὸς αὐτὸν ταυτότητα, μόνῳ δὲ διαφέρων τῷ αἰτιατῷ. Αἴτιον μὲν γὰρ φυσικὸν, ὁ Πατήρ· αἰτιατὸν δὲ, ὁ Υἱός. Οὐ γὰρ Πατὴρ ἐξ Υἱοῦ, ἀλλὰ Υἱὸς ἐκ τοῦ Πα-

---

[1]) Быт. 23. 7 Дѣян. 7. 16. [2]) Кол. 1. 15. 2 Кор. 4. 4.

τρός. Ἐξ αὐτοῦ γὰρ, εἰ καὶ μὴ μετ' αὐτὸν, ἔχει τὸ εἶναι ὅπερ ἐςὶν ὁ γεννήσας Πατήρ.

10. Εἰσὶ δὲ καὶ ἐν τῷ Θεῷ εἰκόνες καὶ παραδείγματα τῶν ὑπ' αὐτοῦ ἐσομένων, τουτέςιν, ἡ βουλὴ αὐτοῦ ἡ προαιώνιος, καὶ ἀεὶ ὡσαύτως ἔχουσα. Ἄτρεπτον γὰρ τὸ θεῖον κατὰ πάντα, καὶ οὐκ ἔςιν ἐν αὐτῷ μεταβολὴ, ἢ τροπῆς ἀποσκίασμα [1]). Ταύτας τὰς εἰκόνας καὶ τὰ παραδείγματα προορισμοὺς φησιν ὁ ἅγιος Διονύσιος, ὁ πολὺς τὰ θεῖα, καὶ μετὰ Θεοῦ τὰ περὶ Θεοῦ διασκεψάμενος [2]). Ἐν γὰρ τῇ βουλῇ αὐτοῦ ἐχαρακτηρίζετο πάντα τὰ ὑπ' αὐτοῦ προωρισμένα, καὶ ἀπαραβάτως ἐσόμενα πρὶν γενέσεως αὐτῶν· ὥσπερ εἴ τις βούλοιτο οἰκοδομῆσαι οἶκον, ἀνατυποῖ καὶ εἰκονίζει πρῶτον τὸ σχῆμα κατὰ διάνοιαν.

11. Εἶτα πάλιν, εἰκόνες εἰσὶ τὰ ὁρατὰ τῶν ἀοράτων καὶ ἀτυπώτων, σωματικῶς τυπουμένων πρὸς ἀμυδρὰν κατανόησιν. Καὶ γὰρ ἡ θεία Γραφὴ τύπους Θεῷ καὶ ἀγγέλοις περιτίθησι, καὶ τὴν αἰτίαν διδάσκει ὁ αὐτὸς θεῖος ἀνήρ [3]). Ὅτι μὲν γὰρ εἰκότως προβέβληνται τῶν ἀτυπώτων οἱ τύποι, καὶ τὰ σχήματα τῶν ἀσχηματίςων, οὐ μόνον αἰτίαν φαίη τις εἶναι τὴν καθ' ἡμᾶς ἀναλογίαν, ἀδυνατοῦσαν ἀμέσως ἐπὶ τὰς νοητὰς ἀνατείνεσθαι θεωρίας, καὶ δεομένην οἰκείων καὶ συμφυῶν ἀναγωγῶν. Εἰ τοίνυν τῆς ἡμῶν προνοῶν ἀναλογίας ὁ θεῖος λόγος, πάντοθεν τὸ ἀνατατικὸν ἡμῖν πορίζόμενος, καὶ τοῖς ἁπλοῖς καὶ ἀτυπώτοις τύπους τινὰς περιτίθησι, πῶς μὴ εἰκονίζει τὰ μεμορφωμένα κατὰ τὴν οἰκείαν φύσιν, καὶ ποθούμενα μὲν, διὰ δὲ τὸ μὴ παρεῖναι ὁρᾶσθαι μὴ δυνάμενα; διὰ γὰρ τῆς αἰσθήσεως φαντασία τις συνίςαται ἐν τῇ ἔμπροσθεν κοιλίᾳ τοῦ ἐγκεφάλου, καὶ οὕτω τῷ κριτικῷ [4]) παραπέμπεται, καὶ τῇ μνήμῃ ἐνθησαυρίζεται. Φησὶ γοῦν καὶ ὁ θεοῤῥήμων Γρηγόριος, ὅτι πολλὰ κάμνων ὁ νοῦς ἐκβῆναι τὰ σωματικὰ, πάντη ἀδυνατεῖ [5])· ἀλλὰ καὶ τὰ ἀόρατα τοῦ Θεοῦ

---

[1]) Іак. 1. 17.

[2]) Св. Діонисій Ареопагитъ, апостольскій мужъ, въ сочиненіи «объ именахъ Божіихъ» гл. 5.

[3]) Св. Діонисій Ареопагитъ въ сочиненія «о небесной іерахіи» гл. 1.

[4]) Т. е. разсудку или уму.

[5]) Св. Григорія Богослова «о Богословіи» Слов. 2.

ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται [1]). Ὁρῶμεν γὰρ εἰκόνας ἐν τοῖς κτίσμασι μηνυούσας ἡμῖν ἀμυδρῶς τὰς θείας ἐμφάσεις· ὡς ὅτε λέγομεν, τὴν ἁγίαν Τριάδα τὴν ὑπεράρχιον εἰκονίζεσθαι δι' ἡλίου, καὶ φωτός, καὶ ἀκτῖνος· ἢ πηγῆς ἀναβλυζούσης, καὶ πηγαζομένου νάματος, καὶ προχοῆς· ἢ νοῦ, καὶ λόγου, καὶ πνεύματος τοῦ καθ' ἡμᾶς· ἢ ῥόδου φυτοῦ, καὶ ἄνθου, καὶ εὐωδίας.

12. Πάλιν, εἰκὼν λέγεται ἡ τῶν ἐσομένων αἰνιγματωδῶς σκιαγραφοῦσα τὰ μέλλοντα, ὡς ἡ κιβωτὸς τὴν ἁγίαν Παρθένον καὶ Θεοτόκον, καὶ ἡ ῥάβδος, καὶ ἡ ςάμνος· καὶ ὡς ὁ ὄφις, τὸν τὸ δῆγμα διὰ ςαυροῦ καταργήσαντα τοῦ ἀρχεκάκου ὄφεως· ἥ τε θάλασσα, καὶ τὸ ὕδωρ, καὶ ἡ νεφέλη, τὸ τοῦ βαπτίσματος πνεῦμα [2]).

13. Πάλιν, εἰκὼν λέγεται τῶν γεγονότων, ἢ κατά τινος θαύματος μνήμην, ἢ τιμῆς, ἢ αἰσχύνης, ἢ ἀρετῆς, ἢ κακίας, πρὸς τὴν ὕςερον τῶν θεωμένων ὠφέλειαν, ὡς ἂν τὰ μὲν κακὰ φεύγωμεν, τὰς δὲ ἀρετὰς ζηλώσωμεν. Διπλῆ δὲ αὕτη, διά τε λόγου ταῖς βίβλοις ἐγγραφομένου, ὡς ὁ Θεὸς τὸν νόμον ταῖς πλαξὶν ἐνεκόλαψε [3]) καὶ τοὺς τῶν θεοφιλῶν ἀνδρῶν βίους ἀναγράπτους γενέσθαι προσέταξε, καὶ διὰ θεωρίας αἰσθητῆς, ὡς τὴν ςάμνον καὶ τὴν ῥάβδον ἐν τῇ κιβωτῷ τεθῆναι προσέταξεν εἰς μνημόσυνον. Οὕτω καὶ νῦν τὰς εἰκόνας τῶν γεγονότων καὶ τὰς ἀρετὰς διαγράφομεν. Ἢ τοίνυν πᾶσαν εἰκόνα ἄνελε, καὶ ἀντινομοθέτει τῷ ταύτας προστάξαντι γενέσθαι· ἢ ἑκάςην δέχου, κατὰ τὸν ἑκάςῃ πρέποντα λόγον καὶ τρόπον. Εἰπόντες τοίνυν τοὺς τῆς εἰκόνος τρόπους, εἴπωμεν καὶ περὶ προσκυνήσεως.

14. Ἡ προσκύνησις ὑποπτώσεως καὶ τιμῆς ἐςι σύμβολον· καὶ ταύτης διαφόρους ἔγνωμεν τρόπους· πρώτην, τὴν κατὰ λατρείαν, ἣν προσάγομεν μόνῳ τῷ φύσει προσκυνητῷ Θεῷ· ἔπειτα, τὴν διὰ τὸν φύσει προσκυνητὸν Θεὸν προσαγομένην τοῖς αὐτοῦ φίλοις καὶ θεράπουσιν, ὡς τῷ ἀγγέλῳ Ἰησοῦς ὁ τοῦ Ναυῆ καὶ Δανιὴλ προσεκύνησαν· ἢ τοῖς Θεοῦ τόποις, ὥς φησιν ὁ Δαβίδ· «προσκυνήσωμεν εἰς τὸν τόπον, οὗ ἔςησαν οἱ πόδες αὐτοῦ» [4])· καὶ

---

[1]) Рим. 1. 20. [2]) 1 Кор. 10. 1. 2. [3]) Исх. 34. 28. [4]) Пс. 131. 7.

τοῖς αὐτοῦ ἀναθήμασιν, ὡς ἅπας ὁ Ἰσραὴλ τῇ σκηνῇ προσεκύνει, καὶ τῷ ἐν Ἱερουσαλὴμ ναῷ κύκλῳ ἑςῶτες, καὶ πρὸς αὐτὸ ἁπανταχόθεν ὁρῶντες καὶ προσκυνοῦντες εἰσέτι καὶ νῦν· ἢ τοῖς ὑπ' αὐτοῦ χειροτονηθεῖσιν ἄρχουσιν, ὡς Ἰακὼβ τῷ τε Ἡσαῦ ὡς προγενεςέρῳ ἀδελφῷ ὑπὸ Θεοῦ γενομένῳ καὶ Φαραὼ ὑπὸ Θεοῦ χειροτονηθέντι ἄρχοντι, καὶ τῷ Ἰωσὴφ οἱ αὐτοῦ ἀδελφοί. Οἶδα καὶ κατὰ τιμὴν τὴν πρὸς ἀλλήλους προσκύνησιν, ὡς Ἀβραὰμ τοῖς υἱοῖς Ἐμμώρ. Ἢ τοίνυν πᾶσαν προσκύνησιν ἄνελε, ἢ πάσας δέχου, μετὰ τοῦ ὀφείλοντος λόγου καὶ τρόπου.

15. Λέγε μοι ἐρωτῶντι· εἷς Θεὸς ὁ Θεός; ναί, φήσεις, ὡς ἐμοὶ δοκεῖ, εἷς νομοθέτης. Τί οὖν νομοθετεῖ τὰ ἐναντία; οὐ γὰρ ἔξω τῆς κτίσεως τὰ Χερουβίμ. Τί οὖν προστάττει Χερουβὶμ γλυπτά, ἀνθρώπων χερσὶ τεκταινόμενα, σκιάζειν τὸ ἱλαςήριον [1]); ἢ δῆλον, ὡς Θεοῦ μέν, ὡς ἀπεριγράπτου καὶ ἀνεικάςου ποιεῖν εἰκόνα ἀμήχανον, ἢ τινος ὡς Θεοῦ, ἵνα μὴ ὡς Θεὸς λατρευομένη προσκυνῆται ἡ κτίσις· τῶν δὲ Χερουβίμ, ὡς περιγραπτῶν, καὶ τῷ θείῳ θρόνῳ δουλοπρεπῶς παρεςώτων, τὴν εἰκόνα προστάττει ποιεῖν, δουλοπρεπῶς σκιάζουσαν τὸ ἱλαςήριον. Ἔπρεπε γὰρ τῇ εἰκόνι τῶν οὐρανίων λειτουργῶν τὴν εἰκόνα τῶν θείων μυςηρίων σκιάζεσθαι. Τί δὲ φῂς τὴν κιβωτόν, τὴν ςάμνον, τὸ ἱλαςήριον; οὐ χειρότευκτα; οὐκ ἔργα χειρῶν ἀνθρώπων; οὐκ ἐξ ἀτίμου, ὡς σὺ φῄς, ὕλης κατεσκευασμένα; τί δὲ ἡ σκηνὴ ἅπασα; οὐχὶ εἰκὼν ἦν; οὐ σκιὰ καὶ ὑπόδειγμα; φησὶ τοιγαροῦν ὁ θεῖος Ἀπόςολος περὶ τῶν κατὰ τὸν νόμον ἱερέων διεξιών· «οἵτινες ὑποδείγματι καὶ σκιᾷ λατρεύουσι τῶν ἐπουρανίων· καθὼς κεχρημάτιςαι Μωϋσῆς, μέλλων ἐπιτελεῖν τὴν σκηνήν· ὅρα γάρ, φησι, ποιήσεις κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει» [2]). Ἀλλ' οὐδὲ εἰκὼν ἦν ὁ νόμος, ἀλλ' εἰκόνος προσκίασμα· φησὶ γοῦν ὁ αὐτὸς Ἀπόςολος· «σκιὰν γὰρ ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων» [3]). Εἰ οὖν ὁ νόμος εἰκόνας ἀπαγορεύει, αὐτὸς δὲ εἰκόνος ἐςὶ προχάραγμα, τί φήσομεν; εἰ ἡ σκηνὴ σκιά, καὶ τύπου τύπος, πῶς μὴ εἰκονογραφεῖν ὁ νόμος διακελεύεται; ἀλλ' οὐκ ἔςιν οὕτω ταῦτα, οὐκ ἔςι· καιρὸς δὲ μᾶλλον τῷ παντὶ πράγματι [4]).

[1]) Исх. 35. 18. [2]) Евр. 8. 5. [3]) Евр. 10. 1. [4]) Екк. 2. 1.

16. Πάλαι μὲν ὁ Θεὸς, ὁ ἀσώματός τε καὶ ἀσχημάτιστος, οὐδαμῶς εἰκονίζετο. Νῦν δὲ σαρκὶ ὀφθέντος Θεοῦ, καὶ τοῖς ἀνθρώποις συναναστραφέντος, εἰκονίζω Θεοῦ τὸ ὁρώμενον. Οὐ προσκυνῶ τῇ ὕλῃ, προσκυνῶ δὲ τὸν τῆς ὕλης δημιουργὸν, τὸν ὕλην δι᾿ ἐμὲ γενόμενον, καὶ ἐν ὕλῃ κατοικῆσαι καταδεξάμενον, καὶ δι᾿ ὕλης τὴν σωτηρίαν μου ἐργασάμενον, καὶ σέβων οὐ παύσομαι τὴν ὕλην, δι᾿ ἧς ἡ σωτηρία μου εἴργασται· σέβω δὲ οὐχ ὡς Θεόν· ἄπαγε· πῶς γὰρ τὸ ἐξ οὐκ ὄντων τὴν γένεσιν ἐσχηκὸς, Θεός; εἰ καὶ τὸ τοῦ Θεοῦ σῶμα Θεὸς, διὰ τὴν καθ᾿ ὑπόστασιν ἕνωσιν γεγονὸς ἀμεταβλήτως ὅπερ τὸ χρίσαν, καὶ μεῖναν ὅπερ ἦν τῇ φύσει, σὰρξ ἐψυχωμένη ψυχῇ λογικῇ τε καὶ νοερᾷ, ἠργμένη, οὐκ ἄκτιστος. Τὴν δέ γε λοιπὴν ὕλην σέβω καὶ δι᾿ αἰδοῦς ἄγω, δι᾿ ἧς ἡ σωτηρία μου γέγονεν, ὡς θείας ἐνεργείας καὶ χάριτος ἔμπλεων. Ἢ οὐχ ὕλη τὸ τοῦ σταυροῦ ξύλον, τὸ τρισόλβιον καὶ τρισμακάριστον; ἢ οὐχ ὕλη τὸ ὄρος τὸ σεπτὸν καὶ ἅγιον; ὁ τοῦ Κρανίου τόπος; ἢ οὐχ ὕλη ἡ φερέσβιος πέτρα καὶ ζωηφόρος, ὁ τάφος ὁ ἅγιος, ἡ πηγὴ τῆς ἡμῶν ἀναστάσεως; ἢ οὐχ ὕλη τὸ μέλαν καὶ ἡ τῶν Εὐαγγελίων παναγία βίβλος; ἢ οὐχ ὕλη ἡ ζωηφόρος τράπεζα, ἡ τὸν ἄρτον ἡμῖν τῆς ζωῆς χορηγοῦσα; ἢ οὐχ ὕλη ὁ χρυσός τε καὶ ὁ ἄργυρος, ἐξ ὧν σταυροὶ καὶ πίνακες κατασκευάζονται καὶ ποτήρια; ἢ οὐχ ὕλη πρὸ τούτων ἁπάντων τὸ τοῦ Κυρίου ἡμῶν σῶμα καὶ αἷμα; ἢ πάντων τούτων ἄνελε τὸ σέβας καὶ τὴν προσκύνησιν, ἢ παραχώρει τῇ ἐκκλησιαστικῇ παραδόσει καὶ τὴν τῶν εἰκόνων προσκύνησιν Θεοῦ καὶ φίλων Θεοῦ ὀνόματι ἁγιαζομένων, καὶ διὰ τοῦτο θείου Πνεύματος ἐπισκιαζομένων χάριτι. Μὴ κάκιζε τὴν ὕλην· οὐ γὰρ ἄτιμος. Οὐδὲν γὰρ ἄτιμον, ὃ παρὰ Θεοῦ γεγένηται· τῶν Μανιχαίων τοῦτο τὸ φρόνημα· μόνον δὲ ἄτιμον, ὃ μὴ τὴν αἰτίαν ἔσχεν ἐκ Θεοῦ, ἀλλ᾿ ἡμέτερόν ἐστιν εὕρεμα, τῇ ἐκ τοῦ κατὰ φύσιν εἰς τὸ παρὰ φύσιν αὐτεξουσίῳ ἐκκλίσει τε καὶ ῥοπῇ τοῦ θελήματος, τουτέστιν ἡ ἁμαρτία. Εἰ διὰ τὸν νόμον τὰς εἰκόνας ἀτιμάζεις καὶ ἀπαγορεύεις, ὡς ἐξ ὕλης κατεσκευασμένας, ὅρα τί φησιν ἡ Γραφή· «καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν, λέγων· ἰδοὺ ἀνακέκληκα ἐξ ὀνόματος Βεσελεὴλ τὸν τοῦ Ὢρ, ἐκ φυλῆς Ἰούδα· καὶ ἐνέπλησα αὐτὸν πνεῦμα θεῖον, σοφίας, καὶ συνέσεως, καὶ ἐπιστήμης ἐν παντὶ

ἔργῳ διανοεῖσθαι, καὶ ἀρχιτεκτονεῖν, καὶ ἐργάζεσθαι τὸ χρυσίον, καὶ τὸ ἀργύριον, καὶ τὸν χαλκὸν, καὶ τὴν ὑάκινθον, καὶ τὴν πορφύραν, καὶ τὸ κόκκινον τὸ νηστὸν, καὶ τὴν βύσσον τὴν κεκλωσμένην, καὶ τὰ λιθουργικὰ εἰς τὰ ἔργα, καὶ τὰ τεκτονικὰ εἰς τὰ ξύλα, ἐργάζεσθαι κατὰ πάντα τὰ ἔργα· καὶ ἐγὼ δέδωκα αὐτὸν, καὶ τὸν Ἐλιὰβ τὸν τοῦ Ἀχισαμὰχ, ἐκ φυλῆς Δάν· καὶ παντὶ συνετῷ καρδίᾳ ἐγὼ δέδωκα σύνεσιν, καὶ ποιήσουσι πάντα ὅσα σοι συνέταξα» [1]). Καὶ πάλιν· «εἶπε Μωϋσῆς πρὸς πᾶσαν συναγωγὴν υἱῶν Ἰσραὴλ· ἀκούσατε τοῦτο τὸ ῥῆμα, ὃ συνέταξε Κύριος λέγων· λάβετε παρ' ὑμῶν αὐτῶν ἀφαίρεμα τῷ Κυρίῳ· πᾶς ὁ καταδεχόμενος τῇ καρδίᾳ, οἴσουσι τὰς ἀπαρχὰς τῷ Κυρίῳ, χρυσίον, ἀργύριον, χαλκὸν, ὑάκινθον, πορφύραν, κόκκινον διπλοῦν διανενησμένον, καὶ βύσσον κεκλωσμένην, καὶ τρίχας αἰγείας, καὶ δέρματα κριῶν ἠρυθροδανωμένα, καὶ δέρματα ὑακίνθινα, καὶ ξύλα ἄσηπτα, καὶ ἔλαιον τῆς χρίσεως, καὶ τὸ θυμίαμα τῆς συνθέσεως, καὶ λίθους σαρδίους, καὶ λίθους εἰς τὴν γλυφὴν, καὶ εἰς τὴν ἐπωμίδα, καὶ εἰς τὸν ποδήρη· καὶ πᾶς σοφὸς καρδίᾳ ἐν ὑμῖν, ἐλθὼν ἐργαζέσθω πάντα ὅσα συνέταξε Κύριος, τὴν σκηνὴν» [2]), καὶ τὰ ἑξῆς. Ἰδοὺ δὴ ἡ ὕλη τιμία, κἂν καθ' ὑμᾶς ἄτιμος. Τί γὰρ τριχῶν αἰγείων εὐτελέστερον, ἢ χρωμάτων; ἢ οὐ χρῶμα τὸ κόκκινον, καὶ ἡ πορφύρα, καὶ ἡ ὑάκινθος; ἰδοὺ δὴ καὶ τὰ ἔργα χειρῶν ἀνθρώπων, καὶ ὁμοίωμα Χερουβίμ. Πῶς οὖν διὰ τὸν νόμον ἀπαγορεύεις, ἃ ποιεῖν ὁ νόμος προσέταξεν; εἰ διὰ τὸν νόμον τὰς εἰκόνας ἀπαγορεύεις, ὥρα σοι καὶ σαββατίζειν, καὶ περιτέμνεσθαι. Ἀλλ' ἴσθι ὡς, «ἐὰν τὸν νόμον τηρεῖτε, Χριστὸς οὐδὲν ὑμᾶς ὠφελήσει· οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσατε» [3]). Οὐχ ἑώρα Θεὸν ὁ πάλαι Ἰσραὴλ, ἡμεῖς δὲ ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμεθα.

17. Καὶ αἰσθητῶς μὲν τὸν αὐτοῦ χαρακτῆρα προτίθεμεν ἁπανταχῆ, καὶ τὴν πρώτην [4]) ἁγιαζόμεθα· πρώτη γὰρ αἰσθήσεων, ὅρασις· ὥσπερ καὶ τοῖς λόγοις, τὴν ἀκοήν· ὑπόμνημα γάρ ἐστιν ἡ εἰκών· καὶ ὅπερ τοῖς γράμμασι μεμνημένοις ἡ βίβλος,

---

[1]) Исх. 31. 1—6. [2]) Исх. 35. 4—11. [3]) Гал. 5. 2—4.

[4]) Подразумѣвается: αἴσθησιν.

τοῦτο καὶ τοῖς ἀγραμμάτοις ἡ εἰκών· καὶ ὅπερ τῇ ἀκοῇ ὁ λόγος, τοῦτο τῇ ὁράσει ἡ εἰκών· νοητῶς δὲ αὐτῇ ἑνούμεθα. Διὰ τοῦτο προσέταξεν ὁ Θεὸς γενέσθαι κιβωτὸν ἐκ ξύλων ἀσήπτων, καὶ καταχρυσῶσαι αὐτὴν ἔσωθεν καὶ ἔξωθεν, καὶ ἐνθεῖναι τὰς πλάκας, καὶ τὴν ῥάβδον, καὶ τὴν ςάμνον τὴν χρυσῆν, ἔχουσαν τὸ μάννα πρὸς ὑπόμνησιν τῶν γεγονότων καὶ προτύπωσιν τῶν μελλόντων. Καὶ τίς οὐκ ἐρεῖ ταῦτα εἰκόνας, διαπρυσίους τε κήρυκας; καὶ ταῦτα οὐκ ἐκ πλαγίων ἔκειτο τῆς σκηνῆς, ἀλλὰ κατενώπιον παντὸς τοῦ λαοῦ, πρὸς ἃ ἀποβλέποντες, τῷ δι᾽ αὐτῶν ἐνεργήσαντι Θεῷ προσέφερον τὴν προσκύνησιν καὶ τὴν λατρείαν. Δῆλον ὡς οὐχ ὡς αὐτοῖς λατρεύοντες, ἀλλὰ δι᾽ αὐτῶν εἰς ὑπόμνησιν τῶν θαυμάτων ἀγόμενοι, καὶ τῷ τερατουργῷ Θεῷ τὴν προσκύνησιν νέμοντες. Εἰκόνες γὰρ ἦσαν πρὸς ὑπόμνησιν κείμενοι, οὐχ ὡς θεοί, ἀλλ᾽ ὡς θείας ἐνεργείας ὑπόμνησιν ἄγουσαι.

18. Καὶ δώδεκα λίθους προσέταξεν ὁ Θεὸς ληφθῆναι ἐκ τοῦ Ἰορδάνου, καὶ τὴν αἰτίαν προστίθησι· φησὶ γάρ· «ὅταν ἐρωτᾷ σε ὁ υἱός σου, τί εἰσιν οἱ λίθοι οὗτοι, διηγοῦ πῶς ἐξέλιπε τὸ ὕδωρ τοῦ Ἰορδάνου θείᾳ προστάξει, καὶ διέβη ἡ κιβωτὸς τοῦ Κυρίου, καὶ πᾶς ὁ λαός» [1]). Πῶς οὖν ἡμεῖς οὐκ εἰκονογραφήσομεν τὰ σωτήρια πάθη καὶ θαύματα Χριςοῦ τοῦ Θεοῦ, ἵνα, ὅταν ἐρωτᾷ με ὁ υἱός μου, τί τοῦτό ἐςιν, ἐρῶ ὅτι ὁ Θεὸς Λόγος ἄνθρωπος γέγονε, καὶ δι᾽ αὐτοῦ οὐχὶ Ἰσραὴλ μόνος τὸν Ἰορδάνην διῆλθεν, ἀλλ᾽ ἡ φύσις ἅπασα πρὸς τὴν ἀρχαίαν ἐπανῆλθε μακαριότητα· δι᾽ οὗ ἡ φύσις ἐκ τῶν κατωτάτω τῆς γῆς ἀνῆλθεν ὑπεράνω πάσης ἀρχῆς, καὶ ἐν αὐτῷ τῷ πατρικῷ κεκάθικε θρόνῳ.

19. Ἀλλά φησι· ποίει Χριςοῦ εἰκόνα, καὶ ἀρκέσθητι. ἢ τῆς τούτου Μητρὸς τῆς Θεοτόκου. Ὢ τῆς ἀτοπίας! ἐχθρὸν σεαυτὸν διαρρήδην τῶν ἁγίων καθωμολόγησας. Εἰ γὰρ Χριςοῦ μὲν εἰκόνα ποιεῖς, τῶν δὲ ἁγίων οὐδαμῶς, δῆλον ὡς οὐχὶ τὴν εἰκόνα ἀπαγορεύεις, ἀλλὰ τὴν τῶν ἁγίων τιμήν. Του Χριςοῦ γάρ, ὡς δεδοξασμένου, ποιεῖς εἰκόνας, τῶν δὲ ἁγίων, ὡς ἀδοξάσων, ἀποποιεῖς τὸ ἀπεικόνισμα, καὶ ψευδῆ τὴν ἀλήθειαν ἀποκαλεῖς.

[1]) Іис. Нав. 4. 21.

«Ζῶ γαρ ἐγὼ, λέγει Κύριος, ἀλλ' ἢ τοὺς δοξαζοντάς με δοξάσω» [1]). Καὶ ὁ θεῖος Ἀπόςολος· «ὥςε οὐκέτι εἶ δοῦλος, ἀλλὰ υἱός· εἰ δὲ υἱὸς, καὶ κληρονόμος Θεοῦ διὰ Χριςοῦ» [2]). Καὶ· «εἴπερ συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν» [3]). Οὐ κατὰ τῶν εἰκόνων ἦρω τῶν πόλεμον, ἀλλὰ κατὰ τῶν ἁγίων. Φησὶ γὰρ Ἰωάννης ὁ Θεολόγος καὶ ἐπιςήθιος· «ὅτι ὅμοιοι αὐτῷ ἐσόμεθα» [4]). Ὥσπερ ὁ τῷ πυρὶ ἑνούμενος, οὐ τῇ φύσει, ἀλλὰ τῇ ἑνώσει, καὶ πυρώσει, καὶ μεθέξει πῦρ γίνεται, οὕτω καὶ τὴν σάρκα φημὶ τοῦ σαρκωθέντος Υἱοῦ τοῦ Θεοῦ. Ἐκείνη γὰρ, τῇ καθ' ὑπόςασιν μεθέξει τῆς θείας φύσεως, ἀτρέπτως Θεὸς ἐχρημάτισεν· οὐκ ἐνεργείᾳ χρισθεῖσα Θεοῦ, ὥσπερ τῶν προφητῶν ἕκαςος, παρουσίᾳ δὲ ὅλου τοῦ χρίοντος. Ὅτι δὲ Θεὸς, καὶ θεοὶ οἱ ἅγιοι, «ὁ Θεὸς, φησιν, ἔςη ἐν συναγωγῇ θεῶν» [5]). Καὶ ὅτι ἵςαται Θεὸς ἐν μέσῳ θεῶν, τὰς ἀξίας διαιρῶν, ὡς ἑρμηνεύων φησὶν ὁ θεῖος Γρηγόριος [6]). Οἱ γὰρ ἅγιοι καὶ ζῶντες πεπληρωμένοι ἦσαν Πνεύματος ἁγίου, καὶ τελευτησάντων αὐτῶν, ἡ χάρις τοῦ ἁγίου Πνεύματος ἀνεκφοιτήτως ἔνεςι καὶ ταῖς ψυχαῖς, καὶ τοῖς σώμασιν ἐν τοῖς τάφοις, καὶ τοῖς χαρακτῆρσι, καὶ ταῖς ἁγίαις εἰκόσιν αὐτῶν, οὐ κατ' οὐσίαν, ἀλλὰ χάριτι καὶ ἐνεργείᾳ.

20. Ὃν δὲ τῷ Δαβὶδ ἐπηγγείλατο ὁ Θεὸς οἰκοδομῆσαι αὐτῷ ναὸν διὰ τοῦ ἰδίου υἱοῦ, καὶ κατασκευάσαι τόπον ἀναπαύσεως, τοῦτον Σολομὼν οἰκοδομῶν ἐποίησε Χερουβὶμ, ὥς φησιν ἡ βίβλος τῶν Βασιλειῶν [7]). Καὶ περιέσχε τὰ Χερουβὶμ χρυσίῳ, καὶ πάντας τοὺς τοίχους κύκλῳ· καὶ κολαπτοὺς ἐνέγλυψε Χερουβὶμ, καὶ φοίνικας τῷ ἐσωτέρῳ καὶ ἐξωτέρῳ· καὶ οὐκ εἶπεν ἐκ πλαγίων, ἀλλὰ «κύκλῳ»· καὶ βόας, καὶ λέοντας, καὶ ῥοίσκους. Οὐ πολλῷ οὖν τιμιώτερον πάντας τοὺς τοίχους οἴκου Κυρίου κοσμῆσαι ἁγίων μορφαῖς καὶ εἰκονίσμασιν, ἤπερ ἀλόγων καὶ δένδρων; ποῦ ὁ διαγορεύων νόμος· «οὐ ποιήσεις πᾶν ὁμοίωμα» [8]); ἀλλὰ σοφίας χύσιν δεξάμενος Σολομὼν, οὐρανὸν εἰκονίζων, ἐποίησε Χερουβὶμ, καὶ λεόντων, καὶ βοῶν ὁμοιώματα· τοῦτο δὲ ἀπαγορεύει ὁ νόμος.

---

[1]) 1 Цар. 2. 30. [2]) Гал. 4. 7. [3]) Рим. 8. 17. [4]) 1 Іоан. 3. 2. [5]) Пс. 81. 1.

[6]) Св. Григорія Богослова Слов. 40 на св. Крещеніе.

[7]) 3 Цар. 6. 23—29. [8]) Втор. 4. 16.

Εἰ δὲ ἡμεῖς Χριςὸν εἰκονίζοντες, καὶ ποιοῦμεν τὰ τῶν ἁγίων εἰκονίσματα, οὐκ ἄρα τοῦτο πάντως εὐσεβέςερον, ὅτι καὶ Πνεύματος ἁγίου εἰσὶ πεπληρωμένα; ὥσπερ γὰρ τότε αἵματι ἡγνίζετο ὁ λαός τε, καὶ ὁ ναὸς, καὶ σποδῷ δαμάλεως, οὕτω καὶ νῦν Χριςοῦ αἵματι, μαρτυρήσαντος ἐπὶ Ποντίου Πιλάτου καὶ ἑαυτὸν ἀπαρχὴν τῶν μαρτύρων δείξαντος, ἔτι δὲ καὶ τῷ τῶν ἁγίων αἵματι, ἐφ᾿ ὧν ἡ Ἐκκλησία οἰκοδομεῖται. Καὶ τότε μὲν μορφαῖς τε καὶ ἐκτυπώμασιν ἀλόγων (ὁ ναὸς τοῦ Θεοῦ ἐκασμεῖτο, νῦν δὲ τοῖς τῶν ἁγίων εἰκονίσμασιν), ἐμψύχους καὶ λογικοὺς ναοὺς ἑαυτοὺς εἰς κατοικητήριον Θεοῦ κατεσκευακότων.

21. Ἱςοροῦμεν [1]) οὖν Χριςὸν τὸν βασιλέα καὶ Κύριον, οὐ γυμνοῦντες αὐτὸν τοῦ ςρατεύματος. Στρατὸς γὰρ τοῦ Κυρίου οἱ ἅγιοι. Γυμνωσάτω ἑαυτὸν τοῦ οἰκείου ςρατεύματος ὁ ἐπίγειος βασιλεὺς, καὶ τότε τὸν ἑαυτοῦ βασιλέα καὶ Κύριον· ἀποθέσθω τὴν ἁλουργίδα, καὶ τότε τῶν κατὰ τοῦ τυράννου [2]) ἀριςευσάντων καὶ βασιλευσάντων τῶν παθῶν τὸ σέβας περιαιρείτω. Εἰ γὰρ κληρονόμοι Θεοῦ, καὶ συγκληρονόμοι Χριςοῦ, καὶ τῆς θείας δόξης καὶ βασιλείας κοινωνοὶ ἔσονται, τῶν παθημάτων Χριςοῦ κοινωνήσαντες· πῶς οὐχὶ καὶ τῆς ἐπὶ γῆς δόξης συμμέτοχοι χρηματίσουσιν οἱ φίλοι Χριςοῦ; «οὐ λέγω ὑμᾶς δούλους, φησὶν ὁ Θεός· ὑμεῖς φίλοι μοῦ ἐςε» [3]). Τῆς οὖν δεδομένης αὐτοῖς παρὰ τῆς Ἐκκλησίας τιμῆς ἀπαμφιοῦμεν αὐτούς; ὢ θρασείας χειρός! ὢ τολμηρᾶς γνώμης, ἀντεριζούσης Θεῷ, καὶ τοῖς αὐτοῦ ἀντιπραττούσης προστάγμασιν! Οὐ προσκυνεῖς εἰκόνι, μηδὲ τῷ Υἱῷ τοῦ Θεοῦ προσκύνει, ὅς ἐςιν εἰκὼν τοῦ ἀοράτου Θεοῦ ζῶσα καὶ χαρακτὴρ ἀπαράλλακτος [4]). Προσκυνῶ Χριςοῦ εἰκόνι, ὡς σεσαρκωμένου Θεοῦ· τῆς Δεσποίνης τῶν ἁπάντων τῆς Θεοτόκου, οἷα μητρὸς τοῦ Υἱοῦ τοῦ Θεοῦ· τῶν ἁγίων, ὡς φίλων Θεοῦ, τῶν μέχρι αἵματος ἀντικαταςάντων πρὸς τὴν ἁμαρτίαν, καὶ Χριςὸν μιμησαμένων τῇ ὑπὲρ αὐτοῦ ἐκχύσει τοῦ αἵματος, τοῦ τὸ οἰκεῖον αἷμα ὑπὲρ αὐτῶν προεκχέαντος· καὶ τῶν κατ᾿

---

[1]) Ἱςορέω (отъ εἴδω), удостовѣряюсь, разсказываю достовѣрное, свидѣтельствую, выставляю на видъ.

[2]) Т. е. діавола.

[3]) Іоан 15. 13—15. [4]) Кол. 1. 15. Евр. 1. 3.

ἴχνος αὐτοῦ πολιτευσαμένων, τούτων τὰς ἀριςείας καὶ τὰ πάθη ἀναγράπτους καθίςημι, ὡς δι' αὐτῶν ἁγιαζόμενος, καὶ πρὸς ζῆλον μιμήσεως ἀλειφόμενος. Ἡ γὰρ τῆς εἰκόνος τιμὴ πρὸς τὸ πρωτότυπον διαβαίνει, φησὶν ὁ θεῖος Βασίλειος [1]. Εἰ ναοὺς ἐγείρεις ἁγίοις Θεοῦ, καὶ τὰ τούτων ἔγειρε τρόπαια. Οὐκ ἠγείρετο πάλαι ναὸς ἐπ' ἀνθρώπων ὀνόματι, οὐχ ἑορτάζετο τῶν δικαίων ὁ θάνατος, ἀλλ' ἐπενθεῖτο. Ὁ ἁπτόμενος νεκροῦ, ἀκάθαρτος ἐλογίζετο, καὶ Μωϋσέως αὐτοῦ [2]. Νῦν δὲ τῶν ἁγίων ἑορτάζεται τὰ μνημόσυνα. Ἐπενθήθη ὁ νεκρὸς τοῦ Ἰακὼβ [3], ἀλλ' ὁ Στεφάνου πανηγυρίζεται θάνατος. Ἢ τοίνυν καὶ τὰς πανηγυρικὰς μνήμας τῶν ἁγίων ἄνελε, παρὰ τὸν παλαιὸν νόμον ἀγομένας, ἢ καὶ τὰς εἰκόνας, παρὰ τὸν νόμον, ὡς φῂς, οὔσας, συγχώρησον. Ἀλλ' ἀμήχανον μὴ ἑορτάζειν τὰ τῶν ἁγίων μνημόσυνα· ὁ γὰρ τῶν ἁγίων ἀποςόλων καὶ θεοφόρων πατέρων χορὸς ταῦτα προστάττει γίνεσθαι. Ἀφ' οὗ γὰρ ὁ Θεὸς Λόγος σὰρξ ἐγένετο, ὁμοιωθεὶς ἡμῖν κατὰ πάντα χωρὶς ἁμαρτίας, καὶ ἀσυγχύτως ἐκράθη πρὸς τὸ ἡμέτερον, καὶ ἀμεταβλήτως τὴν σάρκα ἐθέωσε, διὰ τῆς ἐν ἀλλήλαις τῆς αὐτοῦ θεότητος καὶ τῆς αὐτοῦ σαρκὸς ἀσυγχύτου παραχωρήσεως, ὄντως ἡγιάσμεθα. Καὶ ἀφ' οὗ ὁ Υἱὸς τοῦ Θεοῦ καὶ Θεὸς, ὁ ἀπαθὴς ὢν τῇ θεότητι, τῷ προσλήμματι πέπονθε, καὶ τὸ ἡμέτερον ἀπέτισεν ὄφλημα, λύτρον ἐκχέας ὑπὲρ ἡμῶν ἀξιόχρεών τε καὶ ἀξιάγαςον· δυσωπητικὸν γὰρ Πατρὶ, καὶ αἰδέσιμον αἷμα Υἱοῦ· ὄντως ἠλευθερώμεθα. Καὶ ἀφ' οὗ κατελθὼν εἰς ᾅδην, ταῖς ἀπ' αἰῶνος πεπεδημέναις ψυχαῖς, ὡς αἰχμαλώτοις ἐκήρυξεν ἄφεσιν, ὡς τυφλοῖς ἀνάβλεψιν, καὶ δήσας τὸν ἰσχυρὸν [4], τῷ ὑπερέχοντι τῆς δυνάμεως ἀνέςη, τὸ ἐξ ἡμῶν αὐτῷ προσληφθὲν ἀφθαρτίσας σαρκίον, ὄντως ἠφθαρτίσμεθα. Ἀφ' οὗ τε δι' ὕδατος καὶ Πνεύματος γεγεννήμεθα, ὄντως υἱοθετήμεθα, καὶ κληρονόμοι Θεοῦ γεγενήμεμεθα. Ἐντεῦθεν τοὺς πιςοὺς ἁγίους ὁ Παῦλος καλεῖ [5]. Ἐντεῦθεν τὸν τῶν ἁγίων οὐ πενθοῦμεν, ἀλλ' ἑορτάζομεν θάνατον. Ἐντεῦθεν οὐχ ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν ἐσμὲν, δικαιωθέντες

---

[1] **Св. Василій вел. «о Святомъ Духѣ» къ Амфилохію, гл. 18.**
[2] **Числ. 19. 11.** [3] **Быт. 50. 10.** [4] **Мат. 12. 29.** [5] **1 Кор. 1. 2.**

διὰ τῆς πίςεως, καὶ Θεὸν μόνον εἰδότες τὸν ἀληθινόν· δικαίῳ δὲ νόμος οὐ κεῖται [1]). Οὐχ ὑπὸ τὰ ςοιχεῖα τοῦ νόμου ἐσμὲν, δεδουλωμένοι ὡς νήπιοι, ἀλλ' εἰς ἄνδρα καταρτισθέντες τέλειον, ςερεὰν τροφὴν τρεφόμεθα, οὐ τὴν πρὸς εἰδωλολατρείαν. Καλὸς ὁ νόμος, ὡς λύχνος φαίνων ἐν αὐχμηρῷ τόπῳ, ἀλλ' ἕως οὗ ἡ ἡμέρα διαυγάζῃ· ἤδη δὲ ἀνέτειλε φωσφόρος ἐν ταῖς καρδίαις ἡμῶν, καὶ ὕδωρ ζῶν τῆς θεογνωσίας θαλάσσας ἐθνῶν ἐπεκάλυψε, καὶ πάντες τὸν Κύριον ἔγνωμεν· «παρῆλθε τὰ παλαιά, ἰδοὺ γέγονε τὰ πάντα καινά» [2]). Φησὶ γοῦν ὁ θεῖος ἀπόςολος Παῦλος πρὸς Πέτρον, τὴν κορυφαίαν ἀκρότητα τῶν ἀποςόλων· «εἰ σὺ Ἰουδαῖος ὤν, ἐθνικῶς ζῇς, οὐχ ἰουδαϊκῶς, πῶς τὰ ἔθνη ἀναγκάζεις ἰουδαΐζειν» [3]); καὶ πρὸς Γάλατας γράφει· «μαρτύρομαι παντὶ ἀνθρώπῳ περιτεμνομένῳ, ὅτι ὀφειλέτης ἐςὶν ὅλον τὸν νόμον πληρῶσαι» [4]).

22. Πάλαι μὲν οὖν μὴ εἰδότες Θεὸν, ἐδούλευον τοῖς μὴ φύσει οὖσι θεοῖς· νῦν δὲ γνόντες Θεὸν, μᾶλλον δὲ γνωσθέντες ὑπὸ Θεοῦ, πῶς ἐπιςρέψομεν πάλιν ἐπὶ τὰ ἀσθενῆ καὶ πτωχὰ ςοιχεῖα [5]); εἶδον εἶδος Θεοῦ τὸ ἀνθρώπινον, καὶ ἐσώθη μου ἡ ψυχή. Θεωρῶ εἰκόνα Θεοῦ, ὡς εἶδεν Ἰακὼβ [6]), εἰ καὶ ἄλλως, καὶ ἄλλως· ἐκεῖνος μὲν γὰρ αὖλον, τὸ ἐσόμενον προμηνύουσαν, ἀΰλοις νοὸς ὀφθαλμοῖς, ἐγὼ δὲ τοῦ σαρκὶ ὁραθέντος, μνήμης ἐμπύρευμα. Ἡ τῶν ἀποςόλων σκιά, τὰ σουδάριά τε καὶ σιμικίνθια, νόσους ἀπήλαυνε, δαίμονας ἐφυγάδευε· καὶ πῶς ἡ σκιὰ καὶ εἰκὼν τῶν ἁγίων οὐ δοξασθήσεται; ἢ πάσης ὕλης προσκύνησιν ἄνελε, ἢ μὴ καινοτόμει, μηδὲ μέταιρε ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες σου.

23. Οὐ μόνον γράμμασι τὴν ἐκκλησιαςικὴν θεσμοθεσίαν παρέδωκαν, ἀλλὰ καὶ ἀγράφοις τισὶ παραδόσεσι. Φησὶ γοῦν ὁ θεῖος Βασίλειος ἐν εἰκοςῷ ἑβδόμῳ τῶν πρὸς Ἀμφιλόχιον περὶ τοῦ ἁγίου Πνεύματος τριάκοντα κεφαλαίων, ἐπὶ λέξεως οὕτως· «τῶν ἐν τῇ Ἐκκλησίᾳ πεφυλαγμένων δογμάτων καὶ κηρυγμάτων, τὰ μὲν ἐκ τῆς ἐγγράφου διδασκαλίας ἔχομεν, τὰ δὲ ἐκ τῆς τῶν

---

[1]) 1 Тим. 1. 9. [2]) 2 Кор. 5. 17. [3]) Гал. 2. 14. [4]) Гал. 5. 3. [5]) Гал. 4. 9. [6]) Быт 31. 13.

ἀποςόλων παραδόσεως διαδοθέντα ἡμῖν, ἐν μυςηρίῳ παραδεξάμεθα· ἅπερ ἀμφότερα τὴν αὐτὴν ἰσχὺν ἔχει πρὸς τὴν εὐσέβειαν· καὶ τούτοις οὐδεὶς ἀντερεῖ, ὅςις γε κἂν μικρὸν γοῦν θεσμῶν Ἐκκλησίας πεπείραται· εἰ γὰρ ἐπιχειρήσαιμεν τὰ ἄγραφα τῶν ἐθῶν, ὡς μὴ μεγάλην ἔχοντα τὴν δύναμιν παραιτεῖσθαι, λάθοιμεν ἂν εἰς αὐτὰ τὰ καίρια ζημιοῦντες τὸ Εὐαγγέλιον». Ταῦτα τοῦ μεγάλου Βασιλείου τὰ ῥήματα· πόθεν γὰρ ἴσμεν τὸν Κρανίου τόπον τὸν ἅγιον, τὸ μνῆμα τῆς ζωῆς; οὐ παῖδες παρὰ πατρὸς ἀγράφως παρειληφότες; τὸ μὲν γὰρ ἐν τόπῳ Κρανίου ἐςαυρῶσθαι τὸν Κύριον, γέγραπται, καὶ τετάφθαι ἐν μνημείῳ, ὃ ἐλατόμησεν Ἰωσὴφ ἐν τῇ πέτρᾳ· ὅτι δὲ ταῦτά ἐςι τὰ νῦν προσκυνούμενα, ἐξ ἀγράφου παραδόσεως ἴσμεν, καὶ πλεῖςα τούτοις παρόμοια. Πόθεν τὸ τρὶς βαπτίζειν; πόθεν τὸ κατ᾽ ἀνατολὰς εὔχεσθαι; πόθεν ἡ τῶν μυςηρίων παράδοσις; διὸ καὶ ὁ θεῖος ἀπόςολος Παῦλος φησίν· «ἄρα οὖν, ἀδελφοὶ, ςήκετε καὶ κρατεῖτε τὰς παραδόσεις, ἃς ἐδιδάχθητε, εἴτε διὰ λόγου, εἴτε δι᾽ ἐπιςολῆς ἡμῶν» [1]). Πολλῶν τοιγαροῦν καὶ τοσούτων ἀγράφως τῇ Ἐκκλησίᾳ παραδεδομένων, καὶ μέχρι τοῦ νῦν πεφυλαγμένων, τί περὶ τὰς εἰκόνας σμικρολογεῖς;

24. Ἃς μέντοι χρήσεις παράγεις, οὐ τῶν παρ᾽ ἡμῖν εἰκόνων βδελύσσονται τὴν προσκύνησιν, ἀλλὰ τῶν ταύτας θεοποιούντων Ἑλλήνων. Οὐ δεῖ τοίνυν, διὰ τὴν τῶν Ἑλλήνων ἄτοπον χρῆσιν, ἡμετέραν εὐσεβῶς γινομένην ἀναιρεῖν. Ἐφορκίζουσιν ἐπαοιδοί τε καὶ γόητες, ἐφορκίζει καὶ τοὺς κατηχουμένους ἡ Ἐκκλησία· ἀλλ᾽ ἐκεῖνοι μὲν ἐπικαλοῦνται δαίμονας, αὕτη δὲ Θεὸν κατὰ δαιμόνων· δαίμοσι τὰς εἰκόνας ἀνατιθέασιν Ἕλληνες, καὶ θεοὺς ταύτας προσαγορεύουσιν, ἡμεῖς δὲ ἀληθεῖ Θεῷ σαρκωθέντι, καὶ Θεοῦ δούλοις καὶ φίλοις, δαιμόνων ἀπελαύνουσι ςίφη.

25. Εἰ δὲ φῇς, τὸν θεῖον καὶ θαυμαςὸν Ἐπιφάνιον διαρρήδην ταύτας ἀπαγορεῦσαι, πρῶτον μὲν τυχὸν παρεγγεγραμμένος καὶ ἐπίπλαςος ὁ λόγος, ἄλλου μὲν ὢν πόνος, ἑτέρου δὲ τὴν ἐπωνυμίαν ἔχων, ὃ πολλοῖς εἴθιςαι δρᾶν [2]). Δεύτερον, ἴσμεν τὸν

---

[1]) 2 Сол. 2. 15.

[2]) Указывается на сочиненіе еретика Епифанида, по мнѣнію нѣкоторыхъ ученыхъ, которое въ 8 вѣкѣ выдавалось подложно подъ именемъ

μακάριον Ἀθανάσιον, ἀπηγορευκότα τὸ ἐν λάρναξι τιθέναι τὰ τῶν ἁγίων λείψανα, μᾶλλον δὲ προστάττοντα ὑπὸ γῆν ταῦτα καλύπτειν, τὸ ἄτοπον ἔθος τῶν Αἰγυπτίων καταργῆσαι βουλόμενον, οἳ τοὺς ἑαυτῶν νεκροὺς οὐχ ὑπὸ γῆν ἔκρυπτον, ἀλλ' ἐπὶ κλινῶν καὶ σκιμποδίων ἐτίθουν [1]· τάχα τοιοῦτό τι καὶ ὁ μέγας Ἐπιφάνιος ἐπιδιορθώσασθαι θέλων, τὸ μὴ χρῆναι ποιεῖν εἰκόνας ἐνομοθέτησεν, εἴ γε καὶ αὐτοῦ δῶμεν εἶναι τὸν λόγον. Ἐπεί, ὅτι γε ὁ τούτου σκοπὸς ταύτας οὐκ ἀπετίθετο, μάρτυς ἡ τοῦ αὐτοῦ θείου Ἐπιφανίου ἐκκλησία, εἰκόσι μέχρις ἡμῶν περικεκοσμημένη [2]. Τρίτον, οὐ τὸ σπάνιον νόμος τῇ Ἐκκλησίᾳ, οὐδὲ μία χελιδὼν ἔαρ ποιεῖ, ὡς καὶ τῷ Θεολόγῳ Γρηγορίῳ καὶ τῇ ἀληθείᾳ δοκεῖ [3]· οὐδὲ λόγος εἷς δυνατὸς ὅλης Ἐκκλησίας, τῆς ἀπὸ γῆς περάτων μέχρι τῶν αὐτῆς περάτων, ἀνατρέψαι παράδοσιν.

26. Δέχου τοίνυν τῶν γραφικῶν καὶ πνευματικῶν χρήσεων τὸν ἑσμόν, ὅτι εἰ καὶ λέγει ἡ Γραφή· «τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων» [4]· ἀλλ' οὖν οὐ τὸ μὴ προσκυνεῖν ἀψύχοις ἢ ἔργοις χειρῶν κωλύει, ἀλλὰ ταῖς δαιμόνων εἰκόσιν.

27. Ὅτι μὲν οὖν ἀγγέλοις, καὶ ἀνθρώποις, καὶ βασιλεῦσι, καὶ ἀσεβέσι, προσεκύνησαν οἱ προφῆται, καὶ ῥάβδῳ, εἴρηται· λέγει δὲ καὶ Δαβίδ· «καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ» [5]. Ἡσαΐας δὲ ἐκ προσώπου τοῦ Θεοῦ· «ὁ οὐρανός μοι θρόνος, φησίν, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου» [6]. Οὐρανὸς δὲ καὶ γῆ παντί που δῆλον ὅτι κτίσματα. Καὶ Μωϋσῆς δέ, καὶ Ἀαρὼν σὺν παντὶ τῷ λαῷ χειροποιήτοις προσεκύνησαν. Φησὶ γοῦν Παῦλος, ὁ χρυσοῦς τέττιξ τῆς Ἐκκλησίας, ἐν τῇ πρὸς Ἑβραίους

---

св. Епифанія Кипрскаго († 403) и которое опровергалъ св. Никифоръ патріархъ Константинопольскій († 818 г.). См. Учен. объ Отцахъ Ц. Т. III. стр. 214. Прим. 7.

[1]) Св. Аѳанасій вел. въ сочиненіи «Жизнь св. Антонія», гл. 90.

[2]) О храмѣ св. Епифанія въ Саламинѣ Кипрскомъ, украшенномъ священными изображеніями, см. Учен. объ Отцахъ Ц. Т. II. стр. 186. прим. 22.

[3]) Св. Григорія Богослова Слов. 38 на св. Богоявленіе. Μία χελιδὼν ἔαρ οὐ ποιεῖ—одна ласточка не дѣлаетъ весны—греческая пословица, означающая: исключеніе не есть правило. См. a Leutsch. T. II. p. 79 и 531.

[4]) Пс. 113. 12. [5]) Пс. 98. 5. [6]) Иса. 66. 1

ἐπιςολῇ· «Χριςὸς δὲ παραγενόμενος ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν, διὰ τῆς μείζονος καὶ τελειοτέρας σκηνῆς, οὐ χειροποιήτου, τουτέςιν, οὐ ταύτης τῆς κτίσεως». Καὶ πάλιν· «οὐ γὰρ εἰς χειροποιητα εισῆλθεν ἅγια ὁ Χριςὸς, ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ' εἰς τὸν οὐρανόν» [1]). Ὥςε τὰ πρότερα ἅγια, ἥ τε σκηνὴ και πάντα τὰ ἐν αὐτῇ, χειροποίητα ἦν· καὶ ὅτι προσεκυνεῖτο, οὐδεὶς ἀντερεῖ [2]).

28. Πολλῶν τοίνυν ἀνέκαθεν ἱερέων τε καὶ βασιλέων χριςιανοῖς δεδωρημένων, σοφίᾳ τε καὶ θεοσεβείᾳ, καὶ λόγῳ καὶ βίῳ διαπρεψάντων, καὶ συνόδων πλείςων γεγενημένων ἁγίων καὶ θεοπνεύςων πατέρων, τί μηδεὶς ταῦτα δρᾶν ἐπεχείρησεν; οὐκ ἀνεξόμεθα νέαν πίςιν διδάσκεσθαι. «Ἐκ γὰρ Σιὼν ἐξελεύσεται ὁ νόμος», προφητικῶς ἔφη τὸ Πνεῦμα τὸ ἅγιον, «καὶ λόγος Κυρίου ἐξ Ἱερουσαλήμ» [3]). Οὐκ ἀνεξόμεθα ἄλλοτε ἄλλα φρονεῖν, καὶ καιροῖς μεταβάλλεσθαι, καὶ τὴν πίςιν τοῖς ἔξωθεν γέλωτα και παίγνιον γίνεσθαι. Οὐκ ἀνεξόμεθα βασιλικῷ ὑποκύπτειν θεσπίσματι τὴν ἐκ πατέρων πειρωμένῳ ἀνατρέπειν συνήθειαν [4]). Οὐ γὰρ εὐσεβῶν βασιλέων ἀνατρέπειν ἐκκλησιαςικοὺς θεσμούς. Οὐ πατρικὰ ταῦτα· λῃςρικὰ γὰρ τὰ βίᾳ καὶ οὐ πειθοῖ γινόμενα· καὶ μάρτυς ἡ ἐν Ἐφέσῳ τὸ δεύτερον γεγενημένη σύνοδος, μέχρι δεῦρο «λῃςρικὴν» δεδεγμένη τὴν ἐπωνυμίαν, βασιλικῇ χειρὶ ἐκβιασθεῖσα, ὅτε Φλαβιανὸς ὁ μακάριος ἀπεκτέννυτο [5]). Συνόδων ταῦτα, οὐ βασιλέων, ὡς ὁ Κύριος ἔφησεν· «ὅπου συναχθῶσι δύο ἢ τρεῖς ἐπὶ τῷ ὀνόματί μου, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν» [6]). Οὐ βασιλεῦσι τοῦ δεσμεύειν καὶ λύειν τὴν ἐξουσίαν δέδωκεν ὁ Χριςὸς,

---

[1]) **Евр. 9. 11. 24**

[2]) **Далѣе, до заключенія (Глав. 28 и 29), св. Отецъ приводитъ свидѣтельства предшествовавшихъ отцевъ и учителей Церкви о почитаніи св. иконъ, Діонисія Ареопагита, Василія великаго, Григорія Нисскаго, Іоанна Златоуста и нѣкоторыхъ другихъ.**

[3]) **Иса. 2. 3.**

[4]) **Разумѣется указъ императора Льва Исавра, запрещавшій почитаніе святыхъ иконъ.**

[5]) **«Разбойничимъ» соборомъ называется Ефесскій соборъ (449 года), на которомъ единомышленники еретика Евтихія нанесли тяжкіе побои св. Флавіану, Архіепископу Константинопольскому, отъ которыхъ онъ вскорѣ скончался.**

[6]) Мат. 18. 20.

τῇ τοῦ Κτίσαντος ὑπακοῇ. Ἐπειδὴ τοίνυν ἐν παραβάσει τῆς τοῦ πεποιηκότος αὐτὸν ἐντολῆς γέγονε, καὶ θανάτῳ καὶ φθορᾷ ὑποπέπτωκεν, ὁ Ποιητὴς καὶ Δημιουργὸς τοῦ γένους ἡμῶν διὰ σπλάγχνα ἐλέους αὐτοῦ ὡμοιώθη ἡμῖν, κατὰ πάντα γενόμενος ἄνθρωπος χωρὶς ἁμαρτίας, καὶ ἡνώθη τῇ ἡμετέρᾳ φύσει. Ἐπειδὴ γὰρ μετέδωκεν ἡμῖν τῆς ἰδίας εἰκόνος καὶ τοῦ ἰδίου πνεύματος, καὶ οὐκ ἐφυλάξαμεν, μεταλαμβάνει αὐτὸς τῆς πτωχῆς καὶ ἀσθενοῦς ἡμῶν φύσεως, ἵνα ἡμᾶς καθάρῃ, καὶ ἀφθαρτίσῃ, καὶ μετόχους πάλιν τῆς αὐτοῦ καταςήσῃ θεότητος.—Ἔδει δὲ μὴ μόνον τὴν ἀπαρχὴν τῆς ἡμετέρας φύσεως [1]) ἐν μετοχῇ γενέσθαι τοῦ κρείττονος, ἀλλὰ καὶ πάντα τὸν βουλόμενον ἄνθρωπον, καὶ δευτέραν γέννησιν γεννηθῆναι, καὶ τραφῆναι τροφὴν ξένην καὶ τῇ γεννήσει πρόσφορον, καὶ οὕτω φθάσαι τὸ μέτρον τῆς τελειότητος. Διὰ μὲν οὖν τῆς αὐτοῦ γεννήσεως ἤτοι σαρκώσεως, καὶ τοῦ βαπτίσματος, καὶ τοῦ πάθους, καὶ τῆς ἀναςάσεως, ἠλευθέρωσε τὴν φύσιν τῆς ἁμαρτίας τοῦ προπάτορος, τοῦ θανάτου καὶ τῆς φθορᾶς, καὶ τῆς ἀναςάσεως ἀπαρχὴ γέγονε, καὶ ὁδὸν καὶ τύπον ἑαυτὸν καὶ ὑπογραμμὸν τέθεικεν, ἵνα καὶ ἡμεῖς, τοῖς αὐτοῦ ἀκολουθήσαντες ἴχνεσι, γενώμεθα θέσει ὅπερ αὐτὸς ἐςι φύσει, υἱοὶ καὶ κληρονόμοι Θεοῦ καὶ αὐτοῦ συγκληρονόμοι [2])· ἔδωκεν οὖν ἡμῖν, ὡς ἔφην, γέννησιν δευτέραν, ἵν' ὥσπερ γεννηθέντες ἐκ τοῦ Ἀδὰμ, ὡμοιώθημεν αὐτῷ, κληρονομήσαντες τὴν κατάραν καὶ τὴν φθορὰν, οὕτω καὶ ἐξ αὐτοῦ γεννηθέντες, ὁμοιωθῶμεν αὐτῷ, καὶ κληρονομήσωμεν τήν τε ἀφθαρσίαν, καὶ τὴν εὐλογίαν, καὶ τὴν δόξαν αὐτοῦ.—Ἐπειδὴ δὲ πνευματικός ἐςιν οὗτος ὁ Ἀδὰμ, ἔδει καὶ τὴν γέννησιν πνευματικὴν εἶναι, ὁμοίως καὶ τὴν βρῶσιν. Ἀλλ' ἐπειδὴ διπλοῖ τινές ἐσμεν καὶ σύνθετοι, δεῖ καὶ τὴν γέννησιν διπλῆν εἶναι, ὁμοίως καὶ τὴν βρῶσιν σύνθετον. Ἡ μὲν οὖν γέννησις ἡμῖν δι' ὕδατος καὶ Πνεύματος δέδοται· φημὶ δὲ τοῦ ἁγίου βαπτίσματος· ἡ δὲ βρῶσις αὐτὸς ὁ ἄρτος τῆς ζωῆς, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριςὸς, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς. Μέλλων γὰρ τὸν ἑκούσιον ὑπὲρ ἡμῶν καταδέχεσθαι θάνα-

---

[1]) Т. е. человѣческая природа, въ которую воплотилось Слово Божіе.
[2]) Рим. 7. 17.

τον, ἐν τῇ νυκτί, ἐν ᾗ ἑαυτὸν παρεδίδου, διαθήκην καινὴν διέθετο τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποςόλοις, καὶ δι᾽ αὐτῶν πᾶσι τοῖς εἰς αὐτὸν πιςεύουσιν. Ἐν τῷ ὑπερῴῳ τοίνυν τῆς ἁγίας καὶ ἐνδόξου Σιών, τὸ παλαιὸν πάσχα μετὰ τῶν μαθητῶν αὐτοῦ φαγών, καὶ πληρώσας τὴν παλαιὰν διαθήκην, νίπτει τῶν μαθητῶν τοὺς πόδας, σύμβολον τοῦ ἁγίου βαπτίσματος παρεχόμενος. Εἶτα κλάσας ἄρτον, ἐπεδίδου αὐτοῖς λέγων· «λάβετε, φάγετε, τοῦτό μού ἐςι τὸ σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν» Ὁμοίως δὲ λαβὼν καὶ τὸ ποτήριον ἐξ οἴνου καὶ ὕδατος, μετέδωκεν αὐτοῖς λέγων· «πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό μού ἐςι τὸ αἷμα, τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον, εἰς ἄφεσιν ἁμαρτιῶν· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ υἱοῦ τοῦ ἀνθρώπου καταγγέλλετε, καὶ τὴν ἀνάςασιν αὐτοῦ ὁμολογεῖτε, ἕως ἂν ἔλθῃ» [1]).—Εἰ τοίνυν «ὁ λόγος τοῦ Θεοῦ ζῶν ἐςι, καὶ ενεργής, καὶ πάντα ὅσα ἠθέλησεν ὁ Κύριος ἐποίησεν»· εἰ εἶπε· «γενηθήτω φῶς, καὶ ἐγένετο· γενηθήτω ςερέωμα, καὶ ἐγένετο»· εἰ «τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐςερεώθησαν, καὶ τῷ πνεύματι τοῦ ςόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν» [2])· εἰ ὁ οὐρανός, καὶ ἡ γῆ, ὕδωρ τε καὶ πῦρ, καὶ ἀήρ, καὶ πᾶς ὁ κόσμος αὐτῶν τῷ λόγῳ τοῦ Κυρίου συνετελέσθησαν, καὶ τοῦτο δὴ τὸ πολυθρύλλητον ζῶον ὁ ἄνθρωπος· εἰ θελήσας αὐτὸς ὁ Θεὸς Λόγος ἐγένετο ἄνθρωπος, καὶ ἐκ τῶν τῆς ἁγίας Ἀειπαρθένου καθαρῶν καὶ ἀμωμήτων αἱμάτων ἑαυτῷ ἀσπόρως σάρκα ὑπεςήσατο, οὐ δύναται τὸν ἄρτον ἑαυτοῦ σῶμα ποιῆσαι, καὶ τὸν οἶνον καὶ τὸ ὕδωρ αἷμα; εἶπεν ἐν ἀρχῇ· «ἐξαγαγέτω ἡ γῆ βοτάνην χόρτου» [3]), καὶ μέχρι τοῦ νῦν τοῦ ὑετοῦ γενομένου, ἐξάγει τὰ ἴδια βλαςήματα, τῷ θείῳ συνελαυνομένη καὶ δυναμουμένη προστάγματι. Εἶπεν ὁ Θεός· «τοῦτό μου ἐςι τὸ σῶμα»· καί· «τοῦτό μου ἐςι τὸ αἷμα»· καί· «τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν»· καὶ τῷ παντοδυνάμῳ αὐτοῦ προστάγματι, ἕως ἂν ἔλθῃ, γίνεται· οὕτω

---

[1]) Мат. 26. 26, 27; 1 Кор. 11. 24—26. [2]) Евр. 5. 12; Пс 84. 6; 32. 6. Быт. 1. 3. [3]) Быт. 1. 11.

γὰρ εἶπεν, «ἕως ἂν ἔλθῃ»· καὶ γίνεται ὑετὸς τῇ καινῇ ταύτῃ γεωργίᾳ, διὰ τῆς ἐπικλήσεως, ἡ τοῦ ἁγίου Πνεύματος ἐπισκιάζουσα δύναμις. Ὥσπερ γὰρ πάντα ὅσα ἐποίησεν ὁ Θεὸς, τῇ τοῦ ἁγίου Πνεύματος ἐνεργείᾳ ἐποίησεν, οὕτω καὶ νῦν ἡ τοῦ Πνεύματος ἐνέργεια τὰ ὑπὲρ φύσιν ἐργάζεται, ἃ οὐ δύναται χωρῆσαι, εἰ μὴ μόνη ἡ πίςις. «Πῶς ἔςαι μοι τοῦτο», φησὶν ἡ ἁγία Παρθένος, «ἐπεὶ ἄνδρα οὐ γινώσκω»; ἀποκρίνεται Γαβριὴλ ὁ ἀρχάγγελος· «Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σε, καὶ δύναμις Ὑψίςου ἐπισκιάσει σοι» [1]). Καὶ νῦν ἐρωτᾷς, πῶς ὁ ἄρτος γίνεται σῶμα Χριςοῦ, καὶ ὁ οἶνος καὶ τὸ ὕδωρ αἷμα Χριςοῦ. Λέγω σοι κἀγώ· Πνεῦμα ἅγιον ἐπιφοιτᾷ, καὶ ταῦτα ποιεῖ τὰ ὑπὲρ λόγον καὶ ἔννοιαν.—Ἄρτος δὲ καὶ οἶνος παραλαμβάνεται· οἶδε γὰρ ὁ Θεὸς τὴν ἀνθρωπίνην ἀσθένειαν· ὡς τὰ πολλὰ γὰρ τὰ μὴ κατὰ τὴν συνήθειαν τετριμμένα ἀποςρέφεται δυσχεραίνουσα· τῇ οὖν συγκαταβάσει συνήθει κεχρημένος, διὰ τῶν συνήθων τῆς φύσεως ποιεῖ τὰ ὑπὲρ φύσιν· καὶ ὥσπερ ἐπὶ τοῦ βαπτίσματος, ἐπειδὴ ἔθος ἀνθρώποις ὕδατι λούεσθαι καὶ ἐλαίῳ χρίεσθαι, συνέζευξε τῷ ἐλαίῳ καὶ ὕδατι τὴν χάριν τοῦ Πνεύματος, καὶ ἐποίησεν αὐτὸ λουτρὸν ἀναγεννήσεως· οὕτως, ἐπειδὴ ἔθος τοῖς ἀνθρώποις ἄρτον ἐσθίειν, ὕδωρ τε καὶ οἶνον πίνειν, συνέζευξεν αὐτοῖς τὴν αὐτοῦ θεότητα, καὶ πεποίηκεν αὐτὰ σῶμα καὶ αἷμα αὐτοῦ, ἵνα διὰ τῶν συνήθων καὶ κατὰ φύσιν ἐν τοῖς ὑπὲρ φύσιν γενώμεθα.—Σῶμά ἐςιν ἀληθῶς ἡνωμένον θεότητι, τὸ ἐκ τῆς ἁγίας Παρθένου σῶμα, οὐχ ὅτι τὸ ἀναληφθὲν σῶμα ἐξ οὐρανοῦ κατέρχεται, ἀλλ' ὅτι αὐτὸς ὁ ἄρτος καὶ οἶνος μεταποιοῦνται εἰς σῶμα καὶ αἷμα Θεοῦ. Εἰ δὲ τὸν τρόπον ἐπιζητεῖς, πῶς γίνεται, ἀρκεῖ σοι ἀκοῦσαι, ὅτι διὰ Πνεύματος ἁγίου, ὥσπερ καὶ ἐκ τῆς ἁγίας Θεοτόκου διὰ Πνεύματος ἁγίου ἑαυτῷ καὶ ἐν ἑαυτῷ ὁ Κύριος σάρκα ὑπεςήσατο· καὶ πλέον οὐδὲν γινώσκομεν, ἀλλ' ὅτι ὁ λόγος τοῦ Θεοῦ ἀληθής ἐςι, καὶ ἐνεργὴς, καὶ παντοδύναμος, ὁ δὲ τρόπος ἀνεξερεύνητος. Οὐ χεῖρον δὲ καὶ τοῦτο εἰπεῖν, ὅτι, ὥσπερ φυσικῶς διὰ τῆς βρώσεως ὁ ἄρτος, καὶ ὁ οἶνος καὶ τὸ ὕδωρ διὰ τῆς πόσεως εἰς σῶμα καὶ αἷμα τοῦ ἐσθίοντος καὶ

---

[1]) Лук. 1. 35, 36.

πίνοντος μεταβάλλονται, καὶ οὐ γίνονται ἕτερον σῶμα παρὰ τὸ πρότερον αὐτοῦ σῶμα· οὕτως ὁ τῆς προθέσεως ἄρτος οἶνός τε καὶ ὕδωρ, διὰ τῆς ἐπικλήσεως καὶ ἐπιφοιτήσεως τοῦ ἁγίου Πνεύματος, ὑπερφυῶς μεταποιοῦνται εἰς τὸ σῶμα τοῦ Χριςοῦ καὶ τὸ αἷμα, καὶ οὐκ εἰσὶ δύο, ἀλλ' ἓν καὶ τὸ αὐτό.—Γίνεται τοίνυν τοῖς πίςει ἀξίως μεταλαμβάνουσιν εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον, καὶ εἰς φυλακτήριον ψυχῆς τε καὶ σώματος· τοῖς δὲ ἐν ἀπιςίᾳ ἀναξίως μετέχουσιν εἰς κόλασιν καὶ τιμωρίαν, καθάπερ καὶ ὁ τοῦ Κυρίου θάνατος τοῖς μὲν πιςεύουσι γέγονε ζωὴ καὶ ἀφθαρσία εἰς ἀπόλαυσιν τῆς αἰωνίου μακαριότητος, τοῖς δὲ ἀπειθοῦσι καὶ τοῖς κυριοκτόνοις εἰς κόλασιν καὶ τιμωρίαν αἰώνιον.—Οὐκ ἔςι τύπος ὁ ἄρτος καὶ ὁ οἶνος τοῦ σώματος καὶ αἵματος τοῦ Χριςοῦ (μὴ γένοιτο), ἀλλ' αὐτὸ τὸ σῶμα τοῦ Κυρίου τεθεωμένον, αὐτοῦ τοῦ Κυρίου εἰπόντος· «τοῦτό μού ἐςι», οὐ τύπος τοῦ σώματος, ἀλλὰ «τὸ σῶμα»· καὶ οὐ τύπος τοῦ αἵματος, ἀλλὰ «τὸ αἷμα»· καὶ πρὸ τούτου τοῖς Ἰουδαίοις, ὅτι «ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς· ἡ γὰρ σάρξ μου ἀληθής ἐςι βρῶσις, καὶ τὸ αἷμά μου ἀληθής ἐςι πόσις»· καὶ πάλιν· «ὁ τρώγων με ζήσεται» [1]).—Διὸ μετὰ παντὸς φόβου καὶ συνειδήσεως καθαρᾶς καὶ ἀδιςάκτου πίςεως προσέλθωμεν, καὶ πάντως ἔςαι ἡμῖν, καθὼς πιςεύομεν μὴ διςάζοντες. Τιμήσωμεν δὲ αὐτὸ πάσῃ καθαρότητι, ψυχικῇ τε καὶ σωματικῇ· διπλοῦν γάρ ἐςι. Προσέλθωμεν αὐτῷ πόθῳ διακαεῖ, καὶ ςαυροειδῶς τὰς παλάμας τυπώσαντες, τοῦ ἐςαυρωμένου τὸ σῶμα ὑποδεξώμεθα· καὶ ἐπιθέντες ὀφθαλμούς, καὶ χείλη, καὶ μέτωπα, τοῦ θείου ἄνθρακος μεταλάβωμεν, ἵνα τὸ πῦρ τοῦ ἐν ἡμῖν πόθου προσλαβὸν τὴν ἐκ τοῦ ἄνθρακος πύρωσιν, καταφλέξῃ ἡμῶν τὰς ἁμαρτίας, καὶ φωτίσῃ ἡμῶν τὰς καρδίας, καὶ τῇ μετουσίᾳ τοῦ θείου πυρὸς πυρωθῶμεν καὶ θεωθῶμεν. Ἄνθρακα εἶδεν Ἡσαΐας [2])· ἄνθραξ δὲ ξύλον λιτὸν οὐκ ἔςιν, ἀλλ' ἡνωμένον πυρί· οὕτω καὶ ὁ ἄρτος τῆς κοινωνίας οὐκ ἄρτος λιτός ἐςιν, ἀλλ' ἡνωμένος θεότητι· σῶμα δὲ ἡνωμένον θεότητι οὐ μία φύσις ἐςίν,

[1]) Іоан. 6. 54—58. [2]) Иса. 6. 2.

ἀλλὰ μία μὲν τοῦ σώματος, τῆς δὲ ἡνωμένης αὐτῷ θεότητος ἑτέρα· ὥςε τὸ συναμφότερον οὐ μία φύσις, ἀλλὰ δύο.—Ἄρτῳ καὶ οἴνῳ ἐδεξιοῦτο Μελχισέδεκ τὸν Ἀβραὰμ, ἐκ τῆς τῶν ἀλλοφύλων κοπῆς ὑποςρέφοντα, ὁ ἱερεὺς τοῦ Θεοῦ τοῦ Ὑψίςου [1])· ἐκείνη ἡ τράπεζα ταύτην τὴν μυςικὴν προεικόνιζε τράπεζαν, ὃν τρόπον ἐκεῖνος ὁ ἱερεὺς τοῦ ἀληθινοῦ ἀρχιερέως Χριςοῦ τύπος ἦν καὶ εἰκόνισμα· «σὺ» γάρ, φησιν, «εἶ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισέδεκ» [2]). Τοῦτον τὸν ἄρτον οἱ ἄρτοι εἰκόνιζον τῆς προθέσεως. Αὕτη ἐςὶν ἡ καθαρὰ θυσία, δηλαδὴ καὶ ἀναίμακτος, ἣν ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν αὐτῷ προσφέρεσθαι διὰ τοῦ προφήτου ὁ Κύριος ἔφησε [3]).—Σῶμά ἐςι καὶ αἷμα Χριςοῦ εἰς σύςασιν τῆς ἡμετέρας ψυχῆς τε καὶ σώματος χωροῦν, οὐ δαπανώμενον, οὐ φθειρόμενον, οὐκ εἰς ἀφεδρῶνα χωροῦν (μὴ γένοιτο), ἀλλ' εἰς τὴν ἡμῶν οὐσίαν καὶ συντήρησιν, βλάβης παντοδαποῦς ἀμυντήριον, ῥύπου παντὸς καθαρτήριον· ἂν μὲν χρυσὸν λάβῃ κίβδηλον, διὰ τῆς κριτικῆς πυρώσεως καθαίρει, ἵνα μὴ ἐν τῷ μέλλοντι σὺν τῷ κόσμῳ κατακριθῶμεν. Καθαίρει γὰρ νόσοις καὶ παντοίαις ἐπιφοραῖς, καθώς φησιν ὁ θεῖος Ἀπόςολος· «εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δέ, ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν». Καὶ τοῦτό ἐςιν ὃ λέγει· «ὥςε ὁ μετέχων τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου ἀναξίως κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει» [4]). Δι' αὐτοῦ καθαιρόμενοι, ἑνούμεθα τῷ σώματι Κυρίου καὶ τῷ πνεύματι αὐτοῦ, καὶ γινόμεθα σῶμα Χριςοῦ.—Οὗτος ὁ ἄρτος ἐςὶν ἡ ἀπαρχὴ τοῦ μέλλοντος ἄρτου, ὅς ἐςιν ὁ ἐπιούσιος [5]). Τὸ γὰρ «ἐπιούσιον» δηλοῖ ἢ τὸν μέλλοντα, τουτέςι τὸν τοῦ μέλλοντος αἰῶνος, ἢ τὸν πρὸς συντήρησιν τῆς οὐσίας ἡμῶν λαμβανόμενον. Εἴτε οὖν οὕτως, εἴτε οὕτως, τὸ τοῦ Κυρίου σῶμα προσφυῶς λεχθήσεται· πνεῦμα γὰρ ζωοποιοῦν ἐςιν ἡ σὰρξ τοῦ Κυρίου, διότι ἐκ τοῦ ζωοποιοῦ Πνεύματος συνελήφθη· τὸ γὰρ γεγεννημένον ἐκ τοῦ Πνεύματος, πνεῦμά ἐςι. Τοῦτο δὲ λέγω, οὐκ ἀναιρῶν τὴν τοῦ σώματος φύσιν, ἀλλὰ τὸ ζωοποιὸν καὶ θεῖον τούτου

---

[1]) Быт. 14. 5. [2]) Пс. 109. 4. [3]) Мал. 1. 10. [4]) 1 Кор. 11. 29—32.
[5]) Мат. 6. 11.

δηλῶσαι βουλόμενος.—Εἰ δὲ καί τινες ἀντίτυπα τοῦ σώματος καὶ αἵματος τοῦ Κυρίου τὸν ἄρτον καὶ τὸν οἶνον ἐκάλεσαν, ὡς ὁ θεοφόρος ἔφη Βασίλειος [1]), οὐ μετὰ τὸ ἁγιασθῆναι εἶπον, ἀλλὰ πρὶν ἁγιασθῆναι, αὐτὴν τὴν προσφορὰν οὕτω καλέσαντες.—Μετάληψις δὲ λέγεται· δι᾽ αὐτῆς γὰρ τῆς Ἰησοῦ θεότητος μεταλαμβάνομεν. Κοινωνία δὲ λέγεταί τε καὶ ἐςιν ἀληθῶς, διὰ τὸ κοινωνεῖν ἡμᾶς δι᾽ αὐτῆς τῷ Χριςῷ, καὶ μετέχειν αὐτοῦ τῆς σαρκός τε καὶ τῆς θεότητος· κοινωνεῖν δὲ καὶ ἑνοῦσθαι ἀλλήλοις δι᾽ αὐτῆς· ἐπεὶ γὰρ ἐξ ἑνὸς ἄρτου μεταλαμβάνομεν, οἱ πάντες ἓν σῶμα Χριςοῦ, καὶ ἓν αἷμα, καὶ ἀλλήλων μέλη γινόμεθα, σύσσωμοι Χριςοῦ χρηματίζοντες.—Πάσῃ δυνάμει τοίνυν φυλαξώμεθα, μὴ λαμβάνειν μετάληψιν αἱρετικῶν, μήτε διδόναι. «Μὴ δῶτε» γὰρ «τὰ ἅγια τοῖς κυσίν,» ὁ Κύριός φησι, «μηδὲ ῥίπτετε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων» [2]), ἵνα μὴ μέτοχοι τῆς κακοδοξίας καὶ τῆς αὐτῶν γενώμεθα κατακρίσεως. Εἰ γὰρ πάντως ἕνωσίς ἐςι πρὸς Χριςὸν καὶ πρὸς ἀλλήλους, πάντως καὶ πᾶσι τοῖς συμμεταλαμβάνουσιν ἡμῖν κατὰ προαίρεσιν ἑνούμεθα. Ἐκ προαιρέσεως γὰρ ἡ ἕνωσις αὕτη γίνεται, οὐ χωρὶς τῆς ἡμῶν γνώμης. «Πάντες» γὰρ «ἓν σῶμά ἐσμεν, ὅτι ἐκ τοῦ ἑνὸς ἄρτου μεταλαμβάνομεν», καθώς φησιν ὁ θεῖος Ἀπόςολος [3]).—Ἀντίτυπα δὲ τῶν μελλόντων λέγονται, οὐχ ὡς μὴ ὄντα ἀληθῶς σῶμα καὶ αἷμα Χριςοῦ, ἀλλ᾽ ὅτι νῦν μὲν δι᾽ αὐτῶν μετέχομεν τῆς Χριςοῦ θεότητος, τότε δὲ νοητῶς διὰ μόνης τῆς θέας.

---

[1]) **Въ греческой литургіи св. Василія великаго, въ тайной молитвѣ при освященіи св. даровъ.**

[2]) **Мат. 7. 6.** [3]) **2 Кор. 10. 17.**

## 3.

### Κανὼν ἀναςάσιμος τῆς Ὀκτωήχου [1]).

Ἦχος α΄. Ὠδὴ α΄.

Εἱρμός.—Σοῦ ἡ τροπαιοῦχος δεξιὰ
θεοπρεπῶς ἐν ἰσχύϊ δεδόξασαι·
αὕτη γὰρ, ἀθάνατε, ὡς πανσθενὴς,
ὑπεναντίους ἔθραυσε,
τοῖς Ἰσραηλίταις
ὁδὸν βυθοῦ καινουργήσασα.

Τροπάρια. 1. Ὁ χερσὶν ἀχράντοις ἐκ χοὸς | θεουργικῶς κατ᾽ ἀρχὰς διαπλάσας με | χεῖρας διεπέτασας ἐν τῷ ςαυρῷ, | ἐκ γῆς ἀνακαλούμενος | τὸ φθαρὲν μου σῶμα, | ὃ ἐκ παρθένου προσείληφας.

2. Νέκρωσιν ὑπέςη δι᾽ ἐμὲ | καὶ τὴν ψυχὴν τῷ θανάτῳ προδίδωσιν | ὁ ἐμπνεύσει θείᾳ ψυχήν μοι ἐνθεὶς, | καὶ λύσας αἰωνίων δεσμῶν | καὶ συναναςήσας | τῇ ἀφθαρσίᾳ ἐδόξασεν.

3. Χαῖρε, ἡ τῆς χάριτος πηγή· | χαῖρε, ἡ κλίμαξ καὶ πύλη οὐράνιος· | χαῖρε, ἡ λυχνία καὶ ςάμνος χρυσῆ | καὶ ὄρος ἀλατόμητον, | ἡ τὸν ζωοδότην | Χριςὸν τῷ κόσμῳ κυήσασα.

Ὠδὴ γ΄. Εἰρ.—Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν
οὐσίας τὴν ἀσθένειαν,
καὶ συμπαθῶς αὐτὴν μορφωσάμενος
περίζωσόν με ἐξ ὕψους δύναμιν
τοῦ βοᾶν σοι· ἅγιος
ὁ ναὸς ὁ ἔμψυχος
τῆς ἀφράςου σου δόξης, φιλάνθρωπε.

---

[1]) Какъ въ другихъ богослужебныхъ канонахъ, такъ и въ этомъ, тропари представляютъ силлабическую симметрію съ своими ирмосами, которые здѣсь и приводятся въ своихъ размѣрахъ, приспособленныхъ для пѣнія. Текстъ канона исправленъ по изданію Anthologia graeca—W. Christ. Lips. 1871. p. 232—236.

Τροπ. 1. Θεός μου ὑπάρχων, ἀγαθέ, | πεσόντα κατῳκτείρησας | καὶ καταβῆναι πρός με ηὐδόκησας, | ἀνύψωσάς με διὰ ςαυρώσεως | τοῦ βοᾶν σοι· ἅγιος | ὁ τῆς δόξης Κύριος, | ὁ ἀνείκαςος ἐν ἀγαθότητι.

2. Ζωὴ ἐνυπόςατος, Χριςὲ, | ὑπάρχων καὶ φθαρέντα με | ὡς συμπαθὴς Θεὸς ἐνδυσάμενος, | εἰς χοῦν θανάτου καταβὰς, δέσποτα, | τὸ θνητὸν διέῤῥηξας | καὶ νεκρὸς τριήμερος | ἀναςὰς ἀφθαρσίαν ἠμφίεσας.

3. Θεὸν συλλαβοῦσα ἐν γαςρὶ, | παρθένε, διὰ Πνεύματος | τοῦ παναγίου, ἔμεινας ἄφλεκτος· | ἐπεὶ σε βάτος τῷ νομοθέτῃ Μωσεῖ | φλεγομένη ἄκαυςα | σαφῶς προεμήνυσε | τὴν τὸ πῦρ δεξαμένην τὸ ἄςεκτον.

Ὠδὴ δ'. Εἱρ.—Ὄρος σε τῇ χάριτι τῇ θείᾳ κατάσκιον
προβλεπτικοῖς ὁ Ἀββακοὺμ
κατανοήσας ὀφθαλμοῖς,
ἐκ σοῦ ἐξελεύσεσθαι
τοῦ Ἰσραὴλ προανεφώνει τὸν ἅγιον
εἰς σωτηρίαν ἡμῶν καὶ ἀνάπλασιν.

Τροπ. 1. Τίς οὗτος σωτὴρ ὁ ἐξ Ἐδὼμ ἀφικόμενος, | ςεφηφορῶν ἐξ ἀκανθῶν, | πεφοινιγμένος τὴν ςολὴν, | εν ξύλῳ κρεμάμενος; | τοῦ Ἰσραὴλ ὑπάρχει οὗτος ὁ ἅγιος, | εἰς σωτηρίαν ἡμῶν καὶ ἀνάπλασιν [1]).

2. Ἴδετε λαὸς τῶν ἀπειθῶν καὶ αἰσχύνθητε· | ὃν ὡς κακοῦργον γὰρ ὑμεῖς | ἀναρτηθῆναι ἐν ςαυρῷ | Πιλάτον ᾐτήσασθε | φρενοβλαβῶς, θανάτου λύσας τὴν δύναμιν | θεοπρεπῶς ἐξανέςη τοῦ μνήματος.

3. Ξύλον σε, παρθένε, τῆς ζωῆς ἐπιςάμεθα· | οὐ γὰρ τῆς βρώσεως καρπὸς | θανατηφόρος τοῖς βροτοῖς | ἐκ σοῦ ἀνεβλάςησεν, | ἀλλὰ ζωῆς τῆς ἀϊδίου ἀπόλαυσις, | εἰς σωτηρίαν ἡμῶν τῶν ὑμνούντων σε.

Ὠδὴ ε'. Εἱρ.—Ὁ φωτίσας
τῇ ἐλλάμψει τῆς σῆς παρουσίας, Χριςὲ,

[1]) Ηса. 63. 1—4.

καὶ φαιδρύνας
τῷ ςαυρῷ σου τοῦ κόσμου τὰ πέρατα.
τὰς καρδίας φώτισον φωτὶ
τῆς σῆς θεογνωσιας
τῶν ὀρθοδόξως ὑμνούντων σε.

Τροπ. 1. Τὸν ποιμένα | τῶν προβάτων τὸν μέγαν καὶ Κύριον | Ἰουδαῖοι | διὰ ξύλου ςαυροῦ ἐθανάτωσαν· | ἀλλ' αὐτὸς ὡς πρόβατα νεκροὺς | ἐν ᾅδῃ τεθαμμένους | κράτους θανάτου ἐῤῥύσατο.

2. Τῷ ςαυρῷ σου | τὴν εἰρήνην εὐαγγελισάμενος | καὶ κηρύξας | αἰχμαλώτοις, Σωτήρ μου. τὴν ἄφεσιν, | τὸν κρατοῦντα ᾔσχυνας, Χριςέ, | γυμνὸν ἠπορημένον | δείξας τῇ θείᾳ ἐγέρσει σου.

3. Τὰς αἰτήσεις | τῶν πιςῶς αἰτουμένων, πανύμνητε, | μὴ παρίδῃς, | ἀλλὰ δέχου καὶ ταύτας προσάγαγε | τῷ υἱῷ σου, ἄχραντε, Θεῷ, | τῷ μόνῳ εὐεργέτῃ· | σὲ γὰρ προςάτιν κεκτήμεθα.

Ὠδὴ ς'. Εἰρ.—Ἐκύκλωσεν ἡμᾶς ἐσχάτη ἄβυσσος.
οὐκ ἔςιν ὁ ῥυόμενος·
ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς·
σῶσον τὸν λαόν σου, ὁ Θεὸς ἡμῶν·
σὺ γὰρ ἰσχὺς
τῶν ἀσθενούντων
καὶ επανόρθωσις.

Τροπ. 1. Τῷ πταίσματι τοῦ πρωτοπλάςου, Κύριε, | δεινῶς ἐτραυματίσθημεν, | τῷ δὲ μώλωπι ἰάθημεν τῷ σῷ, | ᾧ ὑπὲρ ἡμῶν ἐτραυματίσθης, Χριςέ· | σὺ γὰρ ἰσχὺς | τῶν ἀσθενούντων | καὶ ἐπανόρθωσις.

2. Ἀνήγαγες ἡμᾶς ἐξ ᾅδου, Κύριε, | τὸ κῆτος χειρωσάμενος | τὸ παμφάγον, παντοδύναμε, τῷ σῷ | κράτει καθελὼν αὐτοῦ τὴν δύναμιν· | σὺ γὰρ ζωὴ | καὶ φῶς ὑπάρχεις | καὶ ἡ ἀνάςασις.

3. Εὐφραίνονται ἐν σοί, παρθένε ἄχραντε, | τοῦ γένους οἱ προπάτορες, | τὴν Ἐδὲμ ἀπολαβόντες διά σου, | ἣν ἐκ παραβάσεως ἀπώλεσαν· | συ γὰρ ἁγνὴ | καὶ πρὸ τοῦ τόκου | καὶ μετὰ γέννησιν.

Ὠδὴ ζ'. Εἱρ.—Σὲ νοητὴν,
θεοτόκε, κάμινον
κατανοοῦμεν οἱ πιςοί·
ὡς γὰρ παῖδας ἔσωσε τρεῖς,
ὁ ὑπερυψούμενος
κόσμον ἀνεκαίνισεν
ἐν τῇ γαςρί σου ὁλόκληρον,
ὁ αἰνετὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος.

Τροπ. 1. Ἔφριξε γῆ, | ἀπεςράφη ἥλιος | καὶ συνεσκότασε τὸ φῶς· | διεῤῥάγη τὸ τοῦ ναοῦ | θεῖον καταπέτασμα, | πέτραι δὲ ἐσχίσθησαν· | διὰ ςαυροῦ γὰρ ἤρθη ὁ δίκαιος, | ὁ αἰνετὸς τῶν πατέρων | Θεὸς καὶ ὑπερένδοξος.

2. Σὺ γεγονὼς | ὡσεὶ ἀβοήθητος | καὶ τραυματίας ἐν νεκροῖς | ἑκουσίως τὸ καθ' ἡμᾶς, | ὁ ὑπερυψούμενος | πάντας ἠλευθέρωσας | καὶ κραταιᾷ χειρὶ συνανέςησας, | ὁ αἰνετὸς τῶν πατέρων | Θεὸς καὶ ὑπερένδοξος.

3. Χαῖρε, πηγὴ | ἀειζώου νάματος· | χαῖρε, παράδεισε τρυφῆς· | χαῖρε, τεῖχος τὸ τῶν πιςῶν· | χαῖρε, ἀπειρόγαμε· | χαῖρε, ἡ παγκόσμιος | χαρὰ, δι' ἧς ἡμῖν ἐξανέτειλεν | ὁ αἰνετὸς τῶν πατέρων | Θεὸς καὶ ὑπερένδοξος.

Ὠδὴ η'. Εἱρ.—Ἐν καμίνῳ παῖδες Ἰσραὴλ
ὡς ἐν χωνευτηρίῳ,
τῷ κάλλει τῆς εὐσεβείας
καθαρώτερον χρυσοῦ
ἀπέςιλβον λέγοντες·
εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου
τὸν Κύριον, ὑμνεῖτε
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τροπ. 1. Ὁ βουλήσει ἅπαντα ποιῶν, | ὁ καὶ μετασκευάζων, | ἐκτρέπων σκιὰν θανάτου | εἰς αἰώνιον ζωὴν | τῷ πάθει σου, Λόγε Θεοῦ, | σὲ ἀπαύςως πάντα τὰ ἔργα (Κυρίου) | ὡς Κύριον ὑμνοῦμεν | καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

2. Σὺ καθεῖλες σύντριμμα, Χριστέ, | καὶ τὴν ταλαιπωρίαν | ἐν πύλαις καὶ ὀχυρώμασι τοῦ ᾅδου, ἀναστὰς | ἐκ τάφου τριήμερος· | σὲ ἀπαύστως πάντα τὰ ἔργα (Κυρίου) | ὡς Κύριον ὑμνοῦσι | καὶ ὑπερυψοῦσιν εἰς πάντας τοὺς αἰῶνας.

3. Τὴν ἀσπόρως καὶ ὑπερφυῶς | ἐξ ἀστραπῆς τῆς θείας | τεκοῦσαν τὸν μαργαρίτην | τὸν πολύτιμον, Χριστὸν, | ὑμνήσωμεν λέγοντες· | εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου | τὸν Κύριον, ὑμνεῖτε | καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Εἱρ.—Τύπον τῆς ἁγνῆς λοχείας σου
πυρπολουμένη βάτος ἔδειξεν ἄφλεκτος·
καὶ νῦν καθ' ἡμῶν
τῶν πειρασμῶν ἀγριαίνουσαν
κατασβέσαι αἰτοῦμεν τὴν κάμινον.
ἵνα σε, θεοτόκε,
ἀκαταπαύστως μεγαλύνωμεν.

Τροπ. 1. Ὢ πῶς ὁ λαός ὁ ἄνομος, | ὁ ἀπειθὴς καὶ πονηρὰ βουλευσάμενος, | τὸν ἀλάστορα | καὶ ἀσεβῆ ἐδικαίωσε [1]), | τὸν δὲ δίκαιον ξύλῳ κατέκρινε, | τὸν Κύριον τῆς δόξης, | ὃν ἐπαξίως μεγαλύνομεν.

2. Σῶτερ ὁ ἀμνός ὁ ἄμωμος, | ὁ τὴν τοῦ κόσμου ἁμαρτίαν ἀράμενος, | σὲ δοξάζομεν, | τὸν ἀναστάντα τριήμερον, | σὺν Πατρὶ καὶ τῷ θείῳ σου Πνεύματι, | καὶ Κύριον τῆς δόξης | θεολογοῦντες μεγαλύνομεν.

3. Σῶσον τὸν λαόν σου, Κύριε, | ὅνπερ ἐκτήσω τῷ τιμίῳ σου αἵματι, | κατ' ἐχθρῶν ἰσχὺν | τῷ βασιλεῖ χαριζόμενος καὶ ταῖς σαῖς ἐκκλησίαις, φιλάνθρωπε, | βραβεύων τὴν εἰρήνην | τῆς θεοτόκου ταῖς ἐντεύξεσιν.

---

[1]) Ματ. 27. 21, 22.

## Ἐυχή [1]).

## Глав. 1—3.

1. Ἀπὸ ῥυπαρῶν χειλέων,
Ἀπὸ βδελυρᾶς καρδίας,
Ἀπὸ ἀκαθάρτου γλώττης,
Ἐκ ψυχῆς ῥερυπωμένης,
Δέξαι δέησιν, Χριςέ μου.
Καὶ μὴ παρωσάμενός μου
Μὴ τοὺς λόγους, μὴ τοὺς τρόπους,
Μηδὲ τὴν αναισχυντίαν,
Δός μοι παῤῥησίαν λέγειν
Ἃ βεβούλημαι, Χριςέ μου,
Μᾶλλον δὲ καὶ δίδαξόν με,
Τί με δεῖ ποιεῖν καὶ λέγειν.
Ἥμαρτον ὑπὲρ τὴν πόρνην,
Ἣ μαθοῦσα ποῦ κατάγεις,
Μῦρον ἐξωνησαμένη,
Ἦλθε τολμηρῶς ἀλεῖψαι
Σοῦ τοὺς πόδας τοῦ Θεοῦ μου,
Τοῦ Δεσπότου καὶ Χριςοῦ μου [2])·
Ὡς ἐκείνην οὐκ ἀπώσω
Προσελθοῦσαν ἐκ καρδίας,
Μηδ' ἐμὲ βδελύξῃ, Λόγε·
Σοῦ δὲ παράσχε μοι πόδας
Καὶ κρατῆσαι, καὶ φιλῆσαι,
Καὶ τῷ ῥείθρῳ τῶν δακρύων,
Ὡς πολυτιμήτῳ μύρῳ,
Τούτους τολμηρῶς ἀλεῖψαι.
Πλῦνόν με τοῖς δάκρυσί μου,
Κάθαρον αὐτοῖς με, Λόγε.
Ἄφες καὶ τὰ πταίσματά μου.
Οἶδας τῶν κακῶν τὸ πλῆθος,
Οἶδας καὶ τραύματά μου,
Καὶ τοὺς μώλωπας ὁρᾷς μου·
Ἀλλὰ καὶ τὴν πίςιν οἶδας,
Καὶ τὴν προθυμίαν βλέπεις,
Καὶ τοὺς ςεναγμοὺς ἀκούεις.
Οὐ λανθάνει σε, Θεέ μου,
Ποιητά μου, Λυτρωτά μου,
Ὀυδὲ ςαλαγμὸς δακρύων,
Ὀυδὲ ςεναγμοῦ τι μέρος,
Ὀυδὲ κίνημα καρδίας.
Τὸ μὴ ἀκατέργαςόν μου
Ἔγνωσαν οἱ ὀφθαλμοί σου [3])·
Ἐπὶ τὸ βιβλίον δέ σου
Καὶ τὰ μήπω πεπραγμένα
Γεγραμμένα σοι τυγχάνει.
2. Ἴδε τὴν ταπείνωσίν μου,
Ἴδε μου τὸν κόπον ὅσος [4]),
Καὶ τὰς ἁμαρτίας πάσας
Ἄφες μοι, Θεὲ τῶν ὅλων·
Ἵνα καθαρᾷ καρδίᾳ,
Περιτρόμῳ διανοίᾳ,
Καὶ ψυχῇ συντετριμμένῃ

---

[1]) Метръ этого стихотворенія есть анакреонтическій, втораго вида. Ср. выше, стр. 81. прим. 3.

[2]) Лук. 7. 37—50. [3]) Пс. 138. 16.

[4]) Подразумѣвается: ἐςί.

Τῶν ἀχράντων σου μετάσχω
Καὶ πανάγνων μυστηρίων,
Οἷς ζωοῦται καὶ θεοῦται
Πᾶς ὁ πίνων τε καὶ τρώγων
Ἐξ εἰλικρινοῦς καρδίας.
Σὺ γὰρ εἶπας, Δέσποτά μου·
Πᾶς ὁ τρώγων μου τὴν σάρκα,
Πίνων δέ μου καὶ τὸ αἷμα,
Ἐν ἐμοὶ μὲν ὄντως μένει,
Ἐν αὐτῷ δ᾽ ἐγὼ τυγχάνω [1].
Ἀληθὴς ὁ λόγος πάντως
Τοῦ Δεσπότου καὶ Θεοῦ μου.
Καὶ τῶν θείων ὁ μετέχων
Καὶ θεοποιῶν χαρίτων
Οὐμενοῦν οὐκ ἐστι μόνος,
Ἀλλὰ μετά σου, Χριστέ μου.
Τοῦ φωτὸς τοῦ τρισηλίου.
Ἵνα γοῦν μὴ μόνος μένω.
Δίχα σου τοῦ ζωοδότου,
Τῆς πνοῆς μου, τῆς ζωῆς μου,
Τοῦ ἀγαλλιάματός μου,
Τῆς τοῦ κόσμου σωτηρίας,
Διὰ τοῦτό σοι προσῆλθον,
Ὡς ὁρᾷς, μετὰ δακρύων
Καὶ ψυχῆς συντετριμμένης,
Λύτρον τῶν ἐμῶν πταισμάτων
Ἱκετεύων τοῦ λαβεῖν με,
Καὶ τῶν σῶν ζωοπαρόχων
Καὶ ἀμέμπτων μυστηρίων
Μετασχεῖν ἀκατακρίτως.
Ἵνα μένῃς, καθὼς εἶπας,
Μετ᾽ ἐμοῦ τοῦ παναθλίου,
Ἵνα μὴ χωρὶς εὑρών με
Τῆς σῆς χάριτος ὁ πλάνος [2])
Ἀφαρπάσῃ με δολίως,
Καὶ πλανήσας ἀπαγάγῃ
Τῶν θεοποιῶν σου λόγων·
Διὰ τοῦτό σοι προσπίπτω,
Καὶ θερμῶς ἀναβοῶ σοι·
Ὡς τὸν ἄσωτον ἐδέξω
Καὶ τὴν πόρνην προσελθοῦσαν,
Οὕτω δέξαι με τὸν πόρνον
Καὶ τὸν ἄσωτον, Οἰκτίρμον,
Ἐν ψυχῇ συντετριμμένῃ
Νῦν με προσερχόμενόν σοι.
3. Οἶδα, Σῶτερ, ὅτι ἄλλος
Ὡς ἐγώ, οὐκ ἔπταισέ σοι,
Οὐδὲ ἔπραξε τὰς πράξεις,
Ἃς ἐγὼ κατηργασάμην·
Ἀλλὰ τοῦτο πάλιν οἶδα,
Ὡς οὐ μέγεθος πταισμάτων,
Οὐχ ἁμαρτημάτων πλῆθος,
Οὐδὲ πράξεων αἰσχρότης,
Ὑπερβαίνει τοῦ Θεοῦ μου
Τὴν πολλὴν φιλανθρωπίαν·
Ἀλλ᾽ ἐλέῳ συμπαθείας
Τοὺς θερμῶς μετανοοῦντας,
Καὶ καθαίρεις, καὶ λαμπρύνεις,
Καὶ φωτὸς ποιεῖς μετόχους,
Κοινωνοὺς θεότητός σου
Ἐργαζόμενος ἀφθόνως.
Καὶ τὸ ξένον καὶ ἀγγέλοις
Καὶ ἀνθρώπων διανοίαις,
Ὁμιλεῖς αὐτοῖς πολλάκις,

---

[1]) Іоан. 6. 56.
[2]) Ὁ πλάνος, обольститель, т. е. діаволъ. Ср. 1 Тим. 4. 1. 2 Іоан. ст. 7.

Ὥσπερ φίλοις σου γνησίοις.
Ταῦτα τολμηρὸν ποιεῖ με,
Ταῦτά με πτεροῖ, Χριστέ μου,
Καὶ θαρρῶν σου ταῖς πλουσίαις
Πρὸς ἡμᾶς εὐεργεσίαις,
Χαίρων ἅμα τε καὶ τρέμων
Τοῦ πυρὸς μεταλαμβάνω [1],
Χόρτος ὤν, καὶ ξένον θαῦμα,
Νῦν δροσούμενος ἀκαύστως,
Ὥσπερ καὶ ἡ βάτος πάλαι,
Ἡ ἀφλέκτως καιομένη.
Τοίνυν εὐχαρίστῳ γνώμῃ,
Εὐχαρίστῳ δὲ καρδίᾳ,
Εὐχαρίστοις μέλεσί μου
Καὶ τῆς ψυχῆς καὶ σαρκός μου,
Προσκυνῶ καὶ μεγαλύνω
Καὶ δοξάζω σε, Θεέ μου,
Ὡς εὐλογημένον ὄντα
Νῦν τε καὶ εἰς τοὺς αἰῶνας.

---

[1] 1 Κορ. 3. 12, 13.

## XVI.

## СВ. ѲЕОДОРЪ СТУДИТЪ.

Св. отецъ Церкви, преподобный Ѳеодоръ Студитъ родился въ Константинополѣ въ 759 году отъ благородныхъ и благочестивыхъ родителей Фотина, бывшаго казначеемъ царскихъ доходовъ, и Ѳеоктисты, родной сестры св. Платона († 812) игумена Виѳинскихъ обителей Символовъ и Саккудіона; въ юныхъ лѣтахъ, при своихъ отличныхъ природныхъ дарованіяхъ, онъ получилъ обширное образованіе въ свѣтскихъ наукахъ, но по вліянію дяди своего отказался отъ міра на 22 году жизни и поселился вмѣстѣ съ нимъ, отцемъ своимъ и братьями въ Саккудіонѣ, гдѣ предавался строгимъ подвигамъ иночества и обогащалъ умъ свой изученіемъ св. Писанія и сочиненій отцевъ Церкви, особенно Василія великаго. По преуспѣяніи въ духовной жизни онъ постепенно былъ возведенъ Константинопольскимъ патріархомъ Тарасіемъ въ иподіакона, діакона и пресвитера и еще при жизни преподобнаго Платона въ 794 году сдѣлался преемникомъ его игуменства. Вскорѣ за тѣмъ прискорбныя событія при Константинопольскомъ дворѣ возбудили его ревность къ открытой борьбѣ съ нарушителями священныхъ постановленій Церкви. Царствовавшій въ то время Константинъ Копронимъ произвелъ соблазнъ отверженіемъ законной супруги своей Маріи для вступленія въ бракъ съ дѣвицею Ѳеодотою, съ которою и былъ повѣнчанъ экономомъ великой церкви

Іосифомъ. Св. Θеодоръ въ обличеніе беззаконія вмѣстѣ съ братіею своего монастыря прервалъ общеніе съ Константинопольскими властями и писалъ внушительныя письма къ разнымъ лицамъ, за что разгнѣваннымъ императоромъ былъ подвергнутъ истязаніямъ и съ десятью членами братства отправленъ въ ссылку въ г. Солунь (796 году), откуда въ слѣдующемъ году возвращенъ императрицею Ириною въ Саккудіонскій монастырь, но по случаю нашествія Сарацинъ переселился въ Константинополь и былъ поставленъ въ 798 году игуменомъ Студійской обители (отъ чего и прозванъ Студитомъ), которую изъ запустѣнія довелъ до цвѣтущаго состоянія, увеличивъ число братіи, введши во всемъ превосходный порядокъ, возвысивъ своими трудами по устройству богослуженія и пѣснопѣній и проповѣданіемъ Слова Божія. Мирная дѣятельность его была прервана въ 809 году, когда разрѣшеніе отъ церковнаго запрещенія, данное константинопольскими властями вѣнчавшему незаконный бракъ эконому Іосифу, вынудило св. Θеодора опять прервать съ ними общеніе, за что по повелѣнію императора Никифора Геника онъ вмѣстѣ съ нѣкоторыми братіями былъ снова отправленъ въ ссылку на одинъ изъ острововъ Пропонтиды, гдѣ содержался подъ стражею до 811 года, въ которомъ былъ вызванъ изъ ссылки слѣдующимъ императоромъ Михаиломъ Рангавомъ и возстановленъ въ званіи Студійскаго игумена. Болѣе жестокому и продолжительному гоненію подвергся преподобный исповѣдникъ въ царствованіе Льва Армянина, который, собравъ православныхъ служителей Церкви и иконоборцевъ какъ бы для совѣщанія, выразилъ намѣреніе ниспровергнуть почитаніе св. иконъ. Св. Θеодоръ въ этомъ собраніи превосходною и смѣлою рѣчью обличилъ иконоборнаго императора и его единомышленниковъ (въ 814 году),

и за это былъ отведенъ сначала въ крѣпость Метопу въ Македоніи, потомъ въ крѣпость Boниту въ Анатоліи, и наконецъ въ Смирнскую темницу, и во всѣхъ тѣхъ мѣстахъ неоднократно былъ подвергаемъ бичеваніямъ, страданіямъ отъ холода и голода и всякаго рода лишеніямъ, пока восшедшій на престолъ Михаилъ Травлъ не издалъ повелѣнія (въ 821 году) объ освобожденіи отъ узъ всѣхъ изгнанныхъ Львомъ. Между прочими и св. Ѳеодоръ, не престававшій во все это время своими многочисленными писаніями дѣйствовать противъ иконоборцевъ со всею горячностію духа и рѣдкими достоинствами ума и богословской учености, и утѣшать и наставлять разсѣянныхъ страдальцевъ за православіе. возвратился въ Константинополь, съ благоговѣніемъ привѣтствованный на пути изъ Смирны благочестивыми пастырями и пасомыми; но, не имѣя возможности оставаться въ Студійской обители по враждѣ покровительствуемыхъ свѣтскою властію иконоборцевъ, провелъ послѣдніе годы святой жизни съ своими близкими учениками при церкви св. Трифона на мысѣ Акритѣ до блаженной кончины, послѣдовавшей 11-го Ноября 826 года. Въ этотъ день и празднуется память его православною Церковію, которая прославляетъ его какъ «сильнаго и непреклоннаго защитника православной истины», «образцоваго ревнителя и наставника благочестія», и «боговдохновеннаго пѣснописца» (См. Служб. Мин. на 11-е Ноября).

Свидѣтельствующія о такихъ достоинствахъ и заслугахъ св. Ѳеодора писанія его, доселѣ изданныя въ свѣтъ, по своему содержанію и направленію могутъ быть раздѣлены на

1) *Апологетическія*, въ которыхъ онъ является пламеннымъ защитникомъ какъ догматовъ православной вѣры, преимущественно догмата объ иконопочитаніи, бывшаго въ его время предметомъ разногласій,

такъ и постановленій церковныхъ, особенно касательно брака, подвергавшихся тогда извращенію и нарушенію. Къ этому разряду относятся: Три книги: «Опроверженій» противъ иконоборцевъ, «Седмь словъ», «Нѣсколько положеній» и «Рѣчь» противъ нихъ же, и «Опроверженіе нечестивыхъ стихотвореній», составленныхъ ими; также письма его «къ императору Ѳеофилу (сыну Михаила Травла)» и «къ архимандриту Платону» о почитаніи св. иконъ; и многія «Письма» къ разнымъ лицамъ касаются того же предмета въ обширномъ сборникѣ его писемъ (издано до 280, а насчитывается болѣе 550), которыхъ значительная часть содержитъ и апологетическія разсужденія его противъ нарушителей церковныхъ правилъ.

2) *Проповѣдническія* и *нравоучительныя*, какъ то: «Катихизическія поученія», раздѣляющіяся на два катихизиса, большой въ 254 и малый въ 135 поученій; за тѣмъ «Слова» (издано 10) на Господскіе праздники и въ похвалу нѣкоторыхъ святыхъ, и «Жизнеописанія» игумена Платона, отшельника Арсенія и матери Ѳеоктисты. Сюда же могутъ быть отнесены назидательныя произведенія его, писанныя стихами, подъ заглавіемъ: «Ямбы» о разныхъ предметахъ, равно я наставленія аскетическаго содержанія, назначенныя собственно для братіи его монастырей, подъ заглавіями: «О жизни аскетической», «Объясненіе аскетическихъ правилъ Василія в.», «Монашескія эпитиміи», «Изображеніе состоянія обители Студійской», и т. под.

3) Церковныя *пѣснопѣнія*, составленныя св. Ѳеодоромъ въ дополненіе къ прежде существовавшимъ въ Церкви и по требованію вновь начертаннаго имъ «Студійскаго церковнаго устава». Они состоятъ изъ «Каноновъ» и «Трипѣснцевъ» на нѣкоторые дни св. Четыредесятницы, изъ «степенныхъ антифоновъ» на

8 гласовъ Октоиха, и изъ множества «стихиръ» и «тропарей» для служебной Минеи, для постной и цвѣтной Тріоди, и вмѣстѣ съ его уставомъ, принятымъ во многихъ восточныхъ церквахъ, остаются драгоцѣннымъ памятникомъ его авторской дѣятельности (См. Учен. объ Отцахъ Церкви. Филарета Черниг. Т. III. стр. 215—222).

Изъ всѣхъ этихъ писаній здѣсь предлагаются: 1) «Рѣчь» противъ иконоборцевъ, превосходная по содержанію и изложенію, сохранившаяся въ пространномъ его жизнеописаніи, составленномъ ученикомъ его монахомъ Михаиломъ; 2) Три письма, одно къ игумену «Платону», и два «къ братіямъ всюду разсѣяннымъ», изъ которыхъ въ первомъ, превознося терпѣніе своего дяди въ страданіяхъ за истину, описываетъ свое путешествіе въ ссылку изъ Саккудіона въ Солунь и испытанныя при этомъ страданія, а въ прочихъ двухъ утѣшаетъ гонимыхъ подобно ему братій и увѣщеваетъ къ терпѣнію и твердости въ православіи; и 3) «Канонъ въ недѣлю Крестопоклонную», какъ одинъ изъ лучшихъ образцовъ пѣснотворческихъ его произведеній.

Новѣйшее и болѣе полное изданіе писаній св. Ѳеодора Студита:

1. Patrologiae Curs. complet. Edit. I. P. Migne. Tom. XCIX. Paris. 1860.

Дополненія къ нему находятся въ изданіяхъ:

2. Nova patrum bibliotheca. T. V et. VIII. Edit. Ang. Mai. Rom. 1852.

3. Analecta sacra spicilegio Solesmensi parata. T. I. Edit. Card. Pitra. Paris. 1876.

4. Αἱ κατηχήσεις τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Θεοδώρου τοῦ Στουδίτου. Ἐκδ. ὑπὸ Ἀρχιμανδρίτου Φιλαρέτου Βαφείδου. Κωνςαντ. 1880.

Текстъ избранныхъ статей заимствованъ изъ изданія Migne.

---

# ΤΟΥ ʿΟΣΙΟΥ ΠΑΤΡΟΣ ʿΗΜΩΝ ΚΑΙ ʿΟΜΟΛΟΓΗΤΟΥ ΘΕΟΔΩΡΟΥ ʿΗΓΟΥΜΕΝΟΥ ΤΩΝ ΣΤΟΥΔΙΟΥ.

## 1.

## Λόγος κατὰ εἰκονομάχων [1].

## Глав. 1—7.

1. Ὦ βασιλεῦ, τὴν Ἐκκλησίαν τοῦ Θεοῦ εἰρηνεύουσαν πόθεν σοι ταράξαι νῦν ἐπῆει καὶ διαθεῖναι κακῶς; οὐδὲ τὰ συμβάντα τοῖς πρό σου διώκταις, ὧν καὶ πρὸς ὄνομα ἤδη ἐμνήσθης [2], ἐπὶ νοῦν ἦλθε, καὶ τὴν ὁρμὴν διεκώλυσεν; οἷς τὰ ὅμοιά σοι δράσασι, καὶ τὰς ἱερὰς εἰκόνας ὑβρίσασιν, οὐδ' ἐςιν εἰπεῖν ὅσην οὗτοι καὶ τὴν τιμωρίαν ἔτισαν, πρὸς τὸ λιπεῖν τὴν κακίαν ἀνάγραπτον [3], μεθ' ἧς βεβιώκασιν. Οὐδ' ἡ μακρὰ καὶ τοῖς μακροῖς χρόνοις ἐπίδηλος τῶν θείων εἰκόνων τιμὴ, τῶν τε θεοφόρων Πατέρων εἰς ἓν περὶ τούτου ὁμολογία καὶ σύμπνοια πείθει σε, ὦ καινῶν δογμάτων ὑπασπιςὰ, τῶν φαύλων τούτων ἀπέχεσθαι καὶ λοιμωδῶν, καὶ τὰ βελτίω ἑλέσθαι, καὶ γνωσιμαχῆσαι καὶ κατιδεῖν τὴν ἀλήθειαν; οὐκ ἤκουσας τοῦ μακαρίου Παύλου, τί γράφων Τιμοθέῳ λέγει; οἶμαι γάρ σε καὶ τούτοις ὡμιληκέναι ποτὲ, εἰ καὶ νῦν τῆς διανοίας ἐξέβαλες· «εἴ τις ἑτεροδιδασκαλεῖ καὶ οὐ προσέρχεται ὑγιαίνουσι λόγοις καὶ τῇ κατ' εὐσέβειαν διδασκαλίᾳ, τετύφωται ὁ τοιοῦτος, λόγοις διακένοις ἠπατημένος, καὶ λογομαχίαις σχολάζων» [4]) ἐπὶ καταςροφῇ τῶν ἀκουόντων. Καὶ πάλιν οὗτος·

---

[1]) Эта рѣчь произнесена св. Θеодоромъ предъ императоромъ Львомъ Армяниномъ, въ присутствіи православныхъ пастырей Церкви и иконоборцевъ, созванныхъ для состязанія въ 814 году.

[2]) Въ предшествовавшей рѣчи императора были поименованы иконоборцы Левъ Исавръ и Константинъ Копронимъ.

[3]) Ἀνάγραπτος, записанный, заключенный въ письмена для памяти потомства.

[4]) 1 Тим. 6. 3, 4. Ефес. 5 6.

«παράγγελλε αὐτοὺς μὴ ἑτεροδιδασκαλεῖν· μηδὲ προσέχειν μύθοις ἀπεράντοις καὶ ματαίαις ζητήσεσιν», ἃ καὶ αὐτοὺς τῆς εὐθείας ἀφιςᾶ, καὶ οἰκονομίαν Θεοῦ τὴν ἐν πίςει ἀθετεῖ [1]).

2. Ὁ δὴ πέπονθας καὶ αὐτὸς, λόγοις φθόροις τὴν διάνοιαν ὑποθεὶς, καὶ εἴδωλα, οἶμαι, τὰς ἱερὰς εἰκόνας καλέσαι ἐξενεχθεὶς, ὡς ἐπί τινα ἀκρόπολιν, ἐπὶ τὸν παλαιὸν καταφεύγων νόμον, κακεῖθεν ἐπισυνάγων αὐτῷ τὸ μηδὲν κτιςὸν, τὸ μηδὲν χειροποίητον, τὸ μὴ ἄλλο τι δεῖν τῶν ἐντυπουμένων ἢ περιέπειν, ἢ συνόλως τιμᾶν [2]). Καὶ ἐχρῆν πρῶτα μὲν σε λογίσασθαι, βασιλεῦ, ὅτι τῆς χάριτος ἐλθούσης, ὁ νόμος κατήργηται· ὃν νῦν φυλάττειν εὔηθες κομιδῇ· ἐπεὶ οὕτωγε καὶ περιτεμούμεθα καὶ σαββατίσομεν, και τἄλλα τὰ ἐν τῷ γράμματι πράξομεν, ἵνα μὴ δόξωμεν ἐξ ἡμισείας τὸν νόμον τηρεῖν· ἔπειτα κακεῖνο συνιδεῖν, ὅτι ὁ νόμος ἀνθρώποις διωμίλει, ἔναγχος ἀπ᾿ Αἰγύπτου ἐξιοῦσι, καὶ ζηλοῦν τὰ τῶν Αἰγυπτίων σπουδὴν ἔχουσιν. Αἰγύπτιοι δὲ πάντων τῶν εὑραμένων εἴδωλα κακοδαιμονέςεροι, μέχρι καὶ τῶν τοῖς ἄλλοις αἰσχίςων τὸ σέβας ἐκτείναντες. Ὅθεν καὶ τοῖς ἐν ἐκείνοις ἀνατραφεῖσιν ὁ Προφήτης νομοθετῶν, παντὸς εἴδους ὁμοίωμα ἀπηγόρευσεν, οἷα πρὸς ἐξαπάτην εὐκόλοις καὶ κεχηνόσι περὶ τὰ χειροποιητα. Ὅπου γε οὐδὲ πανταχοῦ τοῦτο τηρήσας φαίνεται· τὰ ἐν τῇ σκηνῇ Χερουβὶμ κατασκευάσας, καὶ ἐν τῷ ἱλαςηρίῳ ἀπαιωρήσας. Αὐτοῖς τότε πολλῆς ἦν καὶ τιμῆς καὶ ἐκπλήξεως.

3. Ἀλλ᾿ ἡμῖν ἡ χάρις ἐπιφοιτήσασα ἐκείνων τε πάντων ἀπήγαγε, καὶ πρὸς τὰ κρείττω καὶ πολλῷ σεμνότερα ἤγαγε. Τί γὰρ μεῖζον καὶ περιφανέςερον, τοῦ σαρκὶ ἐμφανισθῆναι ἡμῖν τὸν προαιώνιον Θεὸν καὶ ἀπερίληπτον, καὶ τῆς ἐνδόξου αὐτοῦ μορφῆς ὑποδεῖξαι ἅπασι τὴν ἐμφέρειαν; μᾶλλον δὲ, ἵνα σοι παρὰ τοῦτου παραςήσω ἄνωθεν, ἐπειδὴ ὁ Πλάςης ἡμῶν καὶ Θεὸς, ἐπ᾿ ἀγαθοῖς κτίσας τὸν ἄνθρωπον, εἶδεν αὐτὸν τῇ κακίᾳ ὑποσυρέντα, καὶ τὸ κατ᾿ εἰκόνα ἀπολέσαντα, εὐδόκησεν αὐτὸς ἀρρήτῳ οἰκονομίᾳ τὴν ἡμετέραν σάρκα ἀναλαβεῖν· ἵνα καὶ τὸν πεσόντα ἀνακαλέσηται, καὶ τὸ ἀχρειωθὲν τῆς εἰκόνος κάλλος ἀναμορφώσηται. Ὅθεν καὶ τὸ καθ᾿ ἡμᾶς ὅλον ἑαυτῷ οὐσιώσας, ἀσύγχυτα τῶν ἑκατέρων

---

[1]) 1 Тим. 1. 3. [2]) Исход. 20. 3.

φύσεων, τῆς τε θείας, φημὶ, καὶ τῆς ἀνθρωπίνης, ἐτήρησε τὰ ἰδιώματα, ὑπὲρ λόγον οὔσης τῆς τε συνελεύσεως τούτων καὶ τῆς ἀνακράσεως. Ἐντεῦθεν καὶ τῆς ἁγίας αὐτοῦ σαρκὸς τὴν μορφὴν ἔδωκεν ἡμῖν τιμᾶν, καὶ σέβειν, καὶ προσκυνεῖν, ὡς ἂν ἐν τῇ εἰκόνι καὶ τὸ παράδοξον τῆς οἰκονομίας αὐτοῖς ὄμμασι καθορῶμεν, καὶ ἀπὸ τῆς ἐν εἰκόνι περιγραφῆς τοῦ Χριςοῦ ἐπὶ τὴν νοερὰν καὶ ἀσχημάτιςον μορφὴν τοῦ Θεοῦ τοὺς τῆς διανοίας τρέπωμεν ὀφθαλμοὺς, πρὸς αὐτὸν νεύοντες ἀνενδότως καὶ μηδενὶ τῶν κάτω περιπλανώμενοι.

4. Ἵνα δὲ ἡμῖν ἀριδήλως καὶ ὁ θεῖος πιςεύοιτο χαρακτὴρ, αὐτὸς ὁ τοῦτον ὑποδὺς Σωτὴρ ἡμῶν τὴν τοῦ οἰκείου προσώπου μορφὴν ἐτύπωσέ τε καὶ ἀπεικόνισεν ἐν χρῷ τοῦ ῥάκους ἀψάμενος· καὶ τῷ Αὐγάρῳ αἰτήσαντι (ἀνὴρ δὲ οὗτος πιςὸς, καὶ κατ᾽ Ἔδεσσαν πρῶτος) ἐκπέπομφεν. Ὃς καὶ τῇ θείᾳ ἐκτυπώσει ἐκείνῃ προσφυὴς, τήν τε ἄρρητον δύναμιν ταύτης διέγνω, καὶ λευκῶς τὴν χάριν πᾶσι διήγγειλε, χρονίας οὕτω καὶ ἀθεραπεύτου ἀπαλλαγεὶς ἀῤῥωςίας, ἧπερ κατείληπτο, καὶ πρὸς τῷ σώματι ῥάων καὶ τὴν ψυχὴν γεγονώς. Καὶ Λουκᾶς δὲ ὁ τὸ ἱερὸν ἀνατάξας Εὐαγγέλιον, τὴν τοῦ Κυρίου ἱςορήσας εἰκόνα [1]), ἔργον πολλοῦ ἄξιον τοῖς μετ᾽ αὐτὸν καταλέλοιπε. Καὶ ἄλλοι πλεῖςοι τῶν καθεξῆς, πολλὰς τῶν ἁγίων εἰκόνων τυπώσαντες, ἀνάγραπτον πᾶσι τὴν περὶ ταύτας τιμὴν διεσώσαντο. Καὶ οὐκ ἔςιν οὐ τόπος, οὐ χώρα, οὐ τῶν πανταχοῦ τις οἰκία, ἔνθα μὴ εἰκόνες θεῖαι λαμπρῶς ἀνεςήλωνται· ἐπεὶ καὶ τὸ πρᾶγμα τοῖς πᾶσιν αἰδέσιμον, τῷ τε χρόνῳ καὶ τῇ αὐθεντίᾳ λαβὸν τὸ ἐπίτιμον. Τὴν οὖν κηρυχθεῖσαν τῶν εἰκόνων τιμὴν ἐπὶ χρόνοις ὀκτακοσίοις καὶ πλείοσι, καὶ ὑπὸ πάντων βεβαιωθεῖσαν, καὶ μετὰ τοῦ Χριςιανισμοῦ ἤδη συναυξηθεῖσαν (ἐπεὶ καὶ ἄμφω συνέδραμε, Χριςιανισμός τε καὶ εἰκονικὴ ἀνατύπωσις), σὺ ἐν ἀκαρεῖ οὕτω καὶ μόνῃ τῇ ὁρμῇ τοῦ θελήματος καθαιρέσειν διέγνως καὶ ἀτίμως τὰ τίμια ἐξορχήσασθαι;

5. Μηδ᾽ αὐτὸ φρίξας τὸ σωτήριον ὄνομα, ἀλλ᾽ εἴδωλα (ὢ τῆς τῶν λόγων σκαιότητος!) τὰς θείας καὶ ἱερὰς καλέσας εἰκόνας; πόθεν ἢ παρὰ τίνος τοῦτο μαθών; ἢ τίς ὁ παραδοὺς σοι τὴν

---

[1]) Ἱςορεῖν въ смыслѣ: начертать, нарисовать.

κλῆσιν μίαν καὶ τὴν αὐτὴν ἐπί τε εἰκόνος καὶ εἰδώλου λέγειν; τοῦτο γὰρ οὔτε τινὶ τῶν θείων Πατέρων ἔδοξέ ποτε, οὔτ' ἄλλως συμβαίνει τοῖς πράγμασι. Πῶς γάρ; τὸ πολὺ καὶ οὐδ' ὅσον εἰπεῖν διαλλάττον, οὐ μόνον κατὰ τὴν ὀνοματικὴν κλῆσιν, ἀλλὰ πολλῷ πλέον καὶ κατὰ τὴν τοῦ ἀρχετύπου ὕπαρξιν. Τὸ μὲν γὰρ εἴδωλον ἔςι τε καὶ ὀνομάζεται, δαίμονος ἢ τινος ἄλλου τῶν παρ' Ἕλλησιν αἰσχρῶς θεοποιουμένων παριςῶν τὴν ἐμφέρειαν, αἴσχιον αἰσχίςου καὶ φαύλου φαυλότερον. Κατὰ γὰρ τὸ αἴτιον, καὶ τὸ αἰτιατὸν πάντως· καὶ οὗ τὸ πρωτότυπον βδελυκτὸν, οὐδὲν ἧττον μισητὸν καὶ τὸ παραγόμενον. Εἰκόνος δὲ καὶ τὸ ἀρχέτυπον, τίμιον· ἁγίου γάρ τινος, ἢ καὶ τοῦ τῶν ἁγίων Δεσπότου, τὸν χαρακτῆρα διαζωγραφεῖ· καὶ τὸ ἐν πίνακι γραφόμενον ἀξιοθέατον. Ἐπεὶ τοῦτο μὲν ἀτεχνῶς ἀληθείας ἴνδαλμα· ἐκεῖνο δὲ ψεύδους καὶ ἀπάτης ὁμοίωμα. Οὕτω γὰρ καὶ τοῖς περὶ ταῦτα δεινοῖς ἡ τῶν ὀνομάτων ὑπαλλαγὴ ἔδοξε, ψευδὲς τὸ εἴδωλον ἀνειποῦσι μίμημα· τὴν δ' αὖ εἰκόνα, τοῦ ἀληθοῦς ἀφομοίωμα.

6. Ἐπεὶ δ' ὑμῖν, ὦ βασιλεῦ, ἡ μὲν τιμὴ τῆς εἰκόνος ἐκτρέπεται, ὁ δὲ ςαυρὸς σεβασμοῦ δοκεῖ ἄξιος, πρῶτον μὲν συνιδεῖν οὐκ ἔχω, ὅτου χάριν ἡ τῶν ἑκατέρων τιμὴ ἐν ταυτῷ συνελθοῦσα (ἅμα γὰρ εἰκὼν καὶ ἅμα ςαυρὸς, εἴπερ ἡ τοῦ Δεσπότου ἐπιδημία δόξαν ἀμφοτέροις ἐπέθετο), νῦν ἀφ' ὑμῶν τῶν δύο τὸ ἕτερον ἀποκρίνεται, καὶ τὸ μὲν τὴν κρείσσω μοῖραν ἀπείληχε, τὸ δ' ἐκβέβληται καὶ ἠθέτηται. Ἔπειτα προσερήσομαί σε, ὦ τοῦ παλαιοῦ γράμματος ὑφηγητὰ, πῶς ὁ μὲν νόμος κατάρας ἄξιον ἀποκαλεῖ τὸν ςαυρὸν (ἐπικατάρατος γάρ, φησιν, ὁ τούτῳ ἀναρτηθεὶς [1]), σὲ δ' ἡ περὶ τούτου τιμὴ οὐκ ἀτιμάζειν τὸν νόμον ποιεῖ; μᾶλλον δὲ δυσὶ τοῖς ἐναντιωτάτοις ὑπόδικον καθιςᾷ· τοῦ τε μὴ συμβαίνειν δι' ὅλου τῷ νόμῳ, οὗ σὺ φύλαξ ἀπαράβατος, καὶ τοῦτο ἡμῖν ἐξ ἡμισείας συμβαίνειν, οὓς διωθεῖν ἐβουλεύσω παντάπασι· δέον ἐπείπερ ἀσεβεῖν ἔγνως, μήτε ςαυρὸν, μήτε εἰκόνα ὁμολογεῖν· ἵν' οὕτως ἐξῇ σοι ἀκόλουθα πράττειν σαυτῷ, καὶ τοῦ φυλακτηρίου νόμου συμβατικά. Ἀλλ' ἀσυλλόγιςον πρᾶγμα ἡ μοχθηρία, αὐτὴ ἑαυτῇ περιπίπτουσα, καὶ πόῤῥω παντὸς ποιοῦσα καλοῦ

---

[1]) Βτρ. 21. 23.

τοὺς ταύτῃ ἁλισκομένους· ἢ καὶ αὐτὸς καθάπαξ ἁλοὺς, οὐδὲν τῶν δεόντων ἐσκέψω· μόνοις τοῖς τὰ σὰ θεραπεύουσι ὑπαχθεὶς κόλαξι, καὶ τὰ πρὸς χάριν ὁμιλοῦσι, καὶ τὸ ἡδὺ μόνον καὶ τὸ πρὸς ἡμέραν διώκουσιν.

7. Ἐμοὶ δὲ καὶ θαυμάζειν ἔπεισι, πῶς ἐπὶ κρίσεις ἡμᾶς κεκλήκατε, οὕτω καὶ γνώμης καὶ διανοίας ἔχοντες. Τίς δ' ὁ μέλλων ἀμφοτέροις δικάσειν; τίς ὁ τὴν νικῶσαν ἐποίσειν [1]); πάντων ὑμῖν προπεποσμένων, καὶ τῇ ἐξουσίᾳ ἐκδεδιητημένων, διὰ φόβον κολάσεων. Ἀπειλαὶ γὰρ καὶ βάσανοι τοῖς ὑμῖν μὴ συμπράττουσιν ἕπονται. Καλῶς γάρ τις τῶν πρὸ ἡμῶν πρῶτον ἀγαθὸν τὸ παντάπασιν ὑμῶν ἀποδιίςασθαι ἔφησε· θηρία τοὺς αἱρετικοὺς καλέσας ἀνθρωπόμορφα, καὶ τούς τε λόγους αὐτῶν καὶ τὰ ἐπιτηδεύματα φθαρτικὰ ἀνειπὼν καὶ ὀλέθρια· οὓς καὶ ἐκκλίνειν δέον ὅτι μάλιςα, καὶ εἰ δυνατὸν, μηδὲ συναντᾶν· τούτοις οὖν καὶ τὸ ὁπωσοῦν ὁμιλεῖν οὐ περιττὸν μόνον, ἀλλὰ καὶ ἀτεχνῶς ἐπιζήμιον.

---

## 2.

### Ἐπιςολὴ

### Πλάτωνι πνευματικῷ πατρί [2]).

## Глав. 1—3.

1. Προχεῖταί μοι τὸ δάκρυον πρὸ τοῦ λόγου· καὶ τὰ σπλάγχνα δονεῖται· καὶ ἡ χεὶρ ὑποτρέμει τοῦ γράφειν· καὶ ἕλκομαι πανταχόθεν, καὶ φέρειν τὸ ὀδυνηρὸν οὐχ οἷός τέ εἰμι. Ὦ πῶς ἐνέγκω σου, πάτερ, πάτερ, τὰ χριςομίμητα πάθη; ὢ πῶς οἴσω σου τὴν ὑψηλὴν καὶ ἁγίαν ταπείνωσιν; πῶς ὑπαντήσω σοι κατὰ λόγον ἀντιγράφειν; καὶ ποῖ τράπωμαι, καὶ ὅθεν ἴωμαι κατάρχειν τῶν γραμμάτων; πρὸς ἐμὲ οὖν σὺ, ὦ πάτερ, τοιαῦτα γράφεις;

---

[1]) Ἐπιφέρειν въ смыслѣ: приписывать, присвоять. Ἐπιφέρειν τινὶ νίκην тоже, что ἐπιφέρειν τινὰ νικῶντα.

[2]) Писано изъ г. Солуня, во время первой ссылки св. Θеодора, въ отвѣтъ на письмо игумена Платона, также находившагося въ заключеніи въ небольшомъ Константинопольскомъ монастырѣ Ἐχεκόλλα.

πρὸς ἐμὲ τὸν σκώληκα, καὶ βόρβορον, καὶ ἄσωτον. ὁ πατὴρ φωνὰς ἀφίησι πρεπούσας τέκνῳ· ἱκετικὸν ἀναλαμβάνεις σχῆμα ὁ ὀφείλων ἱκετεύεσθαι. Κἀγὼ λοιπὸν ὁ τάλας τί προσφθέγξωμαι; καὶ πῶς ταπεινωθῶ τῷ δικαίῳ μου πατρί; ὅμως ἐδεξάμην σου, ὦ πάτερ, τὴν ἁγίαν ἐπιστολὴν ἐν χερσὶν ἀναξίαις ὡς θεογράφους πλάκας. Ἤκουσά σου τῆς ἐγγραμμάτου φωνῆς ὡς εἴ τις ἀκούσειεν ἀγγέλου φωνῆς ἢ ἀποστόλου· καὶ συνέτριψε τὴν καρδίαν, καὶ ἐξέβλυσε δάκρυον, καὶ ἀπεκλαυσάμην, καὶ ἐθρήνησα οὐχ Ἱερεμιτικὸν θρῆνον ἐπὶ παθῶν θεοστυγέσι γεγενημένων, ἴδιον δέ τινα καὶ φιλοπάτριον, καὶ Θεῷ ὄντως χαριστήριον. Αἰνέσεως γὰρ ἀληθοῦς ἃ ἀπέσταλκας, πάτερ δίκαιε, ἀπογραφῆς ἄξια, τῆς εἰς Θεὸν ὁλοτελοῦς σου προθέσεως γνώριμα. Τοιγαροῦν, ὦ πάτερ, ἐστήριξας ἡμῶν τὰ φρονήματα· ἐνεύρωσας ἡμῶν τὰς καρδίας. Ὑπὲρ ἐλπίδα ἡ ἀνδρία σου· ὑπὲρ προσδοκίαν ἡ παῤῥησία σου. Ἄλλος τις ἡμῖν ὤφθης, ἢ ὅσπερ ἐγνωρίζου· ὅλος ἐν Θεῷ ἠλλοιωμένος. Δόξα τῷ σε δυναμώσαντι. Οὐ κατέβαλε σε φέβος βασιλείας· οὐκ ἐχαύνωσέ σε γοητικὴ θωπεία. Οὐχ εἵλου προσκαίρου ἀπολαύειν ἡδονῆς, προκινδυνεύειν θέλων τῆς ἀληθείας τοῦ Θεοῦ. Ὁ ποιμὴν ὁ καλὸς, ὁ θεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων [1])· ὁ καὶ νῦν δέσμιος διὰ τῆς φρουρᾶς, ὡς Χριστοῦ Ἀπόστολος. Ὢ τοῦ δωματίου ἐκείνου, ἐν ᾧ φέρῃ καὶ περιάγῃ ὡς τίμιον καὶ εὔχρηστον σκεῦος τῷ Δεσπότῃ Θεῷ! Εἴθε οὖν τὸ ἔδαφος ἐκεῖνο περιεπτυξάμην, οὗ οἱ πόδες τοῦ κυρίου μου καὶ πατρὸς βαδίζουσιν. Εἴθε τὰς κατὰ σου κλεῖς καὶ κλεῖθρα προσεκύνησα, ὡς θησαυρὸν εὐσεβείας φυλάττοντα. Μᾶλλον δὲ ἐβουλόμην τὸ τίμιον ἐκεῖνο ἀσπάσασθαι σῶμα, τὸ ὁμολογῆσαν τὸν λόγον τῆς ἀληθείας· τὰς ὁσίας χεῖρας, τὰς ἐπαιρομένας εἰς ἁγίας προσευχὰς καὶ εὐπροσδέκτους. Ποῦ ποτέ μου τὸ γλυκὺ ἀπέπτη πρόσωπον; ποῦ δὲ ἡ σωτήριος φωνὴ κατεσιγάσθη; ἰδοὺ δὴ ἐγὼ ὀρφανὸς ὁ ἐλεεινὸς καὶ παντέρημος, οὐκ ἔχων τὸν πατέρα μου, οὐκ ἔχων τὸν φωστῆρά μου, τὸν ἰατρὸν καὶ τροφέα τῆς ταπεινῆς μου ψυχῆς· ἀπροστάτευτος, ἀνεπαμύνευτος πρὸς τοὺς πολεμοῦντάς με ἀοράτως· «ἐγενόμην ὡσεὶ κόραξ ἐν ἐρήμῳ· ὡς στρουθίον ἐπὶ δώματος» [2]), καθ' ἡμέραν ἐποφθαλμιῶν,

---

[1]) Іоан. 10. 11. 12. [2]) Пс. 101. 7. 8.

ὧδε κἀκεῖσε βλέπων καὶ περιαθρῶν, καὶ οὐδαμῶς τὸ ποθούμενον πρόσωπον. Καὶ οὔπω κατ᾽ ἀξίαν δυναίμην ἐκτραγῳδῆσαί μου τὸ πάθος. Πλὴν εὐχαριστῶ καὶ ὑπερευχαριστῶ, ὅτι διὰ νόμον Θεοῦ ταῦτα κατηξίωμαι· ὅτι τοιούτου πατρὸς ἐχρημάτισα τέκνον. Τάχα βασιλεύειν οἴομαι διά σου σήμερον, πάτερ ἅγιε, εἴπερ ἡ εὐχή σου σῶόν με διαφυλάξοι. Δέδοικα γάρ μου τὴν ἁμαρτίαν καὶ τὴν ἀσωτίαν· εἴση δὲ γινώσκων, ὅτι σου ταῖς ἁγίαις εὐχαῖς ἐνίσχυμαι καὶ ἐνίδρυμαι, κἂν λίαν εὐκαταγώνιστός εἰμι· καὶ οὐ μόνον ἐγώ, ἀλλὰ καὶ οἱ πάντες τὸ ἓν ἐσμὲν συμφρονοῦντές σοι σύμψυχοι, συμπάσχειν αἱρούμενοι μέχρι θανάτου. Καὶ μηδαμῶς ἡμῶν ἕνεκα δεδιὼς ἦς. Εὖγε, ὦ πάτερ, εὖγε. Εὖγε, ὦ ἄριστε κυβερνῆτα, ζηλωτὰ τῆς εὐσεβείας, μιμητὰ τῶν ἁγίων. Μεγαλοπρεπῶς ὄντως ἠγώνισαι· νεανικῶς ὑπερήθλησας· μετὰ μαρτύρων οἶδ᾽ ὅτι εἴη τὸ πνεῦμά σου. Ἔχει μὲν οὕτω ταῦτα, εἰ καὶ μήπω τῆς ἐπιθυμίας μου καὶ τῆς ἀξίας σου εἰς δέον.

2. Ἐπεὶ δὲ κελεύεις ἱστορῆσαί σοι κατ᾽ ἔπος, ἀφ᾽ ἧς ἡμέρας ὑπέστημεν ἐκείνην τὴν ὀδυνηρὰν διάζευξιν, τήν τε ὁδοιπορίαν, καὶ τὰ κατ᾽ αὐτὴν ἡμῖν συμβεβηκότα· οὐχ ἱκανῶ· πλὴν τὸ κελευσθέν μοι ποιήσω ἀοκνότατα. Κατ᾽ αὐτὴν τοιγάρτοι τὴν ἡμέραν, καθ᾽ ἣν ἀπῄεις σὺ μέν, ὦ πάτερ, τὴν ἐπὶ θάνατον ὁδὸν τῇ προαιρέσει, καὶ ἡμεῖς ἐστειλάμεθα τὴν ἐξόριστον ὁδοιπορίαν, ἐποχηθέντες ἐφ᾽ οἷς ἔτυχε ζώοις. Καὶ ὡς ἀπείρατοι κατ᾽ ἀρχὰς τοῦ τοιούτου δράματος, ἦμέν πως ἐν ἀθυμίᾳ. Προσεβάλλομεν γὰρ καὶ τισὶ κώμαις, θεατριζόμενοι ἐπὶ πάσης ὄψεως καὶ ἡλικίας ἀνθρώπων· θορύβοις τε καὶ κραυγαῖς περιηχήθημεν ἀμφότερα τὰ ὦτα, ἔν τε τῷ ἀπαίρειν καὶ καταπαύειν παρὰ τὸ τὰ ἐπιτήδεια συμπορίζεσθαι τοὺς ἄγοντας. Ὡς γε ἤειμεν ἐπὶ πρόσω ἐθισθέντες, ῥᾷον μᾶλλον ἐφέρομεν τὰ δυσχερῆ. Τὸ δὲ ἀνιῶν ἡμᾶς πλέον ἡ ἀσθένεια ἦν τοῦ πατρὸς τοῦ κυρίου διακόνου. Καὶ οὕτω τὴν ὁδὸν ἀχθόμενοι, περιαντλούμενοι διεπεράναμεν. Αὗται δὲ αἱ καταμοναί· ἀπὸ τὰ Καθαρὰ εἰς Λιβιανά· ἔπειτα εἰς Λεύκας· εἶθ᾽ οὕτως εἰς τὸ Φύραιον· ἔνθα καὶ ὀδυνηρὸν ἡμῖν συνέβη, καὶ ἱστορίας ἄξιον. Ὑπερφανέντες γάρ πως ἐξ ἀπροόπτου ἐννέα τῶν πρωτευόντων ἀδελφῶν, ὡς πρόβατα διεσπαρμένα, περιέστησαν ἡμῖν κλαίοντες, καὶ συνθρύπτοντες ἡμῶν τὴν καρδίαν. Καὶ ὁ μὲν ἄγων ἡμᾶς οὐδὲ



προσλαλῆσαι εἴα· ἐλεεινὰ δὲ βλεπόντες καὶ βλεπόμενοι, καὶ ἐπιφθέγματα ἀλλήλοις ἐπειπόντες, τελευταῖον μετὰ δακρύων διεχωρίσθημεν. Εἶτα καταχθέντες ἐν τῇ Παύλᾳ, εὕρομεν τὴν πολυτίμητόν σου ἀδελφὴν σὺν τῷ κυρίῳ Σάββᾳ [1]), κρυπτῶς συνοψισθέντες, καὶ δι᾽ ὅλης νυκτὸς ἐν ταὐτῷ μείναντες, λαλήσαντές τε τὰ εἰκότα, καὶ ἀσπασάμενοι ἀλλήλους ὡς ἐπιθανατίους, διέστημεν στένοντες καὶ ποτνιώμενοι. Ἦν ἰδεῖν ἐκεῖ σπαρασσόμενα σπλάγχνα καὶ σφαδάζοντα, θεοπρεπῶς νικωμένης τῆς φύσεως. Ἐκ τῶνδε κατεπαύσαμεν ἐν τῷ Λουπαδίῳ, φιλοφρόνως συμπαθηθέντες παρὰ τοῦ ξενοδοχοῦντος, χρησάμενοί τε καὶ λουτρῷ διὰ τοὺς μώλωπας· γεγόνασι γὰρ καί τινων δυσίατοι, ἀπὸ τῆς ὁδοιπορίας. Καὶ κατήχθημεν εἰς Τίλιν. Ἐκεῖ τοίνυν καταλαβὼν ἡμᾶς ὅ τε Ἀββᾶς Ζαχαρίας μετὰ τοῦ Πιονίου, ἐκ θερμῆς προθέσεως κλαίοντες, καὶ μεθ᾽ ἡμῶν αἱρούμενοι πορεύεσθαι, κἂν οὐκ εἰάθησαν. Ἀπὸ τοῦδε εἰς Ἀλκέριζαν· ἐκ τῶνδε εἰς Ἀναγεγραμμένους, ἔπειτα εἰς Περπερίναν· κἀκεῖθεν εἰς τὸ Πάριον· κοινωνοῦντες παρὰ τῶν ἐπισκόπων, πλὴν καὶ μετὰ ταπεινώσεως ὑπομιμνήσκοντες ὀμνύοντας. Εἶτα εἰς Ὀρκόν, ἐκεῖθεν εἰς Λάμψακον· ἐν ᾗ εὑρόντες Ἡρακλειώτας, προσανεπαυσάμεθα τριήμερον, πλεῖν οὐ δυνάμενοι. Εἶτα ἐξορμίσαντες κατεπλεύσαμεν ἐν τῇ Ἀβύδῳ, ὑπὸ τοῦ ἐκεῖσε ἄρχοντος εὐσεβῶς κατελεηθέντες· καὶ ἐπιμείναντες ἕως τοῦ σαββάτου ὀκταήμερον, ἀπεπλεύσαμεν εἰς Ἐλεοῦντας. Ἑβδοματιαῖον τε χρόνον ἐπιμείναντες, διὰ τὸ ἄπλοον, δεξιοῦ ἀνέμου πνεύσαντος, ἐπετάσθημεν ἐν τῇ Λήμνῳ ἐν ἐνναωρίῳ. Ἴστησί μου τὸν λόγον ἐνταῦθα ἡ τοῦ ἐπισκόπου τῶν τῇδε εὐσέβεια, ὃς οὐκ εἴ τις γὰρ ἄλλος καὶ ἐδεξιώσατο, καὶ παρηγόρησε, καὶ ἐφωδίασεν. Ἐκ τῶν τῇδε τοίνυν ἀποπλεύσαντες ἐν φόβῳ, διὰ τὸ παρακείμενον ἔθνος, ἀντεπεράσαμεν, βορροφόρου καὶ ῥοιζήδοντος, ἐν δωδεκαωρίῳ ἑκατὸν πεντήκοντα μιλίων ὂν τὸ πέλαγος, ὁρμίσαντες ἐν τῷ Κανάστρῳ ἐν τοῖς Θεσσαλονίκης ὁρίοις· ἔπειτα εἰς Παλλήνην τὰ πρόσγεια τοῦ κόλπου· εἶτα εἰς τὸ ἔμβολον. Ἐκ τῶν ἔνθεν ζώοις πάλιν ἐπιβεβηκότες σαββάτῳ ἡμέρᾳ ἑορτῆς τοῦ Εὐαγγελισμοῦ,

[1]) Савва, прежній игуменъ Студійскій, бывшій вмѣстѣ съ Платономъ на 7-мъ вселенскомъ Никейскомъ соборѣ.

ὥρᾳ τρίτῃ εἰσήχθημεν ἐν τῇ πόλει [1]). Καὶ οἷα ἡ εἴσοδος! οὐδὲ γὰρ τοῦτο παρελθεῖν ἀναγκαῖον. Προπεμφθεὶς τοίνυν παρὰ τοῦ ὑπάρχου, τῶν ἐξόχων εἷς μετὰ ςρατιωτῶν προσέμενεν ἐν τῇ ἀνατολικῇ πόρτῃ, καὶ ἐπιςᾶσιν ὑπήντησαν ὄρθιοι διὰ σιγῆς. Καὶ μετὰ τὸ εἰσελθεῖν κλείσαντες τὰς πύλας, ἦγον διὰ τῆς ἀγορᾶς, προπομπεύοντες ἐπὶ τῆς ὄψεως τῶν εἰς τοῦτο συνδεδραμηκότων· καὶ ἀπαγαγόντες εἰσήγαγον πρὸς τὸν ἄρχοντα. Καὶ εὖγε τῷ ἀνδρί· εὐμενὲς γὰρ πρόσωπον δείξας, μετὰ τὸ πεσεῖν χρηςὰ ἐφθέγξατο ἡμῖν. Παρέπεμψέ τε πρὸς τὸν ἀρχιεπίσκοπον, πρῶτον προσευξαμένους ἐν τῇ ἁγίᾳ Σοφίᾳ. Καὶ ἐν τῷ εὐκτηρίῳ τῷ παρ' αὐτοῦ ποιήσας εὐχήν, ὁ ἁγιώτατος ἐδέξατο καὶ κατησπάσατο ἡμᾶς, ὁμιλήσας ἡμῖν τὰ δέοντα, καὶ παρ' αὐτὰ κρατήσας καὶ ἀναπαύσας διά τε λουτροῦ καὶ βρωμάτων. Τῇ δευτέρᾳ πρωΐθεν ἦραν ἡμᾶς, καὶ δι' αἰτήσεως ποιήσαντες εὔξασθαι εἰς τὸν ἅγιον Δημήτριον, διεχώρισαν πάντας ἀπ' ἀλλήλων, προπεποιηκότας εὐχὴν καὶ ἀσπασαμένους ἀλλήλους. Τοὺς δύο δὲ ἡμᾶς ἀδελφοὺς ἀναγαγόντες ἐπὶ τὸν ἐν ᾧ εἰμι νυνὶ τόπον, διέζευξαν δακρυρρῶς καταφιλήσαντας ἀλλήλους, ὡς καί τινας τῶν θεωμένων ταραχθῆναι τῇ συμπαθείᾳ. Οὕτως τὰ καθ' ἡμᾶς ἔχει, ὦ πάτερ. Καὶ νῦν εἰμι ἐγὼ ὁ ταπεινὸς ἐνταῦθα βίον ἕλκων ὀδυνηρὸν καὶ πολυςένακτον.

3. Τὰς δὲ ἐκ τῆς ἁγίας σου χειρὸς εὐλογίας [2]) ἐδεξάμεθα, ὡς δύναμιν ἐχούσας τῆς ἁγίας Τριάδος· καὶ ἔχομεν αὐτὰς ὡς φυλακτήριον, καὶ περιτίθεμεν αὐτὰς ἐν ὀφθαλμοῖς ἡμῶν, ὡς τὴν δεξιάν σου καταφιλοῦντες. Πάλιν δάκρυα, πάλιν ςρέφονταί μου τὰ ἐντός. Καταπαῦσαι γὰρ θέλω τὸν λόγον. Ὦ πάτερ, τί με ἐγκατέλιπες [3]); ἀλλ' οὐκ ἐγκατέλιπες. Πῶς δέ μου ἀπεμάκρονας; ἀλλ' ἐν ἐμοί εἶ. Ποῦ δὲ σε ἔτι μέλλω ὁρᾶν; πῶς σε ὄψομαι; ποῦ σου ἀκούσω τῆς ἡδίςης καὶ σωτηρίου φωνῆς; ὁπότε σου γένωμαι ὁμοτράπεζος; ποῦ σου συνουσίας ἀπολαύσω; ἢ πώποτε ἐν ὠσί σου ἀναγνώσομαι; ἢ πρὸ προσώπου σου ᾄσω; ἢ σωφρονισθῶ; ἢ ἐπιτιμηθῶ; ἢ ἐπιμνησθῶ; ἔςιν ποιῶν ἃ φίλον σοι,

[1]) Т. е. въ Солунь или Θессалонику.

[2]) Подъ εὐλογίαι здѣсь разумѣются какіе-либо вещественные знаки благословенія игумена Платона.

[3]) Мат. 27. 46.

εςίασιν, βρῶσιν, ποτὸν, ὁμιλίαν, ςάσιν, καθέδραν, ἀνάκλισιν. Τί μοι συμβέβηκε; καλῶ τοὺς ἀνθρώπους μάρτυρας, καλῶ καὶ τὰς οὐρανίους δυνάμεις συνηγόρους μοι· ὅτι νόμος σε Θεοῦ ἐχώρισεν ἀπ' ἐμοῦ, ἐντολὴ μία αἰώνιος [1]). Ἀκουσάτω ἡ ὑπ' οὐρανόν. Διὰ τοῦτο χαίρω, καὶ φωνὴν ἀφίημι αἰνέσεως Θεῷ. Ἀπέχω πάντα ὑπὲρ ἐκ περισσοῦ. Ἀγάλλομαι, οὐκ ὀρφανισθήσομαι ἔτι, οὐκ ὀδυνηθήσομαι, οὐδ' ἀγενές τι φθέγξομαι. Δέξαιο δὲ καὶ τὰ ἀνώτερα, πάτερ, ὡς εὐαγῆ· τοῦ πόθου σου γὰρ σύμβολα. Πλὴν ὅτι καὶ ἔτι κλαύσομαι, ἀλλ' εὐαπόδεκτα. Σὺ δέ, ὦ πάτερ τρισμακάριε, χαῖρε καὶ εὐφραίνου. Τὰ βραβεῖά σοι ἐπλάκησαν, ὁ τῆς ἀναπαύσεως τόπος ἡτοίμασαι. Ὁ ζῆλός σου κατὰ τοὺς πατέρας σου· ἡ φρουρὰ βοᾷ τὴν ἀλήθειαν. Ἐδέθη ὁ δίκαιος, ὡς δύσχρηςος· οἱ ἐν εὐσεβείᾳ εὐχάριςοι, οἱ ὁμόζηλοι, θερμότεροι, κάλλιςον προοίμιον θεασάμενοι. Οἱ διώκοντες λόγους ἔξωθεν πλέκουσι καὶ καχίζουσι, καὶ μάλιςα οἵτινες τῶν μοναχῶν. Ἔσωθεν δὲ ταῖς ἐννοίαις ὑπωπιάζονται, καὶ πικρὸν κατήγορον τὴν ἰδίαν συνείδησιν ἔχουσιν. Ἐπεὶ καὶ θαυμάζουσιν. Ἴσασι γὰρ ἄγασθαι, ὡς ὁ μέγας Γρηγόριος, ἀνδρὸς ἀρετὴν καὶ πολέμιοι· ὅταν τοῦ θυμοῦ λήξαντος ἐφ' ἑαυτὴν ἡ πρᾶξις δοκιμάζηται [2]). Ἄγγελοι ὑμνοῦσί σε, ἄνθρωποι μακαρίζουσι· Χριςὸς ἀπεδέξατο· τὰς πύλας σοι ἀνέωγε τῆς βασιλείας τῶν οὐρανῶν εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

## Ἐπιςολὴ

### Ταῖς πανταχοῦ διεσπαρμέναις ἀδελφότησι [3]).

## Глав. 1—5.

1. «Χάρις ὑμῖν καὶ εἰρήνη πληθυνθείη» [4]). Δίκαιον γὰρ ἀπὸ φωνῶν ἀποςολικῶν τοῖς διὰ Χριςὸν δεδιωγμένοις ἐπιφθέγγε-

---

[1]) Т. е. заповѣдь закона, которой защита была причиною ссылки ихъ.

[2]) Св. Григорій Богословъ въ Словѣ на память св. мучениковъ Маккавеевъ, Гл. II.

[3]) Писано въ 818 г. въ крѣпости Бонитѣ.

[4]) 2 Петр. 1. 2.

σθαι. Εὐλογητὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριςοῦ, ὁ ἀνοίξας ἡμῖν τοῖς ταπεινοῖς θύραν, καίπερ τηρουμένοις ἀσφαλῶς, τῇ διὰ τοῦ γράμματος ὁμιλίᾳ συναφθῆναι ὑμῖν τοῖς ἠγαπημένοις ἀδελφοῖς ἡμῶν. Ὄντως «ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται» [1], κἂν δεσμεῖν οἱ κρατοῦντες οἴωνται· ὄντως μέγα ὀφείλομεν χαίρειν, ὅτι ὁρῶμεν ἐν ἡμῖν αὐτοῖς τοῖς ἁμαρτωλοῖς τὰς ἐκβάσεις τῶν θείων προρρήσεων. Δεῦτε, εἴπωμεν, ἀδελφοί, μετὰ τοῦ Ἀποςόλου· «τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ; θλῖψις; ἢ ςενοχωρία; ἢ λιμός; ἢ διωγμός; ἢ γυμνότης; ἢ κίνδυνος; ἢ μάχαιρα» [2]; μὴ γὰρ δι᾽ ἑαυτὸν μόνον ταῦτα εἴρηκεν, ἀλλ᾽ οὐχὶ καὶ ὑπὲρ ἡμῶν· ἵνα καὶ ἡμεῖς τοιαύτῃ διαθέσει τὰ πρὸς Θεὸν ἔχωμεν, ὥςε μὴ ἐκκακῶμεν ἐν οἷς ἐσμεν θλιβεροῖς, ἀλλ᾽ ἀγαπῶμεν καὶ τὰ ἐλλείποντα παθήματα ὑποίσαι μετὰ χαρᾶς [3]; χαρὰ γάρ ἐςιν ἀνεκλάλητος ὑπὲρ Χριςοῦ καὶ μετὰ Χριςοῦ πάσχειν· καθὼς ἔδειξαν οἱ ἅγιοι πάντες μέχρι Θαδδαίου τοῦ ἡμετέρου μάρτυρος [4], καὶ οὗτινος ἄλλου ὁμολογητοῦ, μετόπισθεν ἀπάραντος ἢ ἐκ φυλακῆς, ἢ ἔκ τινος ἄλλου φυγαδείας τόπου, καλῇ προθυμίᾳ καὶ ἀξιοδιώκτῳ πράξει.

2. Γενοίμεθα, ἀδελφοί μου, καὶ ἡμεῖς μάρτυρες τοιουτοτρόπως· ἐν τῷ ἀεὶ παρεσκευάσθαι συλληφθῆναι, ὁμολογῆσαι, φραγελλωθῆναι [5], ἀποθανεῖν. Τοῦτό ἐςι καθ᾽ ἡμέραν μαρτυρεῖν· τοῦτο καθ᾽ ἡμέραν ἀποθνήσκειν· ἐξ οὗ καθαίρεσθαι συμβαίνει τὴν ψυχήν, ἀναχωρεῖν τῶν παθῶν, ἐγγίζειν τῷ Θεῷ, μισεῖν κόσμον, φαντάζεσθαι οὐρανόν, τὰ εἰς αἰῶνας ἀποκείμενα ἀγαθά· ἀλλ᾽ οὖν καὶ σκυθρωπά. Οὐδὲ γὰρ ἂν ἡ τοιαύτη παρασκευὴ δίδωσι σχολὴν τῷ νῷ φιληδονεῖν καὶ διαχεῖσθαι προσπαθῶς ὧδε κἀκεῖσε· ἀλλὰ νευροῖ μᾶλλον τὴν καρδίαν, κατανύσσει δακρυρροεῖν τοὺς ὀφθαλμούς, ἐφίεσθαι τὴν ἀπὸ σώματος ἔξοδον ὡς ἔκ τινος δεσμωτηρίου ἐπαχθοῦς. Σκοπῶμεν οὖν λοιπὸν ὁποῖοι ἐσμεν, καὶ εἰ οὕτως, εὖγε μάλα· εἰ δ᾽ ἄλλως, ἐπαναγώμεθα καὶ καθαιρώ-

---

[1]) 2 Тим. 2. 9. [2]) Рим. 8. 35. [3]) Кол. 1. 24.

[4]) Св. Θаддей, монахъ Студійскаго монастыря, пострадавшій за иконопочитаніе въ 814 г. Память его 29 Декабря.

[5]) Φραγελλόω (отъ лат. flagello—бичую) употребляется въ Новозавѣтномъ греческомъ текстѣ: Мат. 27. 26. Марк. 15. 15.

μεθα. Φεύγωμεν τὸν ἀνήμερον δράκοντα διάβολον· τὰ πεπυρωμένα τῆς πικρᾶς καὶ θανασίμου ἐπιθυμίας βέλη. Οὐκ ἔςιν ἡδονὴ, ἀλλ' ὀδύνη· οὐχ ἡδύτης, ἀλλὰ χολή· οὐκ εὐπάθεια, ἀλλὰ δυσμένεια, δουλεία, φθορὰ, δαιμονισμὸς, ἀλλοίωσις τῆς κατὰ φύσιν ἕξεως. Ἐπεὶ εἰ καλὴ καὶ ἡδεῖα, πῶς οὐς ἕλῃ, εὐθὺς δείκνυσι μωρούς, κτηνώδεις, ἠσχυμμένους, δουλοπρεπεῖς, δυσελπίςους, ἐκλελυμένους, ὑποδίκους θανάτου αἰωνίου; ὥςε φαρμακεύει ἐξιςῶσα καὶ ἀλλοιοῦσα, οὐκ οὖσα ὡς ὑποτίθεται καὶ ἀρχιφάρμακος, καθάπερ τοὺς δαιμονῶντας, οὐ συνιόντας ὃ ὑφίςανται, εἰ μὴ μετὰ τὴν ἀνάνηψιν. Βλέπωμεν οὖν λοιπὸν, ἀγαπητοὶ, τὰ καταγώγια ἡμῶν, τὰς ἀναςροφὰς ποῦ καὶ μεθ' οὗ. Καὶ εἰ βλαβερὸν ἐκεῖ, μεταςατέον. Καὶ εἰ μετὰ σκανδαλίζοντος, ἐκκοπτέον. Καὶ εἰ οὐ μετ' οὐδενὸς, προσληπτέον· ἐπείπερ ἀρατὸν τὸ μεμονωμένον [1], ἕως ἂν ἀναγκαῖος τρόπος οὐ πάρεςι. Τηρητέον τἄλλα, τὴν βρῶσιν, τὴν πόσιν, τὸν ὕπνον, τὴν ἐργασίαν· ὡς ἂν τὰ πάντα ςάθμια δυνατοῦντα τὸ σῶμα ὑπουργεῖν ταῖς ἐντολαῖς, ἀλλ' οὐκ ἐξαγριοῦντα κατεξαναςῆναι τῆς ψυχῆς. Πῶλος ἐςιν· ἐὰν ὑπερμαζῇ, ἀτακτεῖ, φέρει κάτω τὸν ἀναβάτην νοῦν. Ἀφ' ἡμῶν καὶ τὰ ὑμῶν ἐξηγοροῦμεν· ἐπεὶ πάντες ἄνθρωποι τὰς ἡνίας τοῦ αὐτεξουσίου ὁμοίως πρὸς Θεοῦ εἰληφότες αὐτοκρατορικῶς, κἂν ἀεὶ πόλεμος, ψυχῆς καὶ σώματος ἀντικαθεζομένων.

3. Ὁ μὲν δὴ περὶ τούτου λόγος ἐχέτω ταῦτα. Τί δὲ τὰ ἑξῆς; ἡ πίςις ἀκλινὴς, ἀπερίτρεπτος, καθὼς παρέδωκα ὑμῖν καὶ παρέλαβον παρὰ τῶν ἁγίων· μᾶλλον δὲ ἀμφότεροι ἀφ' ἑνὸς καὶ τοῦ αὐτοῦ πνεύματος. Χριςὸς οὐ Χριςὸς, εἰ μὴ ἐγγράφοιτο. Ἅμα γὰρ εἰπεῖν Χριςὸν, ἐννοεῖν ἔςι τὸ τῆς σωματώσεως αὐτοῦ μυςήριον. Οὐ γὰρ ἂν Χριςὸς λέγοιτο γυμνὸς σώματος ὁ Λόγος ἐννοούμενος. Ἐπεὶ δὲ σὰρξ ὁ Λόγος, σαρκὶ δηλονότι καὶ περιγράφοιτο· καὶ τῷ «Χριςὸς» ὀνόματι, καὶ τὸ τῆς περιγραφῆς συνεισήνεκται καὶ συνεπινενόηται ἰδίωμα. Ὥςε οἱ μὴ λέγοντες αὐτὸν γράφεσθαι, ἤγουν εἰκονίζεσθαι, ἄσαρκον αὐτὸν ὑπολαμβάνουσι, καὶ πόρρω τῆς αὐλῆς Χριςοῦ, κἂν Πέτρος εἶεν, κἂν Παῦλος· ὡς αὐτὸς Πέτρος καὶ Παῦλος ἀπέφηνε πρὸς ἀσφάλειαν ἡμετέραν· οὐχ ὅτι τις τῶν ἀποςόλων, ἢ τῶν μετ' αὐτοὺς ἁγίων, εἴρηκε

[1]) Εκκλ. 4. 10.

μὴ περιγραφόμενον σώματι Χριςὸν, ἄπαγε! ὡς οἱ δυσσεβεῖς τὰ νόθα προφέροντες λέγουσι. Ταύτην τὴν εἰλικρινῆ πίςιν κατέχωμεν, ὦ ἀδελφοί· τήνδε τὴν καλὴν ὁμολογίαν ὁμολογῶμεν, μηδ' ὅλως παραφερόμενοι. Ἀρνησίχριςοι οἱ μὴ οὕτως ἔχοντες· Χριςομάρτυρες οἱ ἐνιςάμενοι, μετὰ τῶν τεσσαράκοντα [1], τῆς ἀπ' αἰῶνος ἀθλητικῆς ὁμηγύρεως. Οὐά· ὑπὲρ τοῦ μὴ ἀπαγεύσασθαι ὑείων κρεῶν τὸ τηνικαῦτα παρανόμως τοὺς Μακκαβαίους—μαρτύριον· καὶ σὺ ὑπὲρ τοῦ μὴ ἀρνήσασθαι Χριςὸν ἐγγεγραμμένον πανθάνων [2], οὐ μάρτυς; Ἰωάννης ὁ Πρόδρομος ὑπὲρ ἐλεγμοῦ ἀληθείας τῆς πρὸς Ἡρώδην τυμπανισθεὶς μαρτύρων διάκοσμος· καὶ σὺ οὐκ ἐν μάρτυσι θνήσκων ὑπὲρ Χριςοῦ; «μηδεὶς ὑμᾶς ἐξαπατάτω κενοῖς λόγοις· διʼ οὓς ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας» [3]).

4. Μάρτυς ἀπαράγραπτος ὁμολογῶν· καὶ τοσοῦτον, ἐφ' ὅσον καὶ πλεονάζει τοῖς παθήμασι. Μὴ σαλευέτω ὑμᾶς ἡ ἐπικράτησις τοῦ διωγμοῦ· οὔπω ἐπολυετήσαμεν κατὰ τοὺς προλαβόντας ὁμολογητάς· οὔπω ἐπυρώθημεν τῷ διαρκεῖ πυρὶ τῆς δοκιμωτάτης πείρας· ἔτι μόλιβδος ἐμμιγής· ἔτι ῥυπὶς ἁμαρτητική. Σὺ τίς εἶ ὁ ἐμβατεύων ἐν τοῖς τῶν ἀθεωρήτων κριμάτων βάθεσιν; «ἃ προσετάγη σοι, ταῦτα διανοοῦ» [4]). Τὸ ἐπαγγελθὲν σπέρμα, ἐν εὐλογίᾳ Θεοῦ, Ἀβραὰμ κληρονομεῖν τὴν ἁγίαν γῆν, τετρακόσια τριάκοντα ὑπὸ χεῖρα Φαραὼ προδεδουλῶσθαι ᾠκονόμησε Θεός. Ὁ Χριςιανισμὸς ἀπ' ἀρχῆς τοῦ κηρύγματος τῶν ἀποςόλων ὑπὲρ τὸ διακοσιοςὸν ἔτος, μέχρι τοῦ Κωνςαντίνου τοῦ πρώτου βασιλέως χριςιανῶν, ἐν διωγμῷ βρέμοντι. Οἱ μετέπειτα, ὑφειμένως μέν, ὅμως μακροετίζοντες· πάρεξ τοῦ κατὰ Ἰουλιανὸν τὸν ἀποςάτην. Παῦλος ὁ μέγας τριακονταπέντε ἔτεσι διωκόμενος, καὶ καθημέραν ἀποθνήσκων· καὶ σὺ ἐν πέντε χρόνοις ἠτονηκώς; Κλήμης ὁ πολύαθλος εἰκοσιοκτὼ ἔτεσι μαρτυρῶν [5])· καὶ σὺ ἀχανιῶν ἐν βραχέσι; ποῦ μοι καιρὸς τὰ τῶν ἄλλων μαρτύρων λέγων; οὐκ ἤκουσας τὴν ὑπομονὴν Ἰώβ; οὐχὶ πεντεκαίδεκα ἔτη, ἢ καὶ προς. ἕλκει πονήρῳ

---

[1]) Подразумѣвается: мучениками.

[2]) Πανθάνω (отъ πένθος) глаголъ синонимическій съ πάσχω.

[3]) Еф. 5. 6. [4]) Сир. 3. 22.

[5]) Память священномученика Климента, епископа Анкирскаго, 23 Января.

ἐβασανίζετο, πρὸς τοῖς ἐπενεχθεῖσιν αὐτῷ ἄλλοις τραγῳδήμασι; καὶ ταῦτα οὐ συνειδὼς τι πεπραχέναι τῶν ἀριςερῶν· μᾶλλον μὲν οὖν γε καὶ τῶν λίαν δεξιῶν. Ἀλλὰ τί αὐτῷ ὁ χρηματισμός; «ἵνα δίκαιος, φησιν, ἀναφανῇς» [1]). Οὕτω καὶ νῦν κοσκινίζει ἡ Πρόνοια οἱονεὶ τοὺς παρόντας, ἵνα τὰ ζιζάνια ἔτι ἐκριφῇ, ἵνα ὁ σῖτος ἐναπομείνῃ καθαρός.

5. Οὐκ ἀκούεις τί λέγει τῷ Ζαχαρίᾳ; «κάθες αὐτοὺς εἰς τὸ χωνευτήριον· καὶ σκέψαι εἰ δοκίμιόν ἐςι, καθὼς ἐγὼ ἐδοκιμάσθην ὑπὲρ αὐτῶν» [2]). Ἐνέγκωμεν ἔτι, ὦ γενναῖοι ςρατιῶται Χριςοῦ. «Αἱ ἡμέραι ὡσεὶ σκιαὶ παράγουσι» [3])· κἂν οἱ διώκοντες ἐπιμένειν οἴωνται. «Εἰ ἐμὲ ἐδίωξαν», φησι, «καὶ ὑμᾶς διώξουσιν· εἰ τὸν λόγον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρήσουσιν· ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου· ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με» [4]). Ἐπ᾽ ἀληθείας γὰρ οὐκ οἴδασιν, ὅτι «ὁ Θεὸς καὶ Πατὴρ ἔπεμψε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ γενόμενον ἐκ γυναικὸς, γενόμενον ὑπὸ νομον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ» [5]), ἵνα τὴν οἰκουμένην τῷ ἰδίῳ Πατρὶ κατακτήσηται. Ἦ γὰρ ἂν οὐκ ἂν ἠρνοῦντο αὐτὸν ἐγγράφεσθαι· οὐδεὶς γὰρ ἐκ γυναικὸς γεννώμενος ἀνεικόνιςος, εἰ μηδ᾽ ἂν εἴεν ἔκτρωμα. Οὕτω τοιγαροῦν, ἀδελφοὶ, καταρτίζωμεν ἑαυτούς. Καὶ οὕτω παρακαλούμεθα τοῖς λόγοις τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριςοῦ, ἀναμένοντες τὴν ἀνταπόδοσιν. Ἀλλ᾽ οἴδατε, οἷος ὁ Λεόντιος [6])· εὐνούχων γένος, οὐ μόνον ἄτιμον, ὥς τις τῶν θεοφόρων εἴρηκεν, ἀλλὰ καὶ ἀρνησίχριςον· καὶ οὐδ᾽ οὕτως ἀρκούμενον, ἀλλὰ καὶ ἀγρίως τιμωρούμενον ἀδελφοὺς ἡμῶν. Ὁ πρὶν μαθητὴς, νῦν ἀρνητὴς ἰουδαΐζων· ὁ ἐν ἀδελφοῖς ὑπερέχουσι, κατὰ τῶν ἀδελφῶν ὑπὲρ ἅπαντας τοὺς δικάζοντας· ὁ μὴ λέγων ἁπλῶς εἰκόνα, ἀλλὰ ἁγίαν εἰκόνα, Χριςοῦ τυχὸν, τῆς Θεοτόκου, ἢ τινοσοῦν τῶν ἁγίων, ἄρτι ἐςὶ καίων, καθαιρῶν, ὡς θὴρ μαινόμενος βλασφημῶν. Ἐξ οὗ καὶ τῷ κρατοῦντι φιλούμενος, καὶ τῶν μοναςηρίων ἡμῶν ἄρχων, καὶ πάντα πράττων ὁ τάλας εἰς Χριςοῦ ὕβριν. Ἀλλ᾽ οὐαί μοι! ἐμὰ γὰρ τὰ ἐκείνου κωμῳδήματα. Ὅμως ὅτι

[1]) Іов. 33. 32. [2]) Зах. 11. 13. [3]) Пс. 143. 4. [4]) Іоан. 15. 20. [5]) Гал. 4. 4.

[6]) Леонтій—монахъ, предавшійся иконоборцамъ, но потомъ раскаявшійся.

τῷ κατὰ σάρκα φύσαντι ὅμοιος· ἐπεὶ κἀκεῖνος ἐν τοῖς πάλαι καιροῖς ἀκροθίνιον ἀσεβείας, ὥσπερ καὶ τοῦ Ἑρμίου [1]). Ἄμφω γὰρ δαιμονῶσι· καὶ οὐ μίγει ὁ Θεὸς κορώνην καὶ περιςερὰν, ἀλλὰ τὰ ὅμοια τοῖς ὁμοίοις. Ἐκεῖνοι μὲν οὕτως. Καὶ δοίη αὐτοῖς Κύριος ἐπίγνωσιν ἀληθείας, ἐζωγρημένοις ὑπὸ τοῦ διαβόλου εἰς τὸ ἐκείνου θέλημα. Ὑμᾶς δὲ Χριςὸς σὺν οἷς ὁ ἀποςάτης κολάζει, ςηρίξειε, δυναμώσειε, κρατύνοιεν ὑπενεγκεῖν ἔτι, πεινῶντας, διψῶντας, γυμνητεύοντας, κολαφιζομένους, ἀςατοῦντας, κοπιῶντας, λοιδορουμένους, διωκομένους, βλασφημουμένους, «ὡς περικαθάρματα ὄντας τοῦ κόσμου, πάντων περίψημα» [2]), κατὰ Παῦλον τὸν μέγαν, μεθ' οὗ εἴεν καὶ ἡ μερὶς ὑμῶν. Ἀδελφοὶ, προσεύχεσθε περὶ ἡμῶν τῶν ἁμαρτωλῶν, ἵνα σωζοίμεθα, ἀξιούμενοι πάντων τῶν ἐνιςαμένων τοῦ ἐσχάτου βαθμοῦ. Ἀσπάζεται ὑμᾶς ὁ σὺν ἐμοὶ ἀδελφὸς Νικόλαος [3]). «Ἡ χάρις τοῦ Θεοῦ μετὰ πάντων ὑμῶν» [4]). Ἀμήν.

---

## Ἐπιςολὴ

Ταῖς πανταχοῦ διεσπαρμέναις ἀδελφότησιν [5]).

## Глав. 1—2.

1. Χαίρετε, ἐπιπόθητοί μου ἀδελφοὶ καὶ πατέρες, ὅτι χαρᾶς εὐαγγέλια. Πάλιν ἠξιώθημεν οἱ ἀνάξιοι ὁμολογῆσαι τὴν καλὴν ὁμολογίαν· πάλιν ἠκίσθημεν ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου

---

[1]) Между еретиками извѣстны: Ермій, отъ котораго получили названіе Ерміане или Ермогеніане въ началѣ 3-го вѣка; другой Ермій 4-го вѣка, одинъ изъ предводителей Мессаліанъ. См. Augustin. de haeres. c. 48 et 57.

[2]) 1 Кор. 4. 13.

[3]) Св. Николай, Студійскій монахъ, ученикъ и слуга св. Өеодора. Память его 4-го Февраля.

[4]) Тим. 3. 15.

[5]) Писано въ 819 году, въ Смирнѣ.

ἀμφότεροι. Καὶ γὰρ καὶ ὁ ἀδελφὸς Νικόλαος ἐνήθλησε κάλλιςα καὶ πιςότατα. Εἴδομεν ἐκ σαρκῶν ἡμῶν χεόμενα ἐπὶ γῆς αἵματα οἱ ταπεινοί· ἐθεασάμεθα μώλωπας, ἰχῶρας, τὰ τούτοις ἀκόλουθα. Οὐ ταῦτα χαρᾶς; οὐ ταῦτα ἀγαλλιάσεως ψυχικῆς; ἀλλὰ τίς εἰμι ἐγὼ ὁ τάλας, σὺν ὑμῖν τοῖς ἀξίοις Χριςοῦ ὁμολογηταῖς ἐνταγῆναι, πάντων ἀνθρώπων ὢν ἀχρειότερος; τὸ δὲ αἴτιον, οὗ χάριν τὸ συμβὰν, ἡ πάλαι κατήχησις, ἣν ἐπὶ χεῖρας δεξάμενος ὁ κρατῶν, πέπομφε πρὸς τὸν ςρατηγοῦντα, παραγενέσθαι ἐγκελευσάμενος τὸν τῆς κόρτης κόμητα [1]) πρὸς ἡμᾶς· ὃς ἐληλυθὼς σὺν ἄρχουσι καὶ ςρατιώταις ἐν ἀωρίᾳ, καὶ περιςοιχίσας τὸ οἰκίδιον ἐν ᾧ ἦμεν ἀθρόως μετὰ κραυγῆς, ὡς ἐπί τι θηράσιμον εὕρεμα, ὀρυκτῆρσι κατέαξεν τὸ ἀνάφραγμα τάχιςα· εἶτα ἐξήνεγκεν, ἀνέκρινεν, ὑπέδειξε τὴν κατήχησιν. Ὡμολογήσαμεν ἡμεῖς αὐτὴν πεποιηκέναι, ὡς ὁ Θεὸς ἠθέλησεν. Ὁ μὲν ἐν ἐζήτει μόνον, ἐλθεῖν ἡμᾶς εἰς τὸ τοῦ βασιλέως θέλημα. Εἴπομεν ὅπερ ἀπῄτει ἡ ἀλήθεια· μὴ γένοιτο! οὐκ ἀθετοῦμεν τὸν Θεὸν ἡμῶν· ὅσα τε ἄλλα ἦν ἀκούοντας ἀνταποκρίνασθαι. Ἐν τούτοις ἔδειρε βαρέως· καὶ ὁ μὲν ἀδελφὸς οὐδὲν τοιοῦτον μετὰ τὴν εὐθὺς κάθειρξιν καὶ ἀναγραφὴν δεινὸν ἐν πόνοις ὑπέςη [2]), ἐγὼ δὲ ὁ ταπεινὸς καὶ σαθρὸς, πυρετοῖς λαύροις συσχεθεὶς καὶ πόνοις δυσυποίςοις, μικροῦ δεῖν ἐξηπορήθην καὶ τοῦ ζῆν· ὅμως ὁ ἀγαθὸς Θεὸς κατὰ μικρὸν ἐλεῶν ἠλέησέ με, συνυπουργοῦντος καὶ τοῦ ἀδελφοῦ ἐν τοῖς καθήκουσι· κἂν ἔτι αἱ πληγαὶ ἐπιμένωσι μὴ λαβοῦσαι τελείαν ἴασιν. Ταῦτα μὲν ἐν τούτοις· καὶ ἐξηγόρησα ὑμῖν τὸ πάθος, εἰδὼς ἐφιεμένους μαθεῖν εἰς συνάλγησιν. Τί οὖν ἐπειδὴ τὰ τοιαῦτα; καὶ ἡ ἀπειλὴ δεινοτέρα, καὶ ἡ ἀσφάλεια κραταιοτέρα. Δαρμοὶ γὰρ [3]) καὶ ἐπὶ τοὺς φύλακας, καὶ ἐπὶ τὸν παραφύλακα, τοῦ μὴ γρύξαι ἡμᾶς, μὴ ὅτι γε καὶ γράφειν τινί. Ὑποπτήξομεν ἄρα καὶ ἀποσιωπήσομεν, πειθαρχοῦντες τῷ φόβῳ ἀνθρώποις καὶ οὐχὶ Θεῷ; οὐμενοῦν. Ἀλλ᾽ ἕως ἂν ἀνοίγῃ ἡμῖν θύραν ὁ Κύριος, οὐ παυ-

---

[1]) Κόρτης κόμης, лат. cohortis comes, высшій чиновникъ при Римскомъ пѣхотномъ отрядѣ войска.

[2]) Это было при императорѣ Львѣ Армянинѣ, когда св. Θеодоръ съ ученикомъ Николаемъ находились въ крѣпости Бонитѣ.

[3]) Δαρμος или δάρσις (отъ δέρω), бичеваніе.

σόμεθα τὸ δέον ἀποπληροῦν κατὰ τὸ ἐφικτὸν ἡμῖν. φοβούμενοι καὶ τρέμοντες τὸ ἐπηρτημένον τῆς σιωπῆς κρῖμα. «Ἐὰν ὑποςελητάι», φησιν, «οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ». Καὶ πάλιν ὁ Ἀπόςολος· «ἡμεῖς δὲ οὐκ ἐσμὲν ὑποςολῆς εἰς ἀπώλειαν, ἀλλὰ πίςεως εἰς περιποίησιν ψυχῆς» [1].

2. Διὰ τοῦτό μοι καὶ ἡ παροῦσα ἐπιςολὴ πρὸς μὲν πάντας τοὺς διεσπαρμένους ἀδελφοὺς, καὶ διαφέροντας τὸν διωγμὸν θλιπτικῶς· ἐξαιρέτως δὲ εἰς ὑμᾶς τοὺς ὁμολογητὰς Χριςοῦ. Ἐνέγκωμεν, ἀδελφοί μου ἀγαπητοὶ, ἔτι μᾶλλον δυναμούμενοι, ἀλλ' οὐ καταπτήσσοντες ἐν τοῖς παθήμασι. Σάρκες εἰσί· μὴ φεισώμεθα· ὑπὲρ Χριςοῦ βασανιζόμενοι, ἀγαλλιώμεθα. Ὁ περισσεύων ἐν τοῖς πόνοις, χαιρέτω μᾶλλον, ὡς πλεονεκτῶν ἐν τοῖς μισθοῖς· ὁ δειλαινόμενος μαςίγων ἐνεγκεῖν πόνους, διὰ τοῦτο ἀποσειέτω τὸ δέος, τὰς αἰωνίους ἀνίας ἐννοούμενος. Αἱ γὰρ πληγαὶ αὐτῶν πρὸς ἐκείνας—ὄναρ, βέλη νηπίων. Ναι δέομαι, ἀντιβολῶ· γλυκανθῶμεν ἐν τοῖς ὑπὲρ Χριςοῦ ἀλγήμασι, κἂν λίαν ὀδυνηρὰ κατὰ σάρκα. Ἀναθεωρῶμεν τὰ μέλλοντα καὶ μένοντα, ἀλλὰ μὴ τὰ παρόντα καὶ παρερχόμενα. Ποθήσωμεν τὸ αἷμα ἡμῶν μῖξαι τῷ τῶν μαρτύρων αἵματι, τὸ μέρος ἡμῶν τῇ τῶν ὁμολογητῶν μερίδι· ἵνα χορεύσωμεν σὺν αὐτοῖς αἰώνια. Τίς φρόνιμος; τίς σοφός; τίς καλὸς πραγματευτὴς, δοῦναι αἷμα καὶ λαβεῖν πνεῦμα, καταφρονῆσαι σαρκὸς καὶ ἐπιτυχεῖν βασιλείας Θεοῦ; «ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ, ἀπολέσει αὐτήν», εἶπεν ὁ Κύριος· «καὶ ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ ἐν τῷ αἰῶνι τούτῳ, εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν» [2]. Ἐνωτισθῶμεν τοὺς λόγους αὐτοῦ· ἀκολουθήσωμεν αὐτῷ. «Ὅπου ἐγὼ εἰμί, φησιν, «ἐκεῖ ἔςαι καὶ ὁ διάκονος ὁ ἐμός» [3]. Ποῦ ἐκεῖνος; ἐπὶ ςαυροῦ· καὶ ἡμεῖς οἱ ταπεινοὶ, ὡς μαθητιῶντες αὐτῷ, ἐκεῖ. Παρακαλῶ ὑμᾶς ἀνέχεσθαι τοῦ λόγου τῆς παρακλήσεως. Καὶ γὰρ διὰ βραχέων ἡ ἐπιςολή. Γινώσκετε ἡμᾶς τοὺς ἁμαρτωλοὺς χαίρειν, ἀλλ' οὐκ ἀθυμεῖν, ἕως ἂν ὑμεῖς μόνον ςήκετε ἐν Κυρίῳ. Ἀσπάζεται ὑμᾶς Νικόλαος ὁ σύγκλειςος καὶ σύμπονος καὶ συςρατιώτης μου, ὑμῶν δὲ ἀδελφὸς ἀληθέςατος. Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ, οἱ ἀθληταὶ τοὺς συνα-

---

[1]) Евр. 10. 38, 39. [2]) Іоан. 12. 25. [3]) Іоан. 12. 26.

θλητάς, οἱ δεδιωγμένοι τοὺς δεδιωγμένους, οἱ πάντες τοὺς φιλοῦντας ὑμᾶς ἐν πίςει. Εἴ τις οὐχ ὁμολογεῖ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριςὸν ἐγγραφόμενον σώματι, ἤτω ἀνάθεμα ἀπὸ τῆς Τριάδος. «Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριςοῦ μεθ' ὑμῶν» [1]. Αμήν.

---

## 3.

### Κανὼν εἰς τὴν ςαυροπροσκύνησιν [2].

Ἦχος α΄. Ὠδὴ α΄.

**Εἱρμός.**—Ἀναςάσεως ἡμέρα,
λαμπρυνθῶμεν λαοί·
Πάσχα, Κυρίου πάσχα·
ἐκ γὰρ θανάτου πρὸς ζωὴν
καὶ ἐκ γῆς πρὸς οὐρανὸν
Χριςὸς ὁ Θεὸς
ἡμᾶς διεβίβασεν,
ἐπινίκιον ᾄδοντας.

Τροπάρια. 1.—Πανηγύρεως ἡμέρα· | τῇ ἐγέρσει Χριςοῦ | θάνατος φροῦδος ὤφθη [3], | ζωῆς ἀνέτειλεν αὐγή, | ὁ Ἀδὰμ ἐξαναςὰς | χορεύει χαρᾷ. | διὸ ἀλαλάζωμεν | ἐπινίκιον ᾄδοντες.

2. Προσκυνήσεως ἡμέρα | τοῦ τιμίου ςαυροῦ, | δεῦτε πρὸς τοῦτον πάντες. | Τῆς γὰρ ἐγέρσεως Χριςοῦ | τὰς αὐγὰς φωτο-

---

[1]) 1 Сол. 5. 28.

[2]) Этотъ канонъ составленъ по образцу пасхальнаго канона св. Іоанна Дамаскина, изъ котораго заимствованы ирмосы, представляющіе силлабическую симметрію съ его тропарями въ размѣрахъ, приспособленныхъ для пѣнія. Текстъ канона (изд. Migne) исправленъ по греческой Тріоди изд. Венец. 1856.

[3]) Φροῦδος (изъ προ и ὁδός), ушедшій, изчезнувшій.

βολῶν | προτίθεται νῦν· | αὐτὸν ἀσπασώμεθα | ψυχικῶς ἀγαλλόμενοι.

3. Ἐπιφάνηθι, ὁ μέγας | τοῦ Κυρίου ςαυρός. | Δεῖξόν μοι ὄψιν θείαν | τῆς ὡραιότητός σου νῦν, | ἀξίου προσκυνητὴν | αἰνέσεώς σου. | Καὶ γὰρ ὡς ἐμψύχῳ σοι, | καὶ φωνῶ, καὶ προσπτύσσομαι.

4. Αἰνεσάτωσαν συμφώνως | οὐρανὸς καὶ ἡ γῆ, | ὅτι πρόκειται πᾶσιν | ὁ παμμακάριςος ςαυρός, | ᾧ παγεὶς σωματικῶς | ἐτύθη Χριςός· | αὐτὸν ἀσπασώμεθα | ψυχικῶς ἀγαλλόμενοι.

Τριαδικόν. Ὦ Τριὰς τοῖς χαρακτῆσιν, | ὦ μονὰς τῇ μορφῇ, | Πάτερ, Υἱὲ καὶ Πνεῦμα. | ἡ ὁμοδύναμος ἑνὰς | ἐν βουλῇ, καὶ θελήσει, | καὶ κράτους ἀρχῇ, | τὸν κόσμον σου φύλαττε, | τὴν εἰρήνην βραβεύουσα.

Θεοτόκιον. Πεῖραν ὅλως ἡ Παρθένος | μὴ εἰδυῖα ἀνδρός, | ἄσπορον τίκτεις βρέφος, | ἄχραντον φέρεις τοκετόν, | τὸν τῶν ὅλων ποιητὴν | Χριςὸν τὸν Θεόν· | αὐτὸν ἐκδυσώπησον | εἰρηνεῦσαι τὰ σύμπαντα.

Καταβασία. Ὁ θειότατος προετύπωσε πάλαι Μωσῆς | ἐν Ἐρυθρᾷ θαλάσσῃ | διαβιβάσας Ἰσραὴλ | τὸν ςαυρόν σου, τὴν ὑγρὰν | τῇ ῥάβδῳ τεμών, | ᾠδήν σοι ἐξόδιον | ἀναμέλπων, Χριςὲ ὁ Θεός.

Ὠδὴ γ. Εἱρ.—Δεῦτε, πόμα πίωμεν καινὸν
οὐκ ἐκ πέτρας ἀγόνου τερατουργούμενον,
ἀλλ' ἀφθαρσίας πηγὴν
ἐκ τάφου ὀμβρήσαντος Χριςοῦ,
ἐν ᾧ ςερεούμεθα.

Τροπ. 1.—Δεῦτε, ᾆσμα ᾄσωμεν καινόν, | τὴν κατάλυσιν ᾅδου πανηγυρίζοντες. | Ἐκ γὰρ τοῦ τάφου Χριςὸς | ἀνέςη, τὸν θάνατον ἑλὼν | καὶ σώσας τὰ σύμπαντα.

2. Δεῦτε, ἀρυσώμεθα, πιςοί, | οὐκ ἐκ κρήνης βρυούσης ὕδωρ φθειρόμενον, | ἀλλὰ πηγὴν φωτισμοῦ, | ςαυροῦ προσκυνήσει τοῦ Χριςοῦ, | ἐν ᾧ καὶ καυχώμεθα.

3. Πάλαι ὃν ἐτύπου Μωϋσῆς | ταῖς παλάμαις ςαυρόν σου

νῦν προσπτυσσόμενοι, | τὸν νοητὸν Ἀμαλὴκ | τροπούμεθα, Δέσποτα Χριστὲ, | δι' οὗ καὶ σεσώσμεθα.

4. Ὄμμασι καὶ χείλεσιν ἁγνοῖς | ἀνακρούοντες μέλος ἀγαλλιάσεως, | τὸν τοῦ Κυρίου σταυρὸν | χαρᾷ προσκυνήσωμεν, πιστοί, | κροτοῦντες ἐν ᾄσμασιν.

Τριαδικόν. Ἕνα ὑποστάσεσι τρισὶ | Θεὸν ἄναρχον σέβω, μὴ διαιρούμενον | τῇ τῆς οὐσίας μορφῇ, | Πατέρα, Υἱὸν καὶ Πνεῦμα ζῶν, | ἐν οἷς βεβαπτίσμεθα.

Θεοτόκιον. Ἐν βάτῳ Μωσῆς σου τυπικῶς | τὸ μυστήριον πάλαι, σεμνὴ, ἑώρακεν. | Ὡς γὰρ ἐκείνην ἡ φλὸξ, | τὸ πῦρ τῆς θεότητος τὴν σὴν | νηδὺν οὐ κατέφλεξεν.

Καταβασία. Στερέωσον, Δέσποτα Χριστὲ, | τῷ σταυρῷ σου ἐν πέτρᾳ με τῇ τῆς πίστεως, | μὴ σαλευθῆναι τὸν νοῦν | ἐχθροῦ προσβολαῖς τοῦ δυσμενοῦς. | Μόνος γὰρ εἶ ἅγιος.

Ὠδὴ δ'. Εἱρ.—Ἐπὶ τῆς θείας φυλακῆς
ὁ θεηγόρος Ἀββακοὺμ
στήτω μεθ' ἡμῶν καὶ δεικνύτω
φαεσφόρον ἄγγελον,
διαπρυσίως λέγοντα·
σήμερον σωτηρία τῷ κόσμῳ,
ὅτι ἀνέστη Χριστὸς, ὡς παντοδύναμος.

Τροπ. 1.—Ἰδοὺ ἀνέστη ὁ Χριστὸς, | ταῖς μυροφόροις γυναιξὶν | ἄγγελός φησι· μὴ θρηνεῖτε, | πορευθεῖσαι εἴπατε | τοῖς ἀποστόλοις· χαίρετε, | σήμερον σωτηρία τῷ κόσμῳ, | ἡ τυραννὶς τοῦ ἐχθροῦ θανάτῳ λέλυται.

2. Τοῦ ζωηφόρου σου σταυροῦ | τὴν προσκυνήσιμον χαρὰν | σήμερον, Χριστὲ, ὑπαντῶντες | προπομπὴν ποιούμεθα | τοῦ παναγίου πάθους σου, | ὅπερ εἰς σωτηρίαν τοῦ κόσμου | ἐναπειργάσω, Σωτὴρ, ὡς παντοδύναμος.

3. Σήμερον γίνεται χαρὰ | ἐν οὐρανῷ καὶ ἐπὶ γῆς, | ὅτι τοῦ σταυροῦ τὸ σημεῖον | κόσμῳ ἐμφανίζεται, | σταυρὸς ὁ τρισμακάριστος· | οὗτος γὰρ προτεθεὶς ἀναβλύζει | τοῖς προσκυνοῦσιν αὐτὸν χάριν ἀέναον.

4. Τί σοι προσάξωμεν, Χριςὲ, | ὅτι τὸν τίμιον ςαυρὸν | δέδωκας ἡμῖν προσκυνῆσαι, | ἐν ᾧ τὸ πανάγιον | κατεκενώθη αἷμά σου, | ᾧ καὶ ἡ σάρξ σου ἥλοις ἐπάγη; | ὃν ἀσπαζόμενοι νῦν εὐχαριςοῦμέν σοι.

Τ ρ ι α δ ι κ ό ν. Μιᾶς θεότητος ὑμνῶ | τρεῖς ὑποςάσεις ἀμερῶς | φύσεως ἁπλῆς, δογματίζων | τὸν Πατέρα ἄναρχον, | Υἱὸν καὶ Πνεῦμα ἅγιον, | σύνθρονον, κυριότητα μίαν, | ὁμοβασίλειον. ἓν κράτος ἀΐδιον.

Θ ε ο τ ό κ ι ο ν. Μόνη ἐφάνης γυναικῶν | χρῆμα πανθαύμαςον, ἁγνὴ, | πρᾶγμα φοβερόν. Τὴν γὰρ φύσιν | σὺ ἐκαινοτόμησας | ἄνευ σπορᾶς κυήσασα, | μείνασα πάλιν ὡς πρὶν παρθένος. | Ὁ γεννηθεὶς γὰρ ἐκ σοῦ Θεός ἐςιν ἀληθής.

Κ α τ α β α σ ί α. Ἐπὶ ςαυροῦ σε, δυνατὲ, | φωςὴρ ὁ μέγας κατιδὼν | τρόμῳ ἐπαρθεὶς τὰς ἀκτῖνας | συνέςειλεν, ἔκρυψε, | πᾶσα δὲ κτίσις ὕμνησεν | ἐν φόβῳ τὴν σὴν μακροθυμίαν. | Καὶ γὰρ ἐπλήσθη ἡ γῆ τῆς σῆς αἰνέσεως.

Ὠ δ ὴ ε. Εἱρ.—Ὀρθρίσωμεν ὄρθρου βαθέος
καὶ ἀντὶ μύρου τὸν ὕμνον
προσοίσωμεν τῷ Δεσπότῃ,
καὶ Χριςὸν ὀψώμεθα.
δικαιοσύνης ἥλιον,
πᾶσι ζωὴν ἀνατέλλοντα.

Τ ρ ο π. 1.—Ἐνέτειλας ἀπὸ τοῦ τάφου, | ἄδυτον φάος· τῷ κόσμῳ | ἀςράπτων τὴν ἀφθαρσίαν, | ἐκμειώσας, Κύριε, | θανάτου τὴν κατήφειαν | ἐκ τῶν περάτων [1]), ὡς εὔσπλαγχνος.

2· Προσέλθωμεν κεκαθαρμένοι | τῇ ἐγκρατείᾳ, θερμῶς προσπτυσσόμενοι ἐν αἰνέσει | ξύλον τὸ πανάγιον, | ἐν ᾧ Χριςὸς ςαυρούμενος | ἔσωσε κόσμον, ὡς εὔσπαγχνος.

3. Χορεύουσιν ἐν εὐφροσύνῃ | ἀγγέλων τάξεις σήμερον | ςαυροῦ σου τῇ προσκυνήσει. | Ἐν αὐτῷ γὰρ τέθραυκας | τὰς τῶν δαιμόνων φάλαγγας, | σώσας, Χριςὲ, τὸ ἀνθρώπινον.

---

[1]) Подразумѣвается: вселенной.

1. Παράδεισος ἄλλος ἐγνώσθη | ἡ Ἐκκλησία, ὡς πρὶν ξύλον ἔχουσα ζωηφόρον | τὸν ςαυρόν σου, Κύριε. | Ἐξ οὗ διὰ προσψαύσεως | ἀθανασίας μετέχομεν.

Τριαδικόν. Συνάναρχα τρία δοξάζω | μιᾶς οὐσίας, Θεὸν τὸν | Πατέρα, Υἱὸν καὶ Πνεῦμα, | φῶς ἐν τριλαμπέςατον, | ὁμοκρατὲς βασίλειον, | ἐν ἀσυγχύτῳ ταυτότητι.

Θεοτόκιον. Ἐκύησας φύσεως νόμῳ, | ἀλλ' ὑπὲρ νόμον. Σοῦ γὰρ μόνης ἄσπορος ἡ λοχεία, | φρικτὸς καὶ νοούμενος | ὁ τρόπος καὶ λεγόμενος | τοῦ τοκετοῦ σου, πανάμωμε.

Καταβασία. Ὀρθρίζοντές σε ἀνυμνοῦμεν, | Σωτὴρ τοῦ κόσμου, εἰρήνην | εὑράμενοι τῷ ςαυρῷ σου, | δι' οὗ ἀνεκαίνισας | τὸ γένος τὸ ἀνθρώπινον, | φῶς πρὸς ἀνέσπερον ἄγων ἡμᾶς.

Ὠδὴ ς΄. Εἱρ. Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς,
καὶ συνέτριψας μοχλοὺς
αἰωνίους κατόχους
πεπεδημένων, Χριςὲ,
καὶ τριήμερος,
ὡς ἐκ κήτους Ἰωνᾶς,
ἐξανέςης τοῦ τάφου.

Τροπ. 1.—Ἀνέςης τὸν θάνατον θραύσας, Χριςὲ, | ὥσπερ μέγας βασιλεὺς, | ἐκ τῶν ᾅδου ταμείων | ἀνακαλέσας ἡμᾶς | εἰς ἀπόλαυσιν | βασιλείας οὐρανῶν, | εἰς γῆν ἀθανασίας.

2. Κροτοῦντες ἐν ᾄσμασι θείοις, πιςοὶ, | ἀλαλάξωμεν Θεῷ, | τὸν ςαυρὸν τοῦ Κυρίου | κατασπαζόμενοι. | Ἁγιότητος | ἀναβλύζει γὰρ πηγὴν | πᾶσι τοῖς ἐν τῷ κόσμῳ.

3. Πληροῦται ἡ ᾀσματογράφος φωνή. | Προσκυνοῦμεν γὰρ ἰδοὺ | τῶν ἀχράντων ποδῶν σου | τὸ ὑποπόδιον [1], | παντοδύναμε, | τὸν ςαυρόν σου τὸν σεπτὸν, | τὸ τριπόθητον ξύλον.

4. Ὁ εἶδε ξύλον τῷ σῷ ἄρτῳ βληθὲν | προφητῶν ὁ θρηνητὴς [2], | τὸν ςαυρόν σου, οἰκτίρμον, | κατασπαζόμενοι, | ἀνυμ-

[1] Псал. 109. 1. [2] Iер. 11. 19.

νούμενόν σου | τὰ δεσμὰ καὶ τὴν ταφὴν, | λόγχην τε καὶ τοὺς ἥλους.

5. Ἐπ᾽ ὤμων, ὅνπερ κατεδέξω, Χριστὲ, | φέρειν ἅγιον σταυρὸν, | καὶ ἐν τούτῳ ἀρθῆναι | καὶ σταυρωθῆναι σαρκὶ | προσπτυσσόμενοι, | κομιζόμεθα ἰσχὺν | κατ᾽ ἐχθρῶν ἀοράτων.

Τριαδικόν. Μονάδα τρισὶ χαρακτῆρσιν ὑμνῶ, | καὶ Τριάδα ἐν μιᾷ | φύσει προσκυνουμένην, | Θεὸν τὰ τρία ὁμοῦ | φῶς τρισήλιον, | τὸν Πατέρα, καὶ Υἱὸν | καὶ τὸ ἅγιον Πνεῦμα.

Θεοτόκιον. Θαυμάτων τὸ μέγιστον θαῦμα ἐν σοὶ | ὤφθη, ἄσπιλε Ἀμνάς. | Τὸν γὰρ αἴροντα κόσμου | τὴν ἁμαρτίαν Ἀμνὸν | ἀπεκύησας, | ὃν δυσώπει ἐκτενῶς | ὑπὲρ τῶν σε ὑμνούντων.

Καταβασία. Τὸν τύπον τοῦ θείου σταυροῦ Ἰωνᾶς, | ἐν κοιλίᾳ τοῦ κήτους, | τεταμέναις παλάμαις, | προδιεχάραξε, | καὶ ἀνέφορε | σεσωσμένος τοῦ θηρὸς | τῇ δυνάμει σου, Λόγε.

Κοντάκιον ἰδιόμελον. Οὐκέτι φλογίνη ῥομφαία φυλάττει τὴν | πύλην τῆς Ἐδέμ· αὐτῇ γὰρ ἐπῆλθε παράδοξος σβέσις, τὸ ξύλον τοῦ σταυροῦ. Θανάτου τὸ κέντρον, καὶ ᾅδου τὸ νῖκος ἐλήλαται. Ἐπέστης δὲ, Σωτήρ μου, βοῶν τοῖς ἐν ᾅδῃ· εἰσάγεσθε πάλιν εἰς τὸν παράδεισον.

Ὁ οἶκος. Τρεῖς σταυροὺς ἐπήξατο ἐν Γολγοθᾷ ὁ Πιλάτος, δύο τοῖς λῃστεύσασι, καὶ ἕνα τοῦ ζωοδότου, ὃν εἶδεν ὁ ᾅδης, καὶ εἶπε τοῖς κάτω· ὦ λειτουργοί μου, καὶ δυνάμεις μου, τίς ὁ ἐμπήξας ἧλον τῇ καρδίᾳ μου; ξυλίνη με λόγχη ἐκέντησεν ἄφνω, καὶ διαῤῥήσσομαι· τὰ ἔνδον μου πονῶ, τὴν κοιλίαν μου ἀλγῶ, τὰ αἰσθητήριά μου· μαιμάσσει τὸ πνεῦμά μου, καὶ ἀναγκάζομαι ἐξερεύξασθαι τὸν Ἀδὰμ, καὶ τοὺς ἐξ Ἀδὰμ ξύλῳ δοθέντας μοι. Ξύλον γὰρ τούτους πάλιν εἰσάγει εἰς τὸν παράδεισον.

Ὠδὴ ζ΄. Εἱρ.—Ὁ παῖδας ἐκ καμίνου ῥυσάμενος,
γενόμενος ἄνθρωπος
πάσχει, ὡς θνητὸς,
καὶ διὰ πάθους τὸ θνητὸν
ἀφθαρσίας ἐνδύει εὐπρέπειαν,
ὁ μόνος εὐλογητὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος.

Τροπ. 1. Ἀνέστης ἐκ τοῦ τάφου τριήμερος, | ὡς ὁ ὕπνων, Κύριε, | ᾅδου πυλωροὺς | πατάξας θείᾳ δυνάμει, | καὶ τοὺς πάλαι ἐγείρας προπάτορας, | ὁ μόνος εὐλογητὸς τῶν πατέρων | Θεὸς καὶ ὑπερένδοξος.

2. Τῇ λύρᾳ τῶν ᾀσμάτων χορεύοντες, | ἀγαλλιασώμεθα | σήμερον λαοί, | τῇ τοῦ ςαυροῦ προσκυνήσει, | τὸν ἐν τούτῳ παγέντα δοξάζοντες, | τὸν μόνον εὐλογητὸν τῶν πατέρων | Θεὸν καὶ ὑπερένδοξον.

3. Ὁ δείξας τὸ θνητότητος ὄργανον, | ζωῆς ἐργαςήριον | κόσμῳ ἀσπαςὸν, | τὸν σὸν ςαυρὸν, πανοικτίρμον, | τοὺς αὐτὸν προσκυνοῦντας ἁγίασον, | ὁ μόνος εὐλογητὸς τῶν πατέρων | Θεὸς καὶ ὑπερένδοξος.

4. Ὁ μόνος ἐλεήμων καὶ εὔσπλαγχνος | φώτισον, ἁγίασον, | μόνε Ἰησοῦ, | τοὺς προσκυνοῦντάς σου πιςῶς | τὸν ςαυρὸν καὶ τὰ θεῖα παθήματα, | ὁ μόνος εὐλογητὸς τῶν πατέρων | Θεὸς καὶ ὑπερένδοξος.

Τριαδικόν. Μονάδα ἐν τρισὶν ὑποςάσεσιν | ὑμνῶ τὴν Θεότητα. | Φῶς γὰρ ὁ Πατὴρ, | φῶς ὁ Υἱὸς, φῶς τὸ Πνεῦμα, | τοῦ φωτὸς ἀμεροῦς διαμένοντος, | ἑνότητι φυσικῇ καὶ ἀκτῖσι | τρισὶ προσώπων λάμποντος.

Θεοτόκιον. Τὸ πάντων προφητῶν πολυώνυμον | σὺ ὑπάρχεις κήρυγμα. | Πύλη γὰρ Θεοῦ, | ςάμνος χρυσῆ, γῆ ἁγία | ἀνεδείχθης, Παρθένε θεόνυμφε. | κυήσασα ἐν σαρκὶ τῶν πατέρων | Θεὸν καὶ ὑπερένδοξον.

Καταβασία. Φλογώσεως ὁ παῖδας ῥυσάμενος, | σάρκα προσλαβόμενος, | ἦλθεν ἐπὶ γῆς, | καὶ τῷ ςαυρῷ προσηλωθεὶς, | σωτηρίαν ἡμῖν ἐδωρήσατο, | ὁ μόνος εὐλογητὸς τῶν πατέρων | Θεὸς καὶ ὑπερένδοξος.

Ὠδὴ η. Ειρ.—Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα,
ἡ μία, τῶν σαββάτων
ἡ βασιλὶς καὶ κυρία,
ἑορτῶν ἑορτὴ
καὶ πανήγυρίς ἐςι πανηγύρεων,

ἐν ῇ εὐλογοῦμεν
Χριςὸν εἰς τοὺς αἰῶνας.

Τροπ. 1.—Μύρα ἐν χερσὶ τί κατέχετε ὅλως; | τίνα δὲ ἐκζητεῖτε [1]; | Νῦν ὁ φανεὶς νεανίας | ἐν τῷ τάφῳ βοᾷ· | ἐξανέςη ὁ Χριςὸς καὶ Θεὸς ἡμῶν, | ἀναςήσας φύσιν | βροτῶν ᾅδου κευθμώνων.

2. Χαίροις, τὸ τρισόλβιον ξύλον καὶ θεῖον, | ςαυρὲ, φῶς τοῖς ἐν σκότει, | ὁ τετραπεράτῳ κόσμῳ | τῇ ἐλλάμψει τῇ σῇ | ἐγέρσεως Χριςοῦ προδεικνὺς τὰς αὐγάς. | Ἀξίωσον πάντας | πιςοὺς φθάσαι τὸ Πάσχα.

3. Ταύτῃ τῇ ἡμέρᾳ μυρίζει τὰ μύρα | τῆς θείας μυροθήκης, | τὸ ζωομύριςον ξύλον | ὁ ςαυρὸς τοῦ Χριςοῦ. | Ὀσφρανθῶμεν τῆς αὐτοῦ θεοπνεύςου ὀδμῆς, | αὐτὸν προσκυνοῦντες | πιςῶς εἰς τοὺς αἰῶνας.

4. Δεῦρο, Ἐλισσαῖε προφῆτα, ἐμφανῶς [2], | τί τὸ ξύλον ἐκεῖνο, | ὃ εἰς τὸ ὕδωρ καθῆκες [3]; | Ὁ ςαυρὸς τοῦ Χριςοῦ, | δι᾿ οὗ βάθους τῆς φθορᾶς ἀνειλκύσθημεν, | αὐτὸν προσκυνοῦντες | πιςῶς εἰς τοὺς αἰῶνας.

5. Πάλαι Ἰακὼβ, προτυπῶν τὸν ςαυρόν σου, | Ἰωσὴφ προσεκύνει | τῆς θείας ῥάβδου τὸ ἄκρον, | σκῆπτρον ταύτην φρικτὸν | βασιλείας τε τῆς σῆς προορώμενος, | ὃν νῦν προσκυνοῦμεν | πιςῶς εἰς τοὺς αἰῶνας.

Τριαδικόν. Μίαν ἐν τρισὶ χαρακτῆρσιν οὐσίαν | δοξάζω ἀσυγχύτως, | μονοπροσώπως τὰ τρία· | οὐδὲ τέμνω μορφῇ | τὸν Πατέρα καὶ Υἱὸν σὺν τῷ Πνεύματι. | Εἷς γὰρ ἐπὶ πάντων | Θεὸς εἰς τοὺς αἰῶνας.

Θεοτόκιον. Μόνη ἐν μητράσιν ἐδείχθης, Παρθένος | θεόνυμφε Μαρία, | ἄνευ ἀνδρὸς τετοκυῖα | τὸν Σωτῆρα Χριςὸν, | τῆς ἁγνείας τὴν σφραγῖδα φυλάξασα. | Σὲ μακαριοῦμεν | πιςοὶ εἰς τοὺς αἰῶνας.

Καταβασία. Χεῖρας ἐν λάκκῳ βληθεὶς λεόντων ποτὲ, | ὁ

---

[1]) Марк. 16. 6.
[2]) Подразумѣвается: εἰπέ.
[3]) 4 Цар. 6. 6.

μέγας ἐν προφήταις | ςαυροειδῶς ἐκπετάσας | Δανιὴλ ἀβλαβὴς | ἐκ τῆς τούτων καταβρώσεως σέσωςαι. | εὐλογῶν Χριςόν, τὸν | Θεὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'. Εἱρ.—Φωτίζου, φωτίζου ἡ νέα Ἱερουσαλήμ.
ἡ γὰρ δόξα Κυρίου
ἐπὶ σε ἀνέτειλε·
χόρευε νῦν καὶ ἀγάλλου, Σιών·
σὺ δέ, ἁγνὴ
τέρπου Θεοτόκε,
ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

Τροπ. 1.—Ἐν τάφῳ κατῆλθες, ὁ ζωοδότης καὶ Θεός. | καὶ συνέτριψας πάντα, | κλεῖθρά τε καὶ τοὺς μοχλούς, | καὶ τοὺς νεκροὺς ἐξανέςησας, | δόξα τῇ σῇ | ἐγέρσει, βοῶντας, | Χριςὲ Σωτὴρ παντοδύναμε.

3. Ὁ τάφος ζωήν μοι, Χριςέ, ἀνέβλυσεν ὁ σός. | Ὁ κρατῶν τῆς ζωῆς γάρ, | ἐπιςὰς ἐβόησας | τοῖς κατοικοῦσιν ἐν μνήμασιν· | οἱ ἐν δεσμοῖς, | λύθητε· ἐγὼ γὰρ | τοῦ κόσμου λυτρον ἐλήλυθα.

3. Ἐν ὕμνοις σκιρτάτω πάντα τὰ ξύλα τοῦ δρυμοῦ, | τὸ ὁμώνυμον ξύλον | τοῦ ςαυροῦ θεώμενα | κατασπαζόμενον σήμερον· | οὗ ὁ Χριςὸς | ὕψωσε τὴν χάραν, | ὡς προφητεύει θεῖος Δαβίδ [1]).

4. Ἐν ξύλῳ τεθνήξας ξύλον σε εὕρηκα ζωῆς, | Χριςοφόρε ςαυρέ μου. | Φυλακτήρ μου ἄρρηκτε, | κατὰ δαιμόνων ἰσχὺς κραταιά, | σὲ προσκυνῶν | σήμερον κραυγάζω· | ἁγίασόν με τῇ δόξῃ σου.

5. Εὐφραίνου, ἀγάλλου, ἡ Ἐκκλησία τοῦ Θεοῦ, | τὸ τρισόλβιον ξύλον | προσκυνοῦσα σήμερον | τοῦ παναγίου ςαυροῦ τοῦ Χριςοῦ, | ᾧ λειτουργεῖ | τάγματα ἀγγέλων | καὶ μετὰ φόβου παρίςανται.

---

[1]) Псал. 95. 12, 13.

Τριαδικόν. Τριάδα προσώποις, μονάδα φύσει προσκυνῶ | σε, Θεότης ἁγία, | τὸν Πατέρα, καὶ τὸν Υἱὸν | σὺν τῷ ἁγίῳ τε Πνεύματι, | μίαν ἀρχὴν, | μίαν βασιλείαν | τὴν τῶν ἁπάντων δεσπόζουσαν.

Θεοτόκιον. Τὸ ὄρος τὸ μέγα, ἐν ᾧ κατῴκησε Χριςὸς, | σὺ ὑπάρχεις, Παρθένε, | ὡς Δαβὶδ θεῖος βοᾷ [1]), | δι᾽ ἧς ἡμεῖς ἀνυψώθημεν | πρὸς οὐρανὸν | υἱοθετηθέντες | τῷ πνεύματι, παμμακάριςε.

Καταβασία. Ὦ Μῆτερ Παρθένε, καὶ Θεοτόκε ἀψευδὴς, | ἡ τεκοῦσα ἀσπόρως | Χριςὸν τὸν Θεὸν ἡμῶν, | τὸν ἐν ςαυρῷ ὑψωθέντα σαρκὶ, | σὲ οἱ πιςοὶ | ἅπαντες ἀξίως | σὺν τούτῳ νῦν μεγαλύνομεν.

---

[1]) Псал. 67. 16, 17.

# КРАТКОЕ ИЗЛОЖЕНІЕ

## содержанія избранныхъ мѣстъ изъ греческихъ писаній св. Отцевъ Церкви во 2-й части.

---

X. Св. *Григорія* Богослова: 1) Слово въ оправданіе временнаго удаленія своего по рукоположеніи въ пресвитера. Гл. 1—2. Выразивъ покорность свою волѣ Божіей, св. Отецъ обѣщаетъ изложить истинныя причины какъ удаленія, такъ и возвращенія своего, чтобы не знающіе ихъ не соблазнялись. Гл 3—5. Удаленіе произошло не отъ непониманія или неуваженія законовъ Божіихъ, по которымъ въ Церкви должны быть высшіе и низшіе члены, пастыри и пасомые, и на степень первыхъ слѣдуетъ восходить болѣе другихъ опытнымъ и способнымъ, и не отъ желанія самой высшей степени пастырства. Гл. 6—8. Но истинными причинами его удаленія были: неожиданность посвященія въ пресвитера, любовь къ отшельнической жизни, которой для него не было ничего вожделѣннѣе, также нежеланіе уподобиться многимъ другимъ, домогавшимся священства и пастырства, не смотря на свое недостоинство; Гл. 9—10; а главнымъ образомъ—представленіе важности и трудности пастырскаго служенія въ Церкви, состоящаго въ пасеніи душъ человѣческихъ не для временнаго ихъ благополучія, но для вѣчнаго спасенія. Гл. 11—12. Замѣчаемые въ пастырѣ пороки скорѣе сообщаются пасомымъ, нежели его добродѣтели; посему; Гл. 13—14; ему должно опасаться, чтобы не быть худымъ примѣромъ для другихъ, и даже недостаточно только не быть порочнымъ, а должно отличаться высшими добродѣтелями. Гл. 15. Не быть превосходнымъ по нравственнымъ качествамъ и не преуспѣвать постоянно въ добрѣ для пастыря есть уже порокъ. Гл. 16—17. Далѣе попеченіе о душахъ есть наука изъ наукъ, по своей особенной трудности; потому что душа человѣка имѣетъ высокое назначеніе какъ по отношенію къ самой себѣ, такъ и къ соединенному съ нею тѣлу. Гл. 18. Дѣло пастыря гораздо труднѣе дѣла врача тѣлеснаго, такъ какъ онъ долженъ исцѣлять души съ разнообразнѣйшими ихъ наклонностями и страстями. Гл. 19—20. Притомъ сами врачуемые имъ часто уклоняются отъ врачеванія, или скрываютъ или оправдываютъ свои пороки, и даже противятся врачеванію, не стыдясь ни грѣховъ ни пастырей. Гл. 21—22. Попеченіе о душахъ, болѣе трудное и важное по предмету своему, нежели искуство тѣлеснаго

врача, затрудняется еще высшею цѣлію своею—вѣчнаго спасенія врачуемыхъ. Гл. 23—26. Для этой цѣли самъ Сынъ Божій воплотился, жилъ на землѣ, пострадалъ и умеръ; а пастыри церковные суть Его служители и сотрудники въ домостроительствѣ человѣческаго спасенія. Гл. 27—29. Врачи заботятся только о возстановленіи тѣлеснаго здоровья, а пастыри о будущемъ спасеніи душъ, съ искорененіемъ изъ нихъ различныхъ пороковъ и водвореніемъ въ нихъ добродѣтелей. Гл. 30—33. Не одно и тоже духовное врачеваніе пригодно для всѣхъ душъ, но по свойствамъ ихъ и оно должно быть весьма различно. Гл. 34. Отъ вины пастыря, несвѣдущаго или неопытнаго, бываетъ великая опасность и ему самому и пасомымъ. Гл. 35—36. Первая и нелегкая обязанность пастыря—возвѣщать Слово Божіе благовременно и по мѣрѣ пріемлемости слушателей, преподавать православное ученіе о предметахъ христіанской вѣры и во особенности о тріединомъ Богѣ; такъ какъ; Гл. 37—39; существуютъ трояваго рода заблужденія въ ученіи о Богѣ: безбожіе, іудейство и многобожіе, противъ которыхъ пастырь долженъ проповѣдывать, держась истиннаго ученія о единомъ Богѣ во св. Троицѣ; а для этого требуются душевная чистота и озареніе отъ Духа Божія. Гл. 40—42. Между тѣмъ нѣкоторые безъ этихъ достоинствъ берутся разсуждать о высокихъ предметахъ богословія въ слѣпой ревности по вѣрѣ, другіе изъ пустаго тщеславія, третьи по невѣжественному дерзновенію, иные по легкомыслію. Гл. 43. Такихъ людей вразумлять для пастыря труднѣе, нежели преподавать христіанское ученіе совершенно незнающимъ его. Гл. 44. Разнородность умственнаго состоянія пасомыхъ представляетъ въ дѣлѣ ученія большія трудности для пастыря, который долженъ приспособляться къ свойствамъ каждаго изъ нихъ. Гл. 45—47. Однихъ нужно питать молокомъ, другихъ твердою пищею; а дѣлать выборъ того и другаго нелегко; такъ что лучше быть руководимымъ, нежели руководить другихъ, и благоразумнѣе учиться, нежели учить, не достигши достаточнаго знанія. Гл. 48. Евреи не всякому возрасту позволяли читать всякую часть св. Писанія. Гл. 49. Въ христіанской же Церкви многіе безразлично и безъ надлежащаго приготовленія берутся не только учиться, но и учить другихъ Слову Божію. Гл. 50—51. Нужно долго учиться богопознанію, подобно какъ и всякому искуству, прежде нежели принимать на себя должность учителя; иначе произойдетъ великій вредъ для учащихся. Гл. 52—55. Апостолъ Павелъ есть образецъ истиннаго пастыря, представляя въ дѣятельности своей превосходныя качества учителя, предстоятеля и правителя церковнаго. Гл. 56. Онъ жилъ для Христа и распялъ себя для міра, какъ слѣдуетъ быть всякому истинному христіанскому пастырю, не взирая на современныхъ пастырей, изъ которыхъ многіе не только не подобны, но даже противоположны ему, и потому находятся въ опасности подвергнуться угрозамъ и наказаніямъ, возвѣщеннымъ для худыхъ пастырей въ В. и Н. Завѣтѣ; Гл. 57—70; пророками Осіею, Михеемъ, Іоилемъ, Аввакумомъ, Малахіею, Захаріею, Да-

міиломъ, Іезекіилемъ, Іереміею, ап. Павломъ и самимъ І. Христомъ въ рѣчахъ противъ книжниковъ и фарисеевъ. Гл. 71—77. Представленіе всего этого устрашило св. Отца и расположило удалиться, чтобы предварительно надлежащимъ образомъ приготовить себя къ пастырству, хотя бы это приготовленіе продолжалось до старости; потому что поспѣшность весьма опасна въ принятіи на себя такого важнаго служенія, каково служеніе пастыря Церкви, какъ учителя, тайносовершителя и руководителя вѣрующихъ ко Христу и вѣчному спасенію. Гл. 78—80. Онъ считалъ себя еще не готовымъ къ тому особенно при тогдашнихъ обстоятельствахъ, когда размножились недостойные искатели учительства, умѣющіе не преподавать истину, а злословить и осуждать другихъ; Гл. 81—86; вслѣдствіе чего состояніе Церкви стало смутнымъ и печальнымъ какъ между пасомыми, такъ и между пастырями, которые взаимными несогласіями подаютъ поводъ язычникамъ ненавидѣть и презирать какъ мірянъ, такъ и священниковъ и чрезъ нихъ хулить самое имя Христово. Гл. 87—90. Борьба съ внѣшними врагами не устрашила бы св. Отца, а предстоявшая борьба съ внутренними врагами привела его въ недоумѣніе и сознаніе собственной немощи, слѣдствіемъ чего и было его удаленіе. Гл. 91. Кромѣ того для пастыря, какъ человѣка, неизбѣжна постоянная борьба съ собственными слабостями и грѣховными наклонностями, безъ преодолѣнія которыхъ не безопасно принимать на себя руководительство другими и посредничество между Богомъ и людьми. Гл. 92—94. Еще въ ветхомъ Завѣтѣ требовались благоговѣйное настроеніе и чистота душевная и тѣлесная отъ лицъ, принимающихъ священство, какъ показываютъ примѣры Моисея, Надава и Авіуда и другихъ. Гл. 95—99. Тѣмъ болѣе къ священству новаго Завѣта никто не долженъ приступать прежде, нежели представить себя самаго святою жертвою Богу, научится постигать сердцемъ своимъ сокрытое въ св. Писаніи духовное богатство, сдѣлается самъ живымъ храмомъ живаго Бога, уразумѣетъ истинное значеніе наименованій, свойствъ и дѣйствій Христовыхъ и достигнетъ способности возвѣщать другимъ премудрость Божію, въ тайнѣ сокровенную. Гл. 100—101. Посему св. Отецъ хотѣлъ предоставить это дѣло другимъ, болѣе смѣлымъ и способнымъ на всѣ опасности, а для себя избрать болѣе скромную и безопасную жизнь и дѣятельность. Гл. 102—106. Истинными же причинами возвращенія его къ паствѣ были: во первыхъ великая его любовь къ ней и чувствованіе взаимной ея любви къ нему; потомъ забота о престарѣлыхъ родителяхъ, для которыхъ быть подпорою онъ считалъ своимъ священнымъ долгомъ; а во особенности представленіе примѣра пророка Іоны, который, бывъ призванъ къ пророчеству Ниневитянамъ, хотѣлъ избѣжать этого, но послѣ чудеснаго спасенія въ морѣ и чревѣ китовомъ не избѣгъ исполненія воли Божіей. Гл. 107—110. Если уклоненіе пророка Іоны могло происходить отъ того, что въ лицѣ Ниневитянъ онъ усматривалъ призваніе язычниковъ на мѣсто отпадавшихъ отъ Бога Израильтянъ, и потому для него было

извинительно, то для себя св. Отецъ не находитъ достаточнаго оправданія, если бы онъ сталъ долѣе отрицаться отъ возложеннаго на него служенія. Гл. 111—113. Чувство собственнаго недостоинства и неготовности къ священному пастырству было въ немъ сильно; но съ другой стороны ему представлялась ужасною угроза, изрекаемая въ св. Писаніи за непослушаніе Богу. Такимъ образомъ, находясь между двумя страхами, онъ послѣ временнаго колебанія склонился на сторону сильнѣйшаго чувства покорности волѣ Божіей, надѣясь, что за эту самую покорность благодать Божія наградитъ его своею помощію къ достойному служенію Церкви. Гл. 114—117. Такъ поступали многіе святые мужи, сначала уклоняясь, а потомъ покоряясь избранію Божію, и получали отъ Бога благодать, превышающую естественныя ихъ силы; такъ и онъ возвратившись предстаетъ предъ Назіанзскою паствою, испрашиваетъ благословенія своего родителя—епископа и молитъ Бога о благодатной помощи къ духовному преуспѣянію какъ пастырей, такъ и пасомыхъ.—2) Слово о догматѣ. Гл. 1. При неумѣренной склонности современниковъ св. Отца къ разсужденіямъ о предметахъ богословія лучше было бы уединиться въ отшельнической жизни, которая всего вожделѣннѣе и полезнѣе для приготовленія себя какъ къ пастырскому служенію, такъ и къ богословствованію. Гл. 2—4. Примѣры Моисея и Аарона, первосвященника Илія и Озы показываютъ, съ какою осторожностію и нравственною чистотою слѣдуетъ приступать къ предметамъ священнымъ, чтобы въ противномъ случаѣ не навлечь на себя гнѣва Божія. Гл. 5—6. Впрочемъ и истинный богословъ не отъ себя, а на основаніи божественнаго откровенія преподаетъ ученіе о догматѣ (св. Троицы), которое состоитъ въ исповѣданіи трехъ лицъ Божества въ единомъ Его существѣ, съ отверженіемъ двухъ противоположныхъ заблужденій Савеллія и Арія; находясь въ срединѣ между сліяніемъ трехъ лицъ Божества въ одно и раздѣленіемъ одного божескаго естества на три отдѣльныя, оно и составляетъ православную истину. Гл. 7—8. Вина бытія какъ самаго себя, такъ и Сына и Св. Духа, есть Богъ Отецъ. Сынъ Божій не имѣетъ начала своего бытія во времени; Онъ самъ есть виновникъ всего сотвореннаго во времени; и рожденіе Его отъ Отца не одинаково съ происхожденіемъ сотворенныхъ существъ, но есть Божественное. Гл. 9—10. Способъ рожденія Сына Божія отъ Отца неизъяснимъ. Какъ совершенное Богомъ твореніе есть дѣло Божественное, отличное отъ дѣлъ человѣческихъ, такъ и рожденіе отъ Него Сына есть Божественное и вѣчное; Сынъ таковъ, каковъ и Отецъ, кромѣ того что Онъ рожденъ, а Богъ Отецъ не рожденъ. Отъ Отца же исходитъ Духъ Святый; а какъ Онъ исходитъ, это также неизъяснимо. Гл. 11—12. Не слѣдуетъ домогаться познанія способовъ рожденія Сына и исхожденія Св. Духа отъ Бога Отца, тогда какъ мы точно не знаемъ сущности и причинъ бытія многихъ земныхъ предметовъ и даже самихъ себя; а нужно молиться Богу о дарованіи намъ недостающаго вѣдѣнія, очищать себя упражненіемъ въ добродѣтеляхъ и ожидать высшаго просвѣ-

щенія въ будущей жизни.—3) Стихотворенія: а) О душѣ. Гл. 1—2. Душа человѣческая есть дыханіе Божества, одаренное образомъ Божіимъ и безсмертіемъ въ отличіе отъ неразумныхъ животныхъ. Она не есть ни огонь, ни воздухъ, ни гармонія тѣлесныхъ силъ, какъ думаютъ тѣ, которые заключаютъ о ней изъ того, что человѣкъ не можетъ жить безъ пищи и воздуха, и которые притомъ басиословятъ, что душа многократно перемѣняетъ свою тѣлесную оболочку; это несообразно ни съ понятіемъ о воздаяніи въ будущей жизни, ни съ тѣмъ соображеніемъ, почему мы ничего не помнимъ о прошедшихъ перемѣнахъ. Гл. 3—5. Самое лучшее понятіе о душѣ сообщаетъ намъ св. Писаніе: по сотвореніи міра Богъ образовалъ тѣло человѣческое изъ земной персти и вдохнулъ въ него свое дыханіе жизни; отъ тѣла и души первозданнаго человѣка произошли и непрерывно происходятъ тѣла и души его потомковъ; а для нравственнаго усовершенствованія человѣкъ въ раю получилъ отъ Бога заповѣдь, которую по наущенію коварнаго человѣкоубійцы и внушенію жены нарушилъ и за то изгнанъ изъ рая, подвергся тѣлесной смерти и другимъ бѣдствіямъ, и былъ причиною всѣхъ золъ для послѣдующихъ поколѣній; б) Благодарственное. Гл. 1. Съ благодарностію къ Создателю всего видимаго и невидимаго, окруженному Ангелами и праведниками, непрестанно воспѣвающими Его славу, возносится молитва о томъ, чтобы Богъ сподобилъ и автора стихотворенія достойно воспѣвать Его и проводить чистую жизнь съ благою надеждою на будущее; в) О человѣческой природѣ. Гл. 1. Въ тѣнистой и пріятной рощѣ авторъ разсуждалъ о томъ, что такое онъ самъ и чѣмъ будетъ, и старался разрѣшить эти темные для всѣхъ вопросы. Гл. 2—3. Что такое я? По тѣлу—существо непрестанно измѣняющееся, начавшееся изъ ничтожнаго вещества и оканчивающееся тлѣніемъ, и во всю жизнь свою удручаемое бѣдствіями, которыя одни только и постоянны въ настоящей жизни съ тѣхъ поръ, какъ человѣкъ вкусилъ отъ запрещеннаго плода; по душѣ—существо духовное и разумное, но связанное узами бренной плоти и омраченное неразумными страстями, унижающими ея достоинство. Гл. 4—5. Не смотря на благодѣянія и наказанія Божіи въ ветхомъ и новомъ Завѣтѣ, я остаюсь непреклоннымъ въ своихъ земныхъ заботахъ и грѣхахъ, подобно денницѣ, ниспадшей съ неба; даже св. Троица подвергается нападеніямъ отъ людей безумныхъ; но это не будетъ безостановочно; не напрасно Богъ создалъ насъ; и неясное нынѣ сдѣлается понятнымъ для насъ тогда, когда будемъ созерцать Бога, или мучиться въ огнѣ; г) О жизни человѣческой. Гл. 1. Человѣческая жизнь подобна праху, возметаемому вѣтрами, и самъ человѣкъ будетъ прахомъ, пока Слово Создателя вновь не соединитъ его съ богоподобною его душею. Гл. 2. Эта жизнь подобна также колесу, непрестанно и тщетно обращающемуся, и другимъ маловажнымъ и скоропреходящимъ предметамъ; д) Увѣщанія. Гл. 1. Сколько стихотворныхъ строкъ, столько же различныхъ назидательныхъ внушеній; е) Къ своей душѣ. Гл. 1. Чего желаешь ты, душа моя? Богатства ли, власти,

многочадія или земной славы? Это все тщетно и скоропреходяще. Если же ты желаешь быть божественною и предстоять предъ Всевышнимъ вмѣстѣ съ Ангелами, то стремись, окриляйся и лети къ небу. Гл. 2—3. Чего желаешь и ты, плоть моя? Изысканной ли трапезы, роскошныхъ пиршествъ и веселыхъ пѣсней? Можешь получить ихъ, какъ петлю на свою шею. Но лучше я предложу тебѣ жизнь умѣренную, воздержную и скромную, чтобы ты не вредила и себѣ и мнѣ, какъ отогрѣтая въ нѣдрахъ моихъ змія. Для всѣхъ же благочестно живущихъ высшимъ желаніемъ должно быть вѣдѣніе Трисіятельнаго Свѣта, отъ котораго удалилъ насъ врагъ человѣческаго рода; ж) О дѣвствѣ. Гл. 1. Дѣвственная чистота есть одна изъ степеней къ высшему совершенству.

XI. Св. *Григорія* Нисскаго: 1) На св. Пасху Слов. 1. Гл. 1—2. Благословенія Божія, данныя патріархамъ, обѣтованія, прообразованія и пророчества ветхаго Завѣта предзнаменовали христіанскій праздникъ св. Пасхи и сходятся въ немъ, какъ разсѣянные лучи въ одномъ свѣтлѣйшемъ средоточіи; это можно видѣть напр. въ исторіи Авраама, Исаака и Моисея, въ пророчествахъ Исаіи, Іереміи, Іоны и Захаріи. Гл. 3—4. Пасха есть чрезвычайный день Господень, въ который І. Христосъ совершилъ великія благодѣянія для рода человѣческаго, избавивъ его отъ грѣха, смерти и діавола, воособенности въ три дня и три ночи, когда Онъ находился въ сердцѣ земли—во адѣ; ибо, какъ сотвореніе міра премудрый Богъ благоволилъ раздѣлить на нѣсколько дней, такъ и истребленіе зла въ мірѣ совершилъ въ трехдневное время. Гл. 5—6. Вопросъ о числѣ этихъ трехъ дней и трехъ ночей рѣшается, если начать счетъ ихъ съ вечера четверга, когда Спаситель предложилъ ученикамъ плоть и кровь Свою въ таинствѣ Евхаристіи, и продолжать до вечера субботы, когда Онъ воскресъ. Гл. 7—8. Другой вопросъ, какимъ образомъ І. Христосъ, находясь въ сердцѣ земли, въ тоже время былъ и въ раю съ разбойникомъ и въ рукахъ Божіихъ, рѣшается тѣмъ, что Онъ, какъ Богочеловѣкъ, соединившій въ лицѣ своемъ природы Божескую и человѣческую, съ безгрѣшною плотію находился въ сердцѣ земли, съ душею въ раю, а Божескимъ существомъ Своимъ въ нѣдрахъ Бога Отца, въ рукахъ котораго пророкъ Исаія полагаетъ и самый рай подъ именемъ Іерусалима. Гл. 9—10. Еще вопросъ о томъ, почему христіане, празднуя Пасху около четырнадцатаго дня мѣсяца, назначеннаго Іудеямъ въ законѣ Моисеевомъ, не соблюдаютъ предписаннаго тамъ же ядѣнія опрѣсноковъ съ горькими травами, рѣшается тѣмъ, что законъ былъ тѣнію грядущихъ благъ и учрежденія его были внѣшними символами внутреннихъ качествъ, требуемыхъ отъ исполнителей закона; христіане, соблюдая во всю свою жизнь внутреннюю чистоту души и сердца, не имѣютъ нужды въ понудительныхъ внѣшнихъ символахъ закона; время же Пасхи около четырнадцатаго дня мѣсяца, когда свѣтъ луны сближается со свѣтомъ солнца и почти не бываетъ ночи, соблюдается и у нихъ въ знакъ этой внутренней чистоты ихъ. Гл. 11—12. Страданія и смерть Христовы совершились на крестѣ;

и хотя Богъ могъ инымъ способомъ совершить домостроительство нашего спасенія, но орудіемъ смерти Христовой надлежало быть кресту по важному таинственному его значенію: четырьмя своими частями, распростертыми на четыре страны свѣта, онъ означаетъ широту, долготу, глубину и высоту спасительныхъ страданій Господа и простирающіяся на всѣ концы міра благодѣтельныя послѣдствія смерти и воскресенія Христова. Обнимемъ же чистымъ сердцемъ, подобно Іосифу Аримаѳейскому, умершаго Спасителя, и срѣтимъ съ вѣрою и любовію, подобно муроносицамъ, свѣтлое воскресеніе Христово.—2) Слово къ скорбящимъ объ умершихъ. Гл. 1. Тяжкая скорбь объ умершихъ, естественная въ простыхъ людяхъ, но не свойственная мудрымъ, можетъ быть облегчена и исправлена, если будутъ объяснены свойства во первыхъ истиннаго блага, во вторыхъ тѣлесной жизни и въ третьихъ благъ ожидаемыхъ въ сравненіи съ настоящими. По природному всѣмъ людямъ стремленію къ благу, особенно полезно раскрытіе свойствъ истиннаго блага для отклоненія ихъ отъ привязанности къ стихіямъ міра. Гл. 2. Истинное благо есть то, что всегда и для всѣхъ бываетъ благомъ, всегда тожественно и неизмѣняемо отъ внѣшнихъ обстоятельствъ. Этому понятію блага не соотвѣтствуетъ тѣлесная жизнь, которая исполнена многочисленныхъ и безпрестанныхъ измѣненій и противоположностей. Гл. 3. Такъ какъ истинное благо противоположно неистинному, и средняго между ними нѣтъ, то посмертная жизнь должна быть истиннымъ благомъ, какъ противоположная здѣшней жизни и чуждая всѣхъ измѣненій и страданій тѣлесныхъ. Посему не слѣдуетъ считать прискорбнымъ переселеніе ближнихъ нашихъ изъ здѣшней въ тамошнюю безстрастную и безмятежную жизнь. Гл. 4. Скорѣе умершій могъ бы скорбѣть объ оставшихся въ живыхъ, которые уподобляются заключеннымъ въ темницѣ и по привычкѣ къ мраку скорбящимъ о выходящихъ оттуда на свѣтъ, не видя тѣхъ премірныхъ благъ, какія созерцаетъ умершій, и даже не чувствуя окружающаго ихъ зла настоящей жизни. Но умершіе не имѣютъ и этой скорби и не могутъ дѣлать внушеній живымъ; поэтому собственный нашъ умъ долженъ внушать намъ, чтобы мы познавали самихъ себя, своего внутренняго человѣка, свою душу, и взирали не на видимыя временныя блага, а на невидимыя вѣчныя. Гл. 5. Но душа не можетъ видѣть саму себя непосредственно. Какъ тѣлесные глаза, видя все, не видятъ самихъ себя, а могутъ видѣть себя въ зеркалѣ; такъ и душа можетъ видѣть себя, взирая на свой первообразъ—Божество. Если же Богъ не имѣетъ въ себѣ ничего тѣлеснаго, то и душа такова же, и слѣдовательно, освобождаясь отъ тѣлесности чрезъ смерть, она вступаетъ въ свойственную себѣ жизнь и приближается къ Богу, высочайшему благу; а это можетъ быть предметомъ только радости, но не скорби. Гл. 6—7. Если посмертная жизнь представляется нерадостною потому, что она намъ неизвѣстна, то здравый умъ могъ бы сказать на это: для насъ неизвѣстны очень многіе изъ предметовъ земныхъ и небесныхъ, и однако мы не боимся ихъ, почему же одна только посмертная

жизнь представляется страшною и достойною скорби? Скорбящіе объ умершихъ уподобляются раждающемуся младенцу, плачущему и какъ бы негодующему на освобожденіе его изъ привычной утробы матерней. Между тѣмъ умершій вступаетъ въ новую лучшую жизнь, для которой настоящая служитъ только приготовленіемъ, подобно какъ для плода служатъ приготовленіемъ предшествующія степени постепеннаго развитія растенія. Гл. 8. Изъ сѣмени не тотчасъ раждается плодъ, но прежде трава, стебель, колосъ, цвѣтъ и наконецъ плодъ, вожделѣнный для земледѣльца; такъ и происходящія съ человѣкомъ перемѣны въ настоящей жизни служатъ приготовленіемъ къ посмертной и блаженной жизни, на которую слѣдуетъ взирать съ радостію. Гл. 9. Не будемъ же скорбѣть объ умершихъ неразумною скорбію, но если печалиться, то печалію благою и похвальною, печалію объ утраченныхъ благахъ, которыми человѣкъ владѣлъ прежде избранія зла вмѣсто добра и жизни тлѣнной вмѣсто нетлѣнной и блаженной. Такая печаль спасительна, можетъ послужить къ возвращенію вожделѣнныхъ благъ и достойна христіанъ, имѣющихъ надежду воскресенія и вѣчной жизни.—3) а) Письмо къ Евстаѳіи, Амвросіи и Василиссѣ. Гл. 1. Выражая радость, что въ Іерусалимѣ онъ видѣлъ священныя мѣста и встрѣтился съ благочестивыми душами, св. Отецъ сообщаетъ, что тамъ же онъ нашелъ нѣчто прискорбное, именно недостатокъ любви къ ближнему и отъ того враждебное раздѣленіе между членами Іерусалимской Церкви. Гл. 2—3. Такое раздѣленіе неумѣстно, когда христіанская вѣра сдѣлалась господствующею во вселенной, когда главные догматы ея признаются всѣми, а мнѣнія еретиковъ отвергаются, какъ заблужденія; и отчужденіе другъ отъ друга христіанъ, исповѣдующихъ одинаковую вѣру, не можетъ не производить въ сердцѣ видящаго это скорби и огорченія; и потому заповѣдуется держаться православнаго ученія и провождать жизнь въ согласіи и мирѣ. б) Письмо къ Никомидійскимъ пресвитерамъ. Гл. 1. Послѣ привѣтствія св. Отецъ извиняется своими недосугами и тѣлесною болѣзнію, а вмѣстѣ и безпечностію самихъ Никомидійцевъ, въ томъ, что въ предшествовавшее время было недостаточно взаимное ихъ общеніе, которое слѣдуетъ возстановить по крайней мѣрѣ нынѣ. Къ прискорбію дошло до его слуха, что смуты въ ихъ церкви продолжаются, подобно неудержимому водному потоку, и посему для нихъ нуженъ ревностный и благочестивый предстоятель. Гл. 2. Какъ въ ветхомъ Завѣтѣ Левиты не владѣли земнымъ имуществомъ, но всецѣло посвящали себя на служеніе Богу, такъ и у христіанъ епископы должны быть избираемы не по происхожденію, ни по богатству, ни за мірскую знатность, а по душевнымъ достоинствамъ, какъ были избираемы пророки и апостолы и предстоятели первыхъ христіанскихъ церквей. Гл. 3. Особенно христіанамъ Никомидіи, какъ древняго и славнаго города, слѣдуетъ имѣть предстоятеля достойнаго и свѣдущаго, чтобы по неопытности онъ не вредилъ имъ, а подавалъ добрый примѣръ; ибо невозможно пасомымъ ревновать о добродѣтеляхъ, если они не ви-

дятъ въ своемъ учителѣ примѣра добродѣтелей; посему имъ нужно избрать пастыря, отличающагося не мірскими преимуществами, а духовными дарованіями, чего конечно сподобитъ ихъ Господь, если они будутъ единодушны и предпочтутъ своимъ желаніямъ волю Божію.

XII. Св. *Іоанна* Златоуста: 1) О священствѣ Слово 3-е. Гл. 1—3. Уклоненіе св. Отца отъ епископства происходило не отъ гордости и не отъ тщеславія. Такія побужденія можно подозрѣвать въ тѣхъ, которые отказываются отъ низкихъ должностей; а священный санъ столь высокъ самъ по себѣ и столь уважителенъ по воздаваемой ему чести и славѣ, что одни только или неуважающіе самаго сана или незнающіе уклоняющагося могутъ подозрѣвать въ немъ эти побужденія. Гл. 4. Христіанское священнослуженіе совершается на землѣ, но по чиноположенію небесному; самъ Утѣшитель чрезъ священнослужителей совершаетъ безкровную жертву Богу, превосходнѣйшую всѣхъ жертвъ ветхозавѣтныхъ, дивную и страшную, къ которой только безумный можетъ относиться съ гордостію. Гл. 5—6. И въ другихъ таинствахъ, покаяніи, крещеніи и прочихъ, священникъ получилъ отъ Спасителя такія необыкновенныя права и преимущества, которымъ нѣтъ равныхъ на землѣ, такъ что гордость и тщеславіе скорѣе можно приписать тѣмъ, которые стараются пріобрѣсти ихъ, нежели уклоняющимся отъ нихъ. Гл. 7—8. Ап. Павелъ по любви ко Христу и данной ему благодати превышалъ всѣхъ людей, но и онъ страшился великости этого служенія; а кто далекъ отъ сего совершенства, тотъ достоинъ извиненія, что не принялъ на себя дѣла, превышающаго его силы, и не рѣшился подвергать опасности и погибели себя и другихъ. Гл. 9—10. Въ священствѣ есть много опасностей въ видѣ страстей, колеблющихъ того, кто принялъ его, не превышая другихъ крѣпостію духовныхъ силъ; но отъ самаго священства происходятъ эти опасности, но именно отъ тѣхъ, которые, не соображаясь съ своими силами, дѣлаются предстоятелями церковными, тогда какъ душа священнослужителя прежде всего должна быть свободна отъ привязанности къ этому сану и готова лучше удалиться при сознаніи непосильной тяжести, нежели восходить на высокую степень и удерживать себя на ней при собственномъ недостоинствѣ. Гл. 11. Опасеніе такой опасной привязанности, во многихъ усиливающейся съ принятіемъ священства, и было одною изъ причинъ, отклонившихъ св. Отца отъ пути къ нему. Гл. 12—14. Для избѣжанія опасностей священникъ долженъ имѣть въ себѣ такія добродѣтели, которыя были бы полезны не для него только одного, но для множества пасомыхъ имъ, и столько душевнаго мужества, чтобы среди всѣхъ огорченій не терять терпѣнія, не предаваться гнѣву и подобнымъ страстямъ, отъ которыхъ сохранить себя въ уединеніи легко, а при множествѣ заботъ священнослужителя трудно,—трудно тѣмъ болѣе, что и малыя погрѣшности его видимы для всѣхъ и, представляясь другимъ великими, служатъ для нихъ поводомъ къ враждебному и не снисходительному осужденію. Выдержать такіе на-

вѣты могъ бы только тотъ, кто стяжалъ великое благочестіе. Гл. 15. Кромѣ того, особенно въ тогдашнее время представлялось много опасностей для священника отъ людей завистливыхъ и недоброжелательныхъ, руководившихся при избраніи священнослужителя корыстными видами, или обращавшихъ вниманіе на одну подвижническую жизнь безъ пастырской опытности или только на возрастъ безъ надлежащаго благоразумія или на другія стороннія обстоятельства, а не на способность къ прохожденію священнослуженія; а для епископа представлялось много трудностей, чтобы отвращать такія препятствія общему благу, защищать достойнаго и способнаго, хотя бы всѣ тому противились, и отвергать недостойнаго и неспособнаго, хотя бы всѣ говорили въ его пользу, и вообще дѣйствовать въ виду одного только благосостоянія Церкви, и ничего не дѣлать по ненависти или дружбѣ. Гл. 16—18. Въ исполненіи обязанностей священства и епископства неизбѣжны многія трудности, которыя вступающій на этотъ путь долженъ напередъ знать, чтобы съ ними соразмѣрять свои силы,—трудности въ попеченіи о бѣдныхъ вдовицахъ, о дѣвственницахъ и въ дѣлахъ по судебной части,—и чтобы впослѣдствіи самому не быть судимымъ не только за свои грѣхи, но и за грѣхи другихъ. Изъ всего этого ясно, что уклоненіе св. Отца отъ епископства происходило не отъ гордости и тщеславія, а изъ сознанія своей немощи и неприготовленности къ должному исполненію важныхъ, опасныхъ и трудныхъ обязанностей священнослуженія.—2) Увѣщаніе Θеодору падшему. Гл. 1. Паденіе Θеодора тѣмъ болѣе достойно слезъ, чѣмъ прекраснѣе было прежнее состояніе души его, и чѣмъ опаснѣе настоящее, въ которомъ она открыта для всѣхъ пороковъ и страстей; однако не должно отчаяваться въ его спасеніи; Богъ силенъ возвратить заблуждшаго на правый путь; отчаяніе же свойственно только совершенно нечестивой, впадшей въ глубину золъ душѣ. Гл. 2—3. Отчаяніе внушаетъ человѣку діаволъ, чтобы погубить его; если самъ Θеодоръ не въ силахъ противиться ему, то прежніе друзья будутъ плакать о немъ, какъ умирающемъ, пока онъ не востанетъ, надѣясь, что, сдѣлавъ начало обращенія посредствомъ раскаянія, онъ потомъ укрѣпится и будетъ преодолѣвать своего губителя. Гл. 4—8. Самые тяжкіе грѣхи очищаются покаяніемъ; Богъ, гнѣваясь на грѣшника и наказывая его, имѣетъ въ виду не погубить, а изцѣлить его отъ душевной болѣзни, никогда не отвращается отъ искренняго раскаянія, даже незначительнаго, и цѣнитъ его не по продолжительности времени, а по силѣ покаяннаго чувства и желанія встать послѣ паденія, такъ что нѣтъ грѣха, противъ котораго не было бы дѣйствительнаго духовнаго врачевства, какъ показываютъ примѣры въ В. и Н. Завѣтѣ; такое милосердіе Божіе должно привлечь падшаго къ Богу и побудить къ обращенію. Гл. 9—10. Богъ сотворилъ людей для царства небеснаго, а геенну уготовалъ для демоновъ; посему мы въ настоящей жизни должны дѣлать дѣла достойныя того царства, а не привязываться къ вещамъ тлѣннымъ и скоропреходящимъ, чтобы не впасть въ грѣхи, господ-

ствующіе въ мірѣ; если же не воздержались, то прибѣгнуть къ покаянію и исправляться, хотя не вдругъ, а мало по малу, только не оставаться во внутренней грѣховной гееннѣ, чтобы не испытать геенны будущаго вѣка, которой огонь несравненно ужаснѣе здѣшняго огня и въ которой ожидаютъ нераскаянныхъ грѣшниковъ невыразимыя мученія. Гл. 11—13. Напротивъ вѣчная жизнь праведниковъ исполнена такого блаженства, что лишеніе его можетъ назваться тягчайшимъ наказаніемъ, нежели мученіе въ геennѣ; потому что оно соединено съ лишеніемъ всѣхъ небесныхъ благъ и самаго высочайшаго блага—Бога, который будетъ царствовать въ той жизни. Небесное блаженство неизъяснимо велико, какъ по своей вѣчной продолжительности, такъ и потому, что душа наша узритъ тамъ сродныя ей вожделѣнныя блага; но это достигается душевною красотою, о которой мы и должны заботиться болѣе всего земнаго; самъ Богъ желаетъ нашей душевной красоты и, сдѣлавъ ее предметомъ нашей собственной заботы, въ случаѣ помраченія ея самъ подастъ средства къ очищенію и милостиво принимаетъ кающагося, чтобы только спаслась душа его. Гл. 14. Θеодоръ увлекся чуждою тѣлесною красотою; но эта красота, при своей тлѣнности и кратковременности, никакъ не можетъ сравниться съ душевною красотою, для пріобрѣтенія которой нужно употреблять всѣ силы и оставить привязанность къ міру, чего только и требуется отъ него. Гл. 15—16. Душа, подобно тѣлу, имѣетъ свои болѣзни, которыя требуютъ исцѣленія и всегда могутъ быть изцѣляемы раскаяніемъ при содѣйствіи благодати Божіей, хотя для человѣка бываетъ трудно сдѣлать начало покаянія. Діаволъ знаетъ силу покаянія и потому старается отклонить отъ него грѣшниковъ и довести до отчаянія; но отчаяніе сдѣлало самаго діавола діаволомъ и нѣтъ ничего пагубнѣе его; посему Θеодору надобно съ упованіемъ возвратиться къ прежней отшельнической жизни, къ прежнимъ братіямъ и общникамъ подвижничества, скорбящимъ объ его отпаденіи и ожидающимъ радостнаго его обращенія подобно другимъ падавшимъ и потомъ востававшимъ грѣшникамъ. Гл. 17—18. Примѣры согрѣшившихъ и потомъ раскаявшихся юноши и старца. Гл. 19. Раскаяніе должно быть искреннее, твердое, дѣятельное и неизмѣнное.—3) а) Къ Олимпіадѣ Письмо 1-е. Гл. 1. По поводу современныхъ смутныхъ обстоятельствъ Церкви св. Отецъ утѣшаетъ ее упованіемъ на Промыслъ Божій и надеждою на ихъ недолговременность. Гл. 2. Хотя тяжелы испытываемыя искушенія, но не должно смущаться и терять терпѣніе, потому что самое дѣйствительное искушеніе есть грѣхъ, а другія искушенія самъ Богъ обыкновенно превращаетъ не вдругъ по своимъ премудрымъ цѣлямъ, какъ видно изъ примѣра трехъ отроковъ въ Вавилонѣ. Гл. 3—5. Еще болѣе успокоительнаго и утѣшительнаго представляется въ тѣхъ соблазнахъ, какіе были во время жизни І. Христа и Апостоловъ и ознаменованы ясными слѣдами Провидѣнія и помощи Божіей. б) Письмо къ епископамъ, пресвитерамъ и діаконамъ.—Воздавая имъ похвалу за твердость и безстрашіе, утѣшаетъ

ихъ ожидающимъ ихъ прославленіемъ въ жизни настоящей и будущей и ободряетъ къ дальнѣйшимъ подвигамъ благотворными ихъ послѣдствіями какъ для нихъ самихъ, такъ и для другихъ.

XIII. Св. *Исидора* Пилусіота: Письма: 1) къ а) Мараѳонію. Высказывается въ лицѣ его осужденіе духоборцамъ, отвергавшимъ догматъ о божествѣ Св. Духа, единосущномъ съ Отцемъ и Сыномъ, вопреки точному ученію І. Христа. б) Кириллу архіеп. Подтверждается догматъ о соединеніи двухъ естествъ Божескаго и человѣческаго въ одномъ лицѣ І. Христа. в) и г) Павлу. Догматъ о св. Троицѣ раскрывается противъ Іудеевъ съ указаніемъ, что и между ними были мыслители, приближавшіеся къ христіанскому ученію, напр. Филонъ, который при толкованіи нѣкоторыхъ мѣстъ св. Писанія высказывалъ, хотя и не точно, мнѣніе о второмъ лицѣ Божества; впрочемъ въ В. Завѣтѣ этотъ догматъ не былъ возвѣщенъ ясно въ виду Іудеевъ, склонныхъ къ идолопоклонству, чтобы они не впали въ многобожіе.—2) къ д) е) и ж) Тимоѳею. Изъясненіе текста изъ Притчей (9. 1, 2) въ томъ смыслѣ, что въ св. Писаніи заключаются премудрыя божественныя наставленія, но изложенныя въ простыхъ словахъ и примѣрахъ,—и изъясненіе текста изъ 2-го посл. къ Кор. (4. 7), допускающее въ немъ два смысла, или тотъ, что высокія духовныя дарованія учениковъ Христовыхъ содержатся въ ихъ смертномъ и слабомъ тѣлѣ, или тотъ, что богатство божественной мудрости въ св. Писаніи заключено въ простыя и удобопонятныя слова. 3) Исидору. Изъясненіе текста изъ Бытія (1. 26) въ томъ смыслѣ, что образъ Божій въ человѣкѣ заключается въ душѣ его, а не въ тѣлѣ, и отличительная черта этого образа есть обладаніе всѣмъ, что на землѣ; «образъ» дается человѣку и сохраняется въ немъ по созданію, а «подобіе» отличается отъ образа тѣмъ, что пріобрѣтается собственнымъ произволеніемъ человѣка. и) Ему же. О томъ, что неписанные законы Божіи древнѣе и важнѣе писанныхъ, такъ какъ Богъ въ В. и Н. Завѣтахъ сначала бесѣдовалъ съ св. мужами безъ письменъ; если же мы, утративъ духовную чистоту, и въ бесѣдѣ съ Богомъ стали нуждаться въ письменахъ, то по крайней мѣрѣ должны усердно и внимательно пользоваться ими. і) Архивію. Изъясненіе текста изъ Посланія къ Колосс. (2. 9), что обитаніе въ І. Христѣ Божества «тѣлесно», означаетъ «существенно»; претерпѣнныя же Имъ страданія относятся только къ Его плоти; Онъ есть Богъ и вмѣстѣ человѣкъ, почему въ св. Писаніи и приписываются Ему дѣйствія и названія, какъ вышеестественныя, такъ и общечеловѣческія.—3) къ к) Александру. Изображается превосходство добродѣтели предъ всѣми качествами и сокровищами человѣка, и потому достойной пріобрѣтенія и пламенной любви. л) Мартиніану. О сребролюбіи, какъ страсти ненасытной, свирѣпой, мучительной и страшной, отъ которой можно освободиться только при помощи Божіей и собственной рѣшимости—раздать нуждающимся все, что ею собрано. м) Антонію. О томъ, что дѣвство есть высшій изъ подвиговъ и лучшее изъ состояній человѣка; если находятся люди считающіе брачную жизнь выше

дѣвства, не имѣя у себя подвиговъ дѣвства, то впослѣдствіи они сами на дѣлѣ узнаютъ, какимъ препятствіемъ ко спасенію служатъ заботы брачной жизни, которая управляется страстями, тогда какъ дѣвство обуздываетъ страсти; солнцу подобны по своему достоинству любители дѣвства, лунѣ—любители воздержанія, а звѣздамъ—возлюбившіе и соблюдающіе честный бракъ. н) Дѣтямъ язычниковъ. О томъ, что добродѣтель есть наилучшее благо, прочное и надежное, и драгоцѣннѣе всѣхъ вещественныхъ сокровищъ; по видимому иные и безъ добродѣтели благоденствуютъ, обладая богатствомъ, но и добродѣтель не всегда остается безъ богатства, истинное же благоденствіе всегда бываетъ достояніемъ людей добродѣтельныхъ, хотя бы они не пользовались извѣстностію и славою; по сему нужно съ юнаго возраста упражняться въ добродѣтели, чтобы послѣ не тратить времени на искорененіе порочныхъ навыковъ, надѣяться получить по переселеніи отсюда свѣтлыя награды на божественномъ судѣ, и еще здѣсь сподобиться просвѣщенія свѣтомъ Христовымъ.

XIV. Св. *Кирилла* Александрійскаго: 1) О вочеловѣченіи Господа. Гл. 1—8. Сказавъ предварительно, сколь полезно разсужденіе о божественномъ домостроительствѣ нашего спасенія, св. Отецъ раскрываетъ благодѣянія Божіи, оказанныя роду человѣческому отъ начала міозданія въ сотвореніи человѣка, въ названіи его Адамомъ, въ созданіи жены изъ ребра его, въ дарованіи ему заповѣди, въ изгнаніи изъ рая и въ дальнѣйшемъ попеченіи о людяхъ, какъ нечестивыхъ, наказуемыхъ и исправляемыхъ, такъ и праведныхъ, награждаемыхъ и спасаемыхъ; и особенно въ вочеловѣченіи Господа, принявшаго «образъ раба». Гл. 9—10. Въ опроверженіе неправильнаго толкованія этого выраженія еретиками Аріемъ, Евноміемъ и другими, объясняетъ, что оно означаетъ принятіе Словомъ Божіимъ не одной плоти, но всего человѣческаго естества, кромѣ грѣха. Гл. 11—14. Благодѣтельныя послѣдствія вочеловѣченія Господа—избавленіе человѣка отъ грѣха и проклятія и побѣда надъ смертію и діаволомъ. Гл. 15—16. Въ опроверженіе мнѣнія еретика Аполлинарія, будто Слово Божіе приняло человѣческую природу безъ ума, замѣнивъ его собою, объясняется, что въ такомъ случаѣ діаволъ не сталъ бы искушать Господа въ пустынѣ и отраженіе его не было бы для него посрамленіемъ, и люди въ неодинаковости своей природы съ Христовою находили бы оправданіе своихъ грѣховъ и неподражанія Его праведности. Гл. 17—23. Такъ какъ грѣхопаденіемъ было повреждено все существо человѣка, и тѣло и душа и умъ, то Господь принялъ все это существо, чтобы возстановить всего человѣка, не исключая ума, наиболѣе важной и наиболѣе нуждавшейся въ возстановленіи силы существа его. Хотя въ св. Писаніи говорится, что «Слово стало плотію», но здѣсь часть принимается вмѣсто цѣлаго человѣка, какъ нерѣдко встрѣчается въ св. Писаніи, въ которомъ есть много и прямыхъ свидѣтельствъ, что Слово приняло полную природу человѣческую и стало Богочеловѣкомъ, воплотившись отъ Дѣвы Маріи, оставшейся присно-

дѣвою. Гл. 24—28. Послѣ рожденія I. Христосъ совершалъ домостроительство нашего спасенія, преподавая ученіе и подтверждая его чудесами, наконецъ добровольно претерпѣлъ страданія и смерть на крестѣ, принявъ на себя всѣ послѣдствія грѣха, которымъ подлежалъ родъ человѣческій, и вмѣсто нихъ даровавъ ему новую жизнь и новыя силы, получаемыя въ Крещеніи. Гл. 29—32. Изъ всѣхъ дѣйствій I. Христа отъ рожденія до смерти и усвояемыхъ Ему названій слѣдуетъ заключить, что Онъ принялъ совершенное естество человѣческое, соединивъ въ одномъ лицѣ двѣ природы Божескую и человѣческую, безъ слiянія или смѣшенія ихъ, подобно какъ душа и тѣло въ человѣкѣ не сливаются и не смѣшиваются, но, различаясь по существу своему, въ тоже время соединяются въ одно лице человѣка. Гл. 33. Вознесшись на небо вмѣстѣ съ нашею плотію, I. Христосъ ниспослалъ людямъ отъ Бога Отца благодатные дары св. Духа, необходимые намъ для благочестивой жизни и усвоенія спасенія. Гл. 34—35. За всѣ эти благодѣянія мы должны благодарить и прославлять виновника ихъ Сына Божія съ Отцемъ и Св. Духомъ, не изслѣдуя способа ихъ бытія, рожденія и исхожденія, но слѣдуя преданіямъ Отцевъ и исповѣдуя Спасителя нашего Богочеловѣкомъ, а родившую Его дѣву—Богородицею.—2) Бесѣда въ похвалу св. Богородицы. Гл. 1. Привѣтствовавъ г. Ефесъ по случаю торжественнаго собранія въ немъ многихъ епископовъ, св. Отецъ произноситъ хваленія прес. Богородицѣ, какъ вмѣстившей въ себѣ Сына Божія и послужившей спасенію людей. Гл. 2. Обращаетъ рѣчь противъ еретика Несторія, осмѣлившагося называть воплотившагося отъ Дѣвы Спасителя простымъ человѣкомъ, а ее только человѣкородицею, и за то подвергшагося осужденію и низложенію, и подтверждаетъ догматъ о соединеніи въ лицѣ I. Христа двухъ естествъ Божескаго и человѣческаго.—3) Бесѣда объ исходѣ души. Гл. 1—2. Выражается сильный страхъ при мысли о смерти и ея печальныхъ послѣдствіяхъ и объ адѣ, ожидающемъ грѣшниковъ, и сердечное сокрушеніе о собственной грѣховности, имѣющей обличиться на будущемъ судѣ и получить наказаніе. Гл. 3. Представленіе различныхъ мытарствъ, ожидающихъ душу послѣ смерти за земные грѣхи и порочные навыки, отдѣленія праведныхъ отъ грѣшныхъ и осужденія грѣшныхъ душъ на вѣчныя мученія во адѣ. Гл. 4. Размышленія о суетѣ всѣхъ земныхъ радостей и наслажденій и ничтожности здѣшнихъ достоинствъ и преимуществъ по исходѣ души въ загробную жизнь и осужденіи на вѣчныя мученія. Гл. 5. Увѣщанія къ помышленію о страшномъ судѣ Божіемъ, на которомъ праведники будутъ удостоены царства небеснаго, а грѣшники осуждены на вѣчныя мученія во адѣ, и во особенности о безотрадномъ состояніи грѣшниковъ въ противоположность блаженному состоянію праведниковъ. Гл. 6—7. Изображеніе будущихъ мученій грѣшниковъ, какъ послѣдствія грѣховныхъ дѣйствій ихъ въ жизни настоящей, также и будущихъ радостей праведниковъ, какъ послѣдствія благочестивой жизни ихъ на землѣ, по примѣру которыхъ и мы должны обогащаться

добродѣтелями и истреблять въ себѣ пороки, чтобы не страшиться злыхъ демоновъ, не могущихъ вредить находящимся подъ покровомъ Божіимъ.

XV. Св. *Іоанна* Дамаскина: 1) Противъ отвергающихъ св. иконы Слово 1-е. Гл. 1—4. Высказавъ свое убѣжденіе, что неблагоразумно молчать въ такое время, когда Церковь Божія находится въ опасности и оскорбляется подозрѣніемъ въ идолослуженіи и отступленіи отъ священныхъ преданій, св. Отецъ проситъ Бога отверсть уста его на защиту истины предъ всѣми. Гл. 4—8. Мы покланяемся единому истинному Богу, невидимому по существу своему, но тому же Творцу покланяемся и въ видимой плоти Его, почитая ее не какъ четвертое лице Божества, но какъ соединенную въ одну упостась съ вочеловѣчившимся Словомъ Божіимъ. Не Богъ невидимый, а видимая плоть Божія изображается на иконѣ. Заповѣди Божіи запрещаютъ изображенія Бога невидимаго, а не воплотившагося, и служебное поклоненіе этимъ изображеніямъ, а не обыкновенное поклоненіе въ знакъ почитанія. Гл. 9—13. Образъ или икона есть подобіе первообраза, съ нѣкоторымъ отличіемъ отъ него, ибо только Слово Божіе есть совершенный образъ Бога Отца; такъ въ Богѣ есть образы сотворенныхъ Имъ вещей; образы также суть видимыя формы невидимаго, напр. Ангеловъ и отсутствующихъ предметовъ; образомъ же называется предметъ, прообразующій что-нибудь будущее или созданный на память какого-нибудь событія для потомковъ. Посему слѣдуетъ или всѣ образы уничтожить, или допустить ихъ, придавая имъ надлежащее значеніе. Гл. 14. Поклоненіе есть знакъ почитанія и уваженія и бываетъ различнаго рода; служебное поклоненіе воздается единому истинному Богу, ради котораго приносятся поклоненія и служащимъ Ему существамъ и посвященнымъ Ему вещамъ. Посему слѣдуетъ или отвергнуть всѣ роды поклоненія или допустить ихъ, придавая свойственное имъ значеніе. Гл. 15—16. Въ ветхомъ Завѣтѣ были запрещены изображенія невидимаго Бога, хотя повелѣно было поставить изображенія Херувимовъ и другихъ вещей въ скиніи, какъ образы и тѣни грядущихъ благъ; но послѣ воплощенія Бога и самъ Онъ во плоти можетъ быть изображаемъ на иконѣ для поклоненія, при чемъ мы покланяемся не веществу, а Создателю вещества, вещественную же плоть почитаемъ, какъ послужившую нашему спасенію; равно и прочіе вещественные предметы, послужившіе нашему спасенію, почитаемъ, какъ исполненные божественной благодати, и во особенности тѣло и кровь Христову въ Евхаристіи. Посему слѣдуетъ или отвергнуть почитаніе всѣхъ этихъ предметовъ, или принять церковное преданіе о почитаніи иконъ. Гл. 17—18. Икона тоже для зрѣнія, что̀ слово для слуха, и тоже для неграмотныхъ людей, что̀ книга для грамотныхъ. Если въ В. Завѣтѣ Богъ повелѣлъ сдѣлать видимые знаки для напоминанія о дѣлахъ своихъ, и Евреи почитали ихъ, то почему христіанамъ не имѣть иконъ, изображающихъ спасительныя страданія и чудеса Христовы, для напоминанія о нихъ? Гл. 19—21. Если же почитаются иконы

І. Христа и Дѣвы Маріи, то слѣдуетъ почитать и иконы святыхъ; отвергать ихъ значило бы возставать противъ самихъ святыхъ, которыхъ души исполнены благодати Св. Духа, равно и тѣла ихъ и изображенія ихъ. Отъ Царя Христа не слѣдуетъ отлучать воиновъ Его, и храмы христіанскіе подобаетъ украшать иконами святыхъ, тѣмъ болѣе. что въ Н. Завѣтѣ и самые храмы воздвигаются во имя ихъ и память ихъ празднуется. Гл. 22—24. Почитая иконы, мы поступаемъ не такъ, какъ древніе язычники, не знавшіе истиннаго Бога и посвящавшіе свои изображенія идоламъ, но какъ воспоминающіе о воплотившемся Богѣ и возлюбленныхъ рабахъ Его, прогонявшихъ демоновъ, и притомъ поступаемъ на основаніи неписьменнаго преданія св. Отцевъ. Гл. 25—27. Ссылка св. иконоборцевъ на св. Епифанія несправедлива и притомъ излишня, когда вся Церковь учитъ почитать иконы, и св. Писаніе не запрещаетъ ихъ. Гл. 28—29. Въ заключеніе предлагается увѣщаніе—не дѣлать нововведеній въ вѣрѣ и держаться церковныхъ преданій, такъ какъ выниманіе малѣйшихъ камней въ зданіи можетъ повести къ постепенному разрушенію всего зданія, чего да не будетъ съ Церковію, основанною на твердомъ камнѣ—І. Христѣ.—2) Изложеніе православной вѣры. Гл. 82. О вѣрѣ и крещеніи: о вѣрѣ въ св. Троицу, какъ необходимомъ условіи для принятія христіанскаго крещенія; о крещеніи, какъ таинствѣ, объ установленіи, веществѣ и формѣ его, значеніи совершаемыхъ при немъ обрядовъ и плодахъ для крещаемаго. Гл. 83. О вѣрѣ, какъ вѣрованіи въ ученіе и преданія Церкви и какъ убѣжденіи въ дѣйствительности невидимыхъ благъ. Гл. 84. О крестѣ, какъ орудіи спасительныхъ страданій и смерти Господа и какъ предметѣ почитанія вѣрующихъ. Гл. 85. О поклоненіи на востокъ, заповѣданномъ неписаннымъ преданіемъ Апостоловъ. Гл. 86. О святыхъ и пречистыхъ таинствахъ, именно о таинствѣ Причащенія, объ установленіи, веществѣ и формѣ его, о значеніи и плодахъ для причащающихся.—3) а) Канонъ воскресный. Пѣсн. 1—9. Въ ирмосахъ и тропаряхъ прославляется Спаситель І. Христосъ, осужденный Іудеями и Пилатомъ на крестную смерть, но своими страданіями, смертію и воскресеніемъ низложившій силу діавола и избавившій родъ человѣческій отъ грѣха, проклятія и смерти. Въ концѣ каждой пѣсни—величанія пресвятой Дѣвы Богородицы. б) Молитва. Гл. 1. Моленіе сознающаго грѣхи свои, чтобы Господь не отвергъ его, за вѣру и усердіе и воздыханія, извѣстныя Богу-сердцевѣдцу. Гл. 2. Помилованіе и отпущеніе грѣховъ желательно для молящагося, чтобы онъ могъ неосужденно причащаться пречистыхъ таинъ тѣла и крови Христовой для соединенія съ Господомъ и избавленія отъ діавола, обольщающаго людей и отторгающаго ихъ отъ Спасителя. Гл. 3. Молящійся исповѣдуетъ тяжесть грѣховъ своихъ, превышающихъ прегрѣшенія другихъ людей, но вмѣстѣ знаетъ и величіе благости Божіей къ кающимся грѣшникамъ, и потому съ дерзновеніемъ и благодарностію приступаетъ къ Богу и прославляетъ Его, какъ благословеннаго нынѣ и во вѣки.

XVI. Св. *Θеодора* Студита: 1) Рѣчь противъ иконоборцевъ. Гл. 1. Укоряя за нарушеніе церковнаго мира иконоборнаго императора, не устрашившагося наказаній Божіихъ, постигшихъ прежнихъ иконоборцевъ, и не уважившаго древняго церковнаго преданія о почитаніи св. иконъ, св. Отецъ увѣщеваетъ его держаться истины. Гл. 2. Опровергаетъ доказательство противъ иконопочитанія, заимствованное изъ В. Завѣта, тѣмъ, что по наступленіи благодати Н. Завѣта къ христіанамъ не относится законъ Моисеевъ по этому предмету, данный Іудеямъ, склоннымъ къ идолопоклонству. Гл. 3. Исповѣдуемое христіянами воплощеніе Сына Божія доставило имъ высокое благо-лицезрѣніе видимаго образа Божія нераздѣльно и неслiянно съ Божествомъ въ лицѣ Богочеловѣка. Гл. 4. Самъ І. Христосъ утвердилъ иконопочитаніе, пославъ свой нерукотворенный образъ Авгарю Едесскому; и св. Евангелистъ Лука, написавшій икону Господа, и другіе, писавшіе подобныя иконы, и общее употребленіе ихъ съ самыхъ первыхъ временъ христіанства свидѣтельствуютъ противъ попытки—вдругъ уничтожить эти священные предметы. Гл. 5. Неосновательно и несправедливо называть иконы идолами, тогда какъ эти названія означаютъ совершенно различные предметы; идолами называются изображенія демоновъ или другихъ языческихъ постыдныхъ предметовъ, а иконами—изображенія святыхъ и досточтимыхъ лицъ. Гл. 6. Отвергать иконы святыхъ и въ тоже время почитать св. Крестъ, какъ поступаютъ иконоборцы, значитъ допускать безразсудное противорѣчіе въ своихъ дѣйствіяхъ; кто почитаетъ св. Крестъ, тотъ долженъ почитать и св. иконы. Гл. 7. Страннымъ представляется и устроенное собраніе православныхъ съ иконоборцами для состязанія, когда при этомъ нѣтъ справедливаго судьи для рѣшенія дѣла, и когда первымъ угрожаютъ мученія, а послѣдніе такъ настроены, что лучше всячески удаляться отъ общенія съ ними.—2) а) Письмо къ Платону. Гл. 1. Со слезами и сокрушеніемъ сердца находившійся въ заключеніи св. Отецъ изображаетъ свою радость о полученіи письма отъ дяди, находившагося также въ заключеніи и извѣщавшаго о своемъ терпѣніи и твердости; непреклонное исповѣдничество св. Платона укрѣпило и св. Θеодора съ другими братіями къ подобному же исповѣдничеству. Гл. 2. Въ исполненіе желанія дяди описываетъ свое отправленіе въ ссылку изъ Саккудіона въ Солунь и разсказываетъ о встрѣтившихся на пути лицахъ и событіяхъ и о заключеніи своемъ подъ стражу въ Солунѣ съ однимъ изъ Студійскихъ братій. Гл. 3. Присланныя въ благословеніе отъ дяди вещи служатъ имъ утѣшеніемъ въ скорби, которая изливается тяжкими воздыханіями и умѣряется только примѣромъ Платона и мыслію о мздовоздаяніи въ вѣчной жизни. б) Братіямъ. Гл. 1—2. Благодаритъ Бога за свое заключеніе и страданія за имя Христово и ободряетъ братій къ такому же исповѣдничеству и къ борьбѣ съ собственными страстями. Гл. 3—4. Увѣщеваетъ ихъ твердо вѣровать въ догматъ о иконопочитаніи, за который они явили себя исповѣдниками и могутъ быть названы мучениками, хотя еще не совершенными,

такъ какъ исповѣдничество ихъ не столь продолжительно и не окончилось такъ, какъ у другихъ св. мужей. Гл. 5. По поводу монаха Леонтія, предавшагося иконоборцамъ и характеризуемаго здѣсь въ его нравахъ и дѣйствіяхъ, молитъ Бога, чтобы Онъ укрѣпилъ братій въ вѣрѣ и терпѣніи. в) Имъ же. Гл. 1. Привѣтствуя братій, выражаетъ свою радость о томъ, что вмѣстѣ съ слугою Николаемъ потерпѣлъ бичеваніе за ревность объ иконопочитаніи, высказанную въ письмѣ, дошедшемъ до иконоборнаго императора, и объявляетъ, что для него тяжки были послѣдствія бичеванія, но они не удержатъ его отъ безстрашнаго исповѣданія истины. Гл. 2. Увѣщеваетъ братій къ подобному же исповѣдничеству въ надеждѣ воздаянія въ будущей жизни и въ подражаніе распятому на крестѣ І. Христу.—2) Канонъ въ недѣлю крестопоклонную. Пѣсн. 1—9. Въ слѣдующихъ за ирмосами пасхальнаго канона тропаряхъ прославляется Воскресеніе Христово и св. Крестъ, какъ священное орудіе спасительныхъ страданій Господа, какъ блаженное древо досточтимое по своей нетлѣнной красотѣ и духовному благоуханію и явленіемъ своимъ предвозвѣщающее намъ Воскресеніе Христово, какъ издревле предсказанный и прообразованный источникъ жизни, просвѣщенія и святости для вѣрующихъ, которые и призываются къ радостному поклоненію ему и распятому на немъ Господу. Въ концѣ каждой пѣсни—величанія пресвятой Троицѣ и пресвятой Дѣвѣ Богородицѣ.

10 ЯНВ 1925
45323